35524

HIPPOR-
ates
C·M·P·

BIBLIOTECA
DE LA
Universidad de Salamanca.
Sala Est. Tab. Núm.

1ª

35524

Num. 33. cax. 5. num. 23.

ἍΠΑΝΤΑ ΤΑ ΤΟΥ̂ ΙΠΠΟΚΡΆΤΟΥΣ.

OMNIA OPERA HIPPOCRATIS.

BIBLIOTECA UNIVERSITARIA SAL. MANCA.

Ne quis alius impune, aut Venetiis, aut uſquam locorum hos Hippocratis libros imprimat, & Clementis VII. Pont. Max. & Senatus Veneti decreto cautum eſt.

Q 16782197

CLEMENS PAPA ·VII·

DILECTI filii ſalutem & apoſtolicam beñ· Exponi nobis nuper feciſtis uos ad imitationem quondam Aldi Manutii Pii, Romani, cuius impreſſoriæ artis ſucceſſores eſtis: nouos quotidie libros, tam græcos, q̃ latinos eiſdemmet characteribus, quorum ipſe Aldus primus inuentor & author fuit: cura & impenſa ueſtra impreſſos in lucem edere, ac per eos publicæ utilitati non parum conſulere: Nunc uero Galeni medici opera omnia græca imprimi curare: ex quibus propter eximiam frugem, & ſingularem doctrinam in illis contentam, medicinæ ars humano generi ualde neceſſaria, plurimum iuuari, atq; illuſtrari poſſet: ac in animo habere, diligentem operam adhibere, ut Hippocratis principis medicorum ac Pauli Eginitæ, necnon Aëtii, & Oribaſii inſignium Græcorum medicorum opera nunq̃ hactenus impreſſa, q̃emendatiſſime imprimantur: deſiderareq̃, ne de laboribus ueſtris, quos ad communem hominum utilitatem ſuſcipitis: alii ſperatos a` uobis fructus auferant, per nos oportune prouideri· Nos ad officium noſtrum pertinere putantes omnia procurare, quibus bonæ artes temporibus noſtris maxime floreant: illarumq̃ fautores; ad noua ſemper excogitanda, & ſtudioſis publicanda iuſtis gratiarum prærogatiuis alliciantur, & inuitentur· Et propterea deſiderio ueſtro, qui bono publico non ſine magnis laboribus, & impenſis ſtudere non deſiſtitis: ne ab aliquibus iuſto, & honeſto lucro defraudemini, annuere uolentes, Vniuerſis & ſingulis cuiuſcunq; dignitatis, gradus, & conditionis exiſtant: ſub excõmunicationis latæ ſententiæ, noſtris uero & Sanctæ Romanæ Eccleſiæ ſubditis, præterea etiam mille ducatorum pœna, pro una tertia parte Fabricæ Baſilicæ Principis apoſtolorum de Vrbe, pro altera uobis, pro reliqua uero Iudicibus ſeu officialibus, qui præſentium executores fuerint, applicandorum: tenore præſentium committimus, & mandamus, ne dicti Galeni & aliorum medicorum Græcorum opera per uos impreſſa uel imprimenda infra decem annos, poſtq̃ impreſſa fuerint, imprimere, ſeu imprimi facere, aut quoquomodo uẽdere, ſiue uendi facere præſumant· Mandantes in uirtute ſanctæ obedientiæ auditori cameræ apoſtolicæ, & Vrbis noſtræ gubernatori, necnon Senatori, ac omnibus & ſingulis aliis gubernatoribus, ac magiſtratibus & officialibus noſtris quibuſcunq;, ut a` uobis, ſeu ueſtris agentibus in præmiſſis & circa ea requiſiti, contra eos, qui dicta opera contra præſentium tenorem impreſſerint, ſeu imprimi fecerint, aut uendiderint, ſeu uendi fecerint, ad declarationem incurſus dictæ pœnæ procedant, & pœnam ipſam pecuniariam a` quibus exigenda erit, irremiſſibiliter exigant, ac alia faciant, & exequantur in præmiſſis quomodolibet neceſſaria, uel oportuna: Inuocato etiam ad hoc, ſi opus fuerit, auxilio brachii ſecularis· Volumus autem præſentiũ literarum noſtrarum

transſumptis,manu Notarii publici ſubſcriptis, & ſigillo alicuius Prælati ec cleſiaſtici munitis,eandem prorſus fidem in iudicio, &extra adhiberi, quæ præſentibus originalibus adhiberetur, ſi exhibitæ forent uel oſtenſæ.Non obſtantibus conſtitutionibus & ordinationibus apoſtolicis, cæterisq; contrariis quibuſcunq;. Datum Romæ apud Sanctum Petrum ſub Annulo piſcatoris. Die.XXVII. Ianuarii. M.D.XXV. Pont. Noſtri Anno Secundo.

Be. El. Rauenñ.

A tergo.

Dilectis filiis Andreæ de Torreſanis de Aſula, & hæredibus quondam Aldi Manutii Ro. in Ciuitate Venetiarum commorantibus.

IOANNI GEORGIO TRISINO VICENTINO COMITI EQ VITIQ VE ORNATISSIMO, FRANCISCVS ASVLANVS. S.

Quum te iampridem Triſine mi cariſſime in eorum amicorum numero haberem,quibus me omni cura,omniq; officio ac labore ſatisfacere ſemper debere cẽſerem: diu mecum ipſe reputaui quo te potiſſimum ex his noſtris munere in argumentum meæ erga te obſeruantiæ,donarem: uidebam enim,ſi linguæ iſtius italicæ,in qua te cum paucis excellere præclara multa ingenii tui monumenta teſtantur,præcipuum quempiam auctorem nomini tuo dicaſſem,fore ut quum maris & alpium duntaxat termino idioma iſtud contineretur,mei huius in te animi teſtimonium ad longe pauciores q̃ alioqui & uellem, & poſſem, peruenireț.rurſus ſi latinum aliquem oratorem poetam'ue,aut alio quouis in genere ſcribendi uerſatum, inſignem auctorem ſub tuo nomine inuulgandum curaſſem: putabam futurum ut dum unus ille tibi tot ſimul ſtudia complexo,non uſquequaq; reſpondere uideret, nõ ita plenam undiq; tuarum laudum materiam nec ſcribenti mihi,nec intuentibus in eam uelut effigiem,aliis præberet.ne igitur nihil omnino tibi afferrem,cui ſi liceret omnia libenter præberem,eorum tantũmodo quæ in te maiora,magisq; rara indicarentur,rationem habere conſtitui. Quare ut græcæ linguæ peritiſſimo,ac in philoſophiæ ſtudiis diu multũq; uerſato,Hippocratẽ Coum Heraclidæ filium tibi dicare decreui:illũ.ſ.Hippocratem qui diu peregrinatus in Macedonia plurimum apud Perdiccam regem uixit, Lariſſæq; quartum & centeſimum agens annum, obiit:notus nõ ſolum in omni terra græcia, ubi pene infinita ſuæ artis miracula edidiſſet,uerum etiam apud Perſas,& alios item a græcis ingenti maris aut terræ ſpacio remotos:qui Herodicum Selybrianum medicum, Gorgiam Leontinum rhetorem, Democritum Abderitam philoſophum audiuit. cuius tam multa uolumina ionice in gratiam Democriti (ut ait Aelianus) q̃uis ipſe doricus eſſet ſcripta,perinde ac ſi non hominis unius ore, ſed numinũ multorum ſimul oraculo dictata eſſent,ſumma ſemper apud omnes omnium ſæculorum mortales auctoritate uiguerunt.nam & ſex alii alias eodem nomine,eademq; patria orti, litterarum & medicæ artis periti floruiſſe traduntur.quorum unus patrem habuit Gnoſidicum,alter Theſſalum, tertius Draconem,quartus & quintus fratres Thymbræum, ſextus autem Praxianactem.Tu itaq; hoc quicquid eſt muneris ita uelim accipias,ut quum undiq; tibi ſatisfieri a me non poſſit,aliqua tamen in parte ſatis factum eſſe exiſtimes:idq; non mea culpa,qui maiora dare nequeam, ſed tua potius, cui maiora debeantur,nobis accidiſſe intelligas. Vale.

FRANCISCVS ASVLANVS LECTORI. S.

I tua, nō minus q̄ mea intereſſe putas Lector humaniſſime, ut eorum, quæ a' me in rempublicam litterariam magno, ut uides, ſumptu ac labore fiunt, ratio reddatur: ne obſecro alienum ab officio arbitreris, ꝙ his te admonitum uelim, quanto præſtet unum diligēter impreſſum codicem, q̄ duos aliquando, aut etiam mehercle plures manu ſcriptos habere. nam longe facilius eſt unum ſcriptorem feſtinabundum, preſertim ab unius duntaxat exemplaris imagine aberrare, q̄ multos ſimul homines, multorum ueterū librorum collatione, non unum tandem exemplum undiq; abſolutum eli cere: quemadmodum argumento eſſe poteſt Fabii Calui immortali certe alioqui digna laude induſtria, qui manu ſcriptum aliquem ſecutus codicem, librū unius folii περὶ ὑγρῶν χρήσιος, ideſt de uſu humidorum: & librum περὶ ἀρθρων, ideſt de articulis, tredecim folia continentem, omnino præteriit: & in eo libro qui inſcribit᷑ κωακαὶ προγνώσεις, ideſt Coacæ præcognitiones, ad calcem uerſus, folia item circiter ſex: & in libro περὶ τῆς κεφαλῆς τραυμάτων, ideſt de uulneribus capitis, unum fere': librumq; qui græce μοχλικὸν dicitur, ideſt de curandis luxatis, bis, tanquam diuerſum, tranſtulit, ſolo differente principio: ſicut plerunq; uſu uenit, ut ſcriptores ſimili alicuius paginæ initio decepti, alia aliis ualde interdum diuerſa connectant. Mitto cætera, quæ tu inter legendum facile deprehēdes, ac duas item additas epiſtolas, Hippocratis alteram, alteram uero Democriti, quæ quum ita ſe habere cognoueris, me quæſo tui ſtudioſum, ut facis, ama. Vale.

Fabij Calui laus. & incuriæ nómullæ in uertendo hippocrate

ΓΙΝΑΞ ΤΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΒΙΒΛΙΩΝ.

Ὅρκος Ἱπποκράτους.
Περὶ τέχνης.
Περὶ ἀρχαίης ἰητρικῆς.
Περὶ ἰητροῦ.
Περὶ εὐσχημοσύνης.
Ἱπποκράτους παραγγελίαι.
Νόμος Ἱπποκράτους.
Περὶ φύσιος ἀνθρώπου.
Περὶ διαίτης ὑγιεινῆς. Πολύβου τοῦ Ἱπποκράτους μαθητοῦ.
Περὶ γονῆς. Πολύβου.
Περὶ φύσιος παιδίου.
Περὶ σαρκῶν.
Περὶ ἑπταμήνου.
Περὶ ὀκταμήνου.
Περὶ ἐπικυήσεως.
Περὶ ἐγκατατομῆς ἐμβρύου.
Περὶ ὀδοντοφυΐας.
Περὶ ἀνατομῆς.
Περὶ καρδίας.
Περὶ ἀδένων.
Περὶ ὀστέων φύσιος.
Περὶ τόπων τῶν κατ' ἄνθρωπον.
Περὶ ἀέρων, ὑδάτων, τόπων.
Περὶ διαίτης.
Περὶ ἐνυπνίων.
Περὶ ἕδρης. ὃ μὴ εἶναι Ἱπποκράτους φησὶ Γαληνός.
Περὶ ὑγρῶν χρήσιος.
Περὶ χυμῶν.
Περὶ φυσῶν.
Περὶ ἱερῆς νούσου. ἀξιολόγου τινός.
Περὶ νούσων.
Περὶ παθῶν. τῶν Πολύβου.
Περὶ τῶν ἐντὸς παθῶν.
Περὶ παρθενίων.
Περὶ γυναικείης φύσιος.
Περὶ γυναικείων.
Περὶ ἀφόρων.
Νόθα τῇ τελευτῇ τῶν πρώτου περὶ γυναικείων προσκείμενα.
Περὶ ἐπιθημιῶν.
Περὶ διαίτης ὀξέων.
Περὶ κρίσεως.
Περὶ κρισίμων.
Ἱπποκράτους ἀφορισμοί.
Ἱπποκράτους προγνωστικόν.
Ἱπποκράτους προρρητικόν.
Κωακαὶ προγνώσεις.
Περὶ τῶν ἐν κεφαλῇ τραυμάτων.

INDEX LIBRORVM HIPPOCRATIS.

Iusiurandum Hippocratis.
De arte.
De prisca medicina.
De medico.
De probitate.
Hippocratis præcepta.
Lex Hippocratis.
De natura hominis.
De ratione uictus salubris. Polybi discipuli Hippocratis.
De semine. Polybi.
De natura fœtus.
De carne.
De septimestri partu.
De octomestri partu.
De superfœtatione.
De extractione fœtus.
De dentitione.
De dissectione.
De corde.
De glandibus.
De natura ossium.
De locis in homine.
De aere, aqua, locis.
De uictus ratione.
De insomniis.
De alimento quem esse Hippocratis negat Galenus.
De usu humidorum.
De humoribus.
De flatibus.
De sacro morbo. docti cuiusdam.
De morbis.
De affectibus. polybi.
De internarum partium affectibus.
De morbis uirginum.
De matura muliebri.
De morbis mulierum.
De sterilibus.
Supposititia quædam calci primi de morbis mulierum adscripta.
De morbis passim grassantibus.
De ratione uictus acutorum.
De iuditiis.
De diebus iudicialibus.
Hippocratis definitæ sententiæ.
Hippocratis prænotiones.
Hippocratis prædictiones.
Coacæ præcognitiones.
De uulneribus capitis.

περὶ ἀγμῶν.
περὶ ἄρθρων.
Ἱ. ὑποθηκῶν ἢ τὸ ἰητρεῖον.
Ἱ. ὑποθηκῶν μοχλικόν.
περὶ ἕλκων.
περὶ συρίγγων.
περὶ αἱμορροΐδων.
περὶ ὄφεως.
Ἱ. ὑποθηκῶν ἐπιστολαί.
Δόγμα ἀθηναίων.
Ἐπιβώμιος.
Πρεσβυτικὸς Θεσσαλὸς Ἱ. ὑποθηκῶν υἱὸς πρὸς τοὺς ἀθηναίους.

De fracturis.
De articulis.
Hippocratis de medici munere.
Hippocratis de curandis luxatis.
De ulceribus.
De fistulis.
De hæmorrhoidibus.
De uisu.
Hippocratis epistolæ.
Decretum athenienſiuus.
Epibomios.
Oratio Theſſali Hippocratis filii legati ad athenienſes.

11. f. Θέσσαλοι

11. f. παιόνων. ex oratiõe theſſaliad athenienſes

ΙΠΠΟΚΡΑΤΟΥΣ ΓΕΝΟΣ ΚΑΙ ΒΙΟΣ ΚΑΤΑ ΣΩΡΑΝΟΝ.

Soranus

ὑποκράτης. γένει μὲν ἦν Κῷος, υἱὸς Ἡρακλείδου καὶ Φαιναρέτης, εἰς Ἡρακλέα δὲ τὸν Ἀσκληπιὸν ἀνήγετο τὸ γένος ἀναφορῶν. ἀφ' οὗ μὲν, εἰκοστὸς. ἀφ' οὗ δὲ σὺν ἑπτακαιδεκάτῳ. μνημονεύει δὲ τῆς γενεαλογίας αὐτῆς Ἐρατοσθένης. καὶ Φερεκύδης. καὶ Ἀπολλόδωρος. καὶ Ἄρειος ὁ παρσεύς. μαθητὴς δὲ γέγονεν Ἡρακλείδου τοῦ Ἰδίου παιδός. ἐστι δὲ Ἡροδίκου. καὶ παιδὸς τινὸς καὶ Γοργίου τοῦ λεοντίνου ῥήτορος. Φιλισίωνος δὲ Δημοκρίτου Ἀβδηρίτου. καὶ τὰ δὲ τῶν πελοποννησιακῶν ἡμᾶς χρόνους. γενηθεὶς ὡς φησιν Ἰσόμαχος ἐν τῷ πρώτῳ τῶν εἰς τὴν Ἱ. ὑποκράτους αἵρεσιν. καὶ τὰ πρῶτον ἔτος τῆς ὀγδοηκοστῆς ὀλυμπιάδος ὡς δὲ Σωρανὸς ὁ Κῷος βδομηκοστὸν τὸ δὲ Κῷ γραμματοφυλακείας προστιθεὶς μονωρχοῦντος Ἀθηναίοις. Ἀπολλοδώρου ἔκτῳ καὶ εἰκοστῷ πρὸ ὀλίγου ἐλθεῖν. ἐν αὐτῇ μέχρι νῦν Ἱ. ὑποκράτει φησὶ τοὺς Κῴους. σωσασηνεὺς δὲ ἐν τῇ Ἰατρικῇ καὶ τοῖς ἐγκυκλίοις μαθήμασι τὴν γένεσιν αὐτοῦ τελευτῶντων, μετέσης τῆς ἑβδομηκοστῆς τετάρτης. ὡς μὲν ἡ κοινὴ δόξα Ἀνοξικράτους φησὶν ἐν τῷ πρώτῳ τῆς Ἰατρικῆς γραμματοφυλακείας. ἄλλοι δὲ φασὶν ὅτι πρὸ ὀλίγου τοῦ καὶ τὸ τόπους τὰ ἀρτιτελούμενα διακαθαίρειν καὶ συμμυαθῆναι ποικιλώτερον. ὡς δὲ Σωρανὸς ὁ Κῷος ἱστορεῖ ὄνειρος αὐτῷ παρῆσεν κελεύων πρὸ Θεσσαλῶν γῆν ποιεῖν. πρὸ δὲ σύμπαντων ἐλλάδος θεραπεύων ἐθαυμάσθη. ὥστε καὶ ὑπὸ Περδίκκου τοῦ μακεδόνων βασιλέως φοίνικος νομισθέντος πρὸ βασιλικὰ δημόσια πρὸς αὐτὸν ἐλθεῖν μετ' εὐρυφῶντος. ὃς καθ' ἡλικίαν πρεσβύτερος ὢν αὐτοῦ. καὶ σημειώσασθαι. ψυχῆς εἶναι τὸ πάθος ἡρακλῆ μιᾷ ἡμέρᾳ τῷ παιδὸς Ἀλεξάνδρου θανάτου φίλαο τῆς Γαλλακίδος αὐτῷ, πρὸς ὃν διαλεγόμενος ἐπειτα παρεφύλαξεν ταύτης βλεπομένης παντελῶς ἐκείνου. λύσει μὲν, πρὸ νόσου. ἀναιρεθήσεται δὲ, ὑπὸ βασιλέως παρεκλήθη δὲ ὑπὸ τῶν ἀβδηριτῶν, πρὸς αὐτοὺς ἀπελθεῖν. καὶ δημόκριτον μὲν, ὡς ὑμαῖα θεραπεῦσαι. ῥύσασθαι δὲ λοιμοῦ πρὸ πόλιν ὅλων. ἀλλὰ καὶ εἰς πρὸ ἰλλυριῶν ἡ παιονίων βαρβάρων γῆν λοιμοῦ καταστάντος, καὶ θεμιλίων τῶν ἐκεῖ βασιλέων πρὸς αὐτὸν ἐλθεῖν παρὰ τῶν πρέσβεων, τίνα δὴ ἐκεῖ τὰ πολλὰ τῶν πνευμάτων μαθὼν, ἐκείνοις μὲν ἀπράκτους ἀπέπεμψε. συλλογισάμενος δὲ πρὸ νόσον ἐλθεῖν πρὸ ἀπτικὴν ἥξειν. προεῖπεν ὁ γενησόμενον. καὶ τὴν πόλεως καὶ τὴν μαθητῶν ἐπεμελήθη. τοσοῦτον δὲ φιλέλλην ὑπῆρξεν, ὥστε τῆς δόξης αὐτὸς μέχρι πρώτου διαπύου γενομένης καὶ δῆλος ἦν παρὰ Ἀθηναίοις δῆλος Ἰσάνδρου τὸ Ἑλληνοπόντιον ὑπάρχον ἐλθὼν μεγάλως σῶσε ἀπὸ θεμιλίου πρὸς αὐτὸν ἐλθεῖν, δῆλος ὁ σεμνὸν καὶ φιλοπάτριον καὶ φιλοίκειον αἰρήσασθαι. ὡς ἡ πόλις δῆλος τῆς πρὸς αὐτὸν ἐπιστολῆς δηλοῦσι. ἐρρύσατο δὲ πρὸ ἑαυτῆς παιτείδα, πολεμεῖσθαι μέλλουσαν ὑπὸ ἀθηναίων. Θεσσαλῶν δεηθεὶς ἐπιβοηθῆσαι. διὸ ἡ λαμπρῶν ἔτυχε τιμῶν παρὰ κώοις. ἀλλὰ καὶ θεσσαλοῖς καὶ ἀργείοις καὶ ἀθηναίοις, οἵ τινες καὶ δι' αὐτὸν αὐτὸν ἀφ' Ἡρακλέους δημοσίᾳ τοῖς ἐλευσινίοις ἐμύησεν, ἡ πολίτην ἐγράψαν καὶ πρὸ τὸ πρυτανεῖα σίτησιν ἔδοσαν εἰς ἐκγόνους. ἀφθόνως δὲ τοῦ ἐπιτηδείους ἐδίδασκε πρὸ τέχνῃ μᾶλλον τῶν προσηκόντων ὄρκου. πλάτα δὲ παρὰ λαρισαίοις, ὅτε καὶ Δημόκριτος φοιτᾶται τελευτήσας. καὶ οἱ μὲν, σὺν ἑπτακοντατέτων. οἱ δὲ πεφασὶν. ἄλλοι δὲ τινὲς ἐβδομηκοντατέτη, τέθαπται δὲ μεταξὺ γυρτώνος καὶ λαρίσσης. καὶ δείκνυται ἄχρι δεῦρο μνῆμα σὺν ᾧ μέχρι πολλοῦ σμυρνὸς ἐθυμιᾶτο μέλι. ἀφ' οὗ τὰ ἀφθόντα παιδάρια χρίουσα παρὰ τῷ τάφῳ. ῥᾳδίως ἀπηλλάττοντο αἱ τίτθαι. αἱ δὲ τοῖς πολλοῖς εἰωθόσι ἐσκεπασμένοις πρὸ κεφαλῇ αὐτὸν γράφεται. ὡς μὲν τινες λέγουσι, σὺν πίλῳ. παράσημον βυζαντίου, καθάπερ ὁ ὀλυμπιονίκης. ἄλλοι δὲ τῷ ἱματίῳ. καὶ τούτων οἱ μὲν δι' ὑπερπετείης. ἐπεὶ φαλακρὸς ἦν. οἱ δὲ δῆλα τὴν ἀθενεῖς τῆς κεφαλῆς. οἱ δὲ δι' ἔμφασιν τοῦ δεῖν τὸ ἡγεμονικοῦ χωρεῖν φρουρεῖν. οἱ δὲ, τὸ ὀλαποδύμου τεχνήεις. οἱ δὲ τῆς σὺν τῆς συγγράμμασιν ἀφέσεως. οἱ δὲ, πρὸς παράταξιν τοῦ δεῖν καὶ τὸ ὑγιαίνειν φυλάσσεσθαι τὰ βλάπτοντα. τινὲς δὲ ὅτι χειρίζων πρὸς τὴν χειρῶν ἀπαραπόδιστον, συμπαραλαμβάνων τὸ ἱματίου τοῦτο κεχυμένον ἐπιτίθει τῇ κεφαλῇ. τοῦτο δὲ τῶν συγγραμμῶν αὐτοῦ. πολλὴ γέγονε διαφωνία. ἄλλων ἄλλα δοξαζόντων. ὅθεν οὐκ ἄμαρτες ἂν τοῦτο αὐτῶν ἀποφήσαιτο. δῆλα δὲ πολλαχοῦ αὐτόθεν ἐπισκοπεῖν τῇ κείσει, πρῶτον μὲν ἐπωνυμίαν. δεύτερον δὲ σώζεσθαι ἐν χαρακτῆρα τῆς φράσεως τηρῆσαι. τρίτον δῆλα δὲ σὰ καὶ ἐν αὐτόν. ποτὲ μὲν ῥωμαλεώτερον. ἄλλοτε ἀσθενέστερον δῆλα πρὸ ἡλικίαν σύμφρασιν καὶ ἄλλα. δ' αὐτὰ δὲ ἔστιν εἰπεῖν. φιλαργυρος δὲ καὶ τὸ πλούσιος καὶ φιλέλλην ὑπῆρχεν ὅτι καὶ τοῦ ὁ μοιβεὺς ἐβράβευε συμπάσιν ὠνυδῆ, ὡς καὶ λοιμοῦ ὅλαο ῥύσασθαι πόλεις καθάπερ εἴρηται. ὅθεν καὶ λαμπρῶν ἔτυχε τιμῶν. οὐ παρὰ κώοις μόνον. ἀλλὰ καὶ ἀργείοις καὶ ἀθηναίοις. παῖδας δὲ καὶ τελπιθεανῶν υἱὸς. θεσσαλὸν καὶ σφάκοντα. καὶ μαθητὰς παμπληθεῖς. ἐπιφανεστάτους δὲ τοῦ ἑαυτῆ παῖδας, λέγεται χολάδαι.

Soranus
Heraclides
Phænarete
Eratoſthenes
Pherecydes
Apollodorus
Arius Tarſenſis
Herodicus
Gorgias Leõtin?
Democritus abderites
Hiſtomachus
Soranus Cous
Abriadas
Andreas
Soranus Cous
Perdicas
Eurypho
Artaxerxes
Hiſtanis

ἀφθόνως τοὺς ἑαυτοῦ φοίτους ἐδίδασκε τὴν τέχνην

Gyrto .V.
Larissa .V.

ἀφθόνως παιδάρια

Hippocrates cum tecto capite fingebatur.

Oportet in ſimilitudine imitare noxia

Diuerſi ſcribendi characteres in uno & eodem auctore in diuerſis ætatibus.

11 τοῖς ... ſf. συγγράμμασιν

Capite tecto pingebatur Hippocrates ad ſignificandam obſcuritatẽ ſcriptorũ eius

μνυμι Ἀπόλλωνα ἰητρὸν. καὶ Ἀσκληπιὸν. καὶ Ὑγείαν. καὶ Πανάκειαν. καὶ
θεοὺς πάντας καὶ πάσας, ἱστορα ποιεύμενος, ἐπιτελέα ποιήσειν κατὰ δύ-
ναμιν καὶ κρίσιν ἐμὴν, ὅρκον τόνδε καὶ ξυγγραφὴν τήνδε. ἡγήσασθαι δὲ ἶσον
δι δέξαντά με πρὸ τέκνων τοῦτον, καὶ σφι γενέτῃσιν ἐμοῖσιν, καὶ βίου κοινώ-
σασθαι. καὶ χρεῶν χρηίζοντι μετάδοσιν ποιήσασθαι. καὶ γένος τὸ ἐξ ἑωυτοῦ,
ἀδελφοῖσι ἴσον ἐπικρινέειν ἄῤῥεσι. καὶ διδάξειν πρὸ τέκνων τοῦτον, ἢν χρηί-
ζωσι μανθάνειν, ἀνευ μισθοῦ καὶ ξυγγραφῆς. παραγγελίης τε καὶ ἀκροήσιος,
καὶ τῆς λοιπῆς ἁπάσης μαθήσιος, μετάδοσιν ποιήσασθαι ἐμοῖσί τε ἐμοῖσι, καὶ τοῖσι τοῦ ἐμὲ διδά-
ξαντος. καὶ μαθηταῖσι συγγεγραμμένοισί τε, καὶ ὡρκισμένοισι νόμῳ ἰητρικῷ. ἄλλῳ δὲ οὐδενί. δίαιτή-
μασί τε χρήσομαι, ἐπ' ὠφελείῃ καμνόντων κατὰ δύναμιν καὶ κρίσιν ἐμὴν. ἐπὶ δηλήσει δὲ καὶ ἀδι-
κίῃ εἴρξειν. οὐ δώσω δὲ οὐδὲ φάρμακον οὐδενὶ αἰτηθεὶς, θανάσιμον. οὐδὲ ὑφηγήσομαι ξυμβουλίην τοι-
ήνδε. ὁμοίως δὲ οὐδὲ γυναικὶ πεσσὸν φθόριον δώσω. ἁγνῶς δὲ καὶ ὁσίως διατηρήσω βίον τὸν ἐμὸν, καὶ
τέχνην τὴν ἐμήν. οὐ τεμέω δὲ οὐδὲ μὴν λιθιῶντας. ἐκχωρήσω δὲ ῥηγάτῃσιν ἀνδράσι πρηξίος
τῆσδε. εἰς οἰκίας δὲ ὁκόσας ἂν ἴω, ἐσελεύσομαι ἐπ' ὠφελείῃ καμνόντων, ἐκτὸς ἐὼν
πάσης ἀδικίης ἑκουσίης, καὶ φθορίης, τῆς τε ἄλλης καὶ ἀφροδισίων ἔργων. ἐπί
τε γυναικείων σωμάτων καὶ ἀνδρώων, ἐλευθέρων τε καὶ δούλων. ἃ δ' ἂν
ἐν θεραπείῃ ἢ ἴδω, ἢ ἀκούσω, ἢ καὶ ἄνευ θεραπείης κατὰ βίον ἀνθρώ
πων, ἃ μὴ χρὴ ποτὲ ἐκλαλέεσθαι ἔξω, σιγήσομαι. ἄῤῥητα
ἡγεύμενος εἶναι τὰ τοιαῦτα. Ὅρκον μὲν οὖν μοι τόν
δε ἐπιτελέα ποιέοντι, καὶ μὴ ξυγχέοντι, εἴη ἐ-
ὐαυρέσθαι καὶ βίου καὶ τέχνης, δοξάζο
μένῳ παρὰ πᾶσιν ἀνθρώποις, εἰς τὸ
αἰεὶ χρόνον. παραβαίνοντι δὲ
καὶ ἐπιορκοῦντι, τἀν-
αντία τουτέων.

* *
*

Ἰσί τινες, οἱ τέχνην πεποίηνται, ἡ τοὺς τέχνασιν ἀνθρωποιεῖν. ὡς μὲν οὖν
τινες οὐ τοῦτο διαπρησόμενοι, οὔ ἐρῶ λέγω, ἀλλ' ἱστορίης οἰκείης ἐπίδειξιν
ποιεύμενοι. ἐμοὶ δὲ ἡ μὲν τῶν μὴ εὑρημένων εὕρεσις εὑρεθὲν, πρέσσον ἢ ἀνεύρετον, ξυμφέρειν δοκέει ἐπιθυμητά τε καὶ ὄργιον εἶναι·
καὶ τὰ μὴ ὄργια ἐς τέλος ἐξεργάζεσθαι ὡσαύτως. ἡ δὲ λόπων οὐκαλῶν
τέχνη τὰ τοῖς ἄλλοις εὑρημένα ἀεὶ χωλεύειν προσθυμέεσθαι, ἐπαινεθείω τε
μᾶλλον, μηδὲν διαβάλλοντα δὲ, τὰ τῶν εἰδότων πρὸς τὸν μὴ εἰδότας ἐξευρή
ματα, οὐκέτι δοκέει σωφρόσυνος ἐπιθυμητά τε καὶ ὄργιον εἶναι. ἀλλὰ κατα-
γελᾶν μᾶλλον φύσεως, ἢ ἀτεχνίη. μοιρίοισι γὰρ τοῖσιν ἀτέχνοισιν, ἢ ὀργασίη
αὐτῇ αἰρήσει. Ὁκοτεμαμένων μὲν, οὐδεμία δέ δυναμένων κακίης ὑπουρ
γέειν, εἰς ἡ τὰ τῆ πέλας ὀργανα, ἢ ἐρεθάγοντα διαβάλλειν, ἢ οὐκ ὀρθὰ γραμμέεσθαι. τῶν μὲν δὴ εἰς τοὺς
ἄλλας τέχνας τούτῳ δώσω ἐμπίπτοντας, οἷσι μέλλει, ἢ σοὶ μέλλει, οἱ δυναμένοι κωλύειν. ὁ δὲ παρεὼν λόγος, τοῖς ἐς ἰητρικὴν οὐ πεπρωμένοις, ἀναπτώσσειν μὲν, ὀφθαλμοῦσθαι δὲ τοὺς ὧδε λέγει. οὐ παρέων δὲ, ὀφθαλμῶν ἢ βοηθέειν δυναμένους δὲ, ὀφθαλμοῦσθαι. δοκέει δέ μοι ἡ μὲν σύμπασα, τέχνη εἶναι οὐδεμία οὐκ εὖσα. νῦν γὰρ ἅλογον τὸ ἐόντων τὸ ἡγεῖσθαι μὴ
ἐόν. ἐπὶ τῶν γε μὴ ἐόντων, τίνα αὐτὶς οὐσίαν θεσσάμενος, ἅπαν πειθανὸν ὡς ἔστιν. εἰ γὰρ δὴ ἔστιν ἰδεῖν
τὸ μὴ ἐόντα, ὡς πρὸ τὸ ἐόντα, οὐκ οἶδ' ὅπως αὐτὶς αὐτὸ νοήσεις μὴ ἐόντα. ὡς πρὸ τὸ ἐόντα, ἀγα-
θὴ καὶ ὀφθαλμοῖσιν ἰδεῖν, καὶ γνώμῃ νοῆσαι ὡς ὄφις, ἀλλ' ὅπως μὴ οὐκ εἰη τοῦτο τοιοῦτον. ἀλλὰ τὸ
μὲν ἐόντα, αἰεὶ ἐρέτται καὶ γινώσκεται. τὰ δὲ μὴ ἐόντα, οὔτε ἐρέτται, οὔτε γινώσκεται. γινώσκε-
ται τοίνυν, δι' ἐλεγμῶν ὧδε τῆ τεχνέων, καὶ οὐδεμία ὄφις ἡγεμὼν ἐκτὸς εἰδέος οὐχ ἑρέτται. οἶμαι
δ' ἔπειγε καὶ τὸ ὄνομα τὸ αὐτῆς, ὀφὶ τὰ εἴδεα λαβεῖν. ἅλογον γὰρ ἀπὸ τῶν ὀνομάτων τὰ εἴδεα ἡγεῖ-
σθαι. Ἐλατήρια καὶ ἀδικήματον. τὰ μὲν γὰρ ὀνόματα, φύσιος νομοθετήματά ὄφι. τὰ δὲ εἴδεα, οὐ νομο
θετήματα, ἀλλὰ βλαστήματα. ὧδε μὲν οὖν τούτων εἴηε τις μὴ ἱκανῶς ἐκ τῶν ἐμπροσθεν ξυνίησιν,
ἐν ἄλλοις ἀνλόγοις σαφέστερον διδαχείη. ἐπεὶ δὲ ἰητρικῆς, ἐς ταύτην γὰρ ὁ λόγος, ταύτης οὖν
πρὸ ἀποδείξιν ποιήσεται. καὶ πρῶτον γε δὴ δεῖ εὖ μαι, ὃ νομίζω, ἰητρικὴν εἶναι, ἡ δὴ παύσασα ἀ-
πολλάσσειν τῶν νοσεόντων τὸν καμάτους. καὶ τῶν νοσημάτων τοὺς σφοδρότητας ἀμβλύνειν. καὶ
ἡ μὴ ἐγχειρέειν τοῖσι κεκρατημένοισιν ὑπὸ τῶν νοσημάτων. εἰδότας, ὅτι ταῦτα οὐ δυνάτου ἰητρι
κή. ὡς οὖν ποιέει τὸ τοῦτο, καὶ οἵη τέ ὄφι ἡ παντὸς ποιέειν, ὧδε τούτου μοι δὴ, ὁ λοιπὸς ἔστω λό
γος. ἡ δὲ τῆς τέχνης ἀποδείξει, ἅμα καὶ τοὺς λόγους τῶν ἀρχαίειν αὐτῶν οἰομένων ἀναιρήσειν, ἢ
αὖ ἐκείνους αὐτῶν πρήσσειν τι οἰόμενος τυγχάνειν. ἔστιν οὖν μοι ἀρχὴ τοῦ λόγου, ἢ ἡ ὁμολογηθῆσεται
παρὰ πᾶσι πάντων. ὅτι μὲν οἵοι ὀργιάζονται τῶν θεραπευομένων κατὰ ἰητρικὴν, ὁμολογέεται. ὅτι
δὲ οὐ πάντες, ἀν τούτῳ ἤδη λέγεται ἡ τέχνη. καὶ φασὶν οἱ τὰ χέρω λέγοντες, ὀφθαλμοῦσθαι ὑπὸ τῶν ἀλισκομένων
κατὰ τῶν νοσημάτων, καὶ οὐκ ἀποφθύγγοντας αὐτὰ, τύχη ἀποφθύγειν, καὶ οὐ διὰ τὴν τέχνην. ἐγὼ
δὲ οὐκ ἀποστρέω μὲν οὐδ' αὐτὸς τὴν τύχην, ὀργάνου οὐδενός. ἡγεῦμαι δὲ, τοῖσι μὲν κακῶς θεραπευομέ-
νοισι νοσήμασι, τὰ πολλὰ τὴν τύχην ἀντιτάσσεσθαι. τοῖσι δὲ εὖ, τὴν εὖ τι χίλω. ἔπειτα δὲ καὶ πῶς οἷόν
τε ὄφι τοῖς ὑγιαθεῖσιν ἄλλο τι ἀντιτάσσεσθαι ἢ τὴν τέχνην, εἰπὸ χρώμενοι αὐτοὶ μὴ ὑπουργέοντες,
ὑγιάνθησαν. ἡ μὲν γὰρ τῆς τύχης εἰδὸς ἄλογον, οὐκ ἂν βουλήθησαν θεήσασθαι, οὐ ᾧ τῇ τέχνῃ ἐπίστε-
υσαν σφᾶς αὐτούς. ὥστε τῆς μὲν ἐς τὴν τύχην ἀναφορῆς, ἀπηλλαγμένοι εἰσί. τῆς μέν τοι ἐς τὴν τέ
χνην, οὐκ ἀπηλλαγμένοι. οὐ ᾧ γὰρ ἐπίστευσαν καὶ ἐπίστευσαν αὐτῇ σφᾶς αὐτοὺς, οὐ τούτῳ αὐτῆς
καὶ ἡ εἰδὸς ἐσκέψαντο, μὴ τὴν δυνάμιν πρὸς ἄνθρωπος τὸ ὄργανον ἐγνωσαν. ὁρέει δὲ ἐν ταύθα ὁ πάνυ τ
λέγων, ὅτι πολλοὶ ἤδη καὶ οὐ χρησάμενοι ἰητρῷ νοσέοντες ὑγιάνθησαν. καὶ ἐτῷ τῷ λόγῳ οὐκ ἀπι
στέω. δοκεῖ δέ μοι εἶναι καὶ ἰητρῷ μὴ χρωμένους ἰητρικὴ πεπτυχέναι. οὐμὲν ὥστ' εἰδέναι ὅτι ὀρ
θὸν ἂν αὐτῇ εἴη, καὶ ὅτι μὴ ὀρθόν. ἄλλως τε ἐπιτύχοιεν τοιαῦτα θεραπεύσαντες ἑωυτοὺς ὁποῖά
τε ἂν ἐθεραπεύθησαν, εἰ καὶ ἰητροῖσιν ἐχρῶντο. καὶ τοῦτό γε τέως τεκμήριον μέγα τῇ οὐσίη τῆς τέ
χνης, ὅτι ἐοῦσα τὸ ὄφι καὶ μεγάλη. ὅπου γε φαίνονται καὶ οἱ μὴ νομίζοντες αὐτὴν εἶναι, σωζόμενοι
δι' αὐτήν. πολλὴ γὰρ ἀνάγκη καὶ τοὺς μὴ χρωμένους ἰητροῖσιν, νοσήσαντας δὲ καὶ ὑγιασθέντας, εἰδέ-
ναι ὅτι ἢ ὀρῶντές τι, ἢ μὴ ὀρῶντες, ὑγιάνθησαν. ἢ ᾗ ἀσιτίη, ἢ πολυφαγίη, ἢ ποτῷ ταλεσίῃ, ἢ δίψῃ,
ἢ λουτροῖσιν, ἢ ἀλουσίῃ, ἢ πόνοισιν, ἢ ἡσυχίῃ, ἢ ὕπνοισιν, ἢ ἀγρυπνίῃ, ἢ τῇ ἀπὸ τῶν τούτων ταραχῇ
χρεώμενοι, ὑγιάνθησαν. καὶ τῷ ὠφελεῖσθαι πολλὴ ἀνάγκη αὐτοὺς ὅτιν ἐγνωκέναι, ὅ, τι ἑῷ ἐ ὠφε-
λήσαν. καὶ ἐπὶ τ' ἐβλάβησαν καὶ ἐβλαβῆναι. καὶ ὁ, τι ἑῷ ἐ ἔβλαψαν. τὰ γὰρ τῷ ὠφελεῖσθαι
καὶ τὰ τῷ βεβλάφθαι ὡρισμένα, οὐ πάσι γνώναι. εἰ τοίνυν ἐπίστασθαι, ἢ ἐπιεικέειν, ἢ λέ
γειν ὁ νοσήσας τ' διαιτημάτων τι οἱωσιν ὑγιαθῆ, πάντα ταῦτα τῆς ἰητρικῆς ἐόντα εὑρήσει. καὶ ἔστιν

ἐν ᾧ. quando

Medicinæ diffo.

No omnes curat medicina

Beneficio fortunæ nó artis euadere ægrotos ducebant qdam

Multi sine medicis curati sunt

μὴ ὅτι non solum

Quid sit Τέχνη & qd ἀτεχνία

Τὸ αὐτόματον nihil esse

Calumnia Nota

οὐδὲν ἧσσον τὰ ἁμαρτηθέντα τῶν ὠφελησάντων μαρτύρια τῇ τέχνῃ, εἰς τὸ εἶναι. τὰ μὲν γὰρ ὠφελήσαντα, τῷ ὀρθῶς προσενεχθῆναι ὠφέλησαν. τὰ δὲ βλάψαντα, τῷ μηκέτι ὀρθῶς προσενεχθῆναι, ἔβλαψαν. καίτοι ὅπου τὸ ὀρθὸν, καὶ τὸ μὴ ὀρθὸν, ὅρον ἔχει ἑκάτερον, πῶς τοῦτο οὐκ ἂν τέχνη εἴη; τοῦτο γὰρ ἔγωγέ φημι ἀτεχνίην εἶναι, ὅπου μήτε ὀρθὸν εἴη μηδὲν, μήτε οὐκ ὀρθόν. ὅπου δὲ τούτων ἔνεστιν ἑκάτερον, πῶς τοῦτο οὐκ ἂν τέχνης ἔργον, ἀλλ' ἀτεχνίης εἴη; ἔτι τοίνυν εἰ μὲν ἀπὸ φαρμάκων τῶν τε καθαιρόντων καὶ τῶν ἱστάντων ἡ ἴησις, τῇ τε ἰητρικῇ καὶ τοῖς ἰητροῖσι μοῦνον ἐγένετο, ἀσθενὴς ἦν ἂν ὁ ἐμὸς λόγος. νῦν δὲ δὴ φαίνονται τῶν ἰητρῶν οἱ μάλιστα ἐπαινεόμενοι, καὶ διαιτήμασιν ἰώμενοι, καὶ ἄλλοισί τε εἴδεσιν, ἃ οὐκ ἄν τις φαίη, μὴ ὅτι ἰητρὸς, ἀλλ' οὐδὲ ἰδιώτης ἀνεπιστήμων ἀκούσας, μὴ οὐ τῆς τέχνης εἶναι. ὅπου οὖν οὐδὲν οὔτε ἐν τοῖς ἀγαθοῖσι τῶν ἰητρῶν, οὔτε ἐν τῇ ἰητρικῇ αὐτῇ ἀχρεῖόν ἐστιν. ἀλλ' ἐν τοῖς πλείστοισι τῶν τε φυομένων καὶ τῶν ποιευμένων, ἔνεστι τὰ εἴδεα τῶν θεραπειῶν καὶ τῶν φαρμάκων, οὐκ ἔστιν ἔτι οὐδενὶ τῶν ἄνευ ἰητροῦ ὑγιαζομένων, τὸ αὐτόματον αἰτιάσασθαι ὀρθῷ λόγῳ. τὸ μὲν γὰρ αὐτόματον, οὐδὲν φαίνεται ἐὸν ἐλεγχόμενον. πᾶν γὰρ τὸ γινόμενον, διά τι ἂν εὑρίσκοιτο γινόμενον, καὶ ἐν τῷ διά τι. τὸ δὲ αὐτόματον, οὐ φαίνεται οὐσίην ἔχον οὐδεμίην, ἀλλ' ἢ οὔνομα μοῦνον. ἡ δὲ ἰητρικὴ, καὶ ἐν τοῖς διά τι προνοουμένοισι φαίνεταί τε καὶ φανεῖται ἔτι οὐσίην ἔχουσα. τοῖσι μὲν οὖν τῇ τύχῃ τὴν ὑγιείην προστιθεῖσι, τῆς δὲ τέχνης ἀφαιρέουσι, τοιαῦτ' ἄν τις λέγοι. τοὺς δ' ἐν τῇσι τῶν ἀποθνησκόντων συμφορῇσι τὴν τέχνην ἀφανίζοντας θαυμάζω ὅτῳ ἐπαιρεόμενοι ἀξιοχρέῳ λόγῳ, τὴν μὲν τῶν ἀποθνησκόντων ἀκρασίην, οὐκ αἰτίην καθιστᾶσι, τὴν δὲ τῶν τὴν ἰητρικὴν μελετησάντων σύνεσιν, αἰτίην. ὡς τοῖσι μὲν ἰητροῖσιν ἔνεστι, τὰ μὴ δέοντα ἐπιτάξαι. τοῖσι δὲ νοσέουσιν, οὐκ ἔστι τὰ προσταχθέντα παραβῆναι. καὶ μὴν πολύ γε εὐλογώτερον τοῖσι κάμνουσιν ἀδυνατέειν τὰ προστασσόμενα ὑπουργέειν, ἢ τοῖσιν ἰητροῖσι τὰ μὴ δέοντα ἐπιτάσσειν. οἱ μὲν γὰρ ὑγιαινούσῃ γνώμῃ, μεθ' ὑγιαίνοντος σώματος ἐγχειρέουσι, λογισάμενοι τά τε παρεόντα, τῶν τε παροιχομένων, τὰ ὁμοίως διατιθέντα, τοῖσι παρεοῦσιν. ὥστε ποτὲ θεραπευθέντα εἰπεῖν, ὅτι ἀπήλλαξαν. οἱ δὲ οὔτε ἃ κάμνουσιν, οὔτε δι' ἃ κάμνουσιν, οὐδ' ὅ, τι ἐκ τῶν παρεόντων ἔσται, οὐδ' ὅ, τι οὖν ἐκ τῶν τουτοισιν ὁμοίων γίνεται, εἰδότες ἐπιτάσσονται. ἀλγέοντες μὲν τῷ παρεόντι. φοβεύμενοι δὲ τὸ μέλλον. καὶ πλήρεις μὲν τῆς νόσου. κενοὶ δὲ, σιτίων. ἐθέλοντες τὰ πρὸς τὴν νοῦσον ἡδέα μᾶλλον, ἢ τὰ πρὸς ὑγιείην προσδέχεσθαι. οὐκ ἀποθανεῖν ἐρῶντες, ἀλλὰ καρτερέειν ἀδυνατέοντες. οὕτω δὲ διακειμένους, πότερον εἰκὸς, τούτους τὰ ἀπὸ τῶν ἰητρῶν ἐπιτασσόμενα ποιέειν, ἢ ἄλλα ποιέειν, ἃ οὐκ ἐπετάχθησαν. ἢ τοὺς ἰητροὺς ἐκείνως διακειμένους, ὡς ὁ πρόσθεν λόγος ἡρμήνευσεν, ἐπιτάσσειν τὰ μὴ δέοντα. ἆρ' οὐ πολὺ μᾶλλον, τοὺς μὲν, δεόντως ἐπιτάσσειν. τοὺς δὲ, εἰκότως ἀδυνατέειν πείθεσθαι; μὴ πειθομένους δὲ περιπίπτειν τοῖσι θανάτοισιν, ὧν οἱ μὴ ὀρθῶς λογιζόμενοι, τὰς αἰτίας τοῖς οὐδὲν αἰτίοις ἀνατιθέασι, τοὺς αἰτίους ἐλευθεροῦντες. εἰσὶ δέ τινες, οἳ καὶ διὰ τοὺς μὴ ἐθέλοντας ἐγχειρέειν τοῖσι κεκρατημένοισιν ὑπὸ τῶν νουσημάτων, μέμφονται τὴν ἰητρικήν. λέγοντες, ὡς ταῦτα μὲν καὶ αὐτὰ ὑφ' αὑτῶν ἂν ἐξυγιάζοιτο, ἃ ἐγχειρέουσιν ἰᾶσθαι. ἃ δ' ἐπικουρίης δεῖται, οὐχ ἅπτονται. δεῖν δὲ, εἴπερ ἦν ἡ τέχνη, πάνθ' ὁμοίως ἰᾶσθαι. οἱ μὲν οὖν ταῦτα λέγοντες, εἰ ἐμέμφοντο τοῖς ἰητροῖς, ὅτι αὐτέων τοιαῦτα λεγόντων, οὐκ ἐπιμελέονται ὡς παραφρονεόντων, εἰκότως ἂν ἐμέμφοντο μᾶλλον, ἢ ἐκεῖνα μεμφόμενοι. εἰ γάρ τις τέχνην, ἐς ἃ μὴ τέχνη, ἢ φύσιν, ἐς ἃ μὴ πέφυκεν, ἀξιώσειε δύνασθαι, ἀγνοεῖ μανίην ἁρμόζουσαν ἀγνοίῃ μᾶλλον, ἢ ἀμαθίῃ. ὧν γάρ ἐστιν ἡμῖν, τοῖσί τε τῶν φυσίων, τοῖσί τε τῶν τεχνέων ὀργάνοις ἐπικρατέειν, τουτέων ἐστὶν ἡμῖν δημιουργοῖς εἶναι. ἄλλων δὲ οὐκ ἔστιν. ὅταν οὖν τι πάθοι ἄνθρωπος κακὸν, ὃ κρέσσον ἐστὶ τῶν ἐν τῇ ἰητρικῇ ὀργάνων, οὐδὲ προσδοκᾶσθαι δεῖ ὑπὸ ἰητρικῆς κρατηθῆναι ἄν. αὐτίκα γὰρ τῶν ἐν ἰητρικῇ καιόντων, πῦρ ἐσχάτως καίει. τούτου δὲ ἧσσον, καὶ ἄλλα πολλά. τῶν μὲν οὖν ἡσσόνων, τὰ κρέσσω οὔπω δῆλον ὅτι ἀνίητα. τῶν δὲ κρατίστων, τὰ κρέσσω πῶς οὐ δῆλον ὅτι ἀνίητα; ἃ γὰρ πῦρ οὐ δημιουργέει, πῶς οὐ τὰ τούτῳ μὴ ἁλισκόμενα δηλοῖ, ὅτι ἄλλης δεῖται τέχνης, καὶ οὐ ταύτης, ἧς ἐν τὸ πῦρ ὄργανον; ωὑτὸς δέ μοι λόγος καὶ ὑπὲρ τῶν ἄλλων, ὅσα τῇ ἰητρικῇ ξυνεργέει, ὧν ἁπάντων φημὶ δεῖν ἑκάστου κατατυχόντα τὸν ἰητρὸν, τὴν δύναμιν αἰτιᾶσθαι τοῦ πάθεος, μὴ τὴν τέχνην. οἱ μὲν οὖν μεμφόμενοι τοῖσι τοῖς κεκρατημένοισι μὴ ἐγχειρέουσι, παρακελεύονται καὶ ὧν μὴ προσήκει ἅπτεσθαι οὐδὲν ἧσσον, ἢ ὧν προσήκει. παρακελευόμενοι δὲ ταῦτα, ὑπὸ μὲν τῶν τῷ ὀνόματι ἰητρῶν, θαυμάζονται. ὑπὸ δὲ τῶν καὶ τέχνῃ, καταγελῶνται. οὐ μὴν οὕτως ἄφρονες οἱ ταύτης τῆς δημιουργίης ἔμπειροι, οὔτε μωμητῶν, οὔτ' αἰνετῶν δέονται. ἀλλὰ λελογισμένων, πρὸς ὅ, τι αἱ ἐργασίαι τῶν δημιουργῶν τελευτώμεναι, πλήρεις εἰσί. καὶ ὅτευ ὑπολειπόμεναι ἐνδεεῖς. ἔτι τε τῶν ἐνδειῶν, ἅς τε τοῖς δημιουργοῦσιν ἀναθετέον. ἅς τε τοῖσι δημιουργουμένοισι. τὰ μὲν οὖν κατὰ τὰς ἄλλας τέχνας, ἄλλος χρόνος μετ' ἄλλου λόγου δείξει. τὰ δὲ κατὰ τὴν ἰητρικὴν, οἷά τέ ἐστιν, ὥς τε κριτέα. τὰ μὲν, ὁ παροιχόμενος. τὰ δὲ, ὁ παρὼν διδάξει λόγος. ἔστι γὰρ τοῖσι ταύτην τὴν τέχνην ἱκανῶς εἰδόσι, τὰ μὲν τῶν νοσημάτων, οὐκ ἐν δυσόπτῳ κείμενα, καὶ οὐ πολλά. τὰ δ' οὐκ ἐν εὐδήλῳ, καὶ πολλά ἐστι. τὰ δ' ἐξανθεῦντα εἰς τὴν χροιὴν, ἢ οἰδήμασιν ἐν εὐδήλῳ. παρέχει γὰρ ἑωυτῶν τῇ τε ὄψει, τῷ τε ψαῦσαι, τῆς στερεότητος, καὶ τῆς

ὑγρότητος

ll. ἴσ. ὀμμάτων

ἤν τε τοῦτο
ἤν τε ἐκεῖνο

ἴσ. ὃ
ἴσ. ἀπαγγέλλειν

Musculi diffinitio ἀσύμφυτον

ὕπαφρον · subspumosum · spongiosum

θαλάμη · cella & foramen

προσοπτέον

ἐλλινύειν

δανοτίη

ὑγρότητος αἰσθάνεσθαι. καὶ ἅ τε αὐτῶν θερμὰ, ἅ τε ψυχρά. ὧν τε ἑκάστου, ἢ παρουσίῃ, ἢ ἀπουσίῃ, τοιαῦτά ἐστι. τῶν μὲν τοιούτων πάντων ἐν ἅπασι τὰς ἀκέσιας, ἀναμαρτήτους δεῖ εἶναι. οὐχ ὡς ῥηϊδίας. ἀλλ' ὅτι ἐξεύρηνται. ἐξεύρηνταί γε μὴν οὐ τοῖσι βουληθεῖσιν, ἀλλὰ τούτων τοῖσι δυνηθεῖσι. δύνανται δὲ, οἷσι τά τε τῆς παιδείης μὴ ἐκποδὼν, τά τε τῆς φύσιος μὴ ταλαίπωρα. πρὸς μὲν οὖν τὰ φανερὰ τῶν νοσημάτων, οὕτω δεῖ εὐπορέειν τὴν τέχνην. δεῖ γε μὴν αὐτὴν, μηδὲ πρὸς τὰ ἧσσον φανερὰ ἀπορέειν. ἔστι δὲ ταῦτα, ἃ πρός τε τὰ ὀστέα τέτραπται καὶ τὴν νηδύν. ἔχει δὲ τὸ σῶμα, οὐ μίαν, ἀλλὰ πλείους. δύο μὲν γὰρ αἱ τὸν σῖτον δεχόμεναί τε καὶ ἀφιεῖσαι. ἄλλαι δὲ τουτέων πλείους. ἃς ἴσασιν, οἷσι τουτέων ἐμέλησεν. ὅσα γὰρ τῶν μελέων ἔχει σάρκα περιφερέα, ἣν μῦν καλέουσι, πάντα νηδὺν ἔχει. πᾶν γὰρ τὸ ἀσύμφυτον, ἤν τε δέρματι, ἤν τε σαρκὶ καλύπτηται, κοῖλόν ἐστι. πληροῦται ὑγιαῖνον μὲν, πνεύματος. ἀσθενῆσαν δὲ, ἰχῶρος. ἔχουσι μὲν τοίνυν οἱ βραχίονες, σάρκα τοιαύτην. ἔχουσι δ' οἱ μηροί. ἔχουσι δ' αἱ κνῆμαι. ἔτι δὲ καὶ ἐν τοῖς ἀσάρκοισι, τοιαύτη ἔνεστιν, οἵη καὶ ἐν τοῖσιν εὐσάρκοισιν εἶναι δέδεικται. ὅ, τε γὰρ θώρηξ καλεόμενος, ἐν ᾧ τὸ ἧπαρ στεγάζεται, ὅ, τε τῆς κεφαλῆς κύκλος, ἐν ᾧ ὁ ἐγκέφαλος, τό, τε νῶτον, πρὸς ὃ ὁ πνεύμων, τούτων οὐδὲν ἐστὶν ὃ οὐ καὶ αὐτὸ κενόν ἐστι, πολλῶν διαφύσιων μεστὸν ἐὸν, οἷσιν οὐδὲν ἀπέχει πολλῶν ἀγγεῖα εἶναι. τῶν μέντοι βλαπτόντων, τὸν κεκτημένον. τῶν δὲ, καὶ ὠφελούντων. ἔτι δὲ πρὸς τούτοισι, καὶ φλέβες πολλαὶ, καὶ νεῦρα, οὐκ ἐν τῇ σαρκὶ μετέωρα, ἀλλὰ πρὸς τοῖς ὀστέοισι προστεταμένα, σύνδεσμος ἐστὶ τῶν ἄρθρων. καὶ αὐτὰ τὰ ἄρθρα, ἐν οἷσιν αἱ συμβολαὶ τῶν κινεομένων ὀστέων ἐγκυκλέονται. καὶ τούτων οὐδὲν, ὅ, τι οὐχ ὕπαφρόν ἐστι, καὶ ἔχον περὶ αὐτὸ θαλάμας, ἃς καταγγέλλει ἰχὼρ, ὃς ἐκ διοιγομένων αὐτέων, πολύς τε καὶ πολλοὺς λυπήσας ἐξέρχεται. οὐ γὰρ δὴ ὀφθαλμοῖσί γε ἰδόντι τούτων τῶν εἰρημένων, οὐδενὶ οὐδέν ἐστιν εἰδέναι. διὸ καὶ ἄδηλα ἐμοί τε ὠνόμασται, καὶ τῇ τέχνῃ κέκριται εἶναι. οὐ μὴν ὅτι ἄδηλα κεκράτηκεν, ἀλλ' ᾗ δυνατὸν κεκράτηται. δυνατὸν δὲ, ὅσαι τε τῶν νοσεόντων φύσιες ἐς τὸ σκεφθῆναι παρέχουσιν, αἵ τε τῶν ἐρευνησόντων ἐς τὴν ἔρευναν πεφύκασι. μετὰ πλείονος μὲν γὰρ πόνου, καὶ οὐ μετ' ἐλάσσονος χρόνου εἰ τοῖσιν ὀφθαλμοῖσιν ἑωρᾶτο γινώσκεται. ὅσα γὰρ τὴν τῶν ὀμμάτων ὄψιν ἐκφεύγει, ταῦτα τῇ τῆς γνώμης ὄψει κεκράτηται. ὅσα δὲ ἐν τῷ μὴ ταχὺ ὀφθῆναι οἱ νοσέοντες πάσχουσιν, οὐχ οἱ θεραπεύοντες αὐτοὺς αἴτιοι, ἀλλ' ἡ φύσις ἥ τε τοῦ νοσέοντος, ἥ τε τοῦ νοσήματος. ὁ μὲν γὰρ ἐπεὶ οὐκ ἦν αὐτῷ ὄψει ἰδεῖν τὸ μοχθέον, οὐδ' ἀκοῇ πυθέσθαι, λογισμῷ μετῄει. καὶ γὰρ δὴ καὶ ἃ πειρῶνται οἱ τὰ ἀφανέα νοσέοντες ἀπαγγέλλειν περὶ τῶν νοσημάτων τοῖσι θεραπεύουσιν, δοξάζοντες μᾶλλον ἢ εἰδότες ἀπαγγέλλουσιν. εἰ γὰρ ἠπίσταντο, οὐκ ἂν περιέπιπτον αὐτοῖς. τῆς γὰρ αὐτῆς ξυνέσιός ἐστιν, ἧσπερ τὸ εἰδέναι τῶν νούσων τὰ αἴτια, καὶ τὸ θεραπεύειν αὐτὰς ἐπίστασθαι, πάσῃσι τῇσι θεραπείῃσιν, αἳ κωλύουσι τὰ νοσήματα μεγαλύνεσθαι. ὅτε οὖν οὐδὲ ἐκ τῶν ἐπαγγελλομένων ἐπὶ τὴν ἀναμάρτητον σαφήνειαν ἀκοῦσαι, προσοπτέον τι καὶ ἄλλο τῷ θεραπεύοντι. ταύτης οὖν τῆς βραδυτῆτος, οὐχ ἡ τέχνη, ἀλλ' ἡ φύσις, αἰτίη τῶν σωμάτων. ἡ μὲν γὰρ αἰσθανομένη, ἀξιοῖ θεραπεύειν, σκοποῦσα ὅπως μὴ τόλμημα μᾶλλον, ἢ γνώμῃ. καὶ ῥᾳστώνῃ μᾶλλον, ἢ βίῃ θεραπεύῃ. ὁ δ' ἢν μὲν ἀρκέσῃ πρὸς τὸ ὀφθῆναι, ἐξαρκέσει καὶ πρὸς τὸ ἰαθῆναι. ἢν δ' ἐν ᾧ τοῦτο ὁρᾶται, κρατηθῇ, διὰ τὸ βραδέως αὐτὸν ἐπὶ τὸν θεραπεύσαντα ἐλθεῖν, ἢ διὰ τὸ τοῦ νοσήματος τάχος, οἰχήσεται. ἐξ ἴσου μὲν γὰρ ὁρμώμενον τῇ θεραπείῃ, οὐκ ἔστι θᾶσσον. προλαβὸν δὲ, θᾶσσον. προλαμβάνει δὲ, διά τε τὴν τῶν σωμάτων στεγνότητα, ἐν ᾗ οὐκ ἐν εὐόπτῳ οἰκέουσιν αἱ νοῦσοι. διά τε τὴν τῶν καμνόντων ὀλιγωρίην ἐπιτίθενται. οὐ λαμβανόμενοι δὲ ὑπὸ τῶν νοσημάτων, ἐθέλουσι θεραπεύεσθαι. ἐπεὶ τῆς γε τέχνης τὴν δύναμιν, ὁκόταν τινὰ τῶν τὰ ἄδηλα νοσεύντων ἀναστήσῃ, θαυμάζειν ἀξιώτερον, ἢ ὁκόταν ἐγχειρέῃ τοῖς ἀδυνάτοις. οὐκοῦν ἐν ἄλλῃ δημιουργίῃ τῶν ἤδη εὑρημένων οὐδεμίῃ ἔνεστιν οὐδὲν τοιοῦτον. ἀλλ' αὐτέων ὅσαι πυρὶ δημιουργεῦνται. τούτου μὲν παρεόντος, ἀεργοί εἰσι. καὶ ὅσαι μετὰ τὸ ὀφθῆναι ἀεργοί. καὶ τοῖσιν εὐεπανορθώτοισι τοῖσι σώμασι δημιουργεῦνται. αἱ μὲν, μετὰ ξύλων. αἱ δὲ, μετὰ σκυτέων. αἱ δὲ, γραφῇ, χαλκῷ τε καὶ σιδήρῳ. καὶ τοῖσι τούτων ὁμοίοισιν αἱ πλεῖσται. τὰ δ' ἐκ τούτων καὶ μετὰ τούτων δημιουργεύμενα, καὶ εὐεπανόρθωτα, ὅμως οὐ τῷ τάχει μᾶλλον, ἢ τῷ ὡς δεῖ δημιουργεῖται, οὐδ' ὑπερβατῶς. ἀλλ' ἢν ἀπῇ τι τῶν ὀργάνων, ἐλλινύειν. καίτοι κἀκείναις τὸ βραδὺ πρὸς τὸ λυσιτελὲς ἀσύμφορον. ἀλλ' ὅμως προτιμᾶται. ἰητρικὴ δὲ, τοῦτο μὲν, τῶν ἐμπύων. τοῦτο δὲ, τῶν τὸ ἧπαρ ἢ τοὺς νεφροὺς, τοῦτο δὲ, τῶν ξυμπάντων ἐν τῇ νηδύϊ νοσεύντων, ἀποστερουμένη τῇ δεινολίῃ. τὰ πάντα πάντες ἱκανῶς ὁρῶσιν. ὅμως ἄλλας εὐπορίας συνεργοὺς ἐφεῦρε. φωνῆς τε γὰρ λαμπρότητι καὶ βραδυτῆτι, καὶ ῥευμάτων, ἃ διαρρεῖν εἴωθεν ἑκάστοισι, δι' ὧν ἔξοδοι δέδονται, ὧν τὰ μὲν, ὀδμῇσι. τὰ δὲ, χρόῃσι. τὰ δὲ, λεπτότητι καὶ παχύτητι διασταθμωμένη τεκμαίρεται. ὧν τε σημεῖα ταῦτα, ἅ τε πεπονθότων, ἅ τε παθεῖν δυναμένων. ὅταν δὲ ταῦτα μηνύωνται, μηδ' αὐτὴ ἡ φύσις ἑκοῦσα ἀφίῃ, ἀνάγκας εὕρηκεν, ᾗσιν ἡ φύσις ἀζήμιος βιασθεῖσα μεθίησιν. ἀνεθεῖσα δὲ δηλοῖ τοῖσι τὰ τῆς τέχνης εἰδόσιν, ἃ ποιητέα. βιάζεται δὲ τοῦτο μὲν πῦρ τὸ σύντροφον φλέγμα διαχεῖν, σιτίων δριμύτητι, καὶ πομάτων. ὅπως τεκμαρῆταί τι ὀφθὲν περὶ ἐκείνων, ὧν αὐτῇ ἐμηχανᾶτο ὀφθῆναι. τό, τ' αὖ πνεῦμα ὧν κατήγορον, ὁδοῖσί τε προσάντεσι, καὶ δρόμοις ἐκβιᾶται κατηγορέειν. ἱδρῶτάς τε τούτοισι τοῖσι προειρημένοισιν

ἄγουσαι, ὕδατι τῶν θερμῶν ἀποπνοίῃσι τεκμαίρεται. ἔστι δὲ ἃ καὶ διὰ τῆς κύστιος διελθόντα, ἱκανώτερα τὴν νοῦσον δηλῶσαί ἐστιν, ἢ διὰ τῆς σαρκὸς ἐξιόντα. ἐξεύρηκεν οὖν καὶ τοιαῦτα πόματα καὶ βρώματα, ἃ τῶν θερμαινόντων θερμότερα γιγνόμενα, τήκει τε ἐκεῖνα, καὶ διαῤῥεῖν ποιέει. ἃ οὐκ ἂν διεῤῥύη, μὴ τοῦτο παθόντα. ἕτερα μὲν οὖν πρὸς ἑτέρων, καὶ ἄλλα δι' ἄλλων ἐστὶ, τά τε διϊόντα, τά τ' ἐξαγγέλλοντα. ὥστ' οὐ θαυμάσιον αὐτῶν, τάς τ' ἀπιστίας χρονιωτέρας γίνεσθαι, τάς τ' ἐγχειρήσιας, βραχυτέρας. οὕτω δι' ἀλλοτρίων ἑρμηνειῶν πρὸς τὴν θεραπεύουσαν σύνεσιν ἑρμηνευομένων. ὅτι μὲν οὖν καὶ λόγους ἐν ἑωυτῇ εὐπόρους εἰς τὰς ἐπικουρίας ἔχει ἡ ἰητρικὴ, καὶ οὐκ εὐθεράπευτοισι, δικαίως οὐκ ἂν ἐγχειρέοι τῇσι νούσοισιν, ἢ ἐγχειρευμένας, ἀναμαρτήτους ἂν παρέχοι, οἵ τε νῦν λεγόμενοι λόγοι δηλοῦσιν, αἵ τε τῶν εἰδότων τὴν τέχνην ἐπιδείξιες, ἃς ἐκ τῶν ἔργων ἥδιον, ἢ ἐκ τῶν λόγων ἐπιδεικνύουσιν. οὐ τὸ λέγειν καταμελετήσαντες, ἀλλὰ τὴν πίστιν τῷ πλήθει ἐξ ὧν ἂν ἴδωσιν οἰκειοτέρην ἡγεύμενοι, ἢ ἐξ ὧν ἀκούσωσι.

ἹΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ἈΡΧΑΙΗΣ ἸΗΤΡΙΚΗΣ.

Ὅσοι ἐπεχείρησαν περὶ ἰητρικῆς λέγειν ἢ γράφειν, ὑπόθεσιν σφίσιν αὐτέοισιν ὑποθέμενοι τῷ λόγῳ, θερμὸν, ἢ ψυχρὸν, ἢ ὑγρὸν, ἢ ξηρὸν, ἢ ἄλλο τι ἂν ἐθέλωσιν ἐς βραχὺ ἄγοντες, τὴν ἀρχὴν τῆς αἰτίης τοῖσιν ἀνθρώποισι τῶν νούσων τε καὶ τοῦ θανάτου, καὶ πᾶσι τὴν αὐτὴν, ἓν ἢ δύο προθέμενοι, ἐν πολλοῖσι μὲν καὶ οἷσι λέγουσι καταφανέες εἰσὶν ἁμαρτάνοντες. μᾶλλον δὲ ἄξιον μέμψασθαι, ἀμφὶ τέχνης ἐούσης, ᾗ χρέωνταί τε πάντες ἐπὶ τοῖσι μεγίστοισι. καὶ τιμῶσι μάλιστα τοὺς ἀγαθοὺς χειροτέχνας. εἰσὶ δὲ δημιουργοὶ, οἱ μὲν, φλαῦροι. οἱ δὲ, πολὺ διαφέροντες. ὅπερ εἰ μὴ ἦν ἰητρικὴ ὅλως, μηδ' ἐν αὐτῇ ἔσκεπτο, μηδ' εὕροιτο μηδέν. οὐκ ἂν ἦν, ἀλλὰ πάντες ἂν ὁμοίως αὐτῆς ἄπειροί τε καὶ ἀνεπιστήμονες ἦσαν. καὶ τύχῃ πάντα τὰ τῶν καμνόντων διοικεῖτο. νῦν δ' οὐχ οὕτως ἔχει, ἀλλ' ὥσπερ καὶ τῶν ἄλλων τεχνέων πασέων οἱ δημιουργοὶ πολλὸν ἀλλήλων διαφέρουσι κατὰ χεῖρα καὶ κατὰ γνώμην, οὕτω δὴ καὶ ἐπὶ ἰητρικῆς. διὸ οὐκ ἠξίουν ἔγωγε κενῆς αὐτὴν ὑποθέσιος δεῖσθαι, ὥσπερ τὰ ἀφανέα τε καὶ ἀπορεόμενα. περὶ ὧν ἀνάγκη ἤν τις ἐπιχειρέοι λέγειν ὑποθέσει χρῆσθαι. οἷον περὶ τῶν μετεώρων ἢ τῶν ὑπὸ γῆν εἰ λέγοι τις καὶ γινώσκοι ὡς ἔχει, οὔτ' ἂν αὐτῷ τῷ λέγοντι, οὔτε τοῖς ἀκούουσι δῆλα ἂν εἴη, εἴτε ἀληθέα ἐστὶν, εἴτε μή. οὐ γάρ ἐστι πρὸς ὅ, τι χρὴ ἐπανενέγκαντα εἰδέναι τὸ σαφές. ἰητρικὴ δὲ πάντα πάλαι ὑπάρχει, καὶ ἀρχὴ καὶ ὁδὸς εὑρημένη, καθ' ἣν καὶ τὰ εὑρημένα πολλά τε καὶ καλῶς ἔχοντα εὕρηται, ἐν πολλῷ χρόνῳ. καὶ τὰ λοιπὰ εὑρεθήσεται, ἤν τις ἱκανός τε ὤν, καὶ τὰ εὑρημένα εἰδὼς, ἐκ τουτέων ὁρμώμενος ζητέῃ. ὅστις δὲ ταῦτα ἀποβαλὼν καὶ ἀποδοκιμάσας πάντα, ἑτέρῃ ὁδῷ, καὶ ἑτέρῳ σχήματι ἐπιχειρέει ζητέειν, καί φησί τι εὑρηκέναι, ἐξηπάτηται, καὶ ἐξαπατᾶται. ἀδύνατον γὰρ, δι' ἃς δὲ ἀνάγκας ἀδύνατον, ἐγὼ πειράσομαι ἐπιδεῖξαι. λέγων καὶ δεικνὺς, τὴν τέχνην ὅ, τι ἐστίν. ἐκ δὲ τούτου καταφανὲς ἔσται ἀδύνατα ἐόντα ἄλλως πως εὑρίσκεσθαι. μάλιστα δέ μοι δοκέει περὶ ταύτης δεῖν λέγοντα τῆς τέχνης, γνωστὰ λέγειν τοῖσιν δημότῃσιν. οὐ γὰρ περὶ ἄλλου τινὸς, οὔτε ζητέειν προσήκει, οὔτε λέγειν, ἢ περὶ τῶν παθημάτων ὧν αὐτοὶ οὗτοι νοσέουσι. αὐτοὺς μὲν οὖν τὰ σφέων αὐτῶν παθήματα καταμαθεῖν ὥστε γίνεται καὶ παύεται, καὶ δι' οἵας προφάσιας αὔξεταί τε καὶ φθίνει, ἰδιώτας ἐόντας, οὐ ῥᾴδιον. ὑπ' ἄλλου δ' εὑρημένα καὶ λεγόμενα, εὐπετές. οὐδὲν γὰρ ἕτερον ἢ ἀναμιμνήσκεται ἕκαστος ἀκούων τῶν ἑωυτῷ ξυμβαινόντων. εἰ δέ τις τῆς τῶν ἰδιωτέων γνώμης ἀποτεύξεται, καὶ μὴ διαθήσει τοὺς ἀκούοντας, οὕτως τοῦ ἐόντος ἀποτεύξεται. καὶ διὰ ταῦτα οὖν οὐδὲν δεῖται ὑποθέσιος. τὴν γὰρ ἀρχὴν οὔτ' ἂν εὑρέθη τέχνη ἡ ἰητρικὴ, οὔτ' ἂν ἐζητήθη, οὐδὲν γὰρ αὐτῆς ἔδει τοῖσι κάμνουσι τῶν αὐτῶν, τὰ αὐτὰ διαιτωμένοισί τε καὶ προσφερομένοισιν, ἅπερ ὑγιαίνοντες ἐσθίουσι καὶ πίνουσι, καὶ κατ' ἄλλα διαιτέονται ξυνέφερε, καὶ εἰ μὴ ἦν ἕτερα τουτέων βελτίω. νῦν δ' αὐτὴ ἡ ἀνάγκη ἰητρικὴν ἐποίησε ζητεῖσθαί τε καὶ εὑρεθῆναι ἀνθρώποισιν. ὅτι τοῖσι κάμνουσι ταὐτὰ προσφερομένοισιν, ἅπερ οἱ ὑγιαίνοντες, οὐ ξυνέφερεν. ὡς οὐδὲ νῦν ξυμφέρει. ἔτι δ' ἄνωθεν ἔγωγε ἀξιῶ, οὐδ' ἂν τὴν τῶν ὑγιαινόντων δίαιτάν τε καὶ τροφὴν ᾗ νῦν χρέονται εὑρεθῆναι, εἰ ἐξήρκει τῷ ἀνθρώπῳ ταὐτὰ ἐσθίοντι καὶ πίνοντι, βοΐ τε καὶ ἵππῳ, καὶ πᾶσιν ἐκτὸς ἀνθρώπου. οἷον τὰ ἐκ τῆς γῆς φυόμενα καρπούς τε καὶ ὕλην, καὶ χόρτον. ἀπὸ τουτέων τε καὶ τρέφονται, καὶ αὔξονται, καὶ ἄπονοι διάγουσιν, οὐδὲν προσδεόμενοι ἄλλης διαίτης. καίτοι τήν γε ἀρχὴν ἔγωγε ἀξιῶ, καὶ τὸν ἄνθρωπον τοιαύτῃ τροφῇ κεχρῆσθαι. τὰ δέ γε νῦν διαιτήματα εὑρημένα, τετεχνημένα ἐν πολλῷ χρόνῳ γεγενῆσθαί μοι δοκέει. ὡς γὰρ ἔπασχον πολλά τε καὶ δεινὰ, ἀπὸ ἰσχυρῆς τε καὶ θηριώδεος διαίτης σώματα, καὶ ἄκρητα, καὶ μεγάλας δυνάμιας ἔχοντα ἐσφερόμενοι, οἷά περ ἂν καὶ νῦν ὑπ' αὐτέων πάσχοιεν, πόνοισί τε ἰσχυροῖσι καὶ νούσοισι περιπίπτοντες, καὶ διὰ τάχεος θανάτοισιν. ἧσσον μὲν οὖν ταῦτα τότε εἰκὸς ἦν πάσχειν, διὰ τὴν συνήθειαν. ἰσχυρῶς δὲ καὶ τότε, καὶ τοὺς μὲν πλείστους τε καὶ ἀσθενεστέρην φύσιν ἔχοντας, ἀπόλλυσθαι εἰκός. τοὺς δὲ τουτέων ὑπερέχοντας, πλείω χρόνον ἀντέχειν. ὥσπερ καὶ νῦν ἐκ τῶν ἰσχυρῶν βρωμάτων, οἱ μὲν γὰρ, ῥηϊδίως ἀπαλλάσσονται. οἱ δὲ, μετὰ πολλῶν πόνων τε καὶ κακῶν. διὰ δὴ ταύτην τὴν χρείην, καὶ οὗτοί μοι δοκέουσι ζητῆσαι τροφὴν ἁρμόζουσαν τῇ φύσει, καὶ εὑρεῖν ταύτην, ᾗ νῦν χρώμεθα. ἐκ μὲν οὖν

τῶν πυρῶν

A principio homines eodem alimento utebantur quo cetera animalia

τῶν πυρῶν βρέξαντες καὶ πτίσαντες πάντα, καὶ καταλέσαντες, καὶ διασήσαντες, καὶ φρύξαντες, καὶ ὀπτήσαντες, ἀπετέλεσαν ἄρτον. ἐκ δέ γε τῶν κριθέων μᾶζαν, ἄλλα τε συχνὰ περὶ ταύτην πραγματευσάμενοι, ἥψησάν τε καὶ ὤπτησαν, καὶ ἔμιξαν, καὶ ἐκέρασαν ἰσχυρά τε καὶ ἄκρητα τοῖσιν ἀσθενεστέροις, πλάσσοντες πάντα πρὸς τὴν τοῦ ἀνθρώπου φύσιν τε καὶ δύναμιν. ἡγεύμενοι, ὅσα μὲν ἰσχυρότερα ᾖ, οὐ δυνήσεται κρατέειν ἡ φύσις, ἢν ἐσβάληται. ἀπὸ τούτων δ' αὐτῶν, πόνους τε καὶ νόσους, καὶ θανάτους ἔσεσθαι. ὅσων δ' ἂν δύνηται ἐπικρατέειν, ἀπὸ τουτέων τροφήν τε καὶ αὔξησιν, καὶ ὑγείην. τῷ δ' εὑρήματι, τί ἂν οἷόν τε ὄνομα δικαιότερον ἄν τις προσῆκον μᾶλλον θεῖτο, ἢ ἰητρικήν; ὅτι εὕρηται ἐπὶ τῇ τοῦ ἀνθρώπου ὑγιείῃ τε καὶ τροφῇ, καὶ σωτηρίῃ. ἄλλαγμα κείνης τῆς διαίτης, ἐξ ἧς οἱ πόνοι καὶ νοῦσοι γίνονται. εἰ δὲ μὴ τέχνη αὕτη νομίζεται εἶναι, οὐκ ἀπεικός. ἧς γὰρ μηδείς ἐστιν ἰδιώτης, ἀλλὰ πάντες ἐπιστήμονες διὰ τὴν χρῆσίν τε καὶ ἀνάγκην, οὐ προσήκει ταύτης οὐδένα τεχνίτην καλέεσθαι. ἐπεὶ τό γε εὕρημα καὶ μέγα, καὶ πολλῆς τέχνης τε καὶ σκέψιος. ἔτι γοῦν καὶ νῦν οἱ τῶν γυμνασίων τε καὶ ἀσκησίων ἐπιμελούμενοι, αἰεί τι προσεξευρίσκουσι κατὰ τὴν αὐτὴν ὁδὸν ζητέοντες, ὅτι ἔδων τε καὶ πίνων, ἐπικρατήσει τε αὐτέων μάλιστα. καὶ ἰσχυρότερος ἑωυτοῦ ἔσται. σκεψώμεθα γοῦν, καὶ τὴν ὁμολογουμένως ἰητρικὴν, τὴν ἀμφὶ τοὺς κάμνοντας εὑρημένην, ἣ καὶ οὔνομα καὶ τεχνίτας ἔχει, καὶ κρατεῖν καὶ αὐτὴ τῶν αὐτέων ἐθέλοι. καὶ ὁπόθεν ποτὲ ἦρκται. ἐμοὶ μὲν γὰρ ὅπερ ἐν ἀρχῇ εἶπον, οὐδ' ἂν ζητῆσαι δοκέει ἰητρικὴν οὐδεὶς, εἰ ταὐτὰ διαιτήματα τοῖσί τε κάμνουσι, καὶ τοῖσιν ὑγιαίνουσιν ἥρμοζεν. ἔτι γοῦν καὶ νῦν, ὅσοι ἰητρικῇ μὴ χρέονται, οἵ τε βάρβαροι καὶ τῶν ἑλλήνων ὀλίγοι, τὸν αὐτὸν τρόπον ὅνπερ ὑγιαίνοντες διαιτέονται, πρὸς ἡδονήν. καὶ οὔτ' ἂν ἀπόσχοιντο οὐδενὸς ὧν ἐπιθυμέουσιν, οὐδὲ στείλαιντο. οἱ δὲ ζητήσαντές τε καὶ εὑρόντες ἰητρικὴν, τὴν αὐτὴν κείνοισι διάνοιαν ἔχοντες, περὶ ὧν μοι ὁ πρότερος λόγος εἴρηται, πρῶτον μὲν οἶμαι, ὑφεῖλον τοῦ πλήθεος τῶν σιτίων αὐτέων τουτέων, καὶ ἀντὶ πλεόνων ὀλίγα ἐποίησαν. ἐπεὶ δ' αὐτέοισι τοῦτο ἔστι μὲν ὅτε πρός τινας τῶν καμνόντων ἤρκεσε, καὶ φανερὸν ἐγένετο ὠφελῆσαν, οὐ μέντοι πᾶσί γε. ἀλλ' ἦσάν τινες οὕτως ἔχοντες, ὡς μὴ ὀλίγων σιτίων δύνασθαι ἐπικρατέειν, ἀσθενεστέρου δή τινος ἐδόκεεν οἱ τοιοῦτοι δεῖσθαι, εὗρον ῥοφήματα μίξαντες ὀλίγα τῶν ἰσχυρῶν, πολλῷ τῷ ὕδατι. καὶ ἀφαιρούμενοι τὸ ἰσχυρὸν, τῇ κρήσει τε καὶ ἑψήσει. ὁκόσοι δὲ μηδὲ τῶν ῥοφημάτων ἐδύναντο ὑποκρατέειν, ἀφεῖλον καὶ ταῦτα. καὶ ἀφίκοντο ἐς πόματα. καὶ ταῦτα τῇσί τε κρήσεσι, καὶ τῷ πλήθει διαφυλάσσοντες ὡς μετρίως ἔχοι. μήτε πλείω τῶν δεόντων, μήτε ἀκρητέστερα προσφερόμενοι, μηδ' ἐνδεέστερα. εὖ δὲ χρὴ εἰδέναι τοῦτο, οἷσι τὰ ῥοφήματα ἐν τῇσι νούσοισιν οὐ ξυμφέρει, ἀλλ' ἄντικρυς ὅταν τοῦτο ποιήσωσι παροξύνονται σφίσιν οἵ, τε πυρετοὶ καὶ τὰ ἀλγήματα. καὶ δῆλον τὸ προσενεχθὲν τῇ μὲν οὖν νόσῳ, τροφή τε καὶ αὔξησις γινόμενον. τῷ δὲ σώματι, φθίσις τε καὶ ἀῤῥωστίη. ὁκόσοι δ' ἂν τῶν ἀνθρώπων, ἐν ταύτῃ τῇ διαθέσει ἐόντες, προσενέγκωνται ξηρὸν σιτίον, ἢ μᾶζαν, ἢ ἄρτον, καὶ ἢν πάνυ σμικρὸν, δεκαπλασίως ἂν μᾶλλον καὶ ἐπιφανέστερον κακωθεῖεν, ἢ ῥοφέοντες, δι' οὐδὲν ἄλλο, ἢ διὰ τὴν ἰσχὺν τοῦ βρώματος πρὸς τὴν διάθεσιν. καὶ ᾧ γε ῥοφεῖν συμφέρει, ἐσθίειν δ' οὔ, εἰ γὰρ πλείω φάγοι, πολὺ ἂν ἔτι κακωθείη. καὶ εἰ ὀλίγα, πονέσειεν ἄν. πάντα δὴ τὰ αἴτια τοῦ πόνου, εἰς τὸ αὐτὸ ἄγεται, τὰ ἰσχυρότατα μάλιστά γε καὶ ἐπιφανέστατα, λυμαίνεσθαι τὸν ἄνθρωπον, καὶ τὸν ὑγιέα ἐόντα, καὶ τὸν νοσέοντα. τί οὖν φαίνεται ἑτεροῖον διανοηθεὶς, ὁ καλεύμενος ἰητρὸς, καὶ ὁμολογημένως χειροτέχνης, ὃς ἐξεῦρε τὴν ἀμφὶ τοὺς κάμνοντας, δίαιτάν τε καὶ τροφὴν, ἢ κεῖνος ὁ ἀπ' ἀρχῆς τοῖσι πᾶσιν ἀνθρώποισι τροφὴν, ᾗ νῦν χρώμεθα ἐξ ἐκείνης τῆς ἀγρίης καὶ θηριώδεος, εὑρών τε καὶ παρασκευάσας διαίτης; ἐμοὶ μὲν γὰρ φαίνεται ωὑτὸς τρόπος, καὶ ἕν τι καὶ ὅμοιον τὸ εὕρημα. ὁ μὲν, ὅσων μὴ ἠδύνατο ἡ φύσις ἡ ἀνθρωπίνη ἐπικρατέειν ὑγιαίνουσα, ἐμπιπτόντων διὰ τὴν ἀγριότητά τε καὶ ἀκρησίην. ὁ δὲ, ὅσων ἡ διάθεσις ἐν οἵῃ ἂν ἑκάστοτε ἕκαστος τύχῃ διακείμενος, μὴ ᾖ δυνατὸς ἐπικρατέειν, ταῦτα ἐζήτησεν ἀφελεῖν. τί δὴ τούτου ἐκεῖνο διαφέρει; ἀλλ' ἢ πλέον τό, τε εἶδος, καὶ ὅτι ποικιλώτερον καὶ πλείονος πραγματείης. ἀρχὴ δ' ἐκείνη, ἡ πρότερον γινομένη. εἰ δέ τις σκέπτοιτο τὴν τῶν καμνόντων δίαιταν πρὸς τὴν τῶν ὑγιαινόντων, εὕροι ἂν βλαβερωτέρην, ἢ περ τὴν ἢ τῆς τῶν καμνόντων θηρίων τε καὶ τῶν ἄλλων ζώων. ἀνὴρ γὰρ κάμνων νοσήματι, μήτε τῶν χαλεπῶν τε καὶ ἀφόρων, μήτ' αὖ παντάπασιν εὐηθέων, ἀλλ' οὔτε αὐτέῳ ἁμαρτάνοντι μέλλει ἐπίδηλον ἔσεσθαι, εἰ ἐθέλει καταφαγεῖν ἄρτον, κρέα, ἢ ἄλλο τι ὧν ὑγιαίνοντες ἐσθίοντες ὠφελέονται, μὴ πολὺ, ἀλλὰ πολλῷ ἂν ἔλασσον ἢ ὑγιαίνων ἠδύνατο. ἄλλος τε τῶν ὑγιαινόντων φύσιν ἔχων μήτε παντάπασιν ἀσθενέα, μήτ' αὖ ἰσχυρὴν, φαγών τι ὧν βοῦς ἢ ἵππος φαγών, ὠφελοῖτό τε καὶ ἐσθίει ὀρόβους, ἢ κριθὰς, ἢ ἄλλο τι τῶν τοιουτέων, μὴ πολὺ, ἀλλὰ πολλῷ μεῖον, ἢ ἐδύνατο. κἂν ἧσσον ὑγιαίνων τοῦτο ποιήσας πονήσειέ τε καὶ κινδυνεύσειε, κείνου τοῦ νοσέοντος, ὃς τὸν ἄρτον ἢ τὴν μᾶζαν ἀκαίρως προσηνέγκατο. ταῦτα δὴ πάντα τεκμήρια, ὅτι αὐτὴ ἡ τέχνη ἡ ἰητρικὴ, τῇ ὁδῷ ζητεομένη, εὑρίσκοιτο ἄν. καὶ εἰ μὲν ἦν ἁπλῶς ὥσπερ ὑφηγέεται, ὅσα μὲν ἦν ἰσχυρότερα, ἔβλαπτεν. ὅσα δ' ἦν ἀσθενέστερα, ὠφέλει τε καὶ ἔτρεφε τὸν κάμνοντα καὶ τὸν ὑγιαίνοντα, εὐπετὲς ἂν ἦν τὸ χρῆμα. πολλὸν γὰρ τοῦ ἀσφαλέος ἂν ἔδει περιλαμβάνοντας,

Idiotes .i. ignarus

ἀναχτησίων. cupedinariae rei, culinae

ἀφόρων εὐηθέων

De fame & repletione

Laudandus medicus, qui parcũ errat. Nam exactũ in medicorum arte est.

Contra medicastros

Nõ minora mala hominibus pro-ueniũt ex intempestiua uacuitate quam ex plenitate

συγκρίη

χασμης

νυσταλμοῦ

σκοτοδίνη

δυσορεξίη

δυσθυμίη

ἀφιστιζόμενος

δυσκοιτέουσι

λαπαχθῆ

ἄγειν ἐπὶ τὸ ἀσθενέστατον. νοῦσ δὲ οὐκ ἔλασσον ἁμαρτήμα, οὐδὲ ἧσσον λυμαίνεται τὴν αὖον ἰῶ ἐλάσσονα καὶ οὐδὲν ἑδρα τῶν ἱκανῶν προσφορήν ταυ. τὸ γὰρ τοῦ λιμοῦ μόρος, δυώσας ἰσχυρῶς οὐ τῇ φύσει τοῦ αὖου, ἢ ὑγιάσας καὶ ἀσθενέα ποιήσας, καὶ ἀποκτείναι. πολλὰ δὲ καὶ ἄλλα κακὰ ἐστὶν οἷα μὲν τὰ πολληρώσιος, οὐκ ἧσσον δὲ ἀμαλεινὰ κενώσιος, δι' ὧν πολλὸν ποικιλωτέρη τε, καὶ δεινοτέρη ἐστὶν ἢ κενώσις, δι' ὧν μέζω τινὸς ἐχρῆσαν. μείζων γὰρ οὐδεμία, οὐδὲ ἰσχυροτέρη οὐδεμία ἄλλου πρὸς ὁ ἀναφέρων εἴποι, ἢ ἀκριβὲς οὐκ ἂν θυρώσης ἄλλο, ἢ τὸ σώματος πλῆθος. διὸ ἔργον οὕτω κατα μαθεῖν ἀκριβῶς, ὥστε μικρὰ ἁμαρτάνειν ἐνθα ἢ ἐνθα. κἀνέτω τὸν φρονίμου ἰσχυρὸν ἁμαρτάνειν σμικρὰ ἁμαρτάνοντα. ἢ ἀκριβὲς ὀλίγακις δύναται πλεῖν. ἐπεὶ οἱ πολλοί γε τῶν πλόων, τοιοῦτά μοι δοκέουσι τοῖσι κακοῖσι κυβερνήτῃσι παίειν. μὴ γὰρ ἐκείνοι ὅταν οἱ γαλήνην κυβερνῶντες ἁμαρτάνωσιν, οὐκ ἂν φανέες εἶσιν. ὅταν δὲ αὖδὴ κατάγῃ ἀνέμος τε μέγας, καὶ χειμών, φανδὸν ἤδη πᾶσιν αὐτοῖσι δῆλα γινώσκεται καὶ ἁμαρτίαι δῆλοί εἰσιν ἃς πολέσαντες πλὼν ναυν. οὕτω δὴ καὶ οἱ κακοὶ τε καὶ πολέμιοι ἰητροί, ὅταν μὲν θρασὺ πόσωσιν αὖους μηδὲν δεινὸν ἐόντας, ἐς οὓς ἂν τις καὶ τὸ μέγιστα ἁμαρτάνων, οὐδὲν δεινὸν δρᾶσειεν, πολλὰ δὲ τὰ τοιαῦτα νοσήματα, ἢ πολὺ πολέσι τ' ἀνθρώποισι συμβαίνει. ἢν μὲν δὴ τοῖσι τοιούτοισιν ἁμαρτάνοντες, οὐκ ἂν φανέες εἶσι, τοῖσιν ἰδιώτοισιν. ὁκόταν δ' ἐν τῷ χωσι μεγάλῳ τε καὶ ἰσχυρῷ καὶ ἐπιφαλέι νοσήματι, τότε σφέων τὰ ἁμαρτήματα καὶ ἡ τέχνη πᾶσι καὶ φανὴς ἔδυν. οὐ γὰρ ἐς μακρὸν αὐτῶν ἐκφεύγουσιν αἱ ἁμαρτίαι, ἀλλὰ δῆλα τάχιστα πάρεισιν. ἔστι δὲ οὐδὲν ἐλάσσους ἐκ κενώσιος ἀκαίρου ἢ κακὸν παθέειν γίνονται τῷ ἀνθρώπῳ, ἢ καὶ ἐκ πολλῆς ἀγωγῆς θαυμάζειν τοὺς ὑβρισμένους, ὡς καλῶς καὶ ὀρθῶς ὑβρίσθησαν, ἢ οὐκ ἐκ τύχης. ἐπὶ δὲ τὸ ἦν καινὸν πρόπον πλὼ τέχνῃ ὑβρισθέντος ζητοῦντων λόγον ἐπανελθεῖν βούλομαι. εἰ γάρ ἐστι θερμόν, ἢ ψυχρόν, ἢ ξηρόν, ἢ ὑγρόν, τὸ λυμαινόμενον ἦν ἀνθρώπου, καὶ δεῖ ἦν ὀρθῶς ἰηθῆναι ἐπιθεῖναι τὸ μὴ θερμῷ, ἐπὶ τὸ ψυχρόν. τῷ δ' ξηρῷ, ἐπὶ τὸ ὑγρόν. τῷ δ' ὑγρῷ, ἐπὶ τὸ ξηρόν. ἔστω μοι ἄνθρωπος, μὴ τὸ ἰσχυρὸν φύσει, ἀλλὰ τῶν ἀσθενεστέρων. οὗτος ὁ πυρούς ἐσθιέτω οὓς ἂν

Ἡ ἰητρικὴ, τεχνέων μὲν πασέων ἐστὶν ἐπιφανεστάτη. διὰ δὲ ἀμαθίην τῶν τε χρεωμένων αὐτῇ, καὶ τῶν εἰκῇ τοὺς τοιούσδε κρινόντων, πολύ τι πασέων ἤδη τῶν τεχνέων ἀπολείπεται. ἡ δὲ τῶνδε ἁμαρτὰς, τὰ μάλιστά μοι δοκέει ἔχειν αἰτίην τοιήνδε. πρόστιμον γὰρ ἰητρικῆς μούνης ἐν τῇσι πόλεσιν οὐδὲν ὥρισται, πλὴν ἀδοξίης. αὕτη δὲ οὐ τιτρώσκει τοὺς ἐξ αὐτέης συγκειμένους. ὁμοιότατοι γάρ εἰσιν οἱ τοιοίδε, τοῖσι παρεισαγομένοισι προσώποισιν ἐν τῇσι τραγῳδίῃσιν. ὡς γὰρ ἐκεῖνοι σχῆμα μὲν, καὶ στολὴν, καὶ πρόσωπον ὑποκριτοῦ ἔχουσιν. οὐκ εἰσὶ δὲ, ὑποκριταὶ, οὕτω καὶ οἱ ἰητροί. φήμῃ μὲν, πολλοί. ἔργῳ δὲ, πάγχυ βαιοί. χρὴ γὰρ ὅστις μέλλει ἰητρικῆς ξυνέσιν ἀτρεκέως ἁρμόζεσθαι, τῶν δέ μιν ἐπήβολον γενέσθαι. φύσιος. διδασκαλίης. τόπου εὐφυέος. παιδομαθίης. φιλοπονίης. χρόνου. πρῶτον μὲν οὖν πάντων δεῖ φύσιος. φύσιος γὰρ ἀντιπρησσούσης, κενεὰ πάντα. φύσιος δὲ ἐς τὸ ἄριστον ὁδηγεούσης, διδασκαλίη τέχνης γίνεται. ἣν μετὰ φρονήσιος δεῖ περιποιήσασθαι, παιδομαθέα γενόμενον ἐν τόπῳ, ὁκοῖος εὐφυὴς πρὸς μάθησιν ἔσται. ἔτι δὲ φιλοπονίην προσενέγκασθαι ἐς χρόνον πουλὺν, ὅκως ἡ μάθησις ἐμφυσιωθεῖσα, δεξιῶς τε καὶ εὐαλδέως τοὺς καρποὺς ἐξενέγκηται. ὁκοίη γὰρ τῶν ἐν τῇ γῇ φυομένων θεωρίη, τοιήδε καὶ τῆς ἰατρικῆς ἡ μάθησις. ἡ μὲν γὰρ φύσις ἡμέων, ὁκοῖον ἡ χώρη. τὰ δὲ δόγματα τῶν διδασκόντων, ὁκοῖον τὰ σπέρματα. ἡ δὲ παιδομαθίη, τὸ καθ' ὥρην αὐτὰ πεσεῖν εἰς τὴν ἄρουραν. ὁ δὲ τόπος ἐν ᾧ ἡ μάθησις, ὁκοῖον ἡ ἐκ τοῦ περιέχοντος ἠέρος τροφὴ γενομένη τοῖσι φυομένοισιν. ἡ δὲ φιλοπονίη, ἐργασίη. ὁ δὲ χρόνος, ταῦτα ἐνισχύει πάντα, ὥστε τραφῆναι τελέως. ταῦτα οὖν χρὴ ἐς τὴν ἰητρικὴν τέχνην ἐσενεγκαμένους, καὶ ἀτρεκέως αὐτέης γνῶσιν λαβόντας, οὕτως ἀνὰ τὰς πόλιας φοιτέοντας, μὴ λόγῳ μοῦνον, ἀλλὰ καὶ ἔργῳ ἰητροὺς νομίζεσθαι. ἡ δὲ ἀπειρίη, κακὸς θησαυρὸς, καὶ κακὸν κειμήλιον τοῖσιν ἔχουσιν αὐτὴν, καὶ ὄναρ καὶ ὕπαρ. εὐθυμίης τε καὶ εὐφροσύνης ἄμοιρος, δειλίης τε καὶ θρασύτητος τιθήνη. δειλίη μὲν γὰρ, ἀδυναμίην σημαίνει. θρασύτης δὲ, ἀτεχνίην. δύο γὰρ ἐπιστήμη τε, καὶ δόξα. ὧν τὸ μὲν, ἐπίστασθαι ποιέει. τὸ δὲ, ἀγνοεῖν. τὰ δὲ ἱερὰ ἐόντα πρήγματα, ἱεροῖσιν ἀνθρώποισι δείκνυται. βεβήλοισι δὲ, οὐ θέμις, πρὶν ἢ τελεσθῶσιν ὀργίοισιν ἐπιστήμης.

ἹΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΦΥΣΙΟΣ ἈΝΘΡΩΠΟΥ.

Στις μὲν εἴωθεν ἀκούειν λεγόντων ἀμφὶ τῆς φύσιος τῆς ἀνθρωπίνης, προσωτέρω ἢ ὁκόσον αὐτέης ἐς ἰητρικὴν ἀφήκει, τουτέῳ μὲν οὐκ ἐπιτήδειος ὅδε ὁ λόγος ἀκούειν. οὔτε γὰρ τὸ πάμπαν ἠέρα λέγω τὸν ἄνθρωπον εἶναι, οὔτε πῦρ, οὔτε ὕδωρ, οὔτε γῆν, οὔτ' ἄλλο οὐδέν. ὅτι μὴ φανερόν ἐστιν ἐνεὸν ἐν τῷ ἀνθρώπῳ. ἀλλὰ τοῖσι βουλομένοισι ταῦτα λέγειν παρίημι. δοκέουσι δέ μοι οὐκ ὀρθῶς γινώσκειν οἱ τὰ τοιαῦτα λέγοντες. γνώμῃ μὲν γὰρ τῇ αὐτέῃ, πάντες χρέονται. λέγουσι δὲ, οὐ ταὐτά. ἀλλὰ τῆς μὲν γνώμης τὸν ἐπίλογον, τὸν αὐτὸν ποιέονται. φασὶ γάρ ἕν τι εἶναι, ὅ, τι ἐστί. καὶ τοῦτ' εἶναι τὸ ἕν τε καὶ τὸ πᾶν. κατὰ δὲ τὰ

οὐνόματα,

οὐνόματα, οὐχ ὁμολογέουσι. λέγει δ' αὐτέων ὁ μέν τις φάσκων, ἠέρα τοῦτο εἶναι, τὸ ἕν τε καὶ τὸ πᾶν. ὁ δὲ, πῦρ. ὁ δὲ, ὕδωρ. ὁ δὲ, γῆν. καὶ ἐπιλέγει ἕκαστος τῷ ἑωυτοῦ λόγῳ, μαρτύριά τε καὶ τεκμήρια ἅ γε ἐστιν οὐδέν. ὅτι μὲν γὰρ τῇ αὐτέῃ γνώμῃ πάντες προσχρέωνται. λέγουσι δ' οὐ τὰ αὐτὰ, δῆλον ὅτι οὐδὲ γινώσκουσιν αὐτά. γνοίη δ' ἂν τῷδέ τις μάλιστα, παραγενόμενος αὐτέοισιν ἀντιλέγουσι. πρὸς γὰρ ἀλλήλους ἀντιλέγοντες οἱ αὐτοὶ ἄνδρες, τῶν αὐτέων ἐναντίον ἀκροατέων, οὐδέποτε τρὶς ἐφεξῆς ὁ αὐτὸς ἄνθρωπος περιγίνεται, ἐν τῷ αὐτῷ λόγῳ. ἀλλὰ ποτὲ μὲν, οὗτος ἐπικρατέει, ποτὲ δὲ, οὗτος. ποτὲ δὲ, ᾧ ἂν τύχῃ μάλιστα ἡ γλῶσσα ῥυεῖσα πρὸς τὸν ὄχλον. καίτοι δίκαιόν ἐστι τὸν φάντα ὀρθῶς γινώσκειν ἀμφὶ τῶν πρηγμάτων, παρέχειν αἰεὶ ἐπικρατέοντα τὸν λόγον τὸν ἑωυτοῦ, εἴπερ ἐόντα γινώσκει, καὶ ὀρθῶς ἀποφαίνεται. ἀλλ' ἐμοί γε δοκέουσιν οἱ τοιοῦτοι ἄνθρωποι, σφᾶς αὐτοὺς καταβάλλειν ἐν τοῖσιν ὀνόμασι τῶν λόγων αὐτέων, ὑπὸ ἀσυνεσίης. τὸν δὲ Μελίσσου λόγον ὀρθοῦν. περὶ μὲν οὖν τουτέων, ἀρκεῖ τὰ μὴ εἰρημένα. τῶν δὲ ἰητρῶν οἱ μέν τινες λέγουσιν, ὡς ὁ ἄνθρωπος, αἷμα μοῦνον ἐστίν. οἱ δ' αὐτέων, χολήν φασιν εἶναι τὸν ἄνθρωπον. ἔνιοι δέ τινες, φλέγμα. ἐπίλογον δὲ ποιοῦνται καὶ αὐτοὶ πάντες τὸν αὐτόν. ἓν γάρ τι εἶναι φασὶν, ὅ, τι ἕκαστος ἠθέλησεν ὀνομάσαι αὐτέων. καὶ τοῦτο ἓν ἐὸν, μεταλλάσσειν τὴν ἰδέην καὶ τὴν δύναμιν. ἀναγκαζόμενον ὑπό τε τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, καὶ γίνεσθαι καὶ γλυκύ. καὶ πικρόν. καὶ λευκόν. καὶ μέλαν. καὶ παντοῖόν τι ἄλλο. ἐμοὶ δὲ οὐδὲ ταῦτα δοκέει ὧδε ἔχειν. οἱ μὲν οὖν πλεῖστοι τοιαῦτά τινα, καὶ ἔτι ἐγγύτατα τουτέων, ἀποφαίνονται. ἐγὼ δέ φημι εἰ ἓν ἦν ὁ ἄνθρωπος, οὐδέποτ' ἂν ἤλγεεν. οὐδὲ γὰρ ἂν ἦν ὑπό του ἀλγήσειεν. εἰ οὖν καὶ ἀλγήσει, ἀνάγκη καὶ τὸ ἰώμενον, ἓν εἶναι. νῦν δὲ, πολλά. πολλὰ γάρ ἐστιν ἐν τῷ σώματι ἐνεόντα. ἃ ὁκόταν ὑπ' ἀλλήλων παρὰ φύσιν θερμαίνηταί τε καὶ ψύχηται, καὶ ξηραίνηταί τε καὶ ὑγραίνηται, νούσους τίκτει. ὥστε πολλαὶ μὲν ἰδέαι τῶν νοσημάτων, πολλὴ δὲ καὶ ἡ ἴησις αὐτέων ἐστίν. ἀξιῶ δὲ ἔγωγε τὸν φάσκοντα αἷμα εἶναι μοῦνον τὸν ἄνθρωπον καὶ ἄλλο μηδὲν, δεικνύναι αὐτὸν μὴ μεταλλάσσοντα τὴν ἰδέην, μηδὲ γίνεσθαι παντοῖον. ἀλλ' ἢ ὥρην τινὰ τοῦ ἐνιαυτοῦ, ἢ τῆς ἡλικίης τοῦ ἀνθρώπου, ἐν ᾗ αἷμα ἐνεὸν φαίνεται μοῦνον ἐν τῷ ἀνθρώπῳ. εἰκὸς γὰρ εἶναι μίαν τινὰ ὥρην, ἐν ᾗ φαίνεται αὐτὸ ἐν ἑωυτῷ ἐνεόν. τὰ αὐτὰ δὲ λέγω καὶ περὶ τοῦ φάσκοντος φλέγμα εἶναι, καὶ περὶ τοῦ χολὴν φάσκοντος. ἐγὼ μὲν γὰρ ἀποδείξω ἃ ἂν φήσω τὸν ἄνθρωπον εἶναι κατὰ τὸν νόμον καὶ κατὰ τὴν φύσιν, ἀεὶ ταὐτὰ ἐόντα ὅμοια, καὶ νέου ἐόντος, καὶ γέροντος, καὶ τῆς ὥρης ἐούσης, καὶ ψυχρῆς καὶ θερμῆς. καὶ τεκμήρια παρέξω, καὶ ἀνάγκας ἀποφανῶ, δι' ἃς ἕκαστον αὔξεταί τε καὶ φθίνει ἐν τῷ σώματι. πρῶτον μὲν οὖν, ἀνάγκη τὴν γένεσιν γίνεσθαι, μὴ ἀφ' ἑνός. πῶς γὰρ ἂν ἕν γε ἐὸν, τι γεννήσειεν, εἰ μή τι μιχθείη; ἔπειτα οὐδὲ ἂν μὴ ὁμόφυλα ἐόντα μίσγηται, καὶ τὴν αὐτὴν ἔχοντα δύναμιν γεννᾷ. οὐδ' ἂν ταῦτα ἡμῖν συντελέοιτο. καὶ πάλιν, εἰ μὴ τὸ θερμὸν τῷ ψυχρῷ, καὶ τὸ ξηρὸν τῷ ὑγρῷ μετρίως πρὸς ἄλληλα ἕξει καὶ ἴσως, ἀλλὰ θάτερον θατέρου πολὺ προέξει, καὶ τὸ ἰσχυρότερον τοῦ ἀσθενεστέρου, ἡ γένεσις οὐκ ἂν γένοιτο. ὥστε πῶς εἰκὸς ἀπὸ ἑνός τι γεννηθῆναι; ὅτε γε οὐδ' ἀπὸ τῶν πλειόνων γεννᾶται, ἢν μὴ τύχῃ καλῶς ἔχοντα τῆς κρήσιος τῆς πρὸς ἄλληλα. ἀνάγκη τοίνυν τῆς φύσιος τοιαύτης ὑπαρχούσης, καὶ τῶν ἄλλων ἁπάντων, καὶ τῆς τοῦ ἀνθρώπου, μὴ ἓν εἶναι τὸν ἄνθρωπον, ἀλλ' ἕκαστον τῶν ξυμβαλλομένων ἐς τὴν γένεσιν, ἔχειν τινὰ δύναμιν ἐν τῷ σώματι, οἵην περ ξυνεβάλλετο. καὶ πάλιν γε ἀνάγκη ἀποχωρέειν εἰς τὴν ἑωυτοῦ φύσιν ἕκαστον, τελευτῶντος τοῦ ἀνθρώπου τό, τε ὑγρὸν, πρὸς τὸ ὑγρὸν, καὶ τὸ ξηρὸν, πρὸς τὸ ξηρὸν, καὶ τὸ θερμὸν, πρὸς τὸ θερμόν. καὶ τὸ ψυχρὸν, πρὸς τὸ ψυχρόν. τοιαύτη δὲ καὶ τῶν ζώων ἐστὶν ἡ φύσις. καὶ τῶν ἄλλων πάντων. γίνεταί τε ὁμοίως πάντα, καὶ τελευτᾷ ὁμοίως πάντα. ξυνίσταται γὰρ αὐτέων ἡ φύσις, ἀπὸ τουτέων τῶν προειρημένων πάντων. καὶ τελευτᾷ κατὰ τὰ εἰρημένα, εἰς τὸ ἑωυτό. ὅθεν περ ξυνέστη ἕκαστον, ἐνταῦθα οὖν καὶ ἀπεχώρησε. τὸ δὲ σῶμα τοῦ ἀνθρώπου, ἔχει ἐν ἑωυτῷ αἷμα καὶ φλέγμα, καὶ χολὴν διττὴν, ἤγουν ξανθήν τε καὶ μέλαιναν. καὶ ταῦτ' ἐστὶν αὐτέῳ ἡ φύσις τοῦ σώματος, καὶ διὰ ταῦτα ἀλγέει καὶ ὑγιαίνει. ὑγιαίνει μὲν οὖν μάλιστα, ὁκόταν μετρίως ἔχῃ ταῦτα τῆς πρὸς ἄλληλα κρήσιος καὶ δυνάμιος καὶ τοῦ πλήθεος. καὶ μάλιστα ἢν μεμιγμένα ᾖ. ἀλγέει δὲ, ὁκόταν τι τουτέων, ἔλασσον ἢ πλέον ᾖ. ἢ χωρισθῇ ἐν τῷ σώματι καὶ μὴ κεκρημένον ᾖ τοῖσι ξύμπασιν. ἀνάγκη γὰρ ὁκόταν τι τουτέων χωρισθῇ καὶ ἐφ' ἑωυτῷ στῇ, ἐνθένδε ἐξέστηκεν, οὐ μόνον τοῦτο τὸ χωρίον νοσερὸν γίνεται, ἀλλὰ καὶ ἔνθα ἂν ἐπιχυθῇ, ὑπερπιμπλάμενον, ὀδύνην τε καὶ πόνον παρέχειν. καὶ γὰρ ὅταν τι τουτέων ἔξω τοῦ σώματος ἐκρυῇ πλέον τοῦ ἐπιπολάζοντος, ὀδύνην παρέχει ἡ κένωσις. ἢν τ' αὖ πάλιν ποιήσηται εἴσω τὴν κένωσιν, καὶ τὴν μετάστασιν, καὶ τὴν ἀπόκρισιν ἀπὸ τῶν ἄλλων, πολλὴ αὐτέῳ ἀνάγκη διπλῆν τὴν ὀδύνην παρέχειν κατὰ τὰ εἰρημένα, ἔνθεν τε ἐξέστη καὶ ἔνθα ὑπερέβαλεν. εἶπον δὴ ἃ ἂν φήσω τὸν ἄνθρωπον εἶναι ἀποφαίνειν ἀεὶ, ταῦτα ἐόντα καὶ κατὰ νόμον καὶ κατὰ φύσιν. φημὶ δὴ εἶναι αἷμα. καὶ φλέγμα, καὶ χολὴν, ξανθήν τε καὶ μέλαιναν. καὶ τουτέων πρῶτον μὲν κατὰ τὸν νόμον τὰ οὐνόματα διωρίσθαι φημὶ, καὶ οὐδενὶ αὐτέων, τὸ αὐτὸ οὔνομα εἶναι. ἔπειτα τὰς ἰδέας κατὰ φύσιν κεχωρίσθαι, καὶ οὔτε τὸ φλέγμα οὐδὲν

ἐοικέναι τῷ αἵματι, οὔτε τὸ αἷμα, τῇ χολῇ· οὔτε τὴν χολὴν, τῷ φλέγματι. πῶς γὰρ ἂν ἐοικότα εἴη ταῦτα ἀλλήλοισιν, ὧν οὔτε τὰ χρώματα ὅμοια φαίνεται προσορώμενα, οὔτε τῇ χειρὶ ψαύοντι, ὅμοια δοκέει εἶναι; οὔτε γὰρ θερμὰ ὁμοίως ἐστίν· οὔτε ψυχρά· οὔτε ξηρὰ, οὔτε ὑγρά. ἀνάγκη τοίνυν ὅτι τοσοῦτον διήλλακται ἀλλήλων τὴν ἰδέην τε καὶ τὴν δύναμιν, μὴ ἓν αὐτὰ εἶναι. εἴπερ μὴ πῦρ τε καὶ ὕδωρ ταυτόν ἐστι. γνοίης δ' ἂν τοῖσδε, ὅτι οὐχ ἓν ταῦτα πάντα ἐστὶν, ἀλλ' ἕκαστον αὐτέων ἔχει δύναμίν τε καὶ φύσιν τὴν ἑωυτέου. ἢν γάρ τινι διδῷς ἀνθρώπῳ φάρμακον, ὅ, τι φλέγμα ἄγει, ἐμέεταί σοι φλέγμα· καὶ ἢν διδῷς φάρμακον, ὅ τι χολὴν ἄγει, ἐμέεταί σοι χολήν. κατὰ ταὐτὰ δὲ καὶ χολὴν μέλαιναν καθαίρει, ἢν διδῷς φάρμακον, ὅ, τι χολὴν μέλαιναν ἄγει· καὶ ἢν τρώσῃς αὐτέου τοῦ σώματος μέρος τι, ὥστε τραῦμα γενέσθαι, ῥυήσεται αὐτέῳ αἷμα. καὶ ταῦτα ποιήσει σοι πάντα πᾶσαν ἡμέρην καὶ νύκτα, καὶ χειμῶνος, καὶ θέρεος, μέχρις ἂν δύνηται τὸ πνεῦμα ἕλκειν εἰς ἑωυτὸν, καὶ πάλιν μεθιέναι, ἔστ' ἂν τινὸς τουτέων στερηθῇ τῶν ξυγγεγονότων. ξυγγέγονε δὲ ταῦτα τὰ εἰρημένα. πῶς γὰρ οὐ ξυγγέγονε; πρῶτον μὲν φανερόν ἐστιν ὁ ἄνθρωπος ἔχων ἐν ἑωυτῷ ταῦτα πάντα αἰεὶ, ἕως ἂν ζῇ. ἔπειτα γέγονεν ἐξ ἀνθρώπου, ταῦτα πάντα ἔχοντος. ἔπειτα τέθραπται ἐν ἀνθρώπῳ, ταῦτα πάντα ἔχοντι, ὁκόσα ἐγώ γε νῦν φημί τε καὶ ἀποδείκνυμι. οἱ δὲ λέγοντες ὡς ἕν ἐστιν ἄνθρωπος, δοκέουσί μοι ταύτῃ τῇ γνώμῃ κεχρῆσθαι. ὁρέοντες τοὺς πίνοντας τὰ φάρμακα, καὶ ἀπολλυμένους ἐν τῇσιν ὑπερκαθάρσεσι. τοὺς μὲν χολὴν ἐμέοντας. τοὺς δέ τινας, φλέγμα. τοῦτο ἕκαστον αὐτέων ἐνόμισαν εἶναι τὸν ἄνθρωπον, ὅ, τι καθαιρόμενον εἶδον αὐτὸν ἀποθανόντα. καὶ οἱ τὸ αἷμα φάντες εἶναι τὸν ἄνθρωπον, τῇ αὐτέῃ γνώμῃ χρέονται. ὁρέοντες ἀποσφαζομένους τοὺς ἀνθρώπους, καὶ τὸ αἷμα ῥέον ἐκ τοῦ σώματος, τοῦτο νομίζουσιν εἶναι τὴν ψυχὴν ἐν τῷ ἀνθρώπῳ. καὶ μαρτυρίοισι τουτέοισι πάντες χρέονται ἐν τοῖσι λόγοισι. καὶ πρότερον μὲν ἐν τῇσιν ὑπερκαθάρσεσιν οὐδεὶς πω ἀπέθανε χολὴν μούνην καθαρθείς. ἀλλ' ὁκόταν τις πίῃ φάρμακον, ὅ, τι χολὴν ἄγει, πρῶτον μὲν χολὴν ἐμέσει. ἔπειτα δὲ φλέγμα. ἔπειτα δὲ ἐπὶ τῇ χολῇ, ἐμέουσι χολὴν μέλαιναν ἀναγκαζόμενοι. τελευτῶντες δὲ καὶ αἷμα ἐμέουσι καθαρόν. ταὐτὰ δὲ πάσχουσιν ἀπὸ τῶν φαρμάκων τῶν τὸ φλέγμα ἀγόντων. πρῶτον μὲν γὰρ φλέγμα ἐμέουσιν. ἔπειτα χολὴν ξανθὴν, ἔπειτα μέλαιναν. τελευτῶντες δὲ αἷμα καθαρὸν, καὶ ἐν τῷδε ἀποθνήσκουσιν. τὸ γὰρ φάρμακον, ὁκόταν ἐσέλθῃ ἐς τὸ σῶμα, πρῶτον μὲν ἄγει, ὅ ἂν αὐτέῳ κατὰ φύσιν μάλιστα ᾖ, τῶν ἐν τῷ σώματι ἐνεόντων. ἔπειτα δὲ καὶ τἄλλα ἕλκει τε καὶ καθαίρει, ὥσπερ τὰ φυόμενά τε καὶ σπειρόμενα, ὁκόταν εἰς τὴν γῆν ἔλθῃ, ἕλκει ἕκαστον τὸ κατὰ φύσιν ἑωυτῷ ἐνεὸν ἐν τῇ γῇ. ἔνι δὲ καὶ ὀξύ· καὶ πικρὸν, καὶ γλυκύ· καὶ ἁλμυρὸν καὶ παντοῖον. πρῶτον μὲν οὖν πλεῖστον τουτέου εἵλκυσεν εἰς ἑωυτὸ, ὅ, τι ἂν ᾖ ἑωυτέῳ κατὰ φύσιν. ἔπειτα δὲ ἕλκει καὶ τἄλλα. τοιοῦτον δή τι καὶ τὰ φάρμακα ποιέει ἐν τῷ σώματι, ὁκόσα ἂν χολὴν ἄγῃ πρῶτον ἀκρητεστάτην ἐκάθηρε χολήν. ἔπειτα δὲ μεμιγμένην. καὶ πάλιν τὰ τοῦ φλέγματος φάρμακα, πρῶτον μὲν ἀκρητέστατον τὸ φλέγμα ἄγει. ἔπειτα δὲ μεμιγμένον. καὶ τοῖσιν ἀποσφαζομένοισιν, πρῶτον μὲν τὸ αἷμα ῥέει, θερμότατόν τε καὶ ἐρυθρότατον. ἔπειτα δὲ ῥέει φλεγματωδέστερον· καὶ χολωδέστερον. αὔξεται δὲ ἐν τῷ ἀνθρώπῳ, τὸ μὲν φλέγμα χειμῶνος. τοῦτο γὰρ τῷ χειμῶνι κατὰ φύσιν μάλιστα τῶν ἐν τῷ σώματι ἐνεόντων. ψυχρότατον γάρ ἐστι. τεκμήρια δὲ τουτέων, ὅτι τὸ μὲν φλέγμα ψυχρότατον. εἰ ἐθέλεις ψαῦσαι φλέγματος καὶ χολῆς, καὶ αἵματος, τὸ φλέγμα εὑρήσεις ψυχρότατον ἐὸν, καί τοι γλισχρότατόν ἐστι καὶ βίῃ μάλιστα ἄγεται μετὰ χολὴν μέλαιναν. ὁκόσα δὲ βίῃ ἔρχεται, θερμότερα γίνεται, ἀναγκαζόμενα ὑπὸ τῆς βίης. ἀλλ' ὅμως καὶ πρὸς πάντα ταῦτα ψυχρότατον ἐὸν τὸ φλέγμα φαίνεται ὑπὸ τῆς φύσιος τῆς ἑωυτοῦ. ὅτι δὲ ὁ χειμὼν πληροῖ τὸ σῶμα φλέγματος, γνοίης ἂν τοῖσδε. οἱ ἄνθρωποι πτύουσί τε καὶ ἀπομύσσονται φλεγματωδέστατον τοῦ χειμῶνος. καὶ τὰ οἰδήματα, λευκότατα γίνεται μάλιστα ταύτην τὴν ὥρην. καὶ τἄλλα νοσήματα φλεγματώδεα. τοῦ δὲ ἦρος, τὸ φλέγμα, ἔτι μὲν ἰσχυρότερον ἐν τῷ σώματι, καὶ τὸ αἷμα αὔξεται. τά τε γὰρ ψύχεα ἐξανίει, καὶ τὰ ὕδατα ἐπιγίνεται. τὸ δὲ αἷμα κατὰ ταῦτα αὔξεται, ὑπό τε τῶν ὄμβρων, καὶ τῶν θερμημερίων. κατὰ φύσιν γὰρ αὐτέων ταῦτά ἐστι μάλιστα τοῦ ἐνιαυτοῦ. ὑγρόν τε γάρ ἐστι καὶ θερμόν. γνοίης δ' ἂν τοῖσδε. οἱ ἄνθρωποι τοῦ ἦρος καὶ τοῦ θέρεος, μάλιστα ὑπό τε τῶν δυσεντεριῶν ἁλίσκονται, καὶ ἐκ τῶν ῥινέων αἷμα ῥέει αὐτέοισι. καὶ θερμότατοί εἰσι καὶ ἐρυθροί. τοῦ δὲ θέρεος, τό, τε αἷμα ἰσχύει ἔτι. καὶ ἡ χολὴ ἀείρεται ἐν τῷ σώματι, καὶ παρατείνει ἐς τὸ φθινόπωρον. ἐν δὲ τῷ φθινοπώρῳ, τὸ μὲν αἷμα ὀλίγον γίνεται, ἐναντίον γὰρ αὐτέου τὸ φθινόπωρον τῇ φύσει ἐστίν. ἡ δὲ χολὴ, τὴν θερείην κατέχει τὸ σῶμα, καὶ τὸ φθινόπωρον. γνοίης δ' ἂν τοῖσδε. οἱ ἄνθρωποι αὐτόματοι ταύτην τὴν ὥρην χολὴν ἐμέουσι, καὶ ἐν τῇσι φαρμακοποσίῃσι χολωδέστερα καθαίρονται. δῆλον δὲ καὶ τοῖσι πυρετοῖσι, καὶ τοῖσι χρώμασι τῶν ἀνθρώπων. τὸ δὲ φλέγμα τῆς θερείης, ἀσθενέστατόν ἐστιν αὐτὸ ἑωυτοῦ. ἐναντίη γὰρ αὐτέου ἐστὶ τῇ φύσει, ἡ ὥρη. ξηρή τε γάρ ἐστι καὶ θερμή. τὸ δὲ αἷμα τοῦ φθινοπώρου, ἐλάχιστον γίνεται ἐν τῷ ἀνθρώπῳ. ξηρόν τε γάρ ἐστι τὸ φθινόπωρον. καὶ ψύχειν ἤδη ἄρχεται τὸν ἄνθρωπον. ἡ δὲ μέλαινα χολὴ, τοῦ φθινοπώρου τε πλείστη καὶ ἰσχυροτάτη ἐστίν. ὁκόταν δὲ ὁ χειμὼν καταλαμβάνῃ, ἥ τε χολὴ ψυχομένη, ὀλίγη γίνεται. καὶ τὸ φλέγμα αὔξεται πάλιν, ἀπό τε τοῦ ὑετοῦ τοῦ πλήθεος, καὶ ἀπὸ τοῦ μήκεος τῶν

κεος τῶν

κεος τῶν νυκτῶν. ἔχει μὲν οὖν ταῦτα πάντα αἰεὶ τὸ σῶμα τοῦ ἀνθρώπου, ὑπὸ δὲ τῆς περιισταμένης ὥρης, ποτὲ μὲν, πλείω γίνεται, σφῶν αὐτὰ ἑωυτέων, ποτὲ δὲ, ἐλάσσω ἕκαστα κατὰ μέρος καὶ κατὰ φύσιν. ὥσπερ ὁ ἐνιαυτὸς μετέχει μὲν πᾶς πάντων, καὶ τῶν θερμῶν καὶ τῶν ψυχρῶν· καὶ τῶν ξηρῶν καὶ τῶν ὑγρῶν. οὐ γὰρ ἂν μείνειεν τουτέων οὐδὲν, οὐδένα χρόνον, ἄνευ πάντων τῶν ἐνεόντων ἐν τῷδε τῷ κόσμῳ, ἀλλ' εἰ ἕν τι ἐκλίποι, πάντ' ἂν ἀφανισθείη. ἀπὸ γὰρ τῆς αὐτέης ἀνάγκης, πάντα ξυνέστηκέ τε καὶ τρέφεται ὑπ' ἀλλήλων. οὕτω δὲ καὶ εἴ τι ἐκ τοῦ ἀνθρώπου ἐκλίποι τουτέων τῶν ξυγγεγονότων, οὐκ ἂν δύναιτο ζῆν ὁ ἄνθρωπος. ἰσχύει δὲ ἐν τῷ ἐνιαυτῷ, ποτὲ μὲν, ὁ χειμὼν μάλιστα, ποτὲ δὲ, τὸ ἔαρ. ποτὲ δὲ, τὸ θέρος. ποτὲ δὲ, τὸ φθινόπωρον. οὕτω δὲ καὶ ἐν τῷ ἀνθρώπῳ. ποτὲ μὲν, φλέγμα ἰσχύει. ποτὲ δὲ, τὸ αἷμα. ποτὲ δὲ, ἡ χολή. πρῶτον μὲν ἡ ξανθή. ἔπειτα δ' ἡ μέλαινα καλεομένη. μαρτύριον δὲ σαφέστερον, εἰ ἐθέλεις τῷ αὐτέῳ ἀνθρώπῳ δοῦναι τὸ αὐτὸ φάρμακον τετράκις τοῦ ἐνιαυτοῦ, ἐμέεταί σοι τοῦ μὲν χειμῶνος, φλεγματωδέστατα. τοῦ δὲ ἦρος, ὑγρότατα. τοῦ δὲ θέρεος, χολωδέστατα. τοῦ δὲ φθινοπώρου, μελάντατα. ὀφείλει οὖν τουτέων ὧδε ἐχόντων, ὁκόσα μὲν τῶν νοσημάτων τοῦ χειμῶνος αὔξεται, θέρεος λήγειν. ὁκόσα δὲ θέρεος αὔξεται, χειμῶνος λήγειν. ὁκόσα μὴ αὐτέων, ἐν περιόδῳ ἡμερέων ἀπαλλάσσεται, τὴν δὲ περίοδον αὖθις φράσω, τὴν τῶν ἡμερέων. ὁκόσα δὲ ἦρος γίνεται νουσήματα, προσδέχεσθαι χρὴ φθινοπώρου τὴν ἀπαλλαγήν. ὁκόσα δὲ φθινοπωρινὰ νουσήματα, τουτέων τοῦ ἦρος ἀνάγκη τὴν ἀπάλλαξιν γενέσθαι. ὅτι δ' ἂν τὰς ὥρας ταύτας ὑπερβάλλῃ νόσημα, εἰδέναι χρὴ ὡς ἐνιαύσιον αὐτὸ ἐσόμενον, καὶ τὸν ἰητρὸν οὕτω χρὴ ἰῆσθαι. τὰ νοσήματα ὡς ἑκάστου τουτέων ἰσχύοντος ἐν τῷ σώματι κατὰ τὴν ὥρην τὴν ἑωυτῷ κατὰ φύσιν οὖσαν μάλιστα.

Ταῦτα γνήσια οὐκ ἐστὶν, ἀλλὰ προσκείμενα τῷ περὶ φύσιος ἀνθρώπου βιβλίῳ, ὡς Γαληνός φησι.

Εἰδέναι δὲ χρὴ καὶ τάδε, πρὸς ἐκείνοισιν. ὅτι ὁκόσα πλησμονὴ τίκτει νοσήματα, κένωσις ἰῆται. ὁκόσα δὲ, ἀπὸ κενώσιος γίνεται νοσήματα, πλησμονὴ ἰῆται. ὁκόσα δὲ, ἀπὸ ταλαιπωρίης γίνεται, ἀνάπαυσις ἰῆται. ὁκόσα δ' ὑπ' ἀργίης τίκτεται, ταλαιπωρίη ἰῆται. τὸ δὲ ξύμπαν γνῶναι δεῖ τὸν ἰητρὸν, ἐναντίον ἵστασθαι τοῖσι καθεστεῶσι καὶ νουσήμασι, καὶ εἴδεσι, καὶ ὥρῃσι, καὶ ἡλικίῃσι, καὶ τὰ συντείνοντα λύειν, καὶ τὰ λελυμένα συντείνειν. οὕτω γὰρ ἂν μάλιστα τὸ κάμνον ἀναπαύοιτο. ἥ τε ἴησις, τοῦτό μοι δοκέει εἶναι. αἱ δὲ νοῦσοι γίνονται, αἱ μὲν, ἀπὸ τῶν διαιτημάτων. αἱ δὲ, ἀπὸ τοῦ πνεύματος, ὃ ἐσαγόμενοι ζῶμεν. τὴν δὲ διάγνωσιν χρὴ ἑκατέρων, ὧδε ποιέεσθαι. ὁκόταν μὲν ὑπὸ νοσήματος ἑνὸς πολλοὶ ἄνθρωποι ἁλίσκωνται κατὰ τὸν αὐτὸν χρόνον, τὴν αἰτίην χρὴ ἀνατιθέναι τουτέῳ, ὅ, τι κοινότερόν ἐστι, καὶ μάλιστα αὐτέῳ πάντες χρεώμεθα. ἔστι δὲ τοῦτο ὃ ἀναπνέομεν. φανερὸν γὰρ ἤδη, ὅτι τὰ διαιτήματα ἑκάστου ἡμῶν, οὐκ αἴτιά ἐστιν, ὅτε ἅπτεται πάντων ἡ νοῦσος ἑξῆς. καὶ τῶν νεωτέρων, καὶ τῶν πρεσβυτέρων, καὶ γυναικῶν καὶ ἀνδρῶν ὁμοίως. καὶ τῶν θωρησσομένων καὶ τῶν ὑδροποτεόντων. καὶ τῶν μᾶζαν ἐσθιόντων. καὶ τῶν ἄρτον σιτεόντων. καὶ τῶν πολλὰ ταλαιπωρεόντων, καὶ τῶν ὀλίγα. οὐκ ἂν οὖν τά γε διαιτήματα αἴτια εἴη, ὁκόταν διαιτεύμενοι πάντας τρόπους οἱ ἄνθρωποι ἁλίσκωνται ὑπὸ τῆς αὐτέης νόσου, ὁκόταν δὲ αἱ νοῦσοι γίνωνται παντοδαπαὶ κατὰ τὸν αὐτὸν χρόνον, δῆλον ὅτι τὰ διαιτήματα εἰσὶν αἴτια ἕκαστα ἑκάστοισι. καὶ τὴν θεραπείην χρὴ ποιέεσθαι ἐναντιούμενον τῇ προφάσει τῆς νούσου, ὥσπερ μοι πέφρασται καὶ ἑτέρωθι, καὶ ἐκ τῶν διαιτημάτων μεταβάλλειν. δῆλον γὰρ ὅτι οἷσί γε χρῆσθαι εἴωθεν ὁ ἄνθρωπος διαιτήμασιν, οὐκ ἐπιτήδειά οἱ ἐστιν, ἢ πάντα, ἢ τὰ πλείω, ἢ ἕν γέ τι αὐτέων. ἃ δεῖ καταμαθόντα μεταβάλλειν. καὶ σκεψάμενον τοῦ ἀνθρώπου τὴν φύσιν, τήν τε ἡλικίην, καὶ τὸ εἶδος, καὶ τὴν ὥρην τοῦ ἔτεος, καὶ τῆς νούσου τὸν τρόπον, τὴν θεραπείαν ποιέεσθαι. ποτὲ μὲν, ἀφαιρέοντα. ποτὲ δὲ, προστιθέντα. ὥσπερ μοι καὶ πάλαι εἴρηται πρὸς ἑκάστας τῶν ἡλικιέων, καὶ τῶν ὡρέων. καὶ τῶν ἰδεῶν, καὶ τῶν νόσων, ἔν τε τῇσι φαρμακείῃσι προστρέπεσθαι, καὶ ἐν τοῖσι διαιτήμασιν. ὁκόταν δὲ νοσήματος ἑνὸς ἐπιδημίη καθεστήκῃ, δῆλον ὅτι οὐ τὰ διαιτήματα αἴτιά ἐστιν, ἀλλ' ὃ ἀναπνέομεν τοῦτο αἴτιόν ἐστι. καὶ δῆλον ὅτι τοῦτο νοσηρήν τινα ἀπόκρισιν ἔχον ἂν εἴη. τοῦτον χρὴ τὸν χρόνον τὰς παραινέσιας ποιέεσθαι τοῖσιν ἀνθρώποισι, τοιάσδε. τὰ μὲν διαιτήματα μὴ μεταβάλλειν, ὅτι γε οὐκ αἴτιά ἐστι τῆς νόσου. τὸ δὲ σῶμα ὁρᾶν, ὅκως ἔσται ὡς ἀογκότατον καὶ ἀσθενέστατον. τῶν σιτίων τε ἀφαιρέοντα, καὶ τῶν ποτῶν, οἷσιν εἰώθει χρέεσθαι κατ' ὀλίγον. ἢν γὰρ μεταβάλῃ ταχέως τὴν δίαιταν, κίνδυνος καὶ ἀπὸ τῆς μεταβολῆς νεώτερόν τι γίνεσθαι ἐν τῷ σώματι. ἀλλὰ χρὴ τοῖσι μὲν διαιτήμασιν οὕτω χρέεσθαι, ὅτε γε φαίνεται μηδὲν ἀδικέοντα τὸν ἄνθρωπον. τοῦ δὲ πνεύματος, ὅκως ἐλαχίστη ἡ ῥύσις ἐς τὸ σῶμα ἐσίοι, καὶ ὡς ξενωτάτη ἔσται προμηθέεσθαι. τῶν τε χωρίων τοὺς τόπους μεταβάλλοντα εἰς δύναμιν, ἐν οἷσιν ἂν ἡ νοῦσος καθεστήκει, καὶ τὰ σώματα λεπτύνοντα. οὕτω γὰρ ἂν ἥκιστα πολλοῦ τε καὶ πυκνοῦ πνεύματος χρῄζοιεν οἱ ἄνθρωποι. ὁκόσα δὲ τῶν νοσημάτων ἀπὸ τοῦ σώματος γίνεται τῶν μελέων τοῦ ἰσχυροτάτου, ταῦτα δεινότατά ἐστι. καὶ γὰρ ἢν αὐτοῦ μένῃ ἔνθα ἂν ἄρξηται, ἀνάγκη τοῦ ἰσχυροτάτου τῶν μελέων πονεομένου, ἅπαν τὸ σῶμα πονέεσθαι. καὶ ἢν ἐπί τι τῶν ἀσθενεστέρων ἀφίκηται ἀπὸ τοῦ ἰσχυροτέρου, χαλεπαὶ αἱ ἀπολύσιες γίνονται. ὁκόσα δ' ἂν ἀπὸ τῶν ἀσθενεστέρων ἐπὶ τὰ ἰσχυρό-

τοῦτο ἕλθοι, βλυπώτερά ἐστιν. ὁκοῖον γὰρ τῆς ἰχύος ἀποκλάσαντες ῥηϊδίως τὰ ἐπερέοντα. αἱ παχύτατοι δὲ τῶν φλεβέων, ὡδὲ πέφυκασι. τέσσερα ἐστὶν ἃ τῷ σώματι. ἡ μὲν αὐτέων, ἀφ' ἧς ἡ κεφαλὴς ὄπιθεν ἀρξαμένη διὰ τοῦ αὐχένος, ἐξέισιν ἐπὶ πλεῖστον ἐπὶ τὰ ὀπίσω, ἐνθεν τε καὶ ἐνθεν πέρα τοῦ ἰχίου ἀφικνέεται, ἡ δὲ ἐς τὰ σπίελεα. ἔπειτα διὰ τῆς κνημέων ἡ τὴν σφυρὸν τὰ ἔξω ἡ ἐς τὸν πόδας δύνει. λεῖα οὖν τοῖς φλεβοτομέουσι τοῖς ἐπὶ τῆς ἀλγημάτων ἢ ἐν τῷ νώτῳ ἡ τοῖσιν ἰχίοισιν, ἀφ' ἧς ἡ γνύων ποιέεται ἡ ἀφ' ἧς σφυρῶν ἔξεισιν. αἱ δ' ἑτέραι φλέβες ἔχουσιν ἐκ τῆς κεφαλῆς παρὰ τὰ οὖατα, διὰ τοῦ αὐχένος, αἱ σφαγίτιδες καλεόμεναι. ἐσιοῦσιν παρὰ τοὺς ὠμοπλάτας ἐς τοὺς ἔρχαμα· ἡ ἐς τοὺς μηροὺς. ἡ διὰ τῆς ἡ γνύων, ἐκ τοῦ ἔμπροσθεν μέρεος. ἔπειτα διὰ τῆς κνημέων παρὰ τὰ σφυρὰ ἐισιοῦσιν, ἡ ἐς τοὺς πόδας. λεῖα δὲ καὶ τοῖς φλεβοτομέουσι, πρὸς τοῖς ὠδυνέουσι ποιέεσθαι, τοῖς ἀφ' ἧς ἡλοῶν ἡ τῆς ὀρχίων, ἀφ' ἧς ἡ γνύων ἡ ἀφ' ἧς σφυρῶν ἔισιοῦσιν. αἱ δὲ τέτταρες φλέβες, ἐκ τοῦ κροτάφων διὰ τοῦ αὐχένος, ὁκοῖαι τοῖς ὠμοπλάταις· ἔπειτα συμφορέονται ἐς ἓν τὸ καλούμενα, ἡ ἀφικνέεται. ἡ μὲν, ἀφ' ἧς δεξιῶν, ἐς τὰ ἀριστερὰ· ἡ δὲ, ἀφ' ἧς ἀριστερῶν, ἐς τὰ δεξιά. καὶ ἡ μὲν δεξιὴ, ἀφικνέεται ὁκοῖαι ἐν μαζὸν, ἡ ἐς ἓν ἀσθμὸν· ἡ δὲ ἀφ' ἧς ἀριστερῶν ἐς τὰ δεξιὰ, ἐκ τοῦ καλούμενος, ὁκοῖαι ἐν μαζὸν. ἡ ἐς τὸ ἧπαρ, καὶ ἐν νεφρόν. τελευτῶσι δὲ ἐκ τῆς ἀρχῆς, αὖται ἑκάτεραι. αἱ δὲ τέταρται, ἀφ' ἧς ἔμπροσθεν τῆς κεφαλῆς ἡ τὴν ὀφθαλμὸν, ὁκοῖαι ἐν αὐχένα ἡ τὰς κλεῖδας. ἔπειτα ὁκοῖαι τὸν βραχίονα, ἄνωθεν ἐς τὰς ξυγκάμπας. ἔπειτα δὲ διὰ τῆν πήχεων ἡ ἐπὶ τοὺς καρπούς ἡ τοὺς δακτύλους. ἔπειτα ἀφ' ἧς δακτύλων πάλιν διὰ τῆς πήχεων ἡ τῆς χειρῶν ἄνωθεν ἐς τὰς ξυγκάμπας. ἡ διὰ τῆς βραχίονων τῆς ἔμπροσθεν μέρεες, εἰς τὰς μασχάλας. ἡ ἀφ' ἧς τῆν μασχαλέων ἄνωθεν, ἡ μὲν, ἐς ἓν ἀσθμὸν ἀφικνέεται· ἡ δὲ, εἰς ἓν ἧπαρ. ἔπειτα ὑπὸ τῆς ἀγκῶνος ἐς τὸ ἀμφοδίον τελευτῶσιν ἀμφότεραι. ἡ αἱ μὲν παχύταται τῶν φλεβέων, ὡδὲ ἔχουσιν. εἰσὶ δὲ ἡ αἱ ἀφ' ἧς κοιλίης φλέβες, αἳ ἐς σῶμα πάμπολλαί τε ἡ παντοῖαι. ἡ δι' ὧν ἡ ῥοφὴ ἐν τῷ σώματι ὄρχεται. φορέουσι δὲ ἀφ' ἧς τῆν παχέων φλεβῶν ἐς τὸ κοιλίῃ ἡ ἐς ἓν ἄλλο σῶμα, ἡ ἀφ' ἧς τὰ ἔξω ἡ ἀφ' ἧς τῆν ἔσω. ἡ ἐς ἄλληλα διδόασιν, αἵτε ἔσωθεν ἔξω. ἡ αἱ ἐξωθεν ἔσω. τὰς οὖν φλεβοτομέοισι λεῖα ποιέεσθαι, καὶ κατὰ τοὺτους τοὺς λόγους. ἐπιτηδεύειν δὲ χρὴ τὰς τομὰς, ὡς προσωτάτω τέμνειν ἀφ' ἧς τῆν χωρέων, ἐνθα αἱ ἀδυναίμεναι μεμαθήκασι γίνεσθαι, ἡ ἦ αἷμα συλλέγεσθαι. οὕτως γὰρ αἱ ἥκιστα μεταβολὴ ἥκιστα μεγάλη γίνοιτο ὀξαπίνης. καὶ ἦ ἔθος μεταστήσειε αἷμ, ὡς τε μηκέτι ἐς ἦ αὐτὴ χωρέον ξυλλέγεσθαι. ὁκόσοισι πυὸν πολλὸν πῦουσιν, ἄτε πυρετῶ ἐόντος, καὶ ὁκόσοισιν ἀπὸ ἦ οὖρον πύον ὑφίστατε πολλὸν, ἄτερ ὀδυνέων ἐούσης. ἡ ὁκόσοισι τὰ ὑποχωρήματα, αἱματώδεα, ὡς πρὸ τῆσι λύσεων τοῖσι, ἡ χρόνια ἀνθρώποισιν ἐούσι, πέντε καὶ τεσσεράκοντα ἐτέων, ἡ χεραιτρόποισι, τουτέοισι πᾶσιν ἀφ' ἧς αὐτέου τὰ νουσήματα γίνεται. ἀνάγκη γὰρ τουτέους, τὰ λευκὰ πῶρους τε γενέσθαι καὶ φλεγματώδεα τῷ σώματι. ἡ ὀρχάτας γεγανισθέντας ἔχοντας. ἔπειτα δὲ ἐξαναθέντας τῆν πόνων, σαρκωθῆναι μαλθακῆ σαρκὶ, ἡ πουλὺ διαφορέουσι τῆ προτέρης. ἡ πολλὸν, διακεκεμένον ἔχειν τὸ σῶμα, τό, τε προῦπάρχον ἡ ἐπιῤῥαφὲν ὥς τε μὴ ὁμογενέειν. ὁκόταν οὖν νόσημά τι ἦ κατὰ λάβῃ τῶν οὕτω διακειμένων, ἐν μὲν παραχρῆμα διαφθείγουσιν. ὕδατα δὲ μετὰ πλὼ νοῦσον, χρόνῳ τήκεται ἐν σῶμα, ἡ ῥέει διὰ τῆ φλεβῶν, ἢ ἂν θύραζε χωρέῃ μάλιστα τύχῃ, ἰχωροειδὲς. ἢν μὲν οὖν ὁρμήσῃ ἐς πλὼ κοιλίῃ πλὼ ἦ κάτω, χεδὸν δὴ πᾶν τὸ σώματι ἐλεῖν, τοιοῦτον ἡ ἐν διαχώρημα γίνεται. ἅτε γὰρ τῆς ὁδοῦ ἦ κατάντιος ἐούσης, οὐκ ἴσασιν πολλὸν χρόνον ἐν τῷ ἐν τόπῳ ἐνοχλέον, ὑπὸ πυοειδὲς γίνεσθαι. ἅτε τ' ἦ καθαρσίοις ἀνάντεος ἐούσης ἡ χρόνον ἐνανλιζόμενον πουλὺ ἐν τῷ σήθεϊ, ἦ κατασήπεται, ἡ γίνεται πυοειδὲς. ὁκόσοισι δ' ἀνὲς πλὼ κύστιν ὀξυδρόγκαται, ὑπὸ τ' θρῴ μότητος τοῦ χωρίου τοῦτο ἡ θρῴ μὸν ἡ λευκὸν γίνεται, ἡ διακείνεται. ἡ ἦ μὲν αὐχμώδεστατον, ἐθέλουσι ἀφικνέεσθαι ἄνω. ἦ δὲ παχύτατον, ἦ κάτω. ὃ δὴ πύον ἦ καλέεται. γίνεται δὲ ἡ οἱ λίθοι τοῖσι παιδίοισι διὰ πλὼ θρῴ μότητα τοῦ χωρίου τουτέου, ἡ τῶ ὅλου σώματος. τοῖσι δὲ ἀνδράσιν οὐ γίνονται λίθοι, διὰ πλὼ ψυχρότητα τοῦ σώματος. δυνῴ χρὴ εἰδέναι, ὅτι ὁ ἄνθρ, τῇ πρώτῃ τῆν ἡμερέων, θῴ μότατός ἐστιν ἀνθρ ἑωυτῶ. τῇ δὲ ὑστάτῃ, ψυχρότατος. ἀνάγκη χρὴ αὐξανόμενον ἡ χωρέον ἦ σῶμα πρὸς βίλιω θῴ μὸν εἶναι. ὁκόταν δὲ ἄρχηται μαραίνεσθαι ἦ σῶμα, ἡ κατ' ἐρέον πρὸς ὑπέτειαν, ψυχρότερον γίνεται ἡ κατὰ τοῦτον ἦν λόγον. ὁκόσον τουτέων τῆν ἡμερέων πλὼ πρώτην πλεῖσον αὔξεται ὁ ἄνθρ, τοσοῦτον θῴ μότερος γίνεται. ἡ τῇ ὑστάτῃ τ' ἡμερέων, ὅσον πλεῖσον ἡ κατα μαραίνεται, τοσοῦτον ἀνάγκη ψυχρότερον εἶναι. ὑγιέες δὲ γίνονται αὐτόματοι, οἱ οὕτως διακείμενοι. πλεῖστοι μὲν οὖν τῇ ὥρῃ, λίω δὲ ἀρξέωνται τῆ ἡλικίῃ πέντε ἡ εἴκοσιν ἐτέων, ἕως τῆν πέντε ἡ τεσσεράκοντα. ὅτι καὶ ἡ ἡλικίη αὕτη, πλεῖστον χρόνον ἐν τῷ σώματι ἐνέοντων χυμῶν, πλειστάκις ἐπιῤῥεόντων. ἡ τε φθινοπώρου ἐστὶν ὥρη μάλιστα ποιέουσα τῆν ἡλικιῶν. ἡ τε φθινοπώρου ἐστὶ καὶ ὥρη μάλιστα ποιέουσα τῆν ὡρέων, ἐπιτηδειοτάτη. ὁκόσοι δ' ἂν ἁλῶσιν ἔξω τῆς ὥρης ταύτης, καὶ τῆς ἡλικίης, πλεῖστα τὰ τεσσεράκοντα, δεῖ χρὴ εἰδέναι μὴ χρόνιον ἐσόμενον ἐν πυρετῷ, ἵνα μὴ ἄλλό τι κακουργῆται ὁ ἄνθρωπος.

γόντων τῆν φυμάτων, πῶροι συνέζαφησαν ἐκ τοῦ πόου, οἵ τινες ἔξω βλίβουσι δὴ τ' φλεβὸς, σὺν τῷ οἴδεϊ ἐς πλὼ κύστιν. ὁκόσοισι δὲ αἱματώδεα μὲν τὰ οὐρήματα, τουτέοισιν αἱ φλέβες πεπονήκασιν. ὁκόσοισι δὲ ἐν τῷ οὐρήματι παχέα ἐόντα, σαρκία μικρὰ τεχοειδέα συνδρέχεται, ταῦτα δὲ ἀφ' ἧ νεφρῶν, εἰδέναι χρὴ ἐόντα, καὶ ἀφ' ἧ ἀρθρητικῶν. ὁκόσοισι δὲ καθαρὸν ἦ οὖρον, ἄλλο τι ἦ ἄλλο τι, ὁμοῖον δὲ πίτυρα ἐπιφορέεται σὺν τῷ οὐρήματι, τουτέων ἡ κύστις λῴστα. οἱ πολλοῖσι τῆν πυρετῆν, γίνονται ἀφ' ἧς χολῆς. εἰδέα δὲ σφέων εἰσὶ τέσσερα, χωρὶς τῆν σὺν τῆσιν ὀδυνῆσι γινομένων, τῆσιν ἄποκεκριμένησιν. ὀνόματα δ' αὐτοῖσιν ἔστι, ξυνόχος. ἀμφημερινὸς. δι' τοῦς. τεταρταίους. ὁ μὲν οὖν ξυνόχος καλεόμενος, γίνεται ἀφ' πολείσης χολῆς, ἡ ἀκρητεστάτης. καὶ τοῖς κείσασ' οὐ ἐλαχίστῳ χρόνῳ ποιέεται. ἦ γὰρ σῶμα, οὐ διαλυχόμενον οὐδένα χρόνον, συντήκεται ταχέως. ἅτε καθοῦ πολλοῦ τοῦ θῴ μοῦ θῴ μαινόμενον. ὁ δὲ ἀμφημερινὸς μετὰ ἦν ξυνόχον, ἀφ' πλείσης χολῆς γίνεται, ἡ ἀκρητεστάτης, ἧσσον δὲ πολλῷ τοῦ ξυνόχου. μακρότερος δὲ τοῦ τεταρταίους. ὁκόσῳ ἀφ' ἑλαστοτάτης γίνεται χολῆς. καὶ ὁ, τι ἔχει ἀνάπαυσιν ἦ σῶμα. οὐ δὲ τῷ ξυνόχῳ, οὐκ ἀναπαύεται οὐδένα χρόνον. ὁ δὲ τεταρταῖος, μακρότερός ἐστι τοῦ ἀμφημερινοῦ. ἡ ἀφ' χολῆς ἑλάστοτος γίνεται. ὁκόσῳ δὲ πλείονα χρόνον οὗτῳ ἡ τῷ ἀμφημερίνῳ, ἦ σῶμα διαναπαύει, τοσούτῳ χρονιώτερος οὗτος ὁ πυρετὸς τοῦ ἀμφημερινοῦ ἐστιν. οἱ δὲ τεταρταῖοι, τοῖς μὲν ἄλλοισιν ἦ ἀνθρ λόγον. χρονιώτεροι δέ, τῆν τεταταίων εἰσὶν. ὁκόσοι ἐλαχίστου τι μέρος μετέχουσι χολῆς, τῆς πλὼ θῴ μασίλλου παρεχούσης, τοῦτο διαλυχέωσαν ἦ σῶμα, πλεῖστα μετέχουσι φλέγματος γίνεται δὲ αὐτοῖσιν, ἀφ' μελαίνης χολῆς, ἦ πρίστον τοῦτο ἡ διυσκαπάλλακτον. μέλαινα γὰρ χολὴ ἐστὶ τῷ σώματι σπανιόντων χυμῶν, γλισχρότατον, ἡ τοῖς ὅροισι χρονιωτάτοισι πεποίηται. γνώσῃ δὲ τῷδε, ὁ τι οἱ τεταρταῖοι πυρετοὶ μετέχουσι τοῦ μελαγχολικοῦ. φθινοπώρου γὰρ μάλιστα οἱ αὖοι ἁλίσκονται τῶν τεταρταίων. καὶ τῇ ἡλικίῃ, ἀφ' πέντε ἡ εἴκοσιν ἐτέων, ἕως τῆν πέντε ἡ τεσσεράκοντα. ὅτι καὶ ἡ ἡλικίη αὕτη, τοῦ μελαίνης χολῆς κατέχεται μάλιστα ποιεόντων τῆν ἡλικιῶν. ἡ τε φθινοπώρου ἐστὶ καὶ ὥρη μάλιστα ποιεόντων τῆν ὡρέων, ἐπιτηδειοτάτη. ὁκόσοι δ' ἂν ἁλῶσιν ἔξω τῆς ὥρης ταύτης, καὶ τῆς ἡλικίης, τοῦ τεταρταίους, δεῖ χρὴ εἰδέναι μὴ χρόνιον ἐσόμενον ἐν πυρετῷ, ἵνα μὴ ἄλλό τι κακουργῆται ὁ ἄνθρωπος.

Περὶ διαίτης ὑγιεινῆς. τόδε ἦ βιβλίον καὶ αὖ ἦ τῷδε φύσιος ἀνθρώπου προσκείμενον, Γαλήνου τοῦ ἱπποκράτους μαθητοῦ Γαλλιώς εἶναί φησι.

Τοὺς ἰδιώτας, ὡδὲ χρὴ διαιτᾶσθαι. τοῦ μὲν χειμῶνος ἐσθίειν ὡς πλεῖστα. πίνειν δ' ὡς ἐλάχιστα. εἶναι δὲ ἦ πόμα. οἶνον ὡς ἀκρητέστερον. τὰ δὲ σιτία, ἄρτον. ἦ τὰ ὄψα, ὁπόσα πάντα. λαχάνοισι δὲ ὡς ἐλαχίστοισι χρῆσθαι ἡ κατὰ ταύτην πλὼ ὥρην. οὕτω γὰρ ἂν μάλιστα ἦ σῶμα, ξηρόν τε εἴη καὶ θῴ μὸν. ὁκόταν δὲ ἦ ἔαρ ἐπιλαμβάνῃ, τότε χρὴ πόμα πλεῖον πίνειν οἶνον ὑδαρέστερον καὶ ἡ κατ' ὀλίγον. ἡ τοῖσι σιτίοισι μαλακωτέροισι χρέεσθαι ἡ ἐλάσσοσι. ἡ ἦν ἄρτον ἀφαιρέωσι τινα, μάζαν προσίεσθαι. ἡ τὰ ὄψα κατὰ ἦν αὖ ἦν λόγον ἀφαιρέειν. ἡ ἐκ τῆν ὀπῶν, πάντα ἐφθὰ ποιέεσθαι. ἡ λαχάνοισι διαχρέεσθαι τοῦ ἥρος ὀλίγοισιν, ὁκοῖος ἐς πλὼ θῴ μὸν ἡ κατασήσεται ὁ ἄνθρωπος. τοῖσι τε σιτίοισι μαλακωτέροισι χρώμενος, ἡ τοῖσιν ὄψοισιν ἐφθοῖσι. καὶ λαχάνοισιν ἐφθοῖσι καὶ ὠμοῖσιν. ὡσαύτως καὶ τοῖσι πόμασιν, ὡς ὑδαρεστάτοισι, ἡ πλείστοισιν. καὶ ὁκοῖος μὴ μεγάλη ἡ μεταβολὴ ἔστω, κατὰ μικρὸν μὴ ὀξαπίνης χρεομένῳ, τοῦ δὲ θέρεος, τῇ τε μάζῃ μαλακῇ χρέεσθαι. ἡ τῷ ποτῷ ὑδαρεῖ ἡ πολλῷ. ἡ τοῖσιν ὄψοισι πᾶσιν ἐφθοῖσι. καὶ οὕτω δεῖ χρέεσθαι τουτέοισιν, ὁκόταν ἦ θέρος ἡ, ὁκοῖος ψυχρὸν εἴη ἦ σῶμα. καὶ μαλακὸν. καὶ χρὴ ἡ ὥρη, θέρμη τε καὶ ξηρὴ. ἡ ποιέει τὰ σώματα καυματώδεα, ἡ αὐχμηρά. δεῖ οὖν τοῖσιν ἐπιτηδεύμασι τουτέοισιν, ἀλέ ξασθαι. κατὰ δὲ ἦν αὖ ἦν λόγον, ὡς πρὸ ἐκ τοῦ χειμῶνος εἰς ἦ ἦρος, οὕτω ἡ ἐκ τοῦ ἦρος εἰς ἦ θέρος κατασήσεται. τῆν μὲν σιτίων, ἀφαιρέων, τῷ δὲ ποτῷ προστιθεὶς. καὶ οὕτω τὰ ἐναντία ποιέοντα, κατασήσει ἐκ τοῦ θέρεος εἰς ἦν χειμῶνα. οἷ δὲ ποτὰ, ἐλάσσω τε καὶ ἀκρητέστερα. ὁκοῖος ὅτε χειμῶν ἀγαθὸς ἔσται ἡ ὧν θρωπος διαχρήσεται τοῖσι τε πόμασιν ἀκρητεστέροισι καὶ ὀλίγοισι, ἡ τοῖσι σιτίοισιν, ὡς πλείστοισί τε καὶ ξηροτάτοισιν. οὕτω χρὴ ἂν καὶ ὑγιαίνοι μάλιστα, ἡ ῥιγῶν ἥκιστα. ἡ χρὴ ὥρη, λίαν ψυχρή τε ἡ ὑγρή. τοῖς δὲ ἐθέσι τοῖσι σαρκώδεσι καὶ μαλθακοῖσι ἡ ὑγροῖσι, ξυμφορέει δὴ ἦν πλείονα χρόνον τῶ σιτίων τῶ, ξηροτέροισι διαιτήμασι χρέεσθαι. ὑγρὴ χρὴ ἡ φύσις τῆν ἐθέων τουτέων. δεῖ δὲ ξηροῦντας καὶ προσισταλμένους, ἡ πυρροὺς καὶ μέλανας, τῇ ὑγροτέρῃ διαίτῃ χρὴ πλείονα τῶ χρόνου ἐνδιαιτᾶσθαι. τὰ γὰρ σώματα τοιαῦτα, ὑπαίρχει ξηρὰ ἐόντα. καὶ τοῖσι νέοισι τῆν σωμάτων ξυμφορέει, μαλακωτέροισί τε καὶ ὑγροτέροισι χρέεσθαι τοῖσι διαιτήμασιν. ἡ γὰρ ἡλικίη ξηρή, καὶ τὰ σώματα πέπηγε. δεῖ δὲ πρεσβυτέρους, τῷ ξηροτέρῳ χρὴ χρῶπω, ἡ πλείονα τῶ χρόνου διάγειν. τὰ γὰρ σώματα ἐν τούτῳ τῇ ἡλικίῃ, ὑγρὰ καὶ μαλθακά, καὶ ψυχρά. δεῖ οὖν πρὸς πλὼ ἡλικίῃ. καὶ πλὼ ὥρῃ, καὶ ἦ ἔτος. καὶ πλὼ χώ-

ρῳ, καὶ τὰ ἄλλα, τὰ διαιτήματα ποιέεσθαι, ἐναντιούμενον τοῖσι καθισταμένοισι, καὶ θάλπεσι καὶ χειμῶσι. οὕτω γὰρ ἂν μάλιστα ὑγιαίνοιεν. καὶ ὁδοιπορέειν, τοῦ μὲν χειμῶνος, ταχέως χρή· τοῦ δὲ θέρεος, ἡσυχῇ, ἢν μὴ διὰ καύματος ὁδοιπορέῃ. δεῖ δὲ καὶ τοὺς σαρκώδεας, θᾶσσον ὁδοιπορέειν· τοὺς δὲ ἰσχνοὺς, ἡσυχέστερον. λουτροῖσι δὲ χρὴ πολλοῖσι χρῆσθαι, τοῦ θέρεος· τοῦ δὲ χειμῶνος, ἐλάσσοσι. χρὴ δὲ τοὺς στρυφνοὺς μᾶλλον λούεσθαι τῶν σαρκωδέων. ἠμφιέσθαι δὲ χρὴ τοῦ χειμῶνος, καθαρὰ ἱμάτια. τοῦ δὲ θέρεος, ἐλαιοπινέα. τοὺς δὲ στρυφνοὺς, τοὐναντίον. τοὺς δὲ παχέας χρὴ, καὶ ὅσοι βούλονται λεπτοὶ γενέσθαι, τὰς ταλαιπωρίας ἁπάσας, νήστιας ποιέεσθαι. καὶ τοῖσι σιτίοισιν ἐπιχειρέειν, ἔτι ἀσθμαίνοντας ἐκ τοῦ κόπου, καὶ μὴ ἀναψυγμένους, καὶ προπεπωκότας οἶνον κεκρημένον καὶ μὴ σφόδρα ψυχρόν. καὶ τὰ ὄψα σκευάζειν σησάμοισιν, ἢ ἡδύσμασι, καὶ τοῖσιν ἄλλοισι τοῖσι τοιουτοτρόποισι. καὶ πίονα ἔστω τὰ προσαγόμενα ὄψα. οὕτω γὰρ ἂν ἀπὸ ἐλαχίστων, ἐμπιπλαῖντο. ἀλλὰ καὶ μονοσιτέειν, καὶ ἀλουτέειν, καὶ σκληροκοιτέειν, καὶ γυμνὸν περιπατέειν, ὅσον οἷόν τε μάλιστα. ὁκόσοι δὲ βούλονται λεπτοὶ ἐόντες παχέες γενέσθαι, τά τε ἄλλα ποιέειν τἀναντία κείνοισιν οἷσιν ἔφην. καὶ νῆστιν μηδεμίην ταλαιπωρίην ποιέεσθαι. τοῖσι δὲ ἐμέτοισι χρὴ καὶ τοῖσι κατακλύσμασι τοῖσι τῆς κοιλίης, ὧδε χρέεσθαι. ἓξ μῆνας τοὺς χειμερινοὺς ἐμέειν. οὗτος γὰρ ὁ χρόνος, φλεγματωδέστερος τοῦ θερινοῦ, καὶ τὰ νοσήματα γίνεται περὶ τὴν κεφαλὴν, καὶ τὸ χωρίον τὸ ὑπὲρ τῶν φρενῶν. ὅταν δὲ ἡ θάλπος, τοῖσι κατακλύσμασι χρέεσθαι. ἡ γὰρ ὥρη καυματώδης. καὶ τὸ σῶμα, χολωδέστερον, καὶ βαρύτητες ἐν τῇ ὀσφύϊ καὶ τοῖς γούνασι, καὶ θέρμαι γίνονται. καὶ ἐν τῇ γαστρὶ στρόφοι γίνονται. δεῖ οὖν τὸ σῶμα ψύχειν, καὶ τὰ μετεωριζόμενα κάτω ὑπάγειν ἐκ τῶν χωρίων τουτέων. ἔστω δὲ τὰ κατακλύσματα τοῖσι μὲν παχυτέροισι καὶ ὑγροτέροισιν, ἁλμυρότερα καὶ λεπτότερα. τοῖσι δὲ ξηροτέροισι, καὶ προσεσταλμένοισι, καὶ ἀσθενεστέροισι, λιπαρώτερα καὶ παχύτερα. ἔστι δὲ τῶν κατακλυσμάτων τὰ λιπαρὰ καὶ παχέα. τὰ ἀπὸ τῶν γαλάκτων, καὶ ἀπὸ ἐρεβίνθων ὕδωρ ἑφθόν, καὶ τῶν ἄλλων τοιουτέων. τὰ δὲ λεπτὰ καὶ ἁλμυρὰ, ἅλμη καὶ θάλασσα, καὶ τὰ τοιαῦτα. τοὺς δὲ ἐμέτους ὧδε χρὴ ποιέεσθαι. ὅσοι μὲν τῶν ἀνθρώπων παχέες εἰσὶ, καὶ μὴ ἰσχνοὶ, νήστιες ἐμεώντων δραμόντες ἢ ὁδοιπορήσαντες διὰ τάχους, κατὰ μέσον τῆς ἡμέρας. ἔστω δὲ ἡμικοτύλιον ὑσσώπου τετριμμένου ἐν ὕδατος χοῒ καὶ τοῦτο ἐκπιέτω, ὄξος παραχέων, καὶ ἅλας παραβάλλων, ὅκως ἂν μέλλῃ ἥδιστον ἔσεσθαι. πινέτω δὲ τὸ μὲν πρῶτον, ἡσυχέστερον, ἔπειτα δὲ ἐπὶ θᾶσσον. οἱ δὲ λεπτότεροι καὶ ἀσθενέστεροι, ἀπὸ σιτίων ποιεέσθωσαν τὸν ἔμετον, τρόπον τοιόνδε. λουσάμενος θερμῷ, προπιέτω ἀκρήτου κοτύλην. ἔπειτα σιτία παντοδαπὰ ἐσθιέτω. καὶ μὴ πινέτω ἐπὶ τῷ σιτίῳ, μηδὲ ἀπὸ τοῦ σιτίου. ἀλλ' ἐπισχέτω ὅσον δέκα στάδια διελθεῖν. ἔπειτα δὲ συμμίξας οἴνους τρεῖς, πίνειν διδόναι. αὐστηρὸν, γλυκὺν καὶ ὀξύν. πρῶτον μὲν ἀκρητέστερον καὶ κατ' ὀλίγον καὶ διὰ πολλοῦ χρόνου. ἔπειτα δὲ ὑδαρέστερον καὶ θᾶσσον καὶ κατὰ πολλόν. ὅστις δὲ εἴωθε τοῦ μηνὸς δὶς ἐξεμέειν, ἄμεινον ἐφεξῆς ποιέεσθαι τοὺς ἐμέτους, ἐν δυσὶν ἡμέρῃσι μᾶλλον, ἢ διὰ πεντεκαίδεκα. οἱ δὲ πᾶν τοὐναντίον ποιέουσιν. ὁκόσοισι δὲ ἀνεπιτήδειον ἀπεμέειν τὰ σιτία, ἢ ὁκόσοισιν αἱ κοιλίαι οὐκ εὐδιέξοδοι, τούτοισι πᾶσι ξυμφέρει, πολλάκις τῆς ἡμέρης ἐσθίειν. καὶ παντοδαποῖσι βρώμασι χρέεσθαι, καὶ ὄψοισι πάντας τρόπους ἐσκευασμένοισιν. οἴνους τε πίνειν δισσοὺς καὶ τρισσούς. ὁκόσοισι δὲ ἀναμέουσι τὰ σιτία, ἢ καὶ κοιλίας ἔχουσιν ὑγρὰς, τουτέοισι πᾶσι τοὐναντίον τουτέου τοῦ τρόπου ξυμφέρει ποιέειν. τὰ δὲ παιδία χρὴ τὰ νήπια βρέχειν ἐν τῷ θερμῷ ὕδατι ἐπὶ πουλὺν χρόνον. καὶ πίνειν διδόναι, ὑδαρέα τὸν οἶνον, καὶ μὴ ψυχρὸν παντάπασι. τοῦτον δὲ διδόναι, ὃς ἥκιστα τὴν γαστέρα μετεωριέειν καὶ φύσαν παρέξει. ταῦτα δὲ ποιέειν, ὅκως οἵ τε σπασμοὶ ἧσσον ἐπιλαμβάνωσι, καὶ μέζονα γίνηται, καὶ εὐχροώτερα. τὰς δὲ γυναῖκας ὧδε χρὴ διαιτᾶσθαι, τῷ ξηροτέρῳ τῶν τρόπων. καὶ γὰρ τὰ σιτία τὰ ξηρὰ, ἐπιτηδειότερα πρὸς τὴν μαλθακότητα τῶν γυναικείων σαρκῶν. καὶ τὰ ἀκρητέστερα πόματα ἀμείνω πρὸς τὰς ὑστέρας, καὶ τὰς κυοφορίας. τοὺς γυμναζομένους χρὴ τοῦ χειμῶνος καὶ τρέχειν καὶ παλαίειν. τοῦ δὲ θέρεος, παλαίειν μὲν ὀλίγα. τρέχειν δὲ, μή. περιπατέειν δὲ πολλὰ κατὰ ψῦχος. ὁκόσοι κοπιῶσιν ἐκ τῶν δρόμων, τούτους παλαίειν χρή. ὁκόσοι δὲ παλαίοντες κοπιῶσι, τούτους χρὴ τρέχειν. οὕτω γὰρ ἂν ταλαιπωρέων τῷ κοπιῶντι τοῦ σώματος διαθερμαίνοιτο καὶ συνιστοῖτο καὶ διαναπαύοιτο μάλιστα. ὁκόσους γυμναζομένους διάῤῥοιαι λαμβάνουσι, καὶ τὰ ὑποχωρήματα σιτώδεα καὶ ἄπεπτα, τουτέοισι τῶν τε γυμνασίων ἀφαιρέειν μὴ ἔλασσον τοῦ τριτημορίου μέρεος, καὶ τῶν σιτίων τοῖσιν ἡμίσεσι χρέεσθαι. δῆλον γὰρ δὴ ὅτι ἡ κοιλίη ξυνθάλπειν οὐ δύναται ὥστε πέσσεσθαι τὸ πλῆθος τῶν σιτίων. ἔστω δὲ τούτοισι τὰ σιτία, ἄρτος ὡς ὀπτότατος, ἐν οἴνῳ ἐντεθρυμμένος. καὶ ποτὰ, ὡς ἐλάχιστα καὶ ἀκρητέστερα. καὶ περιπάτοισι μὴ χρεέσθωσαν ἀπὸ τοῦ σιτίου. μονοσιτέειν δὲ χρὴ, ὑπὸ τοῦτον τὸν χρόνον. οὕτω γὰρ ἂν μάλιστα ξυνθάλποιτο ἡ κοιλίη, καὶ τῶν ἐσιόντων ἐπικρατοίη. γίνεται δὲ ὁ τρόπος οὗτος τῆς διαῤῥοίης τῶν σωμάτων τοῖσι πυκνοσάρκοισι μάλιστα, ὁκόταν ἀναγκάζηται ὁ ἄνθρωπος κρεηφαγέειν, τῆς φύσιος ὑπαρχούσης τοιαύτης. αἱ γὰρ φλέβες πυκνωθεῖσαι, οὐκ ἀντιλαμβάνονται τῶν σιτίων τῶν ἐσιόντων. ἔστι δὲ αὕτη μὲν ὀξέη ἡ φύσις καὶ τρέπεται ἐφ' ἑκάτερα καὶ ἀκμάζει ὀλίγον χρόνον ἡ εὐεξίη, ἐν τοῖσι τοιουτοτρόποισι τῶν σωμάτων. τὰ δὲ ἀραιότερα τῶν εἰδέων καὶ δασύτερα, καὶ τὴν κρεηφαγίην δέχεται, καὶ τὰς ταλαιπωρίας

μᾶλλον

μᾶλλον ὑπομένει, καὶ χρονιώτεραι γίνονται αὐτέοισιν αἱ εὐεξίαι. καὶ ὁκόσοι τὰ σιτία ἀναβλύζουσι τῇ ὑστεραίῃ καὶ τὰ ὑποχόνδρια μετεωρίζεται αὐτέοισιν, ὡς ἀπέπτων τῶν σιτίων ἐόντων, τούτοισι καθεύδειν μὲν πλείονα χρόνον ξυμφέρει. τῇ δὲ ἄλλῃ ταλαιπωρίῃ ἀναγκάζειν χρὴ αὐτῶν τὰ σώματα. καὶ τὸν οἶνον ἀκρητέστερον πινόντων καὶ πλείω καὶ τοῖσι σιτίοισιν ἐλάσσοσι χρέεσθαι ὑπὸ τοῦτον τὸν χρόνον. δῆλον γὰρ ὅτι ἡ κοιλίη ὑπὸ ἀσθενείης καὶ ψυχρότητος, οὐ δύναται τὸ πλῆθος τῶν σιτίων καταπέσσειν. ὁκόσους δὲ δίψαι λαμβάνουσι, τούτοισι τῶν τε σιτίων καὶ τῶν ταλαιπωριέων ἀφαιρέειν. καὶ τὸν οἶνον πινόντων ὑδαρέα τε καὶ ὅτι ψυχρότατον. ὁκόσοισι δὲ ὀδύναι γίνονται ἐκ τῶν σπλάγχνων, ἢ ἐκ γυμνασίης, ἢ διὰ ἄλλης τινὸς ταλαιπωρίης, τούτοισι ξυμφέρει ἀναπαύεσθαι ἀσίτοισι. πόμασι δὲ χρέεσθαι, ὅ, τι ἐλάχιστον εἰς τὸ σῶμα ἐσελθὸν, πλεῖστον οὖρον διάξει. ὅπως αἱ φλέβες αἱ διὰ τῶν σπλάγχνων πεφυκυῖαι, μὴ κατατείνωνται πληρεύμεναι. ἐκ γὰρ τῶν τοιουτέων τά τε φύματα γίνονται, καὶ οἱ πυρετοί. ὁκόσοισι δὲ νοῦσοι ἀπὸ τοῦ ἐγκεφάλου γίνονται, νάρκη πρῶτον ἴσχει τὴν κεφαλὴν, καὶ οὐρέει θαμινὰ, καὶ τἄλλα πάσχει ὁκόσα ἐπὶ στραγγουρίῃ. οὗτος ἐφ' ἡμέρας ἐννέα τοῦτο πάσχει. καὶ ἢν μὲν ῥαγῇ κατὰ τὰς ῥῖνας ἢ κατὰ τὰ ὦτα ὕδωρ, ἢ βλέννα, ἀπαλλάσσεται τῆς νόσου. καὶ τῆς στραγγουρίης παύεται. οὐρέει δὲ πολὺ, καὶ ἀπόνως, καὶ λευκόν. ἐς ἂν εἴκοσιν ἡμέρας παρέλθῃ καὶ ἐκ τῆς κεφαλῆς ἡ ὀδύνη ἐκλείπει τῷ ἀνθρώπῳ. ἐσορέοντι δὲ κλέπτεται οἱ ἡ αὐγή. ἄνδρα δὲ χρὴ ὅς ἐστι συνετὸς λογισάμενον ὅτι τοῖσιν ἀνθρώποισι, πλείστου ἄξιόν ἐστιν ἡ ὑγιείη, ἐπίστασθαι ἐκ τῆς ἑωυτοῦ γνώμης ἐν τῇσι νούσοισιν ὠφελέεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΓΟΝΗΣ.

Τοῦτο δὲ Πολύβου εἶναι φησὶ ὁ Γαληνός.

Ομος μὲν, πάντα κρατύνει. ἡ δὲ γονὴ τοῦ ἀνδρὸς, ἔρχεται ἀπὸ παντὸς τοῦ ὑγροῦ, τοῦ ἐν τῷ σώματι ἐόντος, τὸ ἰσχυρότατον ἀποκριθέν. τούτου δὲ ἱστόριον, τόδε, ὅτι ἀποκρίνεται τὸ ἰσχυρότατον, ὅτι ἐπὴν λαγνεύσωμεν, σμικρὸν οὕτω μεθέντες, ἀσθενέες γινόμεθα. ἔχει δὲ οὕτω. φλέβες καὶ νεῦρα ἀπὸ παντὸς τοῦ σώματος, τείνουσιν ἐς τὸ αἰδοῖον, οἷσιν ὑποτριβομένοισι καὶ θερμαινομένοισι καὶ πληρευμένοισιν, ὥσπερ κνησμὸς ἐμπίπτει, καὶ τῷ σώματι παντὶ ἡδονὴ καὶ θέρμη ἐκ τούτου παραγίνεται. τριβομένου δὲ τοῦ αἰδοίου καὶ τοῦ ἀνθρώπου κινευμένου, τὸ ὑγρὸν θερμαίνεται ἐν τῷ σώματι, καὶ διαχέεται, καὶ κλονέεται ὑπὸ τῆς κινήσιος, καὶ ἀφρέει. καθάπερ καὶ τἄλλα ὑγρὰ σύμπαντα κλονεύμενα ἀφρέει. οὕτω δὲ καὶ ἐν τῷ ἀνθρώπῳ, ἀποκρίνεται ἀπὸ τοῦ ὑγροῦ ἀφρέοντος, τὸ ἰσχυρότατον καὶ τὸ πιότατον, καὶ ἔρχεται εἰς τὸν νωτιαῖον μυελόν. τείνουσι γὰρ ἐς τοῦτον, ἐκ παντὸς τοῦ σώματος. καὶ διαχέει ἐκ τοῦ ἐγκεφάλου εἰς τὴν ὀσφὺν, καὶ ἐς πᾶν τὸ σῶμα, καὶ ἐς τὸν μυελὸν, καὶ ἐξ αὐτοῦ τείνουσιν ὁδοὶ, ὥστε καὶ ἐπιέναι τοῦ ὑγροῦ ἐς αὐτὸν καὶ ἀποχωρέειν. ἐπὴν δὲ ἔλθῃ ἐς τοῦτον τὸν μυελὸν ἡ γονὴ, χωρέει παρὰ τοὺς νεφρούς. ταύτῃ γὰρ ἡ ὁδός ἐστι διὰ φλεβῶν. κἢν οἱ νεφροὶ ἑλκωθῶσιν, ἔστιν ὅτε καὶ αἷμα ξυμφέρεται. παρὰ δὲ τῶν νεφρῶν, ἔρχεται διὰ τῶν ὀρχίων μέσων, ἐς τὸ αἰδοῖον. καὶ χωρέει οὐχ ὅπῃ τὸ οὖρον. ἀλλὰ οἱ ἄλλη ὁδός ἐστιν αὐτῶν ἐχομένη. καὶ οἱ ἐξονειρώσσοντες διὰ τάδε, ἐξονειρώσσουσιν. ἐπὰν τὸ ὑγρὸν ἐν τῷ σώματι, διακεχυμένον ᾖ καὶ διάθερμον, εἴτε ὑπὸ ταλαιπωρίης, εἴτε ὑπὸ ἄλλου τινὸς ἀφρέει. καὶ ἀποκρινομένου ἀπ' αὐτοῦ ὁρᾷ φαντασίας, οἷη λαγνείη. ἔχει γὰρ τὸ ὑγρὸν τοῦτο ὥσπερ λαγνεύοντι. ἀλλ' οὐ μοι περὶ ἐνειρωσσόντων καὶ παντὸς τοῦ νοσήματος τί ἐστι, καὶ ὁκόσα ἐργάζεται, καὶ διότι πρὸ λαγνείης. καὶ ταῦτα μὲν ἐς τοῦτο μοι εἰρέαται. οἱ δὲ εὐνοῦχοι διὰ ταῦτα οὐ λαγνεύουσιν, ὅτι σφέων ἡ δίοδος ἀμαλδύνεται τῆς γονῆς. ἔστι γὰρ δι' αὐτῶν τῶν ὀρχίων ἡ ὁδός. καὶ νεῦρα τείνει λεπτὰ καὶ πυκνὰ, εἰς τὸ αἰδοῖον ἐκ τῶν ὀρχίων οἷσιν ἀείρεται καὶ καθίεται. καὶ ταῦτα ἐν τῇ τομῇ ἀποτέμνεται, διότι καὶ οὐχ ὑπάρχουσιν οἱ εὐνοῦχοι χρηστοί. τῶν δὲ τάδε ἐκθλιβέντων, ἡ ὁδὸς τῆς γονῆς ἐμπέφρακται. πωροῦνται γὰρ οἱ ὄρχιες. καὶ τὰ νεῦρα σκληρὰ καὶ μωρὰ γινόμενα ὑπὸ τοῦ πώρου, οὐ δύναται τείνειν καὶ χαλᾶν. ὁκόσοι δὲ παρ' οὖς τετμημένοι εἰσὶν, οὗτοι λαγνεύουσι μὲν καὶ ἀφιᾶσιν. ὀλίγον δὲ, καὶ ἀσθενὲς, καὶ ἄγονον. χωρέει γὰρ τὸ πλεῖστον τοῦ γόνου, ἀπὸ τῆς κεφαλῆς παρὰ τὰ οὔατα, εἰς τὸν νωτιαῖον μυελόν. αὕτη δὲ ἡ δίοδος ὑπὸ τῆς τομῆς οὐλῆς γινομένης, στερεὴ γέγονεν. τοῖσι δὲ παιδίοισι, λεπτὰ τὰ φλέβια ἐόντα καὶ πληρεύμενα, κωλύει τὴν γονὴν ἰέναι. καὶ ὁ κνησμὸς, οὐχ ὁμοίως παραγίνεται. διὰ ταῦτα οὐδὲ κλονέεται ἐν τῷ σώματι τὸ ὑγρὸν, ἐς ἀπόκρισιν τῆς γονῆς. καὶ τῇσι παρθένοισι μέχρις ἂν νέαι ἐῶσιν, οὐ χωρέει τὰ καταμήνια, διὰ τὸ αὐτό. ἐπὴν δὲ αὔξωνται καὶ παρθένος καὶ παῖς, αἱ φλέβες αἱ ἐς τὸ αἰδοῖον τείνουσαι τοῦ παιδὸς, καὶ τῆς παρθένου, καὶ ἐπὶ τὰς μήτρας, εὐρύναι γίνονται ὑπὸ τῆς αὔξης, καὶ στομοῦνται, καὶ ὁδὸς καὶ δίοδος διὰ στενῶν γίνεται. καὶ τὸ ὑγρὸν κλόνησιν τότε ἴσχει. εὐρυχωρίη γάρ οἱ τότε γίνεται, ἔνθα κλονήσεται. καὶ τῷ παιδὶ χωρέει, ἐπὴν ἁδρὸς ᾖ, διὰ τόδε καὶ τῇ παρθένῳ τὰ καταμήνια. ταῦτα δέ μοι οὕτως ἀποπέφανται. τὴν δὲ γονὴν φημὶ ἀποκρίνεσθαι ἀπὸ παντὸς τοῦ σώματος, καὶ ἀπὸ τῶν στερεῶν, καὶ ἀπὸ τῶν μαλθακῶν, καὶ ἀπὸ τοῦ ὑγροῦ παντὸς τοῦ ἐν τῷ σώματι. εἰσὶ δὲ τέσσαρες ἰδέαι τοῦ ὑγροῦ. αἷμα. χολή. ὕδωρ, καὶ φλέγμα. τοσαύτας γὰρ ἰδέας

ἔχει ξυμφυέα ὁ ἄνθρωπος ἐν ἑωυτῷ, καὶ ἀπὸ τουτέων αἱ νόσοι γίνονται, ἢ αἱ ἐκ νόσων διακείσιες. καὶ ταῦτα μὲν εἴρηταί μοι περὶ γονῆς, ὁκόθεν γίνεται, καὶ ὅκως, καὶ διότι, καὶ οἷσιν οὐ γίνεται ἡ γονὴ, καὶ διότι οὐ γίνεται, καὶ περὶ καταμηνίων παρθένων. τῇσι δὲ γυναιξὶν ἐν τῇ μίξει τριβομένου τοῦ αἰδοίου, καὶ τῶν μητρέων κινευμένων, ὥσπερ κνησμὸν ἐμπίπτειν ἐς αὐτὰς, καὶ τῷ ἄλλῳ σώματι ἡδονὴν καὶ θέρμην παρέχειν. μεθίει δὲ καὶ ἡ γυνὴ ἀπὸ τοῦ σώματος, ὅτε μὲν ἐς τὰς μήτρας, αἱ δὲ μῆτραι ἰκμαλέαι γίνονται, ὅτε δὲ καὶ ἔξω, ἢν χάσκωσιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ. καὶ ἥδεται ἐπὴν ἄρξηται μίσγεσθαι διὰ παντὸς τοῦ χρόνου, μέχρις ἂν αὐτὴν μεθῇ ὁ ἀνήρ. κὴν μὲν ὀργᾷ ἡ γυνὴ μίσγεσθαι, πρόσθεν τοῦ ἀνδρὸς ἀφίει. καὶ τὸ λοιπὸν οὐκ ἔτι ὁμοίως ἥδεται ἡ γυνή. ἢν δὲ μὴ ὀργᾷ, συντελέει τῷ ἀνδρὶ ἡδομένη. καὶ ἔχει οὕτως, ὥσπερ εἴ τις ἐπὶ ὕδωρ ζέον, ἕτερον ψυχρὸν ἐπιχέει, παύεται τὸ ζέον· οὕτω καὶ ἡ γονὴ πεσοῦσα τοῦ ἀνδρὸς ἐς τὰς μήτρας, σβέννυσι τὴν θέρμην, καὶ τὴν ἡδονὴν τῆς γυναικός. ἐξαΐσσει δὲ ἡ ἡδονὴ καὶ ἡ θέρμη ἅμα τῇ γονῇ πιπτούσῃ ἐς τὰς μήτρας. ἔπειτα λήγει. ὥσπερ εἴ τις ἐπὶ φλόγα οἶνον ἐπιχέει. συμβαίνει πρῶτα μὲν ἐξαΐσσειν τὴν φλόγα καὶ αὔξεσθαι δι' ὀλίγου, πρὸς τὴν ἐπίχυσιν τοῦ οἴνου, ἔπειτα λήγειν. ὡσαύτως δὲ καὶ τῇ γυναικὶ ἡ θέρμη ἐξαΐσσει πρὸς τὴν γονὴν τοῦ ἀνδρὸς, ἔπειτα λήγει. ἧσσον δὲ πολλῷ ἥδεται ἡ γυνὴ τοῦ ἀνδρὸς, ἐν τῇ μίξει, πλείονα δὲ χρόνον, ὁ ἀνήρ. διότι δὲ μᾶλλον ὁ ἀνὴρ ἥδεται, ἀποκρίνεται αὐτῷ ἐξαπίνης ἀπὸ τοῦ ὑγροῦ ἀπὸ ταραχῆς ἰσχυροτέρης, ἢ τῇ γυναικί. ἔχει δὲ καὶ τόδε, οὕτως. τῇσι γυναιξὶν ἢν μὲν μίσγωνται ἀνδράσι, μᾶλλον ὑγιαίνουσιν. ἢν δὲ μὴ, ἧσσον. ἅμα μὲν αἱ μῆτραι, ἰκμαλέαι γίνονται ἐν τῇ μίξει. καὶ οὐ ξηραὶ ἐοῦσαι, μᾶλλον τοῦ καιροῦ συστρέφονται ἰσχυρῶς. συστρεφόμεναι δὲ ἰσχυρῶς, πόνον τῷ σώματι παρέχουσιν. ἅμα δὲ ἡ μίξις τὸ αἷμα θερμαίνουσα καὶ ὑγραίνουσα, ποιέει ὁδὸν ῥηιτέρην τοῖσι καταμηνίοισι. τῶν δὲ καταμηνίων μὴ χωρεόντων, τὰ σώματα τῶν γυναικῶν, ἐπίνοσα γίνονται. διότι δὲ ἐπίνοσα γίνονται, εἰρήσεταί μοι ἐν τῇσι γυναικείῃσι νούσοισι. καὶ ταῦτα μέν μοι εἴρηται ἐς τοσοῦτον. ἐπὴν δὲ μιχθῇ ἡ γυνὴ, ἢν μὲν δὴ μὴ μέλλῃ λήψεσθαι πρὸς ἑωυτὴν, πρὸς τῷ ἔθει χωρέει ἔξω ἡ γονὴ ἀπ' ἀμφοτέρων, ὁκόταν ἡ γυνὴ ἐθελήσῃ. ἢν δὲ μέλλῃ λήψεσθαι, οὐ χωρέει ἔξω, ἀλλ' ἐμμένει ἐν τῇσι μήτρῃσιν ἡ γονή. αἱ γὰρ μῆτραι δεξάμεναι καὶ μύσασαι, ἔχουσιν ἐν ἑωυτῇσιν, ἅτε συναχθέντος τοῦ στόματος ὑπὸ τῆς ἰκμάδος, καὶ μίσγεται ὁμοῦ, τό τε ὑπὸ τοῦ ἀνδρὸς ἐλθὸν, καὶ τὸ ἀπὸ τῆς γυναικός. κὴν ἡ γυνὴ τόκων ἔμπειρος ᾖ, καὶ ἐννοήσῃ ὁκόταν ἡ γονὴ μὴ ἐξέλθῃ ἀλλ' ἐμμείνῃ, εἰδήσει ᾗ ἡμέρῃ ἔλαβεν ἐς ἑωυτήν. ἔχει δὲ οὕτως καὶ τόδε. ὅτε μὲν ἰσχυρότερόν ἐστι τὸ μεθιέμενον ἀπὸ τῆς γυναικὸς, ὅτι δὲ ἀσθενέστερον. καὶ τὸ ἀπὸ τοῦ ἀνδρὸς, ὡσαύτως. καὶ ἔστι καὶ ἐν τῷ ἀνδρὶ, τὸ θῆλυ σπέρμα καὶ τὸ ἄρσεν. καὶ ἐν τῇ γυναικὶ ὁμοίως. ἰσχυρότερον δέ ἐστι τὸ ἄρσεν τοῦ θήλεος. ἀνάγκη οὖν ἀπὸ ἰσχυροτέρου σπέρματος γίνεσθαι. ἔχει δὲ καὶ τόδε, οὕτω. ἢν μὲν ἀπ' ἀμφοτέρων τὸ σπέρμα ἰσχυρότερον ἔλθῃ, ἄρσεν γίνεται τὸ τικτόμενον. ἢν δὲ ἀσθενὲς, θῆλυ. ὁκότερον δ' ἂν κρατήσῃ κατὰ πλῆθος, ἐκεῖνο καὶ γίνεται. ἢν γὰρ πολλῷ πλέον τὸ ἀσθενὲς σπέρμα τοῦ ἰσχυροτέρου, κρατέεται τὸ ἰσχυρὸν, καὶ μιχθὲν τῷ ἀσθενεῖ, ἐς θῆλυ περιηνέχθη. ἢν δὲ πλέον ᾖ τὸ ἰσχυρὸν τοῦ ἀσθενέος, κρατηθῇ τε τὸ ἀσθενὲς, ἐς ἄρσεν περιηνέχθη. ὥσπερ εἴ τις κηρὸν καὶ στέαρ μίξας ὁμοῦ πλέον ποιήσας τὸ στέαρ, τήξει πρὸς πῦρ, μέχρις μὲν ὑγρὸν ᾖ, οὐ διάδηλον γίνεται τὸ κρατέον. ἐπὴν δὲ παγῇ, τότε ἐμφανὲς γίνεται, ὅτι κρατέει τὸ στέαρ τοῦ κηροῦ κατὰ πλῆθος. οὕτως ἔχει καὶ τοῦ ἄρσενος καὶ τοῦ θήλεος ἡ γονή. ξυμβάλλεσθαι δὲ παρέχει, ὅτι καὶ ἐν τῇ γυναικὶ καὶ ἐν τῷ ἀνδρὶ, ἔστι γόνος καὶ θήλεος καὶ ἄρσενος, τοῖσιν ἐμφανέσι γινομένοισι. πολλαὶ γὰρ γυναῖκες ἤδη ἐθηλυτόκησαν παρ' ἀνδράσιν ἰδίοις. παρὰ δὲ ἑτέροις ἀνδράσιν ἐλθοῦσαι, ἐκουροτόκησαν. καὶ οἱ ἄνδρες οἱ αὐτοὶ κεῖνοι παρ' οἷσιν ἐθηλυτόκεον αἱ γυναῖκες, ἑτέρων γυναικῶν ἐς μίξιν ἀπερχόμενοι, ἄρσενα γόνον ἐποίησαν. καὶ οἷσιν ἄρσεν γόνος ἐγίνετο, εἰς ἑτέρας γυναῖκας μιχθέντες, θῆλυν γόνον ἐποίησαν. οὕτως ὁ λόγος ὁρέει καὶ τὸν ἄνδρα καὶ τὴν γυναῖκα, ἔχειν καὶ θῆλυν γόνον, καὶ ἄρσενα. παρὰ μὲν γὰρ τοῖσιν ἐθηλυτόκεον, ἐκρατέετο τὸ ἰσχυρότερον, πλέονος γινομένου τοῦ ἀσθενέος, καὶ ἐγίνετο θήλεα. παρὰ δὲ τοῖσιν ἐκουροτόκεον, ἐκρατέετο τὸ ἀσθενέστερον, καὶ ἐγίνετο ἄρσενα. χωρέει δὲ οὐκ ἀεὶ τοῦτο ἀπὸ τοῦ αὐτέου ἀνδρὸς ἰσχυρή. ἀλλ' οὐδὲ ἀσθενὴς ἐς ἀεί. ἀλλ' ἄλλοτε ἀλλοίη. καὶ τῆς γυναικὸς οὕτως ἔχει. ὡς μὴ θαυμάζειν τὰς αὐτὰς γυναῖκας καὶ τοὺς αὐτοὺς ἄνδρας, γόνον καὶ ἄρσενα καὶ θῆλυν ποιέειν. ἔχει δὲ καὶ τοῖσι κτήμασιν οὕτως, τὰ περὶ γονῆς θήλεος καὶ ἄρσενος, καὶ ἐν αὐτῇ σφι τῇ γονῇ. ἐξέρχεται καὶ τῆς γυναικὸς καὶ τοῦ ἀνδρὸς, ἀπὸ παντὸς τοῦ σώματος. καὶ ἀπὸ τῶν ἀσθενέων, ἀσθενής. καὶ ἀπὸ τῶν ἰσχυρῶν, ἰσχυρή. καὶ τῷ τέκνῳ οὕτως ἐστὶν ἀνάγκη, ἀποδίδοσθαι. καὶ ὁκόθεν αὐτοῦ σώματος τοῦ ἀνδρὸς πλέον ἔλθῃ ἐς τὴν γονὴν ἢ τῆς γυναικὸς, τὸ τέκνον κεῖνο κάλλιον ἔοικε τῷ πατρί. ὁκόθεν δὲ πλέον ἔλθῃ ἀπὸ τῆς γυναικὸς, κεῖνο τοῦ σώματος κάλλιον ἔοικε τῇ μητρί. ὅτι δὲ οὐκ ἀνυστὸν πάντα τῇ μητρὶ ἐοικέναι, τῷ δὲ πατρὶ μηδέν. ἢ τὸ ἐναντίον τούτου, μηδ' ἑτέρῳ ἐοικέναι μηδὲν, ἀλλ' ἀμφοτέροισιν, ἀνάγκη τις ἐστὶν ἐοικέναι τινί. εἴπερ ἀπ' ἀμφοτέρων τῶν σωμάτων, τὸ σπέρμα χωρέει ἐς τὸ τέκνον. ὁκότερος δ' ἂν πλέον ξυμβάληται ἐς τὸ ἐοικέναι καὶ ἀπὸ πλειόνων χωρίων τοῦ σώματος, κείνῳ τὰ πλείονα ἔοικε. καὶ ἔστιν ὅτε θυγάτηρ γενομένη, τὰ πλείονα ἔοικε κάλλιον τῷ πατρὶ, ἢ τῇ μητρί. καὶ κοῦρος γενόμενος, ἔστιν ὅτε κάλλιον

ἔοικε τῇ

ἔοικε τῇ μητρὶ, ἢ τῷ πατρί. καὶ ταῦτα μοι καὶ τοσαῦτα ἐστὶν ἱστόρια τῷ προτέρῳ λόγῳ, ὅτι ἔνεστι καὶ ἐν τῇ γυναικὶ καὶ ἐν τῷ ἀνδρὶ, καὶ κουρογονίη καὶ θηλυγονίη. γίνεται δὲ καὶ τόδε. ἔστιν ὅτε τὰ τέκνα, λεπτὰ καὶ ἀσθενέα γίνεται, ἐκ πατρὸς καὶ μητρὸς, παχέων τε καὶ ἰσχυρῶν ἐόντων. κἢν μὲν πολλῶν ἤδη γινομένων τῶν παιδίων τοιοῦτον γένηται, δῆλον ὅτι ἐν τῇσι μήτρῃσιν, ἐνόσησε τὸ ἔμβρυον, καὶ ἀπὸ τῆς μητρὸς, ἢ τῆς αὔξης αὐτοῦ ἔξω παρείη, τῶν μητρέων χανουσέων μᾶλλον, καὶ διὰ τοῦτο ἀσθενὲς ἐγένετο. νοσέει δὲ, τῶν ζώων ἕκαστον, κατὰ τὴν ἰσχὺν ἑωυτοῦ. ἢν δὲ πάντα τὰ γενόμενα παιδία ἀσθενέα ᾖ, αἱ μῆτραι αἴτιαι εἰσί, στενότεραι ἐοῦσαι τοῦ καιροῦ. ἢν γὰρ μὴ ἔχῃ εὐρυχωρίην, ἔνθα τὸ ἔμβρυον τραφείη, ἀνάγκη ἐστὶν αὐτὸ λεπτὸν γίνεσθαι, ἅτε οὐκ ἔχον τῇ αὔξῃ εὐρυχωρίην. ἢν δὲ ἔχῃ εὐρυχωρίην καὶ μὴ νοσήσῃ, ἐπιεικές ἐστι μεγάλων τοκέων, μέγα τέκνον γίνεσθαι. ἔχει δὲ οὕτως, ὥσπερ εἴ τις σίκυον ἤδη ἀπηνθηκότα, ἐόντα δὲ νεογνὸν, καὶ προσεόντα τῷ σικυηλάτῳ θείη ἐς ἀρυστῆρα, ἔσται ἴσος τοῦ ἀρυστῆρος τῷ κοίλῳ καὶ ὅμοιος. ἢν δέ τις ἐς ἄγγος θῇ μέγα, ὅτι καὶ ἐπιεικές ἐστι σίκυον χάδειν, ἀλλὰ μὴ πολλῷ κάρτα μέζον τῆς φύσιος τοῦ σικύου, ἴσος ἔσται ὁ σίκυος τοῦ ἄγγεος τῷ κοίλῳ καὶ ὅμοιος. ἐρίζει γὰρ ἐν τῇ αὔξῃ τῷ κοίλῳ τοῦ ἄγγεος. σχεδὸν δὲ καὶ πάντα τὰ φυόμενα οὕτως ἔχει, ὅκως ἄν τις καταναγκάσῃ αὐτά. οὕτω δὴ ἔχει καὶ τῷ παιδίῳ, ἢν μὲν εὐρυχωρίη ᾖ ἐν τῇ αὔξῃ, μέζον γίνεται. ἢν δὲ στενοχωρίη, ἔλασσον. τὸ δὲ πηρωθὲν ἐν τῇσι μήτρῃσι παιδίον, φημὶ αὐτὸ, ἢ φλασθὲν πηρωθῆναι τῆς μητρὸς πληγείσης κατὰ τὸ ἔμβρυον, ἢ πεσούσης, ἢ ἄλλου τινὸς βιαίου παθήματος προσγινομένου τῇ μητρί. ἢν δὲ φλασθῇ ταύτῃ, πηροῦται τὸ παιδίον. ἢν δὲ μᾶλλον φλασθῇ τὸ ἔμβρυον τοῦ ὑμένος ῥαγέντος τοῦ περιέχοντος αὐτὸ, φθείρεται τὸ ἔμβρυον. ἢ ἑτέρῳ τρόπῳ τοιῷδε πηροῦται παιδία, ἐπὴν ἐν τοῖσι μήτρῃσι κατὰ τὸ χωρίον καθότι καὶ ἐπηρώθη στενὸν ᾖ, ἀνάγκη ἐν στενῷ κινευμένου τοῦ σώματος, πηροῦσθαι κατ' ἐκεῖνο τὸ χωρίον. ὥσπερ καὶ τῶν δενδρέων ὅσα ἐν τῇ γῇ ἐόντα, μὴ ἔχῃ εὐρυχωρίην, ἀλλ' ὑπὸ λίθου ἢ ὑπό τινος ἄλλου ἀποληφθῇ, ἀνατέλλον σκολιὸν γίνεται. ἢ τῇ μὲν παχὺ, τῇ δὲ λεπτόν. οὕτω δὲ ἔχει καὶ τῷ παιδίῳ γίνεσθαι, ἢν ἐν τῇσι μήτρῃσι κατά τι τοῦ σώματος, στενότερον ᾖ ἕτερον τοῦ ἑτέρου. ὅτι δὲ πεπηρωμένων ἀνθρώπων, ὑγιέα τίκτονται τὰ παιδία ὡς ἐπὶ πλεῖστον συμβαίνει. ἔχει γὰρ τὸν ἀριθμὸν πάντα τὸ πεπηρωμένον τῷ ὑγιεῖ, ἐπὴν τι οἱ νόσημα προσπέσῃ, καὶ τοῦ ὑγροῦ αὐτῷ, ἀφ' οὗ σπέρμα γίνεται τέσσαρες ἰδέαι ἐοῦσαι, ὁκόσαι ἐν φύσει ὑπῆρξαν, τὴν γονὴν, οὐχ ὅλην παρέχουσιν. ἀσθενέστερον δὲ κατὰ τὸ πεπηρωμένον. οὐ θαῦμα δέ μοι δοκέει, καὶ πηρωθῆναι, καθάπερ ὁ τοκεύς. ταῦτα δέ μοι εἰς τοῦτο εἴρηται. ἀναβήσομαι δ' αὖθις ὀπίσω, εἰς τὸν λόγον ὃν ἔλεγον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΦΥΣΙΟΣ ΠΑΙΔΙΟΥ.

Ν ἡ γονὴ μείνῃ ἀπ' ἀμφοῖν ἐν τῇσι μήτρῃσι τῆς γυναικὸς, πρῶτον μὲν μίσγεται ὁμοῦ, ἅτε τῆς γυναικὸς οὐκ ἀτρεμεούσης, καὶ ἀθροίζεται καὶ παχύνεται θερμαινομένη. ἔπειτα πνεῦμα ἴσχει, ἅτε ἐν θερμῷ ἐοῦσα. ἔπειτα τῆς μητρὸς πνεούσης. ἔπειτα δὲ τοῦ πνεύματος ὅταν πλησθῇ, ὁδὸν οἱ αὐτὸ ἑωυτῷ ἔξω ποιέει. καὶ κατὰ μέσον τῆς γονῆς τὸ πνεῦμα ἔξεισιν. ὅταν δὲ ὁδὸς γένηται τῷ πνεύματι ἔξω θερμῷ ἐόντι, αὖθις ἕτερον ψυχρὸν εἰσπνέει ἀπὸ τῆς μητρός. καὶ τοῦτο ποιέει διὰ παντὸς τοῦ χρόνου. θερμαίνεται μὲν γὰρ, ἅτε ἐν τῷ θερμῷ ἐοῦσα. ψυχρὸν δὲ ἴσχει, ἀπὸ τῆς μητρὸς πνεούσης. πάντα δὲ ὁκόσα θερμαίνεται, πνεῦμα ἴσχει. τὸ δὲ πνεῦμα ῥήγνυσι καὶ ποιέει οἱ ὁδὸν αὐτὸ ἑωυτῷ καὶ χωρέει ἔξω. αὐτὸ δὲ τὸ θερμαινόμενον, ἑλκει ἐς ἑωυτὸ αὖθις ἕτερον πνεῦμα ψυχρὸν διὰ τῆς ῥαγῆς ἀφ' οὗ τρέφεται. τοῦτο δὲ γίνεται καὶ ἐπὶ τῶν ξύλων, καὶ ἐπὶ τῶν φύλλων. καὶ βρωτῶν. καὶ ποτῶν, ὁκόσα θερμαίνεται ἰσχυρῶς. ἐννοῆσαι δὲ παρέξει ξύλα καιόμενα. ἅπαντα μὲν γὰρ ξύλα ποιήσει τοῦτο. μάλιστα δὲ τὰ ὑπόχλωρα. μεθίησι γὰρ κατὰ τὴν τομὴν πνεῦμα. τὸ δὲ πνεῦμα ὁκόταν ἔξω χωρήσῃ, ἑλίσσεται περὶ τὴν τομήν. καὶ τοῦτο γινόμενον ὁρῶμεν αἰεί. δῆλος οὖν ὁ ἐκλογισμὸς ἐστι τοῦ πνεύματος, ὅτι ἐν τῷ ξύλῳ ἐὸν θερμὸν, ἀντισπᾷ ἕτερον ψυχρὸν, ἀφ' οὗ τρέφεται. καὶ ὑπὸ ἑωυτοῦ ἀφίησιν. εἰ μὲν γὰρ μὴ ἀντέσπα, οὐκ ἂν τὸ πνεῦμα εἱλίσσετο ἔξω ἰόν. πᾶν γὰρ τὸ θερμὸν, τῷ ψυχρῷ τρέφεται τῷ μετρίῳ. καὶ ὁκόταν διαθερμανθῇ τὸ ὑγρὸν τὸ ἐν τῷ ξύλῳ ἐνεὸν, πνεῦμα γινόμενον, χωρέει ἔξω. καὶ τῇδε ἐξιὸν ἔξω τὸ θερμὸν τὸ ἐν τῷ ξύλῳ ἐνεὸν ἀντισπᾷ ἕτερον ψυχρὸν, ἀφ' οὗ τρέφεται. ποιέει δὲ τοῦτο καὶ φύλλα χλωρά. ὅταν δὲ καίηται πνεῦμα ἴσχει. ἔπειτα ῥήγνυσι τὸ πνεῦμα καὶ ὁδὸν ποιέεται. καὶ χωρέει ἔξω ἑλισσόμενον. χωρίον δὲ ψόφον παρέχει, ἢ τὴν εἰσπνοὴν ποιέεται. καὶ χέδροπα καὶ σῖτος. καὶ ἀκρόδρυα θερμαινόμενα, πνεῦμα ἴσχει, καὶ ἔξω ἐξέρχεται ῥαγὴν ποιησάμενον. καὶ ἢν νοτερὰ ᾖ πλέον τὸ πνεῦμα ἀφίησι, καὶ τὴν ῥαγὴν μέζω ποιέεται. καὶ τί δεῖ μακρηγορέειν; πάντα γὰρ ὁκόσα θερμαίνεται, πνεῦμα ἀφίησι, καὶ ἕτερον ψυχρὸν κατὰ τοῦτο ἀντισπᾷ, ἀφ' οὗ τρέφεται. καὶ αὗταί μοι ἀνάγκαι προηγμέναι εἰσὶν, ὅτι ἡ γονὴ θερμαινομένη ἐν τῇσι μήτρῃσι, πνεῦμα ἴσχει καὶ ἀφίησι. ἅμα δὲ καὶ ἀπὸ τῆς

μήτρης πνεούσης, πνοὴν ἴσχει καὶ ἡ γονή, ὁκόταν γὰρ ἡ μήτηρ ψυχρὸν ἑλκύσῃ ἐς ἑωυτὴν ἀπὸ τοῦ ἀέρος, ἐπαυρίσκεται ἡ γονή. θερμὴ δέ ἐστιν, ἅτε δὴ ἐν θερμῷ ἐοῦσα. καὶ τότε δὴ πνεῦμα ἴσχει καὶ ἀφίησι. καὶ ἡ γονὴ ὑμενοῦται φυσωμένη. περιτείνεται γὰρ ἀμφ' αὐτὴν τὸ ἔξωθεν, συνεχὲς γινόμενον ἅτε γλίσχρον ἐόν, ὥσπερ ἐπ' ἄρτῳ ὀπτωμένῳ, λεπτὸν ἐφίσταται ἐπιπολῆς ὑμενοειδές. θερμαινόμενος γὰρ καὶ φυσώμενος αἴρεται. ἡ δ' ἂν φυσᾶται, κείνῃ τὸ ὑμενῶδες γίνεται. τῇ δὲ γονῇ θερμαινομένῃ καὶ φυσωμένῃ πάσῃ, ὑμὴν ἔξωθεν περιγίνεται. κατὰ δὲ μέσον τῆς γονῆς, τῷ πνεύματι δίοδος καὶ ἔξω καὶ ἔσω γίνεται διὰ τοῦ ὑμένος. καὶ ταύτῃ τοῦ ὑμένος ἀπέχει τὸ λεπτὸν καὶ τῆς γονῆς ἐν αὐτοῖσιν ὀλίγιστόν ἐστιν. αὐτὴ δὲ ἡ ἄλλη γονὴ στρογγύλη ἐστὶν ἐν ὑμένι. καὶ μὴν ἑξ ἡμέρας μείνασαν ἐν τῇ γαστρὶ γονὴν καὶ ἔξω πεσοῦσαν αὐτὸς εἶδον. καὶ ὁκοίη μοι ἐφαίνετο ἐν τῇ γνώμῃ τότε, ἀπ' ἐκείνων τὰ λοιπὰ τεκμήρια ποιεῦμαι. ὡς δὲ εἶδον τὴν γονὴν ἑκταίην ἐοῦσαν, ἐγὼ διηγήσομαι. γυναικὸς οἰκείης μουσοεργὸς ἦν πολύτιμος, παρ' ἄνδρας φοιτέουσα, ἣν οὐκ ἔδει λαβεῖν ἐν γαστρί, ὅκως μὴ ἀτιμοτέρη ἔῃ. ἠκηκόει δὲ ἡ μουσοεργός, ὁκοῖα γυναῖκες λέγουσι πρὸς ἀλλήλας· ἐπὴν γυνὴ μέλλῃ λήψεσθαι ἐν γαστρί, οὐκ ἐξέρχεται ἡ γονή, ἀλλ' ἔνδον μένει. ταῦτα ἀκούσασα, ξυνῆκε. καὶ τοῦτο ἐφύλασσεν αἰεί. καί πως ὡς ᾔσθετο οὐκ ἐξιοῦσαν τὴν γονήν, καὶ ἔφρασε τῇ δεσποίνῃ, καὶ ὁ λόγος ἦλθεν ἕως ἐμέ. καὶ ἐγὼ ἀκούσας ἐκέλευσα μὴν αὐτήν, πρὸς τὴν γῆν πηδῆσαι. καὶ ἑπτάκις ἤδη ἐπεπήδητο. ἡ γονὴ κατερρύη ἐπὶ τὴν γῆν, καὶ ψόφος ἐγένετο. κἀκείνη δὲ ἰδοῦσα, ἐθεῆτο καὶ ἐθαύμαζεν. ὁκοῖον δὲ ἦν, ἐγὼ ἐρέω. οἷον εἴ τις ὠοῦ ὠμοῦ τὸ ἔξω λέπυρον περιέλοι, ἐν δὲ τῷ ἔνδον ὑμένι τὸ ἔνδον ὑγρὸν διεφαίνετο. τρόπος μέν τις ἦν τοιοῦτος, ἅλις εἰπεῖν. ἦν δὲ καὶ ἐρυθρὸν καὶ στρογγύλον. ἐν δὲ τῷ ὑμένι ἐφαίνοντο ἐνεοῦσαι ἶνες λευκαὶ καὶ παχεῖαι, εἰλημμέναι ξὺν ἰχῶρι παχεῖ καὶ ἐρυθρῷ. καὶ ἀμφὶ τὸν ὑμένα ἔξωθεν αἱμάλωπες. κατὰ δὲ μέσον τοῦ ὑμένος, ἀπεῖχε λεπτόν ὅ, τι μοι ἐδόκεεν ὀμφαλὸς εἶναι. κἀκείνῳ τὴν πνοὴν καὶ εἴσω καὶ ἔξω ποιέεσθαι τὸ πρῶτον. καὶ ὁ ὑμὴν ἐξ ἐκείνου ἐτέτατο ἅπας περιέχων τὴν γονήν. τοιαύτην μὲν ἐγὼ εἶδον ἑκταίην οὖσαν τὴν γονήν. ἐρέω δὲ καὶ ἄλλην διάγνωσιν ἐν ὀλίγῳ τούτῳ ὕστερον ἐκφανέα, παντὶ τῷ βουλομένῳ εἰδέναι τούτου πέρι. καὶ ἱστόριον, παντὶ τῷ ἐμῷ λόγῳ, ὅτι ἐστὶν ἀληθὴς ὡς εἰπεῖν ἀνθρώπῳ περὶ τοιούτου πράγματος. καὶ ταῦτα μὲν ἐς τοῦτο μοι εἴρηται. ὅτι δὲ ἡ γονὴ ἐν ὑμένι ἐστί, καὶ πνοὴν ἔχει καὶ εἴσω καὶ ἔξω, καὶ αὔξεται ὑπὸ τῆς μητρὸς τοῦ αἵματος κατιόντος ἐπὶ τὰς μήτρας. τὰ γὰρ καταμήνια οὐ χωρέει, ὁκόταν γυνὴ λάβῃ πρὸς ἑωυτήν, ἢν μέλλῃ τὸ παιδίον ὑγιαίνειν. εἰ μή ἐστιν ᾗσιν ἐπισημαίνει τὸν πρῶτον μῆνα ὁκόσον ὀλίγον. ἀλλὰ κατιὸν τὸ αἷμα ἀπὸ παντὸς τοῦ σώματος τῆς γυναικός, κυκλόσε περιΐσταται περὶ τὸν ὑμένα ἔξω. ἅμα δὲ τῇ πνοῇ ἑλκομένου εἴσω τοῦ αἵματος διὰ τοῦ ὑμένος, κατὰ τὸ τετρημμένον καὶ ἀπέχον συμπήγνυται καὶ αὔξει τὸ μέλλον ζῶον ἔσεσθαι. ὁκόταν δὲ χρόνος ἐγγένηται, αὖθις ἕτεροι ὑμένες εἴσω τοῦ πρώτου ὑμένος λεπτοὶ καὶ πολλοὶ περιτείνονται, τρόπῳ τοιούτῳ, οἵῳ καὶ ὁ πρῶτος ὑμὴν ἐγένετο. τεταμένοι δὲ εἰσὶ καὶ οὗτοι ἀπὸ τοῦ ὀμφαλοῦ, καὶ ἐς ἀλλήλους διαδεσμοὺς ἔχουσιν. ὁκόταν δὲ ἤδη τοῦτο γένηται, κατιόντος τοῦ αἵματος ἀπὸ τῆς μητρὸς καὶ πηγνυμένου, σὰρξ γίνεται. κατὰ δὲ μέσον τῆς σαρκὸς ὁ ὀμφαλὸς ἀπέχει, δι' οὗ πνέει καὶ τὴν αὔξησιν ἴσχει. ἡ δὲ γυνὴ ὁκόταν ἐν γαστρὶ ἔχῃ, ὑπὸ τῶν καταμηνίων μὴ χωρεόντων, διὰ τάδε οὐ πονέεται, ὅτι τὸ αἷμα οὐ ταράσσεται. ξύζην ἀπιὸν κατὰ μῆνα ἕκαστον. ἀλλὰ χωρέει ἡσυχῇ καὶ κατ' ὀλίγον ἄνευ πόνου καθ' ἡμέρην ἐς τὰς μήτρας. καὶ τὸ ἔνδον ἐν τῇσι μήτρῃσιν ἐνεὸν αὔξεται. καθ' ἡμέρην δὲ ἑκάστην, τούτου εἵνεκα χωρέει, ἀλλ' οὐκ ἐς ἅπαξ κατὰ μῆνα. ὅτι ἐν τῇσι μήτρῃσιν ἡ γονὴ ἐνεοῦσα, ἕλκει ἀπὸ τοῦ σώματος αἰεί, ὅκως ἂν καὶ δυνάμιος ἔχῃ. ταύτῃ καὶ ἡ πνοή. καὶ τὸ μὲν πρῶτον σμικρὴ ἡ πνοὴ γίνεται. καὶ τὸ αἷμα ὀλίγον χωρέει ἀπὸ τῆς μητρός. ὁκόταν δὲ ἡ πνοὴ ἐπὶ πλεῖον γίνηται, μᾶλλον ἕλκει τὸ αἷμα, καὶ ἐπὶ πλέον κατέρχεται ἐπὶ τὰς μήτρας. τῇσι δὲ ἐν γαστρὶ μὴ ἐχούσῃσι, ὁκόταν τὰ καταμήνια μὴ χωρέῃ, διὰ τάδε οἱ πόνοι γίνονται. πρῶτα μὲν ταράσσεται τὸ αἷμα ἐν τῷ σώματι κατὰ μῆνα ἕκαστον, ὑπὸ ἀνάγκης τοιῆσδε. ὅτι μὴν μηνὸς διαφέρει πουλύ, καὶ κατὰ ψύξιν καὶ κατὰ θερμασίην. καὶ τούτου αἰσθάνεται τῆς γυναικὸς τὸ σῶμα, ὑγρότερον γάρ ἐστιν ἢ τὸ τοῦ ἀνδρός. καὶ ταραχθέντος τοῦ αἵματος καὶ πληρώσαντος τὰς φλέβας, ἀπέρχεται ἀπ' αὐτοῦ. καὶ πῶς τοῦτο ἐν τῇ ἀρχῇ τῇ φύσει ὑπῆρξεν. ὥς τε ἢν μὲν ἀποκενῶται τοῦ αἵματος ἡ γυνή, λαμβάνει ἐν γαστρί. ἢν δὲ πλήρης ἔῃ, οὔ. κενεῶν γὰρ τῶν μητρέων καὶ τῶν φλεβῶν γινομένων τοῦ αἵματος, λαμβάνουσι πρὸς σφᾶς αἱ γυναῖκες τοὺς παῖδας. μετὰ γὰρ τὴν καταμηνίων τὴν κάθαρσιν, αἱ γυναῖκες λαμβάνουσιν ἐν γαστρί. αἴτιον δὲ τὸ εἰρημένον. ὁκόταν δὲ ταραχθῇ τὸ αἷμα καὶ ἀποκριθέν, μὴ χωρέει ἔξω, ἀλλ' ἐς τὰς μήτρας, αἱ δὲ μῆτραι μὴ χάνωσι, θερμαινόμεναι δὴ ὑπὸ τοῦ αἵματος χρονιώτερον μένοντος αἱ μῆτραι θέρμην τῷ ἄλλῳ σώματι παρέχουσιν. ἔστι δ' ὅτε καὶ διαδιδοῦσιν αἵματος ἐς τὰς φλέβας τοῦ σώματος, ὅπῃ αἱ φλέβες πληρεόμεναι πονέονται, καὶ οἰδήματα παρέχουσιν. ἔστι δ' ὅτε καὶ κίνδυνος ἐκ τοῦ τοιούτου χωλωθῆναι. ἔστι δ' ὅτε καὶ πρὸς τὴν κύστιν προσίστανται, καὶ πιέζουσι καὶ καίουσι τὴν κύστιν, καὶ στραγγουρίην παρέχουσιν. ἔστι δ' ὅτε πλήρεες αἵματος ἐοῦσαι, αἱ μῆτραι προσπίπτουσιν ἢ πρὸς τὰ ἰσχία, ἢ πρὸς ὀσφύν, καὶ πόνον παρέχουσιν. ἔστι δὲ ὁκόταν ἐγχρονίσῃ τὸ αἷμα μῆνας πέντε ἢ ἓξ ἐν τῇσι μήτρῃσι σαπέν, πύος γίνεται. καὶ ἐνίῃσι κατὰ τὸ αἰδοῖον ἐξέρχεται τὸ πύος. ἔστι δὲ ᾗσι καὶ κατὰ τὸν βουβῶνα ὡς φῦμα γίνεται, κἀκεῖ πύον γινόμενον, ἐξῆλθε. καὶ ἄλλα πολλὰ κατὰ τῇσι γυναιξὶ τοιουτότροπα γίνονται, ὁκόταν μὴ ἀποκαθαίρονται τὰ καταμήνια. ἀλλὰ τί δεῖ

λέγειν αὐτὰ ἐνθάδε; εἴρηται γὰρ ἐν τοῖσι γυναικείοισι νοσήμασιν. ἀλλ' ὅθεν ἀπέλιπον παρανέω τὸν λόγον. ὁκόταν δὲ γένηται σάρξ, τότε οἱ ὑμένες αὐξομένου τοῦ ἐν τῇσι μήτρῃσιν αἵματος, αὔξονται καὶ αὐτοὶ καὶ κολποῦνται, καὶ μάλιστα οἱ ἔξωθεν. καὶ τὸ αἷμα κατελθόν, τὸ ἀπὸ τῆς μητρός, ὅ, τι ἂν ἡ σὰρξ πνέουσα ἑλκύσῃ, καὶ ἡ αὔξη ἐγγένηται καὶ χρηστὸν ἴῃ, ἐς τοὺς κόλπους τῶν ὑμένων ἀποκρίνεται. καὶ ὁκόταν κολπωθῶσι καὶ τὸ αἷμα δέξωνται, τότε ἤδη καλέεται χορίον. ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται. ἡ δὲ σὰρξ αὐξομένη ὑπὸ τοῦ πνεύματος ἀρθροῦται. καὶ ἔρχεται ἐν ταύτῃ ἕκαστον ὅμοιον, ὡς τὸ ὅμοιον. τὸ πυκνόν, ὡς τὸ πυκνόν. τὸ ἀραιόν, ὡς τὸ ἀραιόν. τὸ ὑγρόν, ὡς τὸ ὑγρόν. καὶ ἕκαστον ἔρχεται εἰς χώρην ἰδίην κατὰ τὸ ξυγγενές, ἀφ' οὗ καὶ ἐγένετο. καὶ ὅσα ἀπὸ πυκνῶν ἐγένετο, πυκνά ἐστι. καὶ ὅσα ἀπὸ ὑγρῶν, ὑγρά. καὶ τἄλλα κατὰ τὸν αὐτὸν λόγον γίνεται ἐν τῇ αὐξήσει. καὶ τὰ ὀστέα σκληρύνεται ὑπὸ τῆς θέρμης πηγνύμενα. καὶ δὴ καὶ διοζοῦται ὡς δένδρον. καὶ ἀρθροῦται ἐπὶ ἄμεινον, καὶ τὰ εἴσω τοῦ σώματος, καὶ τὰ ἔξω. καὶ ἥ τε κεφαλὴ γίνεται ἀφεστηκυῖα ἀπὸ τῶν ὤμων. καὶ οἱ βραχίονες καὶ οἱ πήχεες ἀπὸ τῶν πλευρέων. καὶ τὰ σκέλεα διΐσταται ἀπ' ἀλλήλων. καὶ τὰ νεῦρα ἐπιΐσταται ἀμφὶ τὰς φύσιας τῶν ἄρθρων, καὶ αὐτοστομοῦται. καὶ ἡ ῥίς, καὶ τὰ οὔατα ἀφίσταται ἐν τῇσι σαρξί, καὶ τετραίνεται. καὶ οἱ ὀφθαλμοὶ ἐμπίπλανται ὑγροῦ καθαροῦ. καὶ τὸ αἰδοῖον δῆλον γίνεται, ὁκότερόν ἐστι. καὶ τὰ σπλάγχνα διαρθροῦται. καὶ δὴ καὶ τοῖσιν ἄνω τὴν πνοὴν ποιέεται, τῷ τε στόματι καὶ τῇ ῥινί. καὶ ἥ τε κοιλίη φυσᾶται. καὶ τὰ ἔντερα καταφυσώμενα κατὰ τὸ ἄνωθεν ἐπιλαμβάνει τὴν διὰ τοῦ ὀμφαλοῦ πνοὴν καὶ ἀμαλδύνει. καὶ ἐς τὸν κύσαρον ὁδὸς γίνεται ἀπὸ τῆς κοιλίης καὶ τῶν ἐντέρων ἔξω, καὶ ἐς τὴν κύστιν ὁδὸς ἔξω. τούτων δὲ διαρθροῦται ὑπὸ τῆς πνοῆς ἕκαστα. φυσώμενα γὰρ διΐσταται ξύμπαντα κατὰ συγγένειαν. καὶ γὰρ εἰ θέλοις αὐλίσκον προσδῆσαι τῇ κύστει, καὶ διὰ τοῦ αὐλίσκου ἐμβαλεῖν ἐς τὴν κύστιν γῆν τε καὶ ψάμμον, καὶ μολίβδου ῥινήσματα λεπτά, καὶ ὕδωρ ἐπιχέας φυσῆν διὰ τοῦ αὐλίσκου, πρῶτον μὲν ἐκεῖνα ἀναμεμίξεται τῷ ὕδατι. ἔπειτα δέ, χρόνῳ φυσώμενα ἐλεύσεται, ὅ τε μόλιβδος, ὡς τὸν μόλιβδον. καὶ ἡ ψάμμος, ὡς τὴν ψάμμον. καὶ ἡ γῆ, ὡς τὴν γῆν. καὶ ἤν τις αὐτὰ αὐανθῆναι ἐάσῃ, καὶ περιρρήξας τὴν κύστιν σκέψηται, εὑρήσει αὐτῶν τὸ ὅμοιον ἐς τὸ ὅμοιον ἐληλυθός, οὕτω δὴ καὶ ἡ γονὴ καὶ ἡ σὰρξ διαρθροῦται, καὶ ἔρχεται ἕκαστον ἐν αὐτῇ, τὸ ὅμοιον ὡς τὸ ὅμοιον. ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται. καὶ γέγονεν ἤδη παιδίον, καὶ ἐς τοῦτο ἀφικνέεται. τὸ μὲν θῆλυ τὴν πρώτην πῆξιν, ἐν τεσσαράκοντα ἡμέρῃσι καὶ δύο τὸ μακρότατον. τὸ δὲ ἄρσεν, ἐν τριήκοντα ἡμέρῃσι τὸ μακρότατον. ὡς γὰρ ἐπὶ πολὺ ξυμβαίνει ἐν τούτῳ τῷ χρόνῳ, ἢ ὀλίγῳ μείονι, ἢ ὀλίγῳ πλείονι, ταῦτα διαρθροῦσθαι. καὶ γὰρ ἡ κάθαρσις γίνεται τῇσι γυναιξὶ μετὰ τὸν τόκον ὡς ἐπὶ τὸ πολύ. ἐπὶ μὲν τῇ κούρῃ, ἡμέρῃσι τεσσαράκοντα καὶ δύο. οὕτως ἡ χρονιωτάτη, τελείη. ἀκινδύνως δ' ἂν εἴη, καὶ ἐν εἴκοσι καὶ πέντε ἡμέρῃσιν, εἰ καθαίροιτο. ἐπὶ δὲ τῷ κούρῳ, ἡ κάθαρσις γίνεται ἡμέρῃσι τριήκοντα. οὕτως ἡ χρονιωτάτη τελείη. ἀκινδύνως δ' ἂν εἴη καὶ ἐν εἴκοσιν ἡμέρῃσιν εἰ καθαίροιτο. τοῦ δὲ ὑστάτου χρόνου, ἐλαχίστη χωρέει ἡ κάθαρσις. ἐπὶ δὲ τῇσι νεωτέρῃσιν ἐλάσσοσιν ἡμέρῃσι καθαίρονται. ἐπὶ δὲ τῇσι πρεσβυτέρῃσι, πλείοσι. μάλιστα δὲ πονέονται αἱ γυναῖκες ἐν τῷ τόκῳ, καὶ ἐν τοῖσι λοχίοισιν αἱ πρωτοτόκοι. καὶ αἱ ἐλάσσω τετοκυῖαι, τῶν πλείω τετοκυιέων, μᾶλλον πονέονται. αἱ δὲ καθάρσιες αἱ ἐκ τοῦ τόκου τῇσι γυναιξί, τούτου εἵνεκα γίνονται. ὅτι ἐν τῷ πρὸ τοῦ χρόνῳ, μέχρι τεσσαράκοντα ἡμερέων καὶ δύο ἐπὶ τῇ κούρῃ, ἐπὶ δὲ τῷ κούρῳ, μέχρι τριήκοντα ἡμερέων ἐλάχιστον αἷμα κατέρχεται ἐπὶ τὴν αὔξην τῷ παιδίῳ. τὸ δ' ἀπὸ τούτου πλεῖον, μέχρι τέκῃ. δεῖ δὴ τὴν κάθαρσιν ἀποδοθῆναι ἐν τοῖσι λοχίοισι, καὶ ἐξιέναι ἔξω, κατὰ τὸν λόγον τῶν ἡμερέων. ἀρχὴ δὲ γίνεται τοιαύτη τῇ γυναικὶ ἐν τῇ ὠδῖνι. τὸ αἷμα ταράσσεται τῇ γυναικὶ καὶ θερμαίνεται πάνυ ὑπὸ τῆς κινήσιος τοῦ παιδίου ἐναργὴς ἐούσης. ταραχθὲν δέ, πρῶτον μὲν ἔρχεται ἔξω. μετὰ δὲ τὸ παιδίον, ἰχὼρ παχὺς αἱματώδης. καὶ ὑφήγησις ἐγένετο τούτῳ, ὥσπερ ὕδατι ἐπὶ τραπέζης. ἔπειτα μετ' ἐκεῖνον ἀνὰ πάσας τὰς ἡμέρας χωρέει ἡ κάθαρσις, ἕως τοῦ εἰρημένου χρόνου, πλῆθος ἀττικὴ κοτύλη ὅλη καὶ ἡμίσεια τὸ πρῶτον, ἢ ὀλίγῳ πλεῖον, ἢ ὀλίγῳ ἔλασσον, κατὰ λόγον τούτου μέχρις ἂν λήξῃ. χωρέει δὲ αἷμα, οἷον ἀπὸ ἱερείου ἢν ὑγιαίνῃ ἡ γυνή, καὶ ἢν μέλλῃ ὑγιαίνειν, καὶ ταχὺ πήγνυται. ἢν δὲ μὴ ὑγιαίνῃ ἡ γυνή, μηδὲ μέλλῃ ὑγιαίνειν, χωρέει ἡ κάθαρσις ἐλάττων, καὶ εἶδος πονηροτέρη, καὶ οὐ ταχὺ πήγνυται. ὧδε δὲ τοῦτο ἔχει. ἤν τι ἡ γυνὴ ἐν γαστρὶ ἔχουσα νόσημα ἔχῃ μὴ συγγενές, ἐν τῇ λοχίων καθάρσει ἀπόλλυται. ἢν δὲ μὴ ἀποκαθαίρηται ἐν τῇσι πρόσθεν ἡμέρῃσιν ἐν γαστρὶ ἔχουσα, εὐθὺς ὑγιεινὴ ἐοῦσα, εἴτε καὶ μὴ. ἐστυφθῇ δ' οἱ ἡ κάθαρσις, εἴτε ὑπὸ φαρμάκων, εἴτε καὶ αὐτομάτη ἐξαίφνης, κατὰ λόγον τῶν ἡμερέων χωρήσει, ὧν οὐ χωρέει ἐς ἅπαξ. ἢν γὰρ μὴ ἀποκαθαίρηται τὰ λόχια ἡ γυνή, νοῦσος αὐτῇ μεγάλη ἔσται καὶ κινδυνεύσει ἀποθανεῖν, ἢν μὴ μελεδαίνηται ἐν τάχει. καί τις αὐτῇ προσενέγκασαν ἐπάγῃ τὴν κάθαρσιν. ταῦτα εἰσενήνεγμαι ὧδε διὰ τοῦτο, ὅκως ἀποφήνω ὅτι τῶν παιδίων γίνεται ἡ διάκρισις τῶν μελέων ἡ μακροτάτη. ἐπὶ μὲν τῇ κούρῃ, ἐν τεσσαράκοντα καὶ δυοῖν ἡμέρῃσιν. ἐπὶ δὲ τῷ κούρῳ, ἐν τριήκοντα ἡμέρῃσιν, ἱστορεῖ ἡ κάθαρσις τῶν λοχίων. ὅτι ἐπὶ μὲν τῇ κούρῃ γίνεται ἐν τεσσαράκοντα καὶ δυοῖν ἡμέρῃσιν. ἐπὶ δὲ τῷ κούρῳ ἐν τριάκοντα ἡμέρῃσιν ἡ χρονιωτάτη. μέλλω δὴ τὸ δεύτερον νῦν ὀνομάζειν, σαφηνείης εἵνεκα. φημὶ γὰρ αὐτὰ ποιέεσθαι, ὅτι ἐν τῇσι μήτρῃσιν ἐνεούσῃ τῇ γονῇ, ἐλάχιστον αἷμα ἔρχεται ἀπὸ τῆς γυναικὸς ἐπὶ τὰς μήτρας θήλειαν γονὴν ἐχούσης ἐν τεσσαράκοντα καὶ δυοῖν

ἡμέρῃσιν. ἐν γὰρ ταύτῃσι διαρθροῦται τὰ μέλεα τῶν παιδίων. ἀπὸ δὲ τούτου τοῦ χρόνου, ἐπὶ πλεῖον ἔρχεται τὸ αἷμα, καὶ ἐπὶ τῷ κούρῳ πάλιν, κατὰ λόγον τῶν τριήκοντα ἡμερέων. ὧδε δὲ ἔχει ἕτερον ἱστόριον τοιόνδε ὅτι ταῦτα ἐστὶν ἀληθέα. τῇσι πρώτῃσι τῶν ἡμερέων ὁκόταν ἡ γονὴ ἐς τὰς μήτρας πίπτῃ, ἐλάχιστον αἷμα ἔρχεται ἀπὸ τῆς γυναικὸς ἐς τὰς μήτρας. ἔπειτα δὲ ἐπὶ πλεῖον. εἰ γὰρ ἀθρόον καὶ πολὺ ἔλθοι ἐς ἅπαξ, οὐκ ἂν δύναιτο ἡ γονὴ πνοὴν ἔχειν, ἀλλ' ἀποπνιγείη ἂν τοῦ αἵματος ἰόντος πολλοῦ. ἀνταποδίδοται δὲ ἐν τῇ καθάρσει τοὐναντίον. χωρέει γὰρ ἡ κάθαρσις τῶν λοχίων, ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων, πλείστη. εἶτα ἐπ' ἐλάσσω, ἕως λήξῃ. πολλαὶ δὲ γυναῖκες ἤδη διέφθειραν κοῦρον ὀλίγῳ πρόσθεν τριήκοντα ἡμερέων, καὶ ἄναρθρον ἐφαίνετο. ὁκόσα δὲ ὕστερον, ἢ ἅμα τριήκοντα ἡμέρῃσι, διηρθρωμένα ἐφαίνετο ἐόντα, καὶ ἐπὶ τῇ κούρῃ κατὰ λόγον τῶν τεσσαράκοντα καὶ δύο ἡμερέων ὁκόταν διαφθαρῇ, φαίνεται ἡ διάρθρωσις τῶν μελέων, ἤν τε πρόσθεν φθαρῇ τὸ παιδίον, ἤν τε ὕστερον, ὧδε φαίνεται, καὶ λόγῳ καὶ ἀνάγκῃ ἡ διάρθρωσις ἐοῦσα. ἐπὶ μὲν τῇ κούρῃ, ἐν τεσσαράκοντα καὶ δύο ἡμέρῃσιν. ἐπὶ δὲ τῷ κούρῳ, ἐν τριήκοντα. ἰσορροπέουσι γὰρ αἱ ἐξαμβλώσιες τῶν παιδίων, καὶ τῶν λοχίων αἱ καθάρσιες. αἴτιον δέ ἐστιν, ὅτι τὸ θῆλυ πήγνυται ὕστερον, καὶ διαρθροῦται, ὅτι ἡ γονὴ ἀσθενεστέρη ἐστὶ, καὶ ὑγροτέρη τῆς θηλείης ἢ τοῦ ἄρρενος. καὶ ἀνάγκη ἐστὶ κατὰ τοῦτον τὸν λόγον, ὕστερον πήγνυσθαι τὸ θῆλυ, ἢ τὸ ἄρρεν. καὶ ἡ κάθαρσις χρονιωτέρη τούτου εἵνεκεν ἐπὶ τῇ θηλείῃ ἢ τῷ ἄρσενι. ἀναβήσομαι δὲ αὖθις ὀπίσω, ὅθεν ἀπέλειπον. ὁκόταν δὲ διαρθρωθῇ τὸ παιδίον, τὰ εἴδεα τῶν μελέων αὐξομένων αὐτοῦ, τότε ὀστέα ἐπισκληρότερα γίνεται, καὶ κοιλαίνεται. καὶ ταῦτα ὑπὸ τοῦ πνεύματος γίνεται. κοῖλα δὲ ἐόντα, ἕλκει ἐς ἑωυτὰ ἀπὸ τῶν σαρκῶν τοῦ αἱμάλωπος τὸ πιότατον. καὶ χρόνῳ διοζοῦται αὖθις τὰ ἄκρα τῶν ὀστέων, ὥσπερ δενδρέου τὰ ἀκρότατα τὰ ὕστατα ὀζοῦται, οὕτω καὶ τοῦ παιδίου διΐστανται ἀπ' ἀλλήλων οἱ δάκτυλοι τῶν χειρῶν καὶ τῶν ποδῶν. ἐπὶ δ' αὐτῶν τῶν ἄκρων οἱ ὄνυχες φύονται. τελευτῶσι γὰρ αἱ φλέβες αἱ τοῦ ἀνθρώπου πᾶσαι, ἐς τοὺς δακτύλους τῶν ποδῶν καὶ τῶν χειρῶν. καὶ παχύταται μέν εἰσιν αἱ ἐν τῷ σώματι φλέβες. καὶ αἱ ἐν τῇ κεφαλῇ. ἔπειτα δὲ ἐν τοῖσι σκέλεσι καὶ τοῖσι βραχίοσι καὶ τοῖσι πήχεσιν. ἐν δὲ τοῖσι ποσὶ καὶ τῇσι χερσὶ, λεπτόταται, καὶ πυκνόταται, καὶ πλεῖσται φλέβες εἰσὶ, καὶ νεῦρα λεπτότατα καὶ πυκνότατα, καὶ πλεῖστα. καὶ ὀστέα ἐλάχιστα τῷ μεγέθει. τῶν δὲ χειρῶν καὶ τῶν ποδῶν, ἐν τοῖσι δακτύλοισι ταῦτα μάλιστά ἐστιν. ἐκ δὲ τῶν δακτύλων ἅτε πυκνὰ ἐχόντων ὀστέα μικρὰ καὶ φλέβας καὶ νεῦρα, οὕτως οἱ ὄνυχες φύονται ἐξ αὐτῶν, λεπτοὶ καὶ πυκνοί. καὶ ἀπολαμβάνουσι τῶν φλεβῶν τὰ ἄκρα, ὥς τε μηκέτι αὔξεσθαι αὐτὰς, μηδὲ προέχειν ἑτέρην ἑτέρης. ὥς τε μὴ θαυμάζειν ὅτι οἱ ὄνυχες ἐξωτάτω τοῦ σώματος πυκνότατοί εἰσιν. ἐκ γὰρ τῶν πυκνοτάτων εἰσίν. ἅμα δὲ τοῖσιν ὄνυξι καὶ αἱ τρίχες ἐν τῇ κεφαλῇ ῥιζοῦνται. ἔχει δὲ ὧδε τὰ ἀμφὶ τῶν τριχῶν τῆς φύσιος. φύονται μὲν γὰρ μέγισται καὶ πλεῖσται, ὅκου τοῦ σώματος ἡ ἐπιδερμὶς ἀραιοτάτη ἐστὶ, καὶ ὅκου ἡ θρὶξ μετρίην ἰκμάδα ἐς τὴν τροφὴν ἔχει. καὶ ὅκου ἡ ἐπιδερμὶς ὕστερον ἀραιὴ γίνεται. καὶ ὅκου ὕστερον αἱ τρίχες φύονται, ἐπί τε τῷ γενείῳ καὶ τῇ ἥβῃ, καὶ εἴπου ἄλλοθι. ἅμα γὰρ τῷ γόνῳ γινομένῳ, ἡ σὰρξ ἀραιὴ γίνεται, καὶ ἡ ἐπιδερμὶς καὶ τὰ φλέβια στομοῦνται μᾶλλον, ἢ ἐν τῷ πρὶν χρόνῳ. παιδὶ γὰρ ἐόντι, καὶ τῶν φλεβίων λεπτῶν ἐόντων, οὐκ ἐγχωρέει δι' αὐτῶν ἡ γονή. καὶ τῇσι παρθένοισι περὶ τῶν καταμηνίων, ωὑτὸς λόγος. ἅμα δὲ ὁδὸς προσγίνεται, καὶ τοῖσι καταμηνίοισι καὶ τῇ γονῇ, τῇσι παρθένοισι. καὶ τριχοῦται ἡ ἥβη τοῦ παιδὸς καὶ τῆς παρθένου, ἀραιῆς τῆς ἐπιδερμίδος γινομένης. καὶ ἅμα ἡ θρὶξ ἰκμάδα μετρίην εἰς τὴν τροφὴν ἔχει καὶ οὐκ ἐλάσσονα. οὕτω δὲ καὶ ἡ ἐπὶ τοῦ γενείου τοῦ ἀνδρὸς ἔχει. ἀραιὴ γὰρ γίνεται ἡ ἐπιδερμὶς, χωρεούσης εἰς αὐτὴν τῆς ἰκμάδος ἀπὸ τῆς κεφαλῆς. ἅμα μὲν γὰρ καὶ ἐν τῇ λαγνείῃ, ἅμα δὲ καὶ ἐν τῷ μεταξὺ χρόνῳ, ἡ θρὶξ μετρίην ἔχει τὴν ἰκμάδα ἐς τὴν τροφὴν τότε μάλιστα, ὁκόταν ὁ χρόνος ἐπιδιδῷ τῷ ὑγρῷ ἀπὸ τῆς κεφαλῆς καταβαίνοντι ἐν τῇ λαγνείῃ, ἀπέχον τῶν στηθέων, ἐπὶ τὸ γένειον. σημεῖον δὲ ὅτι ἐν τοῖσιν ἀραιοτάτοισι τῆς ἐπιδερμίδος φύονται αἱ τρίχες εἴ τις ἐθέλοι ἐπικαῦσαι τὴν ἐπιδερμίδα, καὶ φλυκταίναν μόνον ποιῆσαι, καὶ ὑγιῶσαι, πυκνὴ γινομένη ἡ ἐπιδερμὶς, κατὰ τὴν οὐλὴν τὰς τρίχας οὐκ ἐκφύσεται. ὁκόσοι δὲ εὐνοῦχοι παῖδες ἐόντες γίνονται, διὰ τοῦτο οὔτε ἡβῶσιν, οὔτε γενειῶσι, λεῖοί τε γίνονται ὅλοι, ὅτι ἡ ὁδὸς τῇ γονῇ οὐκ ἐπιγινομένη, οὐκ ἀραιοῖ τὴν ἐπιδερμίδα ἐπὶ τῷ ξύμπαντι δέρματι. ἀπολέλειπται γὰρ ἡ ὁδὸς τῆς γονῆς ὥσπερ μοι εἴρηται, ὀλίγῳ πρότερον. αἱ δὲ γυναῖκες λεῖαι γίνονται τότε γένειον καὶ τὸ σῶμα. ὅτι ἐν τῇ λαγνείῃ σφέων τὸ ὑγρὸν, οὐχ ὁμοίως κλονεόμενον ὡς τὸ τοῦ ἀνδρὸς, τὴν ἐπιδερμίδα οὐ ποιέει ἀραιήν. ὁκόσοι δὲ φαλακροὶ γίνονται, οὗτοι δὴ φλεγματώδεές εἰσι. καὶ ἐν τῇ κεφαλῇ αὐτέων ἅμα τῇ λαγνείῃ κλονεόμενον καὶ θερμαινόμενον τὸ φλέγμα, προσπῖπτον πρὸς τὴν ἐπιδερμίδα καίει τῶν τριχῶν τὰς ῥίζας, καὶ ἐκρέουσιν αἱ τρίχες. οἱ δὲ εὐνοῦχοι διὰ τοῦτο οὐ γίνονται φαλακροὶ, ὅτι σφέων οὐ γίνεται κίνησις ἰσχυρή. οὐδὲ θερμαινόμενον τὸ φλέγμα ἐν τῇ λαγνείῃ, καίει τῶν τριχῶν τὰς ῥίζας. αἱ δὲ πολιαὶ διὰ τοῦτο γίνονται, ὅτι ἐν πολλῷ χρόνῳ διϊκνευμένου τοῦ ὑγροῦ ἐν τῷ ἀνθρώπῳ, ἀποκρίνεται τὸ λευκότατον, καὶ πίπτει πρὸς τὴν ἐπιδερμίδα. καὶ ἡ θρὶξ λευκοτέρην ἰκμάδα ἕλκου-

σα ἢ ἐν

σα ἢ ἐν τῷ πρὶν χρόνῳ, λευκοτέρη γίνεται καὶ ἡ ἐπιδερμὶς, καὶ μᾶλλον ὅκου αἱ πολιαί εἰσι. λευκοτέρη τῆς ἄλλης γίνεται. καὶ ὁκόσοι ἐκ γενετῆς πολιόν τι ἔχουσιν ἐν τῇ κεφαλῇ, κείνοισιν ἡ ἐπιδερμὶς, ὅκου αἱ πολιαί εἰσι, λευκοτέρη τῆς ἄλλης ἐστίν. ἐκεῖ γὰρ τὸ λευκότατον ὑγρόν ἐστιν. ἔχει δὲ καὶ τόδε, ὧδε. ὁκοίην ἂν ἡ σὰρξ ἰκμάδα ἕλκῃ, ἤν τε λευκὴν, ἤν τε πυῤῥὴν, ἤν τε μέλαιναν, τοιαύτη τὴν χροιὴν καὶ ἡ θρὶξ γίνεται. ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται. ἐλεύσομαι δὲ αὖθις εἰς τὸ ἀπόλειπες τοῦ λόγου. ὁταν δὲ δὴ τὰ ἄκρα τοῦ σώματος τοῦ παιδίου ὀζωθῇ ἔξω, καὶ οἱ ὄνυχες καὶ αἱ τρίχες ἐῤῥιζώθησαν, τότε δὴ καὶ κινέεται. καὶ ὁ χρόνος ἐς τοῦτο γίνεται. τῷ μὲν ἄρσενι, τρεῖς μῆνες. τῇ δὲ θηλείῃ, τέσσαρες. ὧδε γὰρ ἐπὶ τὸ πλεῖστον ξυμβαίνει. ἔστι δ' ἃ καὶ πρόσθεν τῶν παιδίων τούτου τοῦ χρόνου κινέεται. κινέεται δὲ πρῶτον τὸ ἄρσεν, ὅτι ἐστὶν ἰσχυρότερον τοῦ θήλεος. καὶ πρῶτον πήγνυται τὸ ἄρσεν, ἀπὸ γὰρ ἰσχυροτέρης καὶ παχυτέρης γονῆς γίνεται. ὁκόταν δὲ κινηθῇ τὸ ἔμβρυον, τότε δὴ ἐπισημαίνει καὶ τὸ γάλα τῇ μητρί. οἱ γὰρ μαζοὶ αἴρονται, καὶ αἱ θηλαὶ ὀργῶσι. τὸ δὲ γάλα, οὐ χωρέει. καὶ τῇσι μὲν πυκνοσάρκοισι τῶν γυναικῶν, ὕστερον τὸ γάλα ἐπισημαίνει καὶ ἔρχεται. τῇσι δὲ ἀραιοσάρκοισι, πρόσθεν. δι' ἀνάγκην δὲ τοιήνδε, γίνεται τὸ γάλα. ὁκόταν αἱ μῆτραι ὀγκηραὶ ἐοῦσαι ὑπὸ τοῦ παιδίου, πιέζωσι τὴν κοιλίην τῆς γυναικὸς, τῆς δ' ὁκόταν πλήρεος ἐούσης ὁ πιεσμὸς γένηται, ἀποπηδέει τὸ πιότατον ἀπό τε τῶν βρωτῶν καὶ τῶν ποτῶν ἔξω, ἐς τὸ ἐπίπλοον, καὶ τὴν σάρκα. ὥσπερ δέρμα εἴ τις ἀλείψειεν ἐλαίῳ πολλῷ, καὶ ἐάσῃ ἀναπιεῖν, καὶ ἐπὴν ἀναπίῃ πιέζῃ τὸ δέρμα, διαπηδοίη ἂν πιεζευμένου τοῦ δέρματος ἔξω τὸ ἔλαιον. οὕτω δὴ καὶ τῆς κοιλίης τὸ πιαρὸν ἐν αὐτῇ ἐχούσης ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν πιεζευμένης ὑπὸ τῶν μητρέων διαπηδέει τὸ πῖαρ εἰς τὸ ἐπίπλοον καὶ ἐς τὴν σάρκα. κἂν ἀραιόσαρκος ἔῃ ἡ γυνὴ, θᾶσσον αἰσθάνεται τῆς διαπηδήσιος. ἢν δὲ μὴ, ὕστερον. καὶ τὰ ἐν γαστρὶ ἔχοντα κτήνεα, ἤν μή τι νοσέῃ ὑπὸ τοῦ αὐτοῦ ποτοῦ καὶ σίτου, πιότερα γίνεται διὰ τοῦτο. ὁμοίως δὲ καὶ ἡ γυνὴ ἀπὸ τοῦ πίονος διαθερμαινομένου καὶ λευκοῦ ἐόντος, γλυκαινόμενον ἀπὸ τῆς θέρμης τῆς ἀπὸ τῶν μητρέων, ἀποθλιβόμενον ἔρχεται εἰς τοὺς μαζούς. καὶ εἰς τὰς μήτρας δὲ ὀλίγον ἔρχεται, διὰ τῶν αὐτέων φλεβῶν. τείνουσι γὰρ εἰς τοὺς μαζοὺς καὶ εἰς τὰς μήτρας, φλέβια ταῦτά τε καὶ παραπλήσια ἄλλα. καὶ ὁκόταν ἀφίκηται εἰς τὰς μήτρας τοῦ γάλακτος, τὸ παιδίον ἐπ' αὐτοῦ ἐπαυρίσκεται ὀλίγον. οἱ δὲ μαζοὶ δεχόμενοι τὸ γάλα, αἴρονται πιμπλάμενοι. καὶ ὁκόταν τέκῃ ἀρχῆς κινήσιος ὑπογινομένης, χωρέει τὸ γάλα ἐς τοὺς μαζοὺς τούτους, ἢν θηλάζῃ. ἔχει γὰρ οὕτω. θηλαζομένοιν τοῖν μαζοῖν, εὐρυώτερα γίνεται τὰ φλέβια ἐς τοὺς μαζούς. εὐρυώτερα δὲ γινόμενα, ἀπὸ τῆς κοιλίης ἕλκοντα τὸ πιαρὸν, τοῖν μαζοῖν διαδιδόασι. καὶ γὰρ καὶ ὁ ἀνὴρ ἢν λαγνεύῃ πολλὰ, εὐρυώτερα γινόμενα τὰ φλέβια, μᾶλλον ἐπάγει τὴν λαγνείην. ἔχει δὲ καὶ τόδε, ὧδε. ἡ τροφὴ καὶ ἡ αὔξησις τῶν παιδίων γίνεται, ὁκόταν ἐν τῇσι μήτρῃσιν ἴῃ τὰ ἀπὸ τῆς μητρός. καὶ ὅκως ἂν ἡ μήτηρ ἔχῃ, ὑγιείης ἢ ἀσθενείης, ὧδε καὶ τὸ παιδίον ἔχει. ὥσπερ καὶ τὰ ἐν τῇ γῇ φυόμενα τρέφεται ἀπὸ τῆς γῆς. καὶ ὅκως ἂν ἡ γῆ ἔχῃ, οὕτω καὶ τὰ φυόμενα ἔχει ἐν τῇ γῇ. τό, τε γὰρ σπέρμα, ὁκόταν καταβληθῇ εἰς τὴν γῆν, ἰκμάδος τινὸς πίμπλαται ἀπ' αὐτῆς. ἔχει γὰρ ἐν αὐτῇ ἡ γῆ ἰκμάδα παντοίην, ὥς τε τρέφειν τὰ φυόμενα. ἰκμάδος δὲ πλησθὲν τὸ σπέρμα, φυσᾶται καὶ οἰδέει, καὶ ἀναγκάζεται ὑπὸ τῆς ἰκμάδος συστρέφεσθαι ἡ δύναμις, ἥ ἐστι κουφοτάτη ἐν τῷ σπέρματι. συστραφεῖσα δὲ ἡ δύναμις ὑπὸ τοῦ πνεύματος, καὶ τῆς ἰκμάδος φύλλα γινομένης, ῥήγνυσι τὸ σπέρμα, καὶ ἀνατέλλει πρῶτον ἔξω τὰ φύλλα. ἀνατείλαντα δὲ, ὁκόταν μηκέτι δύνηται τρέφεσθαι τὰ φύλλα ὑπὸ τῆς ἰκμάδος τῆς ἐν τῷ σπέρματι ἐνεούσης, ῥήγνυταί τε ἐς τὸ κάτω τό, τε σπέρμα, καὶ τὰ φύλλα. καὶ βιώμενον ὑπὸ τῶν φύλλων, μεθίησι τῆς δυνάμιος ἐς τὸ κάτω, ἣ ἐν αὐτῷ ὑπολείπεται διὰ τὴν βαρύτητα. καὶ γίνονται ῥίζαι ἐκ τῶν φύλλων διατεταμέναι. ὁκόταν δὲ κάτω βεβαίως ῥιζωθῇ τὸ φυτὸν, καὶ τὴν τροφὴν ἀπὸ τῆς γῆς ποιέηται, τότε ἤδη ἠφάνισται πᾶν, καὶ ἀναλοῦται ἐς τὸ φυτὸν πλὴν τοῦ λεπυρίου, ὅ τι στερεώτατόν ἐστιν, αὖθις δὲ τὸ λεπύριον σαπὲν ἐν τῇ γῇ, ἄδηλον γίνεται χρόνῳ δὴ, καὶ ὀζοῦταί τινα τῶν φύλλων. ἐκ σπέρματος γοῦν ἅτε ἀφ' ὑγροῦ γινόμενον, τέως μὲν ἁπαλὸν ἔῃ καὶ ὑδαρὲς, εἰς αὔξησιν ὡρμημένον καὶ ἐς τὸ κάτω καὶ ἐς τὸ ἄνω, οὐ δύναται τὸν καρπὸν ἐκβάλλειν. οὐ γάρ ἐστιν αὐτῷ δύναμις ἰσχυρὴ καὶ πιαρὰ ἐξ ἧς τὸ σπέρμα συστραφήσεται. ὁκόταν δὲ στερεωθῇ μᾶλλον καὶ ῥιζωθῇ τὸ πεφυκὸς ὑπὸ χρόνου, τότε ἤδη καὶ φλέβας ἴσχει εὐρείας, καὶ ἐς τὸ ἄνω καὶ ἐς τὸ κάτω. καὶ τότε δὴ ἐκ τῆς γῆς ἕλκεται, οὐκέτι ὑδαρὲς, ἀλλὰ παχύτερον καὶ πιότερον καὶ πλεῖον. τὸ δὴ θερμαινόμενον ὑπὸ τοῦ ἡλίου, ἐκζῇ ἐς τὰ ἄκρα, καὶ γίνεται καρπὸς, κατὰ τὸ ξυγγενὲς ἐξ ὁκοίου καὶ ἐγένετο. καὶ πολὺς ἐξ ὀλίγου διὰ τόδε γίνεται, ὅτι ἕλκει ἕκαστον τῶν φυομένων ἐκ τῆς γῆς δύναμιν πλείονα, ἢ ἐξ οὗ ἐγένετο. καὶ ἐκζῇ οὐ κατὰ ἓν, ἀλλὰ κατὰ πολλά. ὁκόταν δὲ ὁ καρπὸς ἐκζέσῃ, τρέφεται ὑπὸ τοῦ φυομένου. ἕλκον γὰρ τὸ φυόμενον ἀπὸ τῆς γῆς, τῷ καρπῷ ἐκδίδωσιν. ὁ δὲ ἥλιος πιαίνει καὶ στερεοῖ τὸν καρπὸν, τὸ ὑδαρέστερον πρὸς ἑωυτὸν ἕλκων ἀπ' αὐτοῦ. καὶ ταῦτα μὲν εἴρηταί μοι, περὶ τῶν ἐκ σπέρματος φυομένων, ἀπὸ τῆς γῆς καὶ τοῦ ὕδατος. Τὰ δὲ ἐκ φυτευτειῶν, ἀπὸ δενδρέων δένδρεα γίνεται, τρόπῳ τοιῷδε. τρῶμα ἴσχει ὁ κλάδος ἐν τῷ κατωτάτω πρὸς τὴν γῆν, ᾗ ἀπὸ τοῦ δένδρου ἐκλάσθη ὅθεν αἱ ῥίζαι ἀφίενται. τρόπῳ δὲ τοιούτῳ μεθίενται. ὁκόταν τὸ φυτὸν τὸ ἐν τῇ γῇ ἐὸν, ἰκμάδα λα-

βη ἀπὸ τῆς γῆς, οἰδέει καὶ πνεῦμα ἴσχει· τὸ δὲ ὑπὸ τῆς γῆς, οὐδέπω. τὸ δὲ πνεῦμα καὶ ἡ ἰκμὰς συστρέψασα ἐν τῷ κάτω τοῦ φυτοῦ τὴν δύναμιν, ὅση ἦν βαρυτάτη, ἔρρηξεν εἰς τὸ κάτω, καὶ γίνονται ἐξ αὐτοῦ ῥίζαι ἁπαλαί. ὁκόταν δὲ ἐς τὸ κάτω λάβηται, τότε δὴ ἕλκει ἐκ τῆς ῥίζης ἰκμάδα, καὶ διαδίδωσι τῷ ὑπὲρ γῆς ἐόντι. καὶ τότε δὴ αὖθις τὸ ἄνω οἰδέει καὶ πνεῦμα ἴσχει. καὶ ὅση δύναμις ἐν τῷ φυτῷ κούφης ἔνεστι ξυστραφεῖσα φύλλα γινομένη βλαστάνει, καὶ ἐς τὸ ἄνω ἤδη τὴν αὔξησιν ποιέεται, καὶ ἐς τὸ κάτω. οὕτως ἐς τὸ ἐναντίον ξυμβαίνει ἤδη τῶν ἐκ τοῦ σπέρματος γινομένων, καὶ τῶν ἐκ τοῦ φυτευτηρίου ἀπὸ τοῦ βλαστοῦ. πρότερον γὰρ ἐκ τοῦ σπέρματος τὸ φύλλον ἀνατέλλει. ἔπειτα αἱ ῥίζαι εἰς τὸ κάτω ἀφιένται. τὸ δὲ δένδρον, ῥιζοῦται πρῶτον. ἔπειτα φυλλοῦται διὰ τόδε, ὅτι ἐν μὲν τῷ σπέρματι αὐτῷ, ἰκμάδος πλῆθος ἔνεστι καὶ ἐν τῇ γῇ παντὶ ἐόντι, τροφὴ ἔνεστι τὸ πρῶτον τῷ φύλλῳ ἀρκέουσα, ὅθεν τὸ φύλλον θρέψεται, μέχρις ἂν ῥιζωθῇ. ἐν δὲ τῷ κλάδῳ οὐ γίνεται. οὐ γὰρ γίνεται ἐξ ἑτέρου ὅθεν τὸ φύλλον τὸ πρῶτον τροφὴν ἕξει. ἀλλ' αὐτὸς ὁ κλάδος ἐστὶν, ὥσπερ καὶ τὸ δένδρον ἔχει. καὶ τοῦτο ὑπὲρ γῆς ἐστὶ πολύ. ὥστε οὐκ ἂν δύναιτο ὑπὲρ γῆς ἐὸν, ἰκμάδος πληθῆναι, εἰ μὴ ἐκ τοῦ κάτω μεγάλη τις δύναμις ἐλθοῦσα, τῷ ἄνω ἐκδώσει τῆς ἰκμάδος. καὶ πρῶτον τὸ φυτευτήριον, ἀνάγκη ἐστὶν ἑωυτῷ τροφὴν ποιήσασθαι ἀπὸ τῆς γῆς τῇσι ῥίζῃσι. ἔπειτα οὕτως ἀπὸ τῆς γῆς ἕλκον ἄνω ἀποδιδόναι, καὶ φύλλα ὁρμῆσαι εἰς βλαστόν τε καὶ αὔξησιν. ὅταν δὲ αὔξηται τὸ φυτὸν, ὀζοῦται ὑπ' ἀνάγκης τοιῆσδε, ἣν ἐρέω. ὁκόταν ἰκμάδος αὐτῷ πλείων προσγένηται ἐκ τῆς γῆς ἑλκομένης ὑπὸ τοῦ πλήθεος, ῥήγνυσιν, ἣ ἂν πλείστη ἔῃ, καὶ ταύτῃ ὀζοῦται τὸ φυτόν. αὔξεται δὲ καὶ ἐς τὸ εὖρος, καὶ ἐς τὸ ἄνω, καὶ ἐς τὸ κάτω, διὰ τόδε. ὅτι τὸ κάτω τῆς γῆς, τοῦ μὲν χειμῶνος, θερμόν ἐστι. τοῦ δὲ θέρεος, ψυχρόν. τοῦτο δὲ διὰ τόδε ἐστίν. ὅτι ἡ γῆ ἰκμαλέη ἐστὶν ἐν χειμῶνι ὑπὸ τοῦ ὕδατος τοῦ ἐκ τοῦ οὐρανοῦ πίπτοντος, καὶ πιέζεται ἐφ' ἑωυτῇ, ἅτε βαρυτέρης οὔσης τῆς ἰκμάδος. πυκνοτέρη δέ ἐστιν ὑπὸ τούτου καὶ οὐκ ἔχει διαπνοὴν οὐδεμίην. οὐ γὰρ ἔτι ἔνεστι τὸ ἀραιὸν μέγα. καὶ διὰ τοῦτο τὸ κάτω τῆς γῆς τοῦ χειμῶνος θερμόν ἐστι. καὶ γὰρ ἡ κόπρος ἣν συνηγμένη μὲν εὐθερμοτέρη ἐστὶν, ἢ ἀραιὴ ἐοῦσα, καὶ ἄλλως, τὰ μὲν ἰκμαλέα καὶ πεπιεσμένα, ὑπὸ σφῶν αὐτῶν ἐκθερμαίνεται, καὶ ἐν τάχει καίεται ὑπὸ τῆς θερμασίης συγκαιόμενα σήπεται. οὐ γὰρ διίεισι τὸ πνεῦμα δι' αὐτῶν, ἅτε πυκνῶν ἐόντων. ἢν δὲ ξηρὰ ἔῃ καὶ ἀραιῶς κείμενα, πολλῷ ἧσσον θερμαίνεται καὶ σήπεται. οὕτω δὲ καὶ πυροὶ καὶ κριθαὶ νοτερὰ ἐόντα καὶ βεβρεγμένα, εὐθερμότερά ἐστιν, ἢ εἰ ξηρὰ ἔῃ καὶ ἀραιῶς κείμενα. καὶ ἱμάτια συνδεδεμένα καὶ κατεσφιγμένα ἰσχυρῶς δεινῶς, κατακαίεται ὑπὸ σφέων αὐτῶν, ὡς ἐγὼ ἤδη εἶδον, ὥσπερ ὑπὸ πυρὸς ἐκκαέντα. καὶ τἄλλα εἴ τις θέλοι ἐνθυμηθῆναι πάντα ὅσα πεπιεσμένα ὑπὸ σφῶν αὐτῶν, θερμότερα εὑρήσει, ἢ τὰ ἀραιῶς κείμενα. οὐ γὰρ ἔχει ἀναπνέειν ψυχρὸν ὑπὸ τῶν ἀνέμων. οὕτω δὲ καὶ τῆς γῆς τὸ κάτω πλείης ἐούσης καὶ αὐτῆς ὑφ' ἑωυτῆς πεπιεσμένης, ἅτε βαρείης καὶ πυκνῆς ἐούσης ὑπὸ τῆς ἰκμάδος θερμαίνεται ἐν χειμῶνι. οὐ γάρ ἐστιν αὐτῆς διάπνοος οὐδεὶς τοῦ θερμοῦ. ἀλλ' ὁκόταν πέσῃ ἐκ τοῦ οὐρανοῦ τὸ ὕδωρ ἐς αὐτὴν, ὅταν ἀποπνέῃ ἐν τῇ γῇ ἀπ' αὐτοῦ, οὐ διίεισι πρόσω, ἅτε πυκνῆς ἐούσης τῆς γῆς. ἀλλ' ἡ πνοὴ, ὀπίσω ἐς τὸ ὕδωρ ἔρχεται. καὶ διὰ τοῦτο αἱ πηγαὶ καὶ ἡ θάλασσα θερμότεραί εἰσι τοῦ χειμῶνος, καὶ μείζους, ἢ τοῦ θέρεος. ὅτι ἀποπνέοντος τοῦ πνεύματος, ὀπίσω ἔρχεται ἐς τὸ ὕδωρ, ἅτε τῆς γῆς πυκνοτέρης ἐούσης, καὶ οὐ διιείσης δι' αὐτῆς τὸ πνεῦμα. καὶ τὸ ὕδωρ πολὺ ἐὸν, ἢ ἂν τύχῃ, τοῦτο ῥήγνυσι χωρέον. καὶ ὁδὸν οἱ αὐτῷ ποιέεται εὐρυτέρην, ἢ εἰ ὀλίγον ἔῃ. τὸ γὰρ ὕδωρ ἐν τῇ γῇ οὐχ ἕστηκεν, ἀλλ' αἰεὶ χωρέει εἰς τὸ κάταντες. εἰ δὲ διίησι τοῦ χειμῶνος ἀπὸ τοῦ ὕδατος τὸ πνεῦμα, ἡ γῆ δι' ἑωυτῆς, ἔλασσον τὸ ὕδωρ ἐχώρεεν διὰ αὐτῆς. καὶ αἱ πηγαὶ οὐκ ἂν ἦσαν τοῦ χειμῶνος μεγάλαι. πάντα ταῦτα εἴρηταί μοι, ὅτι τῆς γῆς τὸ κάτω θερμότερον φαίνεται ἐὸν τοῦ χειμῶνος, ἢ τοῦ θέρεος. νῦν δὲ θέλω εἰπεῖν ὅτι τοῦ θέρεος τὸ κάτω τῆς γῆς, ψυχρότερον φαίνεται ἐὸν ἢ τοῦ χειμῶνος. ἡ γῆ τοῦ θέρεος, ἀραιή ἐστι καὶ κούφη, ἅτε τοῦ ἡλίου σφοδροτέρου προβάλλοντος καὶ ἕλκοντος ἀπ' αὐτῆς πρὸς ἑωυτὸν τὰς ἰκμάδας. ἔχει δὲ ὕδωρ ἡ γῆ ἐν αὐτῇ αἰεὶ πλεῖον ἢ ἔλασσον. τὰ δὲ πνεύματα ἡ μέν ἐστι πάντα ἀφ' ὕδατος. τούτου δὲ πέρι, ἐπιδείξω συμβάλλεσθαι, ὅτι οὕτως ἔχει. ἀπὸ γὰρ τῶν ποταμῶν πάντων, πνεύματα χωρέει ἑκάστοτε, καὶ τῶν νεφέων. τὰ δὲ νέφεα ἐστὶν ὕδωρ ξυνεχὲς ἐν ἠέρι, καὶ τότε δὴ ἡ γῆ ἀραιή ἐστι καὶ τοῦ φυτοῦ θέρεος. καὶ ὕδωρ ἐν αὐτῇ ἔχουσα. καὶ τὸ ὕδωρ ῥέει εἰς τὰ κατάντεα. χωρέοντος δὲ τοῦ ὕδατος, αἰεὶ ἀποπνέει αὐτόθεν ἕτερον ἐξ ἑτέρου πνεῦμα. τὸ δὲ ἀποπνέον διὰ τῆς γῆς ἔρχεται κούφης καὶ ἀραιῆς ἐούσης, καὶ ψύχος τῇ γῇ ποιέει. καὶ αὐτὸ τὸ ὕδωρ συμψύχεται. ἔχει δὲ οὕτως. ὥσπερ εἴ τις ἐν ἀσκῷ ὕδωρ ἐνεὸν ἀποπιέσειεν ἰσχυρῶς, καὶ παρὰ πνοὴν τῷ ὕδατι ποιήσειεν, νύγματι βελόνης ἢ μικρῷ μείζονι, καὶ τὸν ἀσκὸν κρεμάσας αἰωρέοι, οὐδὲν διὰ τοῦ τετρημένου πνεῦμα χωρήσει, ἀλλ' ὕδωρ. οὐ γὰρ ἔχει εὐρυχωρίην ἡ ἀποπνεύσεται τὸ ὕδωρ. ὧδε δὴ ἔχει καὶ τοῦ χειμῶνος τῷ ὕδατι ἐν τῇ γῇ. ἢν δὲ τῷ ὕδατι ἐν τῷ ἀσκῷ τὴν εὐρυχωρίην ποιήσῃς, καὶ κρεμάσας αἰωρέοις τὸν ἀσκὸν, πνεῦμα διαχωρήσει διὰ τοῦ τετρημένου. εὐρυχωρίη γάρ ἐστι τῷ πνεύματι ἀπὸ τοῦ ὕδατος κενουμένου διαχωρέειν διὰ τοῦ ἀσκοῦ. καὶ διὰ τοῦ τετρημένου τὸ πνεῦμα διὰ τόδε διίεισιν. ὧδε δὴ ἔχει καὶ τοῦ θέρεος ἐν τῇ γῇ, τῷ ὕδατι. εὐρυχωρίη γάρ ἐστιν αὐτῷ, ἅτε τῆς γῆς ἀραιῆς ἐούσης, καὶ τοῦ ἡλίου ἕλκοντος ἀπ' αὐτῆς τὴν ἰκμάδα πρὸς ἑωυτὸν, καὶ διίεισι τὸ πνεῦμα, ἅτε ψυχρὸν ἐὸν ἀπὸ τοῦ ὕδατος δι' αὐτῆς ἀραιῆς ἐούσης

καὶ κούφης

καὶ κούφης. διὰ τοῦτο ψυχρὸν ἐὸν αὐτῆς τὸ κάτω τοῦ θέρεος, καὶ τὸ ὕδωρ μᾶλλον τοῦ πνεύματος, τοῦ ἐν τῇ γῇ ψυχροῦ ἐόντος, καὶ αὐτὸ ἀφίησιν ἐς ἑωυτὸ τὸ πνεῦμα καὶ ἐς τὴν γῆν. καὶ ἅμα τὸ ἀντλεόμενον ἐν τῷ φρέατι, ἀεὶ διακινέει τὸ πνεῦμα, ὥσπερ ῥιπίς. καὶ ποιέει αὐτὸ, ψύχος παρέχειν τῷ ὕδατι. τὸ δὲ μὴ ἀντλεόμενον τοῦ ὕδατος τοῦ θέρεος, ἀλλ' ἑστηκὸς, πυκνὸν ἐὸν, οὐχ ὁμοίως δέχεται τὸ πνεῦμα ἐς ἑωυτὸ ἀπὸ τῆς γῆς. οὐδ' ἐς τὴν γῆν ἀπ' ἑωυτοῦ ἀποδίδωσι. καὶ ἅμα ἀπὸ τοῦ ἡλίου καὶ τοῦ ἀέρος, οὐ σκιδναμένου παρὰ τῷ φρέατι, ἀλλὰ στασίμου ἐόντος, θερμαίνεται πρῶτον αὐτοῦ τὸ ἐπιπολῆς. ἔπειτα τὸ ἕτερον ἐπὶ τῷ ἑτέρῳ ἐς τὸ κάτω διαδίδωσι τὴν θερμασίην. καὶ διὰ τοῦτο τὸ μὴ ἀντλεόμενον ὕδωρ τοῦ θέρεος, θερμότερόν ἐστι τοῦ ἀντλεομένου. αἵ τε πηγαὶ αἱ βαθεῖαι μάλα τοῦ θέρεος ἀεὶ ψυχραί εἰσι. καὶ ἀραιωθὲν τὸ ὕδωρ, τοῦ χειμῶνος τῆς γῆς θερμῆς ἐούσης, ἐκ ταύτης τὸ μὲν παραυτίκα θερμόν ἐστιν. ὅταν δὲ χρόνος διέῃ, ψυχρόν ἐστιν ὑπὸ τοῦ ἠέρος δηλονότι γινόμενον, ψυχροῦ ἐόντος. ἐξαραιοῦται γὰρ ὑπὸ τοῦ ἀνέμου, καὶ τὸ πνεῦμα δι' αὐτοῦ, διηθέει. καθάπερ καὶ τὸ ἀντλεόμενον ὕδωρ τοῦ θέρεος, ὁκόταν ἀραιωθῇ, ψυχρὸν αὐτίκα ἐστί. θερμὸν δὲ γίνεται διὰ τόδε. ὅτι τῆς γῆς ἀραιῆς ἐούσης, καὶ πνεύματος ἐόντος ἐν αὐτῇ, ψύχεται. ὅταν δὲ ἀραιωθέντι χρόνος ἐπιγένηται, στάσιμον γίνεται καὶ θερμὸν ὁρᾶται. θερμαίνεται γὰρ ὑπὸ τοῦ ἠέρος, θερμοῦ ἐόντος. ὥσπερ καὶ τὸ μὴ ἀντλεόμενον ὕδωρ ἐν τῷ φρέατι τοῦ θέρεος, διὰ τοῦτο θερμὸν γίνεται. ταῦτα μὲν ἐς τοῦτο μοι εἴρηται. ἀναλήψομαι δὲ αὖθις, ὅτι τοῦ θέρεος τὸ κάτω τῆς γῆς ψυχρόν ἐστι. τοῦ δὲ χειμῶνος, θερμόν. τὸ δὲ ἄνω τῆς γῆς, τοὐναντίον τούτου. καὶ δεῖ τῷ δένδρει, μὴ δύο θερμὰ ὁμοῦ προσγίνεσθαι. μηδὲ δύο ψυχρὰ ὁμοῦ, ἣν μέλλῃ ὑγιαίνειν. ἀλλ' ἢν μὲν ἐκ τοῦ ἄνωθεν προσγίνεται θερμὸν, ἐκ τοῦ κάτωθεν δεῖ, ψυχρὸν αὐτῷ προσγίνεσθαι. καὶ πάλιν. ἢν ἐκ τοῦ ἄνωθεν προσγίνηται ψυχρὸν, ἐκ τοῦ κάτωθεν δεῖ θερμὸν αὐτῷ προσγίνεσθαι. αἵ τε ῥίζαι ὅταν ἑλκύσωσι, τῷ δένδρει προσδιδόασι, καὶ τὸ δένδρον τῇσι ῥίζῃσι. καὶ γίνεται οὕτω ταμιείη καὶ ψυχροῦ καὶ θερμοῦ. ὥσπερ τῷ ἀνθρώπῳ ἐσιόντων ἐς τὴν κοιλίην σιτίων, ὅσα πεσσόμενα θερμαίνει, δεῖ ψύξιν ἀποδίδοσθαι ἀπὸ τοῦ ποτοῦ. οὕτω καὶ τῷ δένδρει δεῖ αὐτὸ ποδίδοσθαι ἐκ τοῦ κάτω πρὸς τὸ ἄνω. καὶ ἀνάπαλιν. καὶ αὔξεται τὸ δένδρον, καὶ ἐς τὸ ἄνω καὶ ἐς τὸ κάτω, διὰ τόδε. ὅτι ἡ τροφή ἐστι καὶ ἐκ τοῦ κάτωθεν καὶ ἐκ τοῦ ἄνωθεν. καὶ ἕως μὲν ἂν ἁπαλὸν ἔῃ σφόδρα, οὐ καρποφορεῖ. οὐ γάρ ἐστιν αὐτῷ πίειρα δύναμις, οὐδὲ παχείη, ἥτις ἐς καρπὸν ξυμβάλλεσθαι οἵη τέ ἐστιν. ὁκόταν δὲ χρόνος ἐπιγένηται, τότε ἤδη ἐν αὐτῷ αἱ φλέβες εὐρεῖαι γινόμεναι, ποιοῦνται ἐν αὐτῷ ἐκ τῆς γῆς πιεῖραν καὶ παχεῖαν τὴν ῥύσιν. ὁ δὲ ἥλιος διαχέων αὐτὴν, ποιέει ἐκζεῖν ἅτε κούφην ἐοῦσαν ἐς τὰ ἄκρα καὶ καρποῦσθαι. καὶ τὴν μὲν λεπτὴν ἰκμάδα, ἀπὸ τοῦ καρποῦ ἀποφορέει. τὴν δὲ παχείην, πέσσων ὁ ἥλιος καὶ θερμαίνων γλυκαίνει. τὰ δὲ οὐ καρποφορέοντα τῶν δενδρέων, οὐκ ἔχει πῖαρ ἐν αὐτοῖσιν, ὅσον ἐς τὸν καρπὸν ἐκδώσεται. τὸ δὲ πᾶν δένδρεον ὁκόταν ὑπὸ χρόνου στερεωθῇ, καὶ λάβηται ἐκ τοῦ κάτω τῇσι ῥίζῃσιν, ἤδη βεβαίως πέπαυται αὐξόμενον πάντῃ. ὁκόσοισι δὲ ἐς δένδρεα ἀφ' ἑτέρων δενδρέων ὀφθαλμοὶ ἐνετέθησαν, καὶ δένδρεα γινόμενα ἐν τοῖσι δενδρέοισι, ζῇ καὶ καρποφορεῖ καρπὸν οὐχ ὅμοιον οἷσιν ἐγκείμενά ἐστιν, ζόπω τοιῶδε τοῦτο γίνεται. ξυμβαίνει τῷ ὀφθαλμῷ, πρῶτον μὲν βλαστάνειν. τροφὴν γὰρ εἶχε, πρῶτον μὲν ἀπὸ τοῦ δενδρέου, ἀφ' οὗ ἀπηνέχθη. ἔπειτα ἐν ᾧ ἐτέθη. ὁκόταν δὲ βλαστήσῃ, οὕτως μεθίησιν ἐς τὸ δένδρεον ῥίζας ἀπ' αὐτοῦ λεπτάς. καὶ πρῶτον ἀπαυρίσκεται ἀπὸ τῆς ἰκμάδος τῆς ἐν τῷ δενδρέῳ ἐνεούσης, ἐν ᾧ ἔγκειται. ἔπειτα χρόνου ἐγγενομένου, ἀφίησι ῥίζας ἐς τὴν γῆν, διὰ τοῦ ἐν ᾧ ἐνετέθη. καὶ ἐπαυρίσκεται ἀπὸ τῆς γῆς ἕλκον τὴν ἰκμάδα. καὶ τροφὴ αὐτῷ ἐκεῖθεν ἐστίν. ὥστε μὴ θαυμάζειν ἑτερόκαρπα εἶναι τὰ ἔνθετα τῶν δενδρέων. ζῇ γὰρ ἀπὸ τῆς γῆς. ταῦτά μοι εἴρηται περὶ τῶν δενδρέων καὶ τῶν καρπῶν, διὰ τόδε. ὅτι οὐχ οἷόν τε ἦν μοι τὸν λόγον ἡμιτελέα καταλιπεῖν. ἀναβήσομαι δ' αὖθις ὀπίσω οὗ εἵνεκά μοι λόγου τάδε ἀμφὶ τῶν δὲ εἴρηται. φημὶ γὰρ τὰ ἐν τῇ γῇ φυόμενα, πάντα ζῆν ἀπὸ τῆς γῆς τῆς ἰκμάδος, καὶ ὅκως ἂν ἡ γῆ ἔχῃ ἰκμάδος ἐν ἑωυτῇ, οὕτω καὶ τὰ φυόμενα ἔχειν. οὕτω καὶ τὸ παιδίον ζῇ ἀπὸ τῆς μήτρης, ἐν τῇσι μήτρῃσι. καὶ ὅκως ἂν ἡ μήτηρ ὑγιείης ἔχῃ, οὕτω καὶ τὸ παιδίον ἔχει. ἣν δέ τις βούληται ἐννοεῖν τὰ ῥηθέντα ἀμφὶ τούτων, ἐξ ἀρχῆς ἐς τέλος εὑρήσει τὴν φύσιν πᾶσαν παραπλησίην ἐοῦσαν, τῶν τε ἐκ γῆς φυομένων, καὶ τῶν ἐξ ἀνθρώπων. καὶ ταῦτά μοι ἐς τοῦτο εἴρηται. τὸ δὲ παιδίον ἐν τῇσι μήτρῃσιν ἐὸν, τὼ χεῖρε ἔχει πρὸς τοῖσι γένυσι. καὶ τὴν κεφαλὴν πλησίον τοῖν ποδοῖν. καὶ οὐκ ἔστιν ἀτρεκέως κρῖναι, οὐδ' ἂν ἴδῃς ἐν τῇσι μήτρῃσι τὸ παιδίον, πότερον τὴν κεφαλὴν ἄνω ἔχει ἢ κάτω. ἐκ δὲ τοῦ ὀμφαλοῦ τεταμένοι εἰσὶν οἱ ὑμένες, ἀντέχοντες αὐτό. νῦν δὲ ἐρέω τὴν διάγνωσιν, ἣν ἔφην ἀποφανέειν ὀλίγῳ πρότερον, ὡς ἀνυστὸν ἀνθρωπίνῃ γνώμῃ ἐμφανέα ἐοῦσαν, παντὶ τῷ θέλοντι εἰδέναι τούτου πέρι. ὅτι ἥ τε γονὴ, ἐν ὑμένι ἐστί. καὶ κατὰ μέσον αὐτῆς ὁ ὀμφαλός ἐστι. κἀκείνη πρῶτον τὴν πνοὴν ἕλκει ἐς ἑωυτὴν, καὶ μεθίησιν ἔξω. καὶ ἐκ τοῦ ὀμφαλοῦ ὑμένες εἰσὶ, καὶ τὴν ἄλλην φύσιν τοῦ παιδίου ἣν εἴρηκα, ὧδε ἔχουσαν εὑρήσεις πᾶσαν, μέχρις ἐς τέλος, ὅκως μοι ἐν τοῖσι λόγοισιν ἀποπέφανται, εἰ βούλεταί τις τοῖσιν ἱστορίοισιν, ὁκόσοισι μέλλω λέγειν, χρῆσθαι. εἰ γάρ τις ἐθέλει ὠὰ εἴκοσιν ἢ καὶ πλείονα ὅκως ἐκλεπίσηται, ὑποθεῖναι ἀλεκτορίσιν, εἴτε δυσὶν ἢ καὶ πλείοσι. καὶ ἑκάστης ἡμέρης ἀπὸ

τῆς δευτέρης ἀρξάμενος μέχρι τῆς ὀγδόης ἢ ἐκλέγει ὁ ὠὸν, ὑφαιρέων, καταγνύων, σκοπῶν, εὑρήσει ἕλκοντα πάντα καὶ τὰ ἐν μὲν λόγοι, ὡς χρὴ ὄρνιθος φύσιν ξυμβάλλειν ἀνθρώπου φύσει. ὅτι γὰρ ὑμεῖς εἰσὶν ἐκ τοῦ ὀμφαλοῦ τεταμένοι, καὶ τἄλλα ὁπόσα εἴρηται τοῦδε τοῦ παιδίου, οὕτως ἔχοντα οὐ τῷ ὠῷ τῷ ὀρνιθείῳ εὑρήσεις ἐξ ἀρχῆς ἐς τέλος. καίτοι ἦν τις μηδέπω εἰδῇ, θαυμάσει οὐ ὀρνιθείῳ ὠῷ ἐνεόντα ὀμφαλόν. ἔχει δὲ ὧδε τάδε. ἢ ταῦτα δέ μοι εἴρηται. ὁκόταν δὲ τῇ γυναικὶ ὁ τόκος παραγένηται, ξυμβαίνει τότε τῷ παιδίῳ νευρομένῳ, καὶ ἀσκαρίζοντι χρῶτά τε καὶ ποσὶ, ῥῆξαί τινα τῶν ὑμεώνων τοῦ ὄσχεος. ἐχομένου δὲ ἤδη τοῦ ὄσχεος, καὶ οἱ ἄλλοι ἀκμιαιότατοι δύνανται ἔχουσι. ἢ ῥέουσιν ὑμένες πρῶτον μὲν, οἱ κείνου ἐλόμενοι. ἔπειτα ὁ ὕστατος. ὁκόταν δὲ ἐκπέσωσιν οἱ ὑμένες, τότε λύεται ἐκ τοῦ δεσμοῦ ὁ ὀμφαλός. ἐκχέεται δὲ ἤδη ἐκ τοῦ ὀμφαλοῦ, καὶ οὐ μᾶλλον ἐκ τοῦ ὀμφαλοῦ ἢ ἐκ τοῦ ἄλλου σώματος, ἀποκειθεὶς ἐκ τοῦ ὀμφαλοῦ σαθρεόμενος. ὁ δὲ τῆσι μήτρῃσι σκίον, ἐγκρατὴς μᾶλλον γίνεται ἐκ τῶν ὑμεώνων πῶς καταῤῥῆξιν. ἅμα δὲ ἐκπέσωσι μὲν οἱ, ὅτε ὁ τόκος τῇ μητρὶ παραγίνεται. ἰῶ δὲ βίαιον πάθημα πάθῃ ὁ παιδίον, καὶ πρόσθεν τοῦ ὁρισμοῦ χρόνου ἐκγενόμενον ξυσταφῇ οὐ τῆσι μήτρῃσι, καὶ ἐν χρονιώτερα, ἀεὶ διαῤῥέει ἐς τὰς μήτρας. ἔστι μὲν ὅτε ἔξω τῷ ἀκρὸ τῆς κοιλίης πυθμένι. ἔστι δ' ὅτε καὶ θρομβούμενα. καὶ δὴ καὶ τότε οὐ λαγχάνει δοκέουσιν ἔχειν αἱ γυναῖκες, ὅτε τῇ καταμηνίων μὴ χωρεόντων, καὶ τῶν μητρέων ἠρμένων. εἰσὶ δ' ὅτε τὰ καταμήνια ἐῤῥάγη αὐτόματα. ἢ ἐτόδων ἐπικαταθεόντων ἀκρὸ τοῦ σώματος ἐς τὰς μήτρας καὶ κατενεγκάντων τὰ πρότερα, ἢ φύσει ὑβρίλαβε, καὶ πολλοῖσιν ἤδη ὕθυς μετὰ πλὴν τῶν καταμηνίων κάθαρσιν αἱ μήτραι ἔχεναι, καὶ κατὰ ταὐτὰ μιχθεῖσαι ἀνεβράσαν, ἔλαβον πρὸς σφᾶς ἐν χόνι, αὐτημβρον, ἢ δοῖον ἐτράφησαν, καὶ τὴν καῦτα μιχθεῖσαι ἀνεβράσαν, ἔλαβον πρὸς σφᾶς ἐν χόνι, αὐτημβρον, ἢ ἅμα ὀλίγησιν ἡμβρίησιν. λεγέζονται δὲ αἱ ἄπειροι τούτων τῶν λόγων καὶ τῶν πραγμάτων καὶ κένεων ἐν χρόνῳ οὐ χαζοῖ ἔχειν, ὅτε τὰ καταμήνια οὐκ ἐχώρεεν αὐτῇσι, καὶ αἱ μῆδαι ἠρμέναι ἐτύγχανεν. ὅτι δὲ οὐκ ἔστι χρονιώτερον δέκα μηνῶν οὐ χαζοῖ ἔχειν, ἐγὼ φράσω. ἡ δὲ φθορὴ καὶ ἡ αὐξησις ἡ ἀκρὸ τῆς μήτρος καταπούσα, οὐκ ἔτι αὐρκέουσα τῷ παιδίῳ ὄβιν, ὁκόταν οἱ δέκα μῆνες παρέλθωσι μὴ ἐμβρυον αὐξηθῇ. ἕλκει γὰρ ἀκρὸ τοῦ αἵματος ἐς ἑωυτὸ ἐ τὸ γλυκύτατον, ἅμα δὲ καὶ ἀκρὸ τοῦ γάλακτος, ἐπαυρείσκεται ὀλίγον. ὁκόταν δ' αὐτῷ ἀσαρκιώτερα ταῦτα γένηται. καὶ ἀσθενὲς ἔῃ ἐ παιδίον, ποθὲν οὐκ ἐόντα ὀμφαλόν. ἔχει δὲ ὧδε τάδε. ἢ ταῦτα δέ μοι εἴρηται. ὁκόταν δὲ τῇ γυναικὶ ὁ τόκος παραγένηται, ξυμβαίνει τότε τῷ παιδίῳ νευρομένῳ, καὶ ἀσκαρίζοντι χρῶτά τε καὶ ποσὶ, ῥῆξαί τινα τῶν ὑμεώνων τοῦ ὄσχεος. ἐχομένου δὲ ἤδη τοῦ ὄσχεος, καὶ οἱ ἄλλοι ἀκμιαιότατοι δύνανται ἔχουσι. ἢ ῥέουσιν ὑμένες πρῶτον μὲν, οἱ κείνου ἐλόμενοι. ἔπειτα ὁ ὕστατος. ὁκόταν δὲ ἐκπέσωσιν οἱ ὑμένες, τότε λύεται ἐκ τοῦ δεσμοῦ ὁ ὀμφαλός. ἐκχέεται δὲ ἤδη ἐκ τοῦ ὀμφαλοῦ, καὶ οὐ μᾶλλον ἐκ τοῦ ὀμφαλοῦ ἢ ἐκ τοῦ ἄλλου σώματος, ἀποκειθεὶς ἐκ τοῦ ὀμφαλοῦ σαθρεόμενος. ὁ δὲ τῆσι μήτρῃσι σκίον, ἐγκρατὴς μᾶλλον γίνεται ἐκ τῶν ὑμεώνων πῶς καταῤῥῆξιν. ἅμα δὲ ἐκπέσωσι μὲν οἱ, ὅτε ὁ τόκος τῇ μητρὶ παραγίνεται. ἰῶ δὲ βίαιον πάθημα πάθῃ ὁ παιδίον, καὶ πρόσθεν τοῦ ὁρισμοῦ χρόνου ἐκγενόμενον ξυσταφῇ οὐ τῆσι μήτρῃσι, καὶ ἐν χρονιώτερα, ἀεὶ διαῤῥέει ἐς τὰς μήτρας. ἔστι μὲν ὅτε ἔξω τῷ ἀκρὸ τῆς κοιλίης πυθμένι. ἔστι δ' ὅτε καὶ θρομβούμενα. καὶ δὴ καὶ τότε οὐ λαγχάνει δοκέουσιν ἔχειν αἱ γυναῖκες, ὅτε τῇ καταμηνίων μὴ χωρεόντων, καὶ τῶν μητρέων ἠρμένων. εἰσὶ δ' ὅτε τὰ καταμήνια ἐῤῥάγη αὐτόματα. ἢ ἐτόδων ἐπικαταθεόντων ἀκρὸ τοῦ σώματος ἐς τὰς μήτρας καὶ κατενεγκάντων τὰ πρότερα, ἢ φύσει ὑβρίλαβε, καὶ πολλοῖσιν ἤδη ὕθυς μετὰ πλὴν τῶν καταμηνίων κάθαρσιν αἱ μήτραι ἔχεναι, καὶ κατὰ ταὐτὰ μιχθεῖσαι ἀνεβράσαν, ἔλαβον πρὸς σφᾶς ἐν χόνι, αὐτημβρον, ἢ δοῖον ἐτράφησαν, καὶ τὴν καῦτα μιχθεῖσαι ἀνεβράσαν, ἔλαβον πρὸς σφᾶς ἐν χόνι, αὐτημβρον, ἢ ἅμα ὀλίγησιν ἡμβρίησιν. λεγέζονται δὲ αἱ ἄπειροι τούτων τῶν λόγων καὶ τῶν πραγμάτων καὶ κένεων ἐν χρόνῳ οὐ χαζοῖ ἔχειν, ὅτε τὰ καταμήνια οὐκ ἐχώρεεν αὐτῇσι, καὶ αἱ μῆδαι ἠρμέναι ἐτύγχανεν. ὅτι δὲ οὐκ ἔστι χρονιώτερον δέκα μηνῶν οὐ χαζοῖ ἔχειν, ἐγὼ φράσω. ἡ δὲ φθορὴ καὶ ἡ αὐξησις ἡ ἀκρὸ τῆς μήτρος καταπούσα, οὐκ ἔτι αὐρκέουσα τῷ παιδίῳ ὄβιν, ὁκόταν οἱ δέκα μῆνες παρέλθωσι μὴ ἐμβρυον αὐξηθῇ. ἕλκει γὰρ ἀκρὸ τοῦ αἵματος ἐς ἑωυτὸ ἐ τὸ γλυκύτατον, ἅμα δὲ καὶ ἀκρὸ τοῦ γάλακτος, ἐπαυρείσκεται ὀλίγον. ὁκόταν δ' αὐτῷ ἀσαρκιώτερα ταῦτα γένηται. καὶ ἀσθενὲς ἔῃ ἐ παιδίον,

παιδίον,

παιδίον, ὁκόταν αὐξηθῇ, οὐκ ἔτι δυνάσεται ἡ μήτηρ ἀρκέειν αὐρκέουσαν. ξυτέον οὖν τελείως τοῦδε τῆς παρεούσης ἐ ἔμβρυον, ἀσκαρίζον ἐμήνυσι τοῦ ὑμεώνος. καὶ λυθὲν τὸ δεσμοῦ, χωρέει ὁμοῦ ἔξω. καὶ ταῦτα γίνεται οὐ δέκα μησὶ ἐ μακρότατον. καὶ καταὶ τοῦτον ἐν λόγον, καὶ τοῖσι κτήνεσι καὶ τοῖσι θηρίοισιν, ὁ τόκος παραγίνεται οὐ χρόνῳ ᾧπερ ἔστι οὐ μακρότερον. ἐνίοισι γὰρ τῶν ζώων ἀνάγκη ἔστι χρόνον εἶναι οὐ ᾧ ἡ φορὴ, ταὐτὸν τῇ ἔστω τῷ ἐμβρύῳ καὶ ἐπιλείφει, καὶ ὁ τόκος παρέστω. καὶ τὰ μὲν ἐλάσσω τοῦδε οὐ τοῖσιν ἐμβρύοισιν ἔχοντα, θάσσον πίπτει. τὰ δὲ τοῦδε, ὕστερον. ἢ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται. ἐ δὲ παιδίον ὅταν ἐκθερέπτωσιν οἱ ὑμένες, ἰῶ μὲν δὴ κρατῆσον ἡ ἐπὶ πῶ κεφαλῶ ῥοπὴ, ἐπὶ δ' ὠὸς πίπτει ἡ γωὴ, ἰῶ δὲ πλάγιον ἡ ἐπὶ πόδας χωρῆσαι, γίνεται γὰρ οὕτω πολλάκις, ἰῶ οὕτως ἡ ῥοπὴ τύχῃ, γλυφομένη ἡ ὑπὸ ὀδυρχωείης τῆς μητρέων, ἡ καὶ ἰῶ μὴ ἡ μήτηρ οὐ τῇ ὠδῖνι μὴ ἐπισυκάσῃ ἐ πρῶτον. κἰῶ οὕτω χωρέῃ, χαλεπῶς τίξεται ἡ γωή. πολλαὶ δὲ ἤδη ἡ αὖται ὠλοντο, ἡ τε παιδία, ἅμα αἱ μητέρες, ἡ τε οὐ αὐτῆσιν. ἐκ δὲ τῶν τικτουσῶν μάλιστα πονέουσιν αἱ πρωτοτόκοι, διὰ πῶ ἀπειρίλω τὸ πόνων. καὶ πονέουσι μὲν πάν ἐ σῶμα. μάλιστα δὲ πῶ ὀσφῦῖ τε καὶ τὰ ἰσχία. διίστανται γὰρ ὀσφέων τὰ ἰσχία. αἱ δὲ μᾶλλον ἔμπειροι τόκων, ἧσσον πονέουσι τῶν πρωτοτόκων. αἱ δὲ πολυτόκοι, πάνυ ἧσσον πονέουσιν. ἰῶ δὲ ἐπὶ κεφαλῶ ἡ ἐ ἔμβρυον, ἡ κεφαλὴ πρῶτον ἔξω χωρέει. ἔπειτα τἄλλα μέλεα ἐπόμενα. ὕστατος δὲ ὁ ὀμφαλός. ἐκ δὲ τοῦ ὀμφαλοῦ, ἐ χωρέον τε ταγμόν ὄβι. μεχὶ δὲ ταύτα, ὑδρωπ ἔρχεται αἱματώδης, ἀπὸ τε τῆς κεφαλῆς, καὶ τῶ ἄλλου σώματος, ἀποκειθεὶς ὑπὸ ῥίης τε καὶ πόνου καὶ θρόμβης. καὶ ὁδὸν ἀφηγήσατο τῇ τοῦ λοχίων καθάρσει. μετὰ δὲ πῶ ἔξοδον τῶ ἰχῶρος, ἡ κάθαρσις γίνεται, χρόνον ἐν προσθὲν εἰρημένον, καὶ οἱ τε μαζοὶ καὶ τἄλλα μέλεα ὁκόσα ὑγρότερά ὄβι καταῤῥήγνυται τῶν γωναικῶν, ἥκιστα μὲν οὐ τῷ πρώτῳ τόκῳ. ἔπειτα δὲ, ὡς ἂν πλείονων πειρέωντοι τόκων, ἐπὶ μᾶλλον. καταῤῥήγνυται διακενουμένων τῶν φλεβῶν, ὑπὸ τῆς καθάρσιος τῶν λοχίων. ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται. διὰ μὲν γίνεται ἀφ' ὑγὸς λαγῶ μάτος, οὕτως. ἔχουσιν αἱ μῆδαι κάλπους συχνοὺς καὶ χαμψούς. ὧν μὲν τηλοτέρω, ὧν δὲ πλησιαίτερω τῶ αἰδοίου. καὶ τὰ πολύγονα τῶν ζώων, πλείους ἔχει κάλπους, τῶν ὀλίγα κυεόντων. ὁμοίως δὲ καὶ τὰ πρόβατα, θηρία τε καὶ ὄρνεα. ὅταν δὲ ἡ γονὴ τύχῃ χωσθεῖσα εἰς μάλα κάλπους ἀφικομένη, καὶ αἱ μῆδαι δέξωνται πῶ γονὴ, οἱ κάλποι τε μὴ ἐπέρασι πῶς ἐν ἐπέρασι χαλάσῃ, ἡ χωρισθεῖσα οὐ ἐκαπέρω κάλπω, ὑμενοῦται καὶ ζωοῦται τῷ αὐτῷ τρόπω, ὥσπερ ἡ ἐν οὐ οὐ ἐνεκεν ἐπομεν. ὅτι δὲ ἀφ' ὑγὸς λαγῶ μάτος, διὰ μα γίνεται, ἰσόρροπον τόδε, ἔστι κύων καὶ ὗς καὶ ἄλλα ζῶα, ὅσα ἀφ' ὑγὸς λαγῶ μάτος τίκτει καὶ μάλα καὶ πολύγονα, καὶ ἐκασον τῶν ἐξώων οὐ τῆσι μήτρῃσιν, οὐ κόλπω καὶ ὑμεώνι ὄβι. καὶ ταῦτα αὐτοὶ ὁρέομεν γινόμενα. ἡ ταῦτα τίκτει τῇ αὐτῇ ἡμέρῃ πάντα ὡς ἐπιτοπολέσον. ὧδε δὲ ἡ τῇ γωναικὶ ἀφ' ἡμέρης μίξεως γινόμενα τὰ παιδία, ἐκάτερον οὐ κόλπω καὶ χωρέω ὄβι καὶ τίκτει τῇ αὐτῇ ἡμέρῃ ἀμφότερα, καὶ πρότερον θάτερον χωρέει ἔξω, καὶ ἡ χορέον αὐτό. ὅτι δὲ θῆλυ καὶ ἄρσεν διὰ μα γίνεται, φημὶ οὐ τῇ γωναικὶ καὶ οὐ τῷ ἀνδρὶ, καὶ οὐ παντὶ ζώῳ, ἐνίοισι γοῦν τῶν καὶ ἀσθενέστερον καὶ ἰσχυρότερον. καὶ οὐκ ἐς ἀπαξ χωρέει ἡ γονὴ, ἀλλὰ καὶ ἐς δὶς καὶ ἐς τρὶς ἀποβράκεται. καὶ οὐκ αὐτὸν αὐτὸμοιον εἶναι πᾶν ἰσχυρὸν, τὸ, τε πρόσθεν ὂν ἄμειον, καὶ ὕστερον. ἐς ὁκότερον αὖ τῶν κόλπων τύχῃ ἡ γονὴ παχυτέρη καὶ ἰσχυροτέρη ἐσιοῦσα, κεῖνο ἄρσεν γίνεται. ἐς ὁκότερον δ' αὖ ὑγροτέρη καὶ ἀσθενεστέρη, κεῖνο θῆλυ γίνεται. ἰῶ δ' ἐς ἄμφω ἰσχυρὴ εἰσέλθῃ, ἄμφω ἄρσενα γίνεται. ἰῶ δὲ ἀσθενὴς ἐς ἄμφω, ἄμφω θήλεα γίνεται. οὗτος ὁ λόγος ὧδε εἰρημένος ἅπας, τέλος ἔχει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΣΑΡΚΩΝ.

Γῶ τὰ μέχρι τοῦ λόγου τούτου κοινῆσι γνώμῃσι χρέομαι ἐ τῶν ἔμπροσθεν ἀτὰρ καὶ ἐμεωυτοῦ. ἀναγκαίως γὰρ ἔχει κοινῷ ἀρχῷ ὑποθέσθαι τῆσι γνώμῃσι ἐκάλομενον ξυνθεῖναι ἐν λόγον τόνδε περὶ τῆς τέχνης τῆς ἰητρικῆς. περὶ δὲ τῶν μετεώρων, οὐ δὲ δέομαι λέγειν, ἰῶ μὴ τοσοῦτον ἐς ἀνθρώπων ἀπολείξω, καὶ τὰ ἄλλα ζῶα, ὁκόσα ἔφυ καὶ ἐγένετο. καὶ ὅτι ψυχὴ ὄβιν. καὶ ὅτι ἡ ὑγιαίνειν. καὶ ὅτι ἡ ἡμέρην. καὶ ὅτι ἡ οὐ ἀνθρώπω ἡ κὸν καὶ ἀγαθὸν, καὶ ὅθεν ἀποθνήσκει. νεῦρα δὲ ἀποφαίνομαι αὐτὸς ἐμεωυτοῦ γνώμῃς. δοκέει δέ μοι ὁ ἡ λέομεν θρόμβον, ἀθανάτου τε εἶναι καὶ νοεῖν πάντα. ἡ ὁρᾶν. καὶ ἀκούειν. καὶ εἰδέναι πάντα καὶ τὰ ὄντα, καὶ τὰ μέλλοντα ἔσεσθαι. τοῦτο οὖν ἡ τελεῖσον ὅτε ἐταραχθὲν πάντα ὁξέχωρήσειν εἰς τὠὐτὸ ἀνωτάτω τοῦ περιφορέω. ἡ ὄνομα θῆναι μοι αὐτὸ δοκέουσιν οἱ παλαιοὶ αἰθέρα. ἡ λευτέρα μοῖρα κἀπωθεν αὐτῆς καλέεσ μὲν γῆ ψυχρὸν ἡ ξηρὸν ἡ πυκνὸ κινοῦν. καὶ οὐ τουτέω οὐδὲν δύναται τοῦ θρόμβου. ἡ δὲ δίτη μοῖρα, καὶ τοῦ πέρος τοῦ ἐπὶ τάτω πρὸς τῇ γῇ ὑγρόν τε τόν τε καὶ παχύτατον. κυκλεομένων δὲ τουτέων ὅτε οὕτω ἐταράχθη, ἀπελείφθη τοῦ θρόμβου πυκνὸ οὐ τῇ γῇ ἄλλοθι. τὰ μὲν, μεγάλα. τὰ δὲ, ἐλάσσω. τὰ δὲ καὶ πάνυ σμικρὰ πολλῆθος, πολλά, καὶ

τῷ χρόνῳ ὑπὸ τοῦ θερμοῦ ξηραινομένης τῆς γῆς. ταῦτα καταληφθέντα περὶ αὐτὰ, σηπεδόνας ποιεῖ διὰ περὶ χιτῶνας. καὶ πολλῷ χρόνῳ θερμαινόμενον, ὁκόσον μὲν ἐτύγχανεν ἐκ τῆς γαίης σηπεδόνος λιπαρὸν τεθὲν, καὶ ὀλίγιστον τοῦ ὑγροῦ ἔχον, τάχιστα ἐξεκαύθη καὶ ἐγένετο ὀστέα. ὁκόσα δὲ ἐτύγχανε κολλωδέστερα ἐόντα καὶ τοῦ ψυχροῦ μετέχοντα, ταῦτα δὲ θερμαινόμενα, οὐκ ἠδύνατο ἐκκαυθῆναι. οὐ δὲ μὴν τοῦ ὑγροῦ γενέσθαι διὰ τοῦτο, ἀλλ᾽ ἀλλοιοτέρην ἰδέην ἔλαβε τῶν ἄλλων, καὶ ἐγένετο νευρώδεα. οὐ δὲ γὰρ ἐνῆν τοῦ ψυχροῦ αὐτοῖσι. αἱ δὲ φλέβες τοῦ ψυχροῦ εἶχον πουλύ. καὶ τούτου τοῦ ψυχροῦ τὸ μὲν περιξ, ὅσον κολλωδέστατον ἦν, ὑπὸ τοῦ θερμοῦ ἐξοπτηθὲν μῆνιγξ ἐγένετο. τὸ δὲ ψυχρὸν ἐὸν κρατηθὲν ὑπὸ τοῦ θερμοῦ, διελύθη καὶ ἐγένετο ὑγρόν διὰ τοῦτο. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ ὁ φάρυγξ καὶ ὁ στόμαχος καὶ ἡ γαστὴρ καὶ τὰ ἔντερα ἐς τὸν ἀρχὸν, κοῖλα ἐγένοντο. τοῦ γὰρ ψυχροῦ αἰεὶ θερμαινομένου, ὁ περιξ ἐξωπτήθη ὅσον αὐτοῦ κολλῶδες ἦν, καὶ ἐγένετο χιτὼν ὁ περὶ αὐτὸν μῆνιγξ. τὸ δὲ ἐντὸς τοῦ ὑγροῦ. οὐ γὰρ ἦν ἐν αὐτῷ, οὔτε λιπαρὸν, οὔτε κολλῶδες πουλὺ διετάκη καὶ ἐγένετο ὑγρόν. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ ἡ κύστις πουλὺ ψυχρὸν ἀποληφθὲν τὸ περιξ αὐτοῦ ὑπὸ τοῦ θερμοῦ θερμαινόμενον, διελύθη καὶ ἐγένετο ὑγρόν. οὐ γὰρ ἦν ἐν αὐτῷ οὔτε τοῦ λιπαροῦ, οὔτε τοῦ κολλώδεος. ὅσα δὲ περὶ αὐτὴν χιτὼν ἐγένετο. ἀτὰρ καὶ τῶν ἄλλων ὅσα κοῖλα τὸν αὐτὸν ἔχει τρόπον. ὅκου μὲν ἦν τοῦ κολλώδεος πλεῖον ἢ τοῦ λιπαροῦ, χιτὼν μῆνιγξ ἐγένετο. ὅκου δὲ τοῦ λιπαροῦ πλεῖον ἢ τοῦ κολλώδεος, ὀστέα ἐγένετο. αὐτὸς δὲ λόγος καὶ τῶν ὀστέων. ὅκου μὲν οὐκ ἐνῆν τοῦ κολλώδεος. τοῦ δὲ λιπαροῦ καὶ τοῦ ψυχροῦ, ἐξεκαίετο θᾶσσον διὰ τὸ λιπαρόν. καὶ ταῦτα τῶν ὀστέων καὶ σκληρότατα καὶ στριφνότατα. ὅκου δὲ λιπαρὸν καὶ κολλῶδες παραπλήσια. ταῦτα δὲ τῶν ὀστέων, σηραγγώδεα. περὶ μὲν τουτέων οὕτως. τὸ μὲν ψυχρὸν, πήγνυσι. τὸ δὲ θερμὸν, διαχέει. οὐ δὲ τῷ πολλῷ καὶ ξηραίνει χρόνῳ. ὅκου δὲ τοῦ λιπαροῦ ξυνῇ ἤ τι, τουτέοισι θᾶσσον ἐκκαίει καὶ ξηραίνει. ὅκου δὲ αὖ τὸ κολλῶδες ξυνῇ τῷ ψυχρῷ ἄνευ τοῦ λιπαροῦ οὐκ ἐθέλει ἐκκαίεσθαι, ἀλλὰ τῷ χρόνῳ θερμαινόμενον πήγνυται. ὁ δὲ ἐγκέφαλος, ἐστὶ μητρόπολις τοῦ ψυχροῦ καὶ τοῦ κολλώδεος. τὸ δὲ θερμὸν τοῦ λιπαροῦ μητρόπολις. θερμαινόμενον γὰρ τὸ πρῶτον πάντων διαχεόμενον, λιπαρὸν γίνεται. καὶ διὰ τοῦτο ἐγκέφαλος, ὅτι ὀλίγιστον ἔχει τοῦ λιπαροῦ, τοῦ δὲ κολλώδεος πλεῖστον, οὐ δύναται ἐκκαυθῆναι ὑπὸ τοῦ θερμοῦ. ἀλλ᾽ ἐν τῷ χρόνῳ χιτῶνα μήνιγγα παχείην ἔλαβεν. περὶ δὲ τὴν μήνιγγα ὀστέα ὁκόσον τὸ θερμὸν ἐκράτησεν. καὶ ἐν ὅσοισι τοῦ λιπαροῦ ἐνῆν. καὶ ὁ μυελὸς ὁ καλεόμενος νωτιαῖος, καθήκει ἀπὸ τοῦ ἐγκεφάλου. καὶ οὐκ ἔστιν ἐν αὐτῷ τοῦ λιπαροῦ ἢ τοῦ κολλώδεος πουλὺ, ὥσπερ καὶ τῷ ἐγκεφάλῳ. διὰ τοῦτο οὐκ ἂν δικαίως καὶ αὐτὸ ἔχοι μυελὸς οὔνομα. οὐ γὰρ ὁμοίως τῷ ἄλλῳ μυελῷ ὡς ἐν τοῖσιν ἄλλοισιν ὀστοῖσιν ἐνῇ. μοῦνος γὰρ μήνιγγας ἔχει, ὁ δὲ ἄλλος οὐκ ἔχει. τεκμήρια δὲ τουτέων σαφέα, εἴ τις ἐθέλοι ὀπτᾶν νευρώδεά τε καὶ κολλώδεα καὶ τὰ ἄλλα δέ. τὰ μὲν ἄλλα, ταχὺ ὀπτᾶται. τὰ δὲ νευρώδεά τε καὶ κολλώδεα, οὐκ ἐθέλει ὀπτᾶσθαι. ἐλάχιστον γὰρ ἔχει τοῦ λιπαροῦ. τὸ δὲ πιότατον καὶ λιπαρὸν τάχιστα ὀπτᾶται. τὰ δὲ σπλάγχνα, ὧδέ μοι δοκέει ξυστῆναι. περὶ μὲν οὖν τῶν φλεβῶν, εἴρηταί μοι πρότερον. ἡ δὲ καρδίη, πουλὺ τοῦ κολλώδεος καὶ τοῦ ψυχροῦ ἔχει. καὶ ὑπὸ τοῦ θερμοῦ θερμαινόμενον, κρέας ἐγένετο σκληρὸν καὶ γλίσχρον. καὶ μῆνιγξ περὶ αὐτήν. καὶ ἐκοιλώθη, οὐχ ὥσπερ φλέβες. καὶ ἔστιν ἐπὶ τῆς κεφαλῆς τῆς φλεβὸς τῆς κοιλοτάτης. δύο γάρ εἰσι κοῖλαι φλέβες ἀπὸ τῆς καρδίης. τῇ μὲν οὔνομα ἀρτηρίη. τῇ δὲ κοίλη φλέψ. πρὸς ᾗ ἡ καρδίη ἐστίν. καὶ πλεῖστον ἔχει τοῦ θερμοῦ ἡ ἀρτηρίη ἢ ἡ κοίλη φλέψ. καὶ ταμιεύει τὸ πνεῦμα. πρὸς δὲ τούτοιν τοῖν φλεβοῖν ἄλλαι κατὰ τὸ σῶμα. ἡ δὲ κοιλοτάτη φλὲψ πρὸς ᾗ ἡ καρδίη διὰ τῆς κοιλίης ἁπάσης διήκει καὶ διὰ τῶν φρενῶν. καὶ σχίζεται ἐς ἑκάτερον τῶν νεφρῶν. καὶ ἐπὶ τῇ ὀσφύϊ σχίζεται καὶ ἀΐσσει ἐπί τε τὰ ἄλλα, καὶ ἐς ἑκάτερον σκέλος. ἀτὰρ καὶ ἄνωθεν τῆς καρδίης πρὸς τῷ αὐχένι. τὰ μὲν, ἐπὶ δεξιά. τὰ δ᾽ ἐπ᾽ ἀριστερά. καὶ τό γε ἐπὶ τὴν κεφαλὴν ἄγει, καὶ ἐν τοῖς κροτάφοισι σχίζεται ἑκατέρη. ἔστι δὲ καὶ ἀριθμῷ εἰπεῖν τὰς φλέβας τὰς μεγίστας. ἐν δὲ λόγῳ ἀπὸ τῆς κοίλης φλεβὸς, καὶ ἀπὸ τῆς ἀρτηρίης ἄλλαι φλέβες ἐσχισμέναι εἰσὶ κατὰ πᾶν τὸ σῶμα. κοιλόταται δὲ αἱ πρὸς τῇ καρδίῃ καὶ τῷ αὐχένι καὶ τῇ κεφαλῇ. καὶ κάτωθεν τῆς καρδίης μέχρι τῶν ἰσχίων. καὶ τὸ θερμὸν πλεῖστον ἐνὶ ἐν τῇσι φλεψὶν καὶ τῇ καρδίῃ. καὶ διὰ τοῦτο πνεῦμα ἡ καρδίη ἔχει θερμὴ ἐοῦσα μάλιστα τῶν ἐν τῷ ἀνθρώπῳ. ῥηΐδιον δὲ τοῦτο καταμαθεῖν, ὅτι θερμόν ἐστι τὸ πνεῦμα, ἡ καρδίη καὶ αἱ κοῖλαι φλέβες κινέονται αἰεὶ καὶ τὸ θερμότατον πλεῖστον ἐνὶ ἐν τῇσι φλεψίν. καὶ διὰ τοῦτο πνεῦμα ἡ καρδίη ἕλκει θερμὴ ἐοῦσα μάλιστα τῶν ἐν τῷ ἀνθρώπῳ. ἔστι δὲ καὶ ἄλλως γνῶναι. πῦρ εἴ τις θέλει καίειν ἐν οἰκήματι ὁκόταν ἄνεμος μὴ ἐστὶν, φλὸξ κινέεται. τοτὲ μὲν, μᾶλλον. τοτὲ δὲ, ἧσσον. καὶ λύχνος καιόμενος τὸν αὐτὸν τρόπον κινέεται. τοτὲ μὲν, μᾶλλον. τοτὲ δὲ, ἧσσον ἀνέμου οὐδενὸς κινέοντος, ὅντινα καὶ ἡμεῖς οἷοί τε ἐσμὲν γινώσκειν πνέοντα. καὶ τροφή ἐστιν τῷ θερμῷ τὸ ψυχρόν. τὸ δὲ παιδίον ἐν τῇ γαστρὶ συνέχοντα χείλεα μύζει ἐκ τῶν μητρέων τῆς μητρὸς, καὶ ἕλκει τήν τε τροφὴν, καὶ τὸ πνεῦμα τῇ καρδίῃ εἴσω. τοῦτο γὰρ θερμότατόν ἐστιν ἐν τῷ παιδίῳ, ὅταν περ ἡ μήτηρ ἀναπνέῃ. τοῦτο δὲ καὶ τῷ ἄλλῳ σώματι τὴν κίνησιν παρέχει τὸ θερμὸν, καὶ τοῖς ἄλλοις πᾶσιν. εἰ δέ τις ἐρωτοίη πῶς τοῦτο οἶδέ τις, ὅτι ἐν τῇ μήτρῃ τὸ παιδίον ἕλκει καὶ μύζει. τάδε αὐτὸν ἐστὶν ἀποκρίνασθαι. κόπρον ἔχοντα

ἐν τοῖσιν ἐντέροισιν γίνεται καὶ ἀποπατέει ἐπειδὰν γένηται τάχιστα καὶ οἱ ἄνθρωποι καὶ τὰ πρόβατα. καίτοι οὐκ ἂν εἶχε κόπρου εἰ μὴ ἐν τῇσι μήτρῃσιν ἔμυζεν, οὐδ᾽ ἂν θηλάζειν τὸν μαστὸν ἠπίστατο γενόμενον αὐτίκα μὴ καὶ ἐν τῇ μήτρῃ ἔμυζε. καὶ περὶ μὲν τῆς κινήσιος τῆς καρδίης καὶ τῶν φλεβῶν οὕτως ἔχει. ὁ δὲ πνεύμων πρὸς τῇ καρδίῃ ἐγένετο ὧδε. τοῦ ὑγροῦ ὁκόσον ἦν κολλωδέστατον ἡ καρδίη θερμαίνουσα, ταχὺ ἐξήρανεν, ὥσπερ ἀφρὸν, καὶ ἐποίησεν σηραγγώδεα, καὶ φλέβια πολλὰ ἐν αὐτέῳ. διὰ δὲ τοῦτο ἐποίησεν τὰ φλεβία. ὁκόσον ἐν τῷ κολλώδει ἐνῆν ψυχρὸν τοῦτο μὲν ἀπὸ τοῦ θερμοῦ διετάκη, καὶ ἐγένετο ὑγρόν. τὸ δὲ ἀπὸ τοῦ κολλώδεος, αὐτὸς ὁ χιτών. τὸ δὲ ἧπαρ ὧδε ξυνέστη ξὺν τῷ θερμῷ πουλὺ τοῦ ὑγροῦ ἀποληφθὲν ἄνευ τοῦ κολλώδεος καὶ τοῦ λιπαροῦ, ἐκράτησε τὸ ψυχρὸν τοῦ θερμοῦ καὶ ἐπάγη. τεκμήριον δέ μοι τόδε. ὁκόταν σφάξῃ τις ἱερεῖον. τέως μὲν ἂν θερμὸν ᾖ, ὑγρόν ἐστιν τὸ αἷμα. ἐπειδὰν δὲ ψυχθῇ, ἐπάγη. ἢν δέ τις αὐτὸ τινάσσῃ, οὐ πήγνυται. αἱ γὰρ ἶνες εἰσὶ ψυχραὶ καὶ κολλώδεες. ὁ δὲ σπλὴν συνέστη ὧδε. σὺν τῷ θερμῷ καὶ κολλώδει καὶ τοῦ θερμοῦ πλεῖστον. τοῦ δὲ ψυχροῦ, ἐλάχιστον. τοσοῦτον μόνον, ὁκόσον πῆξαι τὸ κολλῶδες αὐτό. ὅ εἰσιν αἱ ἶνες αἱ ἐνοῦσαι ἐν τῷ σπληνί. καὶ διὰ τὰς ἶνας ταύτας, μαλακός ἐστιν ὁ σπλὴν καὶ ἰνώδης. οἱ δὲ νεφροὶ ξυνέστησαν ὧδε. ὀλίγον τοῦ κολλώδεος. τοῦ θερμοῦ, ὀλίγον. τοῦ ψυχροῦ, πλεῖστον, καὶ ἐπάγη ὑπὸ τούτου καὶ ἐγένετο σκληρότατον τῶν σπλάγχνων, καὶ ἥκιστα ἐρυθρὸν, ὅτι οὐ πουλὺ τοῦ θερμοῦ ξυνέστη. ὁ δὲ αὐτὸς λόγος καὶ περὶ τῶν σαρκῶν. τὸ μὲν ψυχρὸν, ἔστησε καὶ ξυνέπηξε καὶ ἐποίησε σάρκα. τὸ δὲ κολλῶδες, φῶλαι ἐγένοντο. ἐν δὲ τῇσι φώλοισι ταύτῃσι τὸ ὑγρὸν, ὥσπερ καὶ ἐν τῇσι φλεψὶν, τῇσι μεγάλῃσιν. τὸ δὲ θερμὸν ἐν παντὶ τῷ σώματι, πλεῖστον δὲ τῷ σώματι. καὶ τοῦ ψυχροῦ πουλὺ ἐν τῷ ὑγρῷ. τοσοῦτο δὲ ἐστὶ τοῦ ψυχροῦ, ὁκόσον δύναται πῆξαι τὸ ὑγρόν. ἀλλὰ νενίκηται ὥστε διακέχυται ὑπὸ τοῦ θερμοῦ. ἡ δὲ ἀπόδειξις τοῦ ὑγροῦ ὅτι θερμόν ἐστιν. εἴ τις ἐθέλοι τάμνειν τοῦ ἀνθρώπου τοῦ σώματος, ὅκῃ ἐθέλοι, ῥεύσει τε αἷμα θερμόν. καὶ τέως μὲν ἂν θερμὸν ᾖ, ὑγρὸν ἔσται. ἐπειδὰν δὲ ψυχθῇ, ὑπό τε τοῦ ἐνεόντος ψυχροῦ, καὶ τοῦ ἐκτὸς ἐγένετο δέρμα καὶ ὑμήν. καὶ εἴ τις ἀφελὼν τοῦτο τὸ δέρμα, ἐάσειεν ὀλίγου χρόνου ὄψεται ἄλλο δέρμα γινόμενον. εἰ δέ τις τοῦτο αἰεὶ ἀφαιρέοι, ἄλλο δέρμα γίνοιτ᾽ ἂν πρὸς τοῦ ψυχροῦ. τούτου δὲ εἵνεκα πλείω ἔλεξα τέως ἀποδείξω, ὅτι τὸ ἔσχατον τοῦ σώματος πρὸς τὸν ἠέρα ἀναγκαίως ἔχει δέρμα γενέσθαι ὑπὸ τοῦ ψυχροῦ, καὶ τῶν πνευμάτων προσβαλλόντων. τὰ δὲ ἄρθρα ὧδε ἐγένετο. ὅτε τὰ ὀστέα ξυνίστατο. ὁκόσα μὲν αὐτέων λιπαρὰ ἦν, τάχιστα ἐξεκαύθη, ὥσπερ πρόσθεν λέλεκται ἐν τῷ προτέρῳ λόγῳ. ὁκόσον δ᾽ αὐτέων κολλῶδες ἦν, τοῦτο δὲ οὐκ ἠδύνατο ἐκκαυθῆναι, ἀλλὰ μεταξὺ ἀποληφθὲν τοῦ καιομένου ξηραινομένου ὑπὸ τοῦ θερμοῦ νεῦρα καὶ σίαλον ἐγένετο. τὸ δὲ σίαλον, ὁκόσον τοῦ κολλώδεος ὑγρότατον ἦν. τόδε θερμαινόμενον, παχύτερον ἐγένετο ὑγρὸν ἐόν. καὶ ἀπὸ τούτου σίαλον ἐγένετο. οἱ δὲ ὄνυχες, ἀπὸ τουτέου ἐγένοντο τοῦ κολλώδεος. ἀπὸ γὰρ τῶν ὀστέων καὶ τῶν ἄρθρων αἰεὶ τὸ ὑγρότατον αὐτέου ἀπιὸν κολλῶδες γίνεται ἀπὸ τοῦ θερμοῦ ξηραινόμενον καὶ ἐξαιθαινόμενον θύραζε ὄνυχες. οἱ δὲ ὀδόντες ὕστερον γίνονται, διὰ τόδε. ἀπὸ τῶν ὀστέων τῶν ἐν τῇ κεφαλῇ καὶ τοῖν γνάθοιν ἡ αὔξησις γίνεται τοῦ κολλώδεος τοῦ λιπαροῦ. τὸ ἐνεὸν ὑπὸ τοῦ θερμοῦ ξηραινόμενον ἐκκαίεται. καὶ γίνεται ὀδόντες σκληρότεροι τῶν ἄλλων ὀστέων, ὅτι οὐκ ἔστι τοῦ ψυχροῦ. καὶ οἱ μὲν πρῶτοι ὀδόντες φύονται ἀπὸ τῆς διαίτης ἐν τῇ μήτρῃ. καὶ ἐπὴν γένηται ἀπὸ τοῦ γάλακτος θηλάζοντι τῷ παιδίῳ. ἐπειδὰν δὲ οὗτοι ἐκπέσωσιν ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν. ἐκπίπτουσι δὲ ἐπειδὰν ἐπὶ τὰ ἑπτὰ ἔτεα τῆς πρώτης τροφῆς ἔστι δὲ καὶ οἷς πρότερον ἢν ἀπὸ νοσερῆς τροφῆς φύσωσι. τοῖς δὲ πλείστοισιν, ἐπειδὰν ἑπτὰ ἔτεα γένηται. οἱ δὲ μεταφύντες συγκαταγηράσκουσιν, ἢν μὴ ὑπὸ νόσου διαφθαρῶσι. διὰ δὲ τοῦτο φύονται οἱ ὀδόντες ὕστερον τῶν ἄλλων. ἐν τῇ γνάθῳ φλέβες εἰσὶ, καὶ ἐν τῇ κάτω κοιλίῃ μούνοισιν τῶν ὀστέων, αὗται τὴν τροφὴν παρέχουσι τῷ ὀστέῳ. τὰ δὲ ὀστέα, τοιαύτην αὔξησιν ὁποῖά περ ἐστίν. καὶ τὰ ἄλλα δὲ πάντα, τοιαύτην ἀποδιδῶσιν αὔξησιν, ὁποῖα αὐτὰ ἐστίν. καὶ γὰρ αἱ φλέβες αἱ ἐκ τῆς νηδύος τῶν ἐντέρων, εἰς ἃ συλλέγεται τὰ σιτία καὶ τὰ ποτὰ, ἐπειδὰν θερμανθῇ ταῦτα, ἕλκουσι τὸ λεπτότατον καὶ τὸ ὑγρότατον. τὸ δὲ παχύτατον αὐτέου καταλείπεται, καὶ γίνεται κόπρος ἐν τοῖσιν ἐντέροισι τοῖσι κάτω. τὸ δὲ λεπτότατον αἱ φλέβες ἕλκουσιν ἐκ τῆς νηδύος καὶ τῶν ἐντέρων τῶν ἄνωθεν τῆς νήστιος, θερμαινομένων τῶν σιτίων. ἐπὴν δὲ περήσῃ τὴν νῆστιν ἐς τὰ κάτω ἔντερα ξυνεστράφη καὶ κόπρος ἐγένετο. ἡ δὲ τροφὴ ἐπειδὰν ἀφίκηται ἕκαστον τοιαύτην ἀπέδωκε τὴν ἰδέην ἑκάστου ὁκοῖα περ ἦν. ἀρδόμενα γὰρ ὑπὸ τῆς τροφῆς αὔξεται ἕκαστα τὸ θερμὸν, καὶ τὸ ψυχρὸν, καὶ τὸ κολλῶδες καὶ τὸ λιπαρὸν, καὶ τὸ γλυκὺ, καὶ τὸ πικρὸν, καὶ τὰ ὀστέα, καὶ τὰ ἄλλα ξύμπαντα, ὁκόσα ἐν τῷ ἀνθρώπῳ ἐνῆ. διὰ τοῦτο ὕστερον οἱ ὀδόντες φύονται. εἴρηται δέ μοι καὶ πρότερον ὅτι μοῦναι τῶν ὀστέων αἱ γνάθοι φλέβας ἔχουσιν αὗται ἐν ἑωυτοῖσι. καὶ διὰ τοῦτο τροφὴ ἕλκεται πλέον ἢ ἐς τὰ ἄλλα ὀστέα. καὶ πλέονα τὴν τροφὴν ἔχοντα καὶ ἀθροωτέρην τὴν ἐπιρροὴν ἀποτίκτει αὔξησιν αὐτὰ ἀφ᾽ ἑαυτέων τοιαύτην, οἷά περ ἐστὶν αὐτὰ, τέως ἄνπερ καὶ ἄνθρωπος οὗλος αὐξάνηται. αὐξάνεται δὲ, ἐπὴν γένηται ἐπίδηλος. ἐπίδηλος δὲ μάλιστα γίνεται ἀπὸ ἑπτέτεος

μέχρι τεσσαρεσκαιδεκαέτεος. καὶ ἐν τουτέῳ τῷ χρόνῳ, οἵ τε μέγιστοι τῶν ὀδόντων φύονται καὶ ἄλλοι πάντες, ἐπὴν ἐκπέσωσιν, οἳ ἐγένοντο ἀπὸ τῆς τροφῆς τῆς ἐν τῇ μήτρῃ. αὐξάνεται δὲ καὶ ἐς τὴν τρίτην ἑβδομάδα, ἐν ᾗ νεηνίσκος γίνεται μέχρι τεσσάρων καὶ πέντε ἑβδομάδων. καὶ ἐν τῇ τετάρτῃ δὲ ἑβδομάδι ὀδόντες φύονται δύο τοῖσι πολλοῖσι τῶν ἀνθρώπων, οὗτοι καλέονται σωφρονιστῆρες. αἱ δὲ τρίχες φύονται ὧδε. ὀστέα εἰσὶ καὶ ἐγκέφαλος, ἀφ' ὧν ἡ τοιαύτη αὔξησις, ὅτι τὸ περὶξ κολλῶδες, ὅπωσπερ τοῖσιν ἄρθροισιν, καὶ τοῦ λιπαροῦ οὐκ ἔνεστιν. εἰ γὰρ ἐνῆν τοῦ λιπαροῦ, ἐξεκαίετο ἂν ἐκ τοῦ θερμοῦ. τάχα δὲ θαυμάσειεν ἄν τις ὅτι καὶ ἐν τῇσι μασχάλῃσι καὶ ἐν τῷ ἐπιγουνίῳ τρίχες πολλαὶ καὶ ἐν τῷ σώματι παντί εἰσιν. οὗτος λόγος περὶ τουτέου ὅπου τυγχάνει τοῦ σώματος τὸ κολλῶδες ἐόν, ἐνταῦθα αἱ τρίχες γίνονται ὑπὸ τοῦ θερμοῦ. ἀκούει δὲ διὰ τόδε, τὰ τρήματα τῶν οὐάτων προσήκει πρὸς ὀστέον σκληρόν τε καὶ ξηρὸν ὅμοιον λίθῳ. τοῦτο δὲ πέφυκε πρὸς ὀστέον κοίλωσις σηραγγώδης. οἱ δὲ ψόφοι, ἀπερείδονται πρὸς τὸ σκληρόν. τὸ δὲ ὀστέον τὸ κοῖλον ἐπηχεῖ διὰ τοῦ σκληροῦ. τὸ δέρμα τὸ πρὸς τῇ ἀκοῇ πρὸς τῷ ὀστέῳ τῷ σκληρῷ λεπτόν ἐστιν ὥσπερ ἀράχνιον ξηρότατον τοῦ ἄλλου δέρματος. τεκμήρια δὲ πολλά, ὅτι ξηρότατον ἠχεῖ μάλιστα. ὅταν δὲ μέγιστον ἠχήσῃ τότε μάλιστα ἀκούομεν. καὶ εἰσί τινες, οἳ ἔλεξαν φύσιν ξυγγράφοντες, ὅτι ὁ ἐγκέφαλός ἐστιν ὁ ἠχέων. τοῦτο δὲ οὐκ ἂν γένοιτο. αὐτός τε γὰρ ὁ ἐγκέφαλος ὑγρός ἐστι καὶ μῆνιγξ περὶ αὐτόν ἐστιν ὑγρὴ καὶ παχείη. καὶ περὶ τὴν μήνιγγα ὀστέα. οὐδὲν οὖν τῶν ὑγρῶν ἠχεῖ, ἀλλὰ ξηρά. τὰ δὲ ἠχέοντα, ἀκοὴν ποιεῖ. ὀσφραίνεται δὲ ὁ ἐγκέφαλος ὑγρὸς ἐὼν τῶν ξηρῶν αὐτὸς ἕλκων τὴν ὀδμὴν ξὺν τῷ ἠέρι διὰ τῶν βρογχίων ξηρῶν ἐόντων. προσήκει γὰρ ὁ ἐγκέφαλος τῆς ῥινὸς ἐς τὰ κοῖλα. καὶ ταύτῃ αὐτῷ οὐκ ἔστιν ἐπίπροσθεν ὀστέον οὐδέν, ἀλλὰ χόνδριον μαλακὸν ὅκωσπερ σπόγγος, οὔτε κρέας, οὔτε ὀστέον. καὶ ὅταν μὲν ξηρὰ ᾖ τὰ κοῖλα τῆς ῥινός, ὀσμᾶσθαι τῶν ξηροτέρων αὐτὸς ἑωυτοῦ ἀκριβέστερός ἐστιν. ὕδατος γὰρ οὐκ ὀδμᾶται. ὑγρότερον γάρ ἐστι τοῦ ἐγκεφάλου ἐὰν μὴ σαπῇ. σηπόμενον γὰρ τὸ ὕδωρ, παχύτερον γίνεται καὶ τὰ ἄλλα πάντα. ὁκόταν δὲ ὑγρανθέωσιν αἱ ῥῖνες οὐ δύναται ὀσφραίνεσθαι. οὐ γὰρ τὸν ἠέρα ἕλκει αὐτὸς πρὸς ἑωυτόν. ταύτῃ δὲ καὶ ὅταν ἀποτήκηται ὁ ἐγκέφαλος πλεῖστον αὐτὸς ἀφ' ἑωυτοῦ ἐς τὴν ὑπερῴην καὶ τὴν φάρυγγα, καὶ τὸν πνεύμονα, καὶ ἐς τὴν ἄλλην κοιλίην. γινώσκουσιν οἱ ἄνθρωποι καὶ φασὶ καταρρέειν ἐκ τῆς κεφαλῆς. καταρρέει δὲ καὶ ἐς τὸ ἄλλο σῶμα. καὶ ἔστι τρόπῳ τῷ θερμῷ. ὁρῇ δὲ διὰ τοῦτο, ἀπὸ τοῦ ἐγκεφάλου τῆς μήνιγγος φλὲψ καθήκει ἐς τὸν ὀφθαλμὸν διὰ τοῦ ὀστέου ἑκάτερον. διὰ ταύταιν ταῖν φλεβοῖν ἀπὸ τοῦ ἐγκεφάλου διηθέεται τὸ λεπτότατον τοῦ κολλωδεστάτου. καὶ διὰ τοῦτο αὐτὸ περὶ αὐτὸ δέρμα ποιέει τοιοῦτον, οἷόνπερ περὶ αὐτό ἐστι τὸ διαφανὲς τοῦ ὀφθαλμοῦ τῷ πρὸς τὸν ἠέρα πρὸς ὃ προσβάλλει τὰ πνεύματα, κατὰ τὸν αὐτὸν λόγον, ὥσπερ περὶ τοῦ ἄλλου δέρματος ἔλεξα. πολλὰ δὲ ταῦτ' ἐστὶ τὰ δέρματα πρὸ τοῦ ὁρέοντος διαφανέα. ὁκοῖόνπερ αὐτό ἐστιν, τούτῳ γὰρ τῷ διαφανεῖ ἀνταυγεῖ τὸ φῶς καὶ τὰ λαμπρὰ πάντα. τουτέῳ οὖν ὁρῇ τῷ ἀνταυγέοντι. ὅτι δὲ μὴ λαμπρόν ἐστι μηδὲ ἀνταυγεῖ, τουτέῳ οὐχ ὁρῇ. τὸ δὲ ἄλλο τὸ περὶ τοὺς ὀφθαλμοὺς λευκὸν κρέας ἐστίν. ἡ δὲ κόρη καλεομένη τοῦ ὀφθαλμοῦ, μέλαν φαίνεται διὰ τοῦτο, ὅτι ἐν βάθει ἐστίν. καὶ χιτῶνες περὶ αὐτὸ εἰσὶ μέλανες. χιτῶνα δὲ καλέομεν, τὸ ἐνὸν ὥσπερ δέρμα. ἔστι δὲ οὐ μέλαν ὄψει, ἀλλὰ λευκὸν διαφανές. τὸ δὲ ὑγρόν, κολλῶδες. πολλάκις γὰρ ὀπώπαμεν ἐπὶ συρραγέντος ὀφθαλμοῦ ἐξιὸν ὑγρὸν κολλῶδες. καὶ ἢν μὲν ἔτι θερμὸν, ὑγρόν ἐστιν. ἐπειδὰν δὲ ψυχθῇ, ἐγένετο ξηρὸν, ὥσπερ λιβανωτὸς διαφανής καὶ τῶν ἀνθρώπων καὶ τῶν θηρίων ὅμοιόν ἐστι. τὸν δὲ ὀφθαλμὸν ἀνιᾷ πᾶν ὅτι ἂν ἐμπέσῃ καὶ τὰ πνεύματα προσβάλλοντα καὶ τὰ ἄλλα ὅσα λαμπρότερα ἢ κατ' αὐτόν ἐστι.
* καὶ ἤν τις ἐννοήσει διὰ τόδε, ὅτι ὁμόχροια ἐστίν. ὥσπερ τὸ στόμα καὶ ἡ γλῶσσα, καὶ ἡ ἄλλη κοιλίη, ἔνυγρά ἐστιν. διαλέγεται δὲ διὰ τὸ πνεῦμα ἕλκων ἔσω πᾶν τὸ σῶμα. τὸ πλεῖστον δὲ ἐς τὰ κοῖλα αὐτὸς ἑωυτῷ. αὐτὸ δὲ θύραζε τὸ θεόμενον διὰ τὸ κενὸν ψόφον ποιέει. ἡ κεφαλὴ γὰρ ἐπηχεῖ. ἡ δὲ γλῶσσα, ἀρθροῖ προσβάλλουσα ἐν τῷ φάρυγγι ἀποφράσσουσα καὶ προσβάλλουσα πρὸς τὴν ὑπερῴην καὶ πρὸς τοὺς ὀδόντας ποιέει σαφηνίζειν. ἢν δὲ μὴ ἡ γλῶσσα ἀρθροῖ προσβάλλουσα ἑκάστοτε, οὐκ ἂν σαφέως διαλέγοιτο, ἀλλ' ἢ ἕκαστα φύσει τὰ μονόφωνα. τεκμήριον δέ ἐστι τουτέῳ, οἱ κωφοὶ οἱ ἐκ γενεῆς, οὐκ ἐπίστανται διαλέγεσθαι. ἀλλὰ τὰ μονόφωνα μοῦνον φωνέουσιν. οὐδ' εἴ τις τὸ πνεῦμα ἐκπνεύσας πειρῷτο διαλέγεσθαι. δῆλον δὲ τόδε. οἱ ἄνθρωποι ὁκόταν βούλωνται μέγα φωνῆσαι, ἕλκοντες τὸ πνεῦμα τὸ ἔξω, ὠθέουσι θύραζε, καὶ φθέγγονται μέγα ὡς ἂν ἀντέχῃ τὸ πνεῦμα. ἔπειτα δὲ, καταμαραίνεται τὸ φθέγμα. καὶ οἱ κιθαρῳδοὶ, ὁκόταν δέῃ αὐτοῖς μακροφωνέειν, ἐπ' ἄκρον ἑλκύσαντες τὸ πνεῦμα ἔσω πουλὺ ἐκτείνουσι τὴν ἐκφορὴν, καὶ φωνοῦσι καὶ φθέγγονται μέγα ὡς ἂν ἀντέχωσιν τῷ πνεύματι. ἐπὴν δὲ τὸ πνεῦμα ἐπιλίπῃ, καταπαύονται. τουτέοισι δῆλον ὅτι τὸ πνεῦμά ἐστιν τὸ φθεγγόμενον. εἶδον δὲ ἤδη οἱ σφάξαντες ἑωυτοὺς, ἀπέταμον τὸν φάρυγγα παντάπασιν. οὗτοι, ζῶσι μέν. φθέγγονται δὲ οὐδὲν, εἰ μή τις συλλάβῃ τὸν φάρυγγα. οὗτοι δὲ φθέγγονται. δῆλον δὲ καὶ τοῦτο, ὅτι τὸ πνεῦμα οὐ δύναται διατετμημένου τοῦ λάρυγγος ἕλκειν ἔσω ἐς τὰ κοῖλα, ἀλλὰ κατὰ τὸ διατετμημένον, ἐκπνέει. οὕτως ἔχει περὶ φωνῆς ἴσως καὶ διαλέξεως. ὁ δὲ αἰὼν ἐστι τοῦ ἀνθρώπου, ἑπταήμερος.

πρῶτον μὲν ἐπὴν ἐς τὰς ἡμέρας ἔλθῃ ὁ γόνος ἐν ἑπτὰ ἡμέρῃσιν ἔχει ὁκόσαπερ ἐστὶν ἔχειν τοῦ σώματος. τοῦτο δέ τις ἂν θαυμάσειεν, ὅκως ἐγὼ οἶδα. πολλὰ δὲ εἶδον τρόπῳ τοιῷδε. αἱ ἑταῖραι αἱ δημόσιαι αἵ τινες αὐτέων πεπείρηνται πολλάκις ὁκόταν παρὰ ἄνδρα ἔλθῃ, γινώσκουσιν ὁκόταν λάβωσιν ἐν γαστρί. κἄπειτ' ἐνδιαφθείρουσιν. ἐπειδὰν δὲ ἤδη διαφθαρῇ, ἐκπίπτει ὥσπερ σάρξ. ταύτην τὴν σάρκα ἐς ὕδωρ ἐμβαλὼν σκεπτόμενος ἐν τῷ ὕδατι εὑρήσεις ἔχειν πάντα μέλεα. καὶ τῶν ὀφθαλμῶν τὰς χώρας. καὶ τὰ οὔατα. καὶ τὰ γυῖα. καὶ τῶν χειρῶν οἱ δάκτυλοι. καὶ τὰ σκέλεα. καὶ οἱ πόδες καὶ οἱ δάκτυλοι τῶν ποδῶν. καὶ τὸ αἰδοῖον. καὶ τὸ ἄλλο πᾶν σῶμα δῆλον. εὔδηλον δὲ καὶ ὅταν λάβῃ ἐς γαστέρα τῇσιν ἐπισταμένῃσιν, αὐτίκα ἔφριξεν. καὶ θέρμη καὶ βρυγμὸς καὶ σπασμὸς ἔχει. καὶ τὸ ἄρθρον καὶ τὸ σῶμα πᾶν. καὶ τὴν ὑστέρην ὄκνος. καὶ ὁκόσα καθαρά εἰσι, τοῦτο πάσχουσιν. ὁκόσαι δὲ πάσχουσιν παχεῖαι καὶ βλεννώδεες, οὐ γινώσκουσι τουτέων τῶν γυναικῶν πολλαί. ἤδη μοι ἔδειξαν, κατὰ τοῦτο δὴ καὶ ἐπίσταμαι εἰδέναι. δῆλον δὲ τόδε ὅτι ἑπτήμερος ὁ αἰών. εἴ τις ἐθέλει ἑπτὰ ἡμέρας φαγεῖν ἢ πιεῖν μηδέν. οἱ μὲν πολλοὶ ἀποθνήσκουσιν ἐν αὐτῇσιν. εἰσὶ δέ τινες, καὶ οἳ ὑπερβάλλουσιν. ἀποθνήσκουσι δ' ὅμως. εἰσὶ δέ τινες οἳ καὶ ἐπείσθησαν ὥστε μὴ ἀποκαρτερῆσαι, ἀλλὰ φαγεῖν τε καὶ πιεῖν. ἀλλ' ἡ κοιλίη, οὐκέτι καταδέχεται. ἡ γὰρ νῆστις, συνεφύη ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν. ἀλλὰ θνήσκουσιν καὶ οὗτοι. ἔστι δὲ καὶ τόδε τεκμήρασθαι. τὸ παιδίον ἑπτάμηνον γόνον γινόμενον, λόγῳ γεγένηται καὶ ζῇ καὶ λόγον ἔχει τοιοῦτον. καὶ ἀριθμὸν ἀτρεκέα ἐς τὰς ἑβδομάδας. ὀκτάμηνον δὲ γινόμενον, οὐδὲν βιοῖ πώποτε. ἐννέα δὲ μηνῶν καὶ δέκα ἡμερέων γόνος γίνεται καὶ ζῇ. καὶ ἔχει τὸν ἀριθμὸν ἀτρεκέα ἐς τὰς ἑβδομάδας. τέσσαρες δεκάδες ἑβδομάδων ἡμέραι εἰσὶν, διηκόσιαι ἑβδομήκοντα. ἐς δὲ τὴν δεκάδα τῶν ἑβδομάδων, ἑβδομήκοντα ἡμέραι. ἔχει δὲ, καὶ τὸ ἑπτάμηνον γενόμενον, τρεῖς δεκάδες ἑβδομάδων. ἐς δὲ τὴν δεκάδα ἑκάστην ἑβδομήκοντα ἡμέραι. τρεῖς δεκάδες δὲ ἑβδομάδων αἱ σύμπασαι δέκα καὶ διηκόσιαι. καὶ αἱ νοῦσοι οὕτω τοῖς ἀνθρώποις ὀξύταται γίνονται, ἡμερέων παρελθουσέων ἐν τῇσιν ἀνακρίνονται. καὶ ἀπέθανεν ἢ ὑγιέες ἐγένοντο. καὶ τριταῖαι ἐν δεκαημέρῃσιν ἐν μιᾷ ἑβδομάδι καὶ ἥμισυ ἑβδομάδος. καὶ τεταρταῖαι ἐν δυσὶν ἑβδομάσιν. καὶ αἱ πεμπταῖαι, ἐν δυοῖν δεούσαιν εἴκοσιν ἡμέρῃσιν. δυοῖν τε ἑβδομάδοιν καὶ ἥμισυ ἑβδομάδος. αἱ δὲ ἄλλαι νοῦσοι οὐκ ἔχουσι διὰ γνώμην ἐν ὁκόσῳ ὑγιέες ἔσονται ἀποφαίνεσθαι. οὕτω δὲ καὶ τὰ ἕλκεα τὰ μεγάλα τὰ ἐν τῇ κεφαλῇ καὶ τὰ ἐν τῷ ἄλλῳ σώματι, τεταρταῖα φλεγμαίνειν ἄρχεται. ἐν ἑπτὰ δὲ καθίστανται φλεγμήναντα, καὶ ἐν τεσσαρεσκαίδεκα, δυοῖν δεούσῃσιν. ἢν δέ τις ἀνάγκῃ θεραπεύει καὶ μὴ καταστῇ. ἐν τουτέῳ τῷ χρόνῳ τὰ ἐν τῇσι κεφαλῇσι μεγάλα ἕλκεα, ἀποθνήσκουσιν οἱ ἄνθρωποι. θαυμάσειε δ' ἄν τις καὶ τοῦτο ὅστις ἄπειρος ἢ εἰ ἑπτάμηνον γίνεται παιδίον. ἐγὼ μὲν οὖν αὐτὸς ὄπωπα καὶ συχνά. εἰ δέ τις βούλεται καὶ τοῦτο ἐλέγξαι, ῥηΐδιον πρὸς τὰς ἀκεστρίδας αἳ πάρεισι τῇσι τικτούσῃσι ἐλθὼν πυθέσθω. ἔστι δὲ καὶ ἄλλο τεκμήριον. τοὺς ὀδόντας οἱ παῖδες ἑπτὰ ἐτέων διελθόντων πληροῦσι. καὶ ἐν ἑπτὰ ἔτεσιν. ἔστι δὲ λόγῳ καὶ ἀριθμῷ ἀτρεκέως δεκάδες ἑβδομάδων ἑξήκοντα καὶ τριηκόσιαι. τῆς δὲ φύσιος τὴν ἀνάγκην, διότι ἐν ἑπτὰ τουτέων ἕκαστα διοικέεται, ἐγὼ φράσω ἐν ἄλλοισιν.

ἹΠΠΟΚΡΆΤΟΥΣ ΠΕΡῚ ἙΠΤΑΜΗ΄ΝΟΥ.

Οἱ δὲ ἑπτάμηνοι γίνονται, ἐκ τῶν ἑκατὸν ἡμερέων, καὶ ὀγδοήκοντα, καὶ δύο, καὶ προσεόντος μορίου. ἢν γὰρ τοῦ πρώτου λογίσῃ μηνὸς πεντεκαίδεκα ἡμέρας. τῶν δὲ πέντε μηνῶν. ρμ'. καὶ ζ'. καὶ ἥμισυ ἡμέρας. ἢν γὰρ ἑξήκοντα μιῆς δεούσης ἡμέρης ἐς δύο τὰ δύο μῆνες ἐκτελεῦνται. οὕτως οὖν τούτων ἐόντων, ἐς τὸν ἕβδομον μῆνα περιγίνονται ἡμέραι πλεῖον ἢ εἴκοσι, ἥμισυ τοῦ ἐνιαυτοῦ. καὶ τῆς ἡμέρης τοῦ μέρους τῷ μέρει προσγινομένῳ. / Ὁκόταν ἐς τὴν ἀρχὴν τῆς τελειώσιος ἔλθῃ ταύτην, ἀδρυνομένου τοῦ ἐμβρύου, καὶ τὴν ἰσχὺν πουλὺ ἐπιδιδόντος ἐν τῇ τελειώσει μᾶλλον, ἢ ἐν τοῖς ἄλλοις χρόνοις. οἱ ὑμένες ἐν οἷς τὴν ἀρχὴν ἐτράφη. ὥσπερ καὶ τῶν ἀσταχύων, ὁπότ' ἐξεχάλασαν πρόσθεν ἀναγκαζόμενοι, ἢ τελέως ἐξαδρυνθῆναι τὸν καρπὸν, τὰ μὲν ἰσχυρότατα καὶ ἀδρότατα τῶν ἐμβρύων βιησάμενα, καὶ διαρρήξαντα τοὺς ὑμένας, ἠνάγκασε τὸν τόκον γενέσθαι. καὶ τὰ μὲν πλεῖστα τουτέων ἀπόλλονται μικρὰ γὰρ ὄντα, τῇ μεταβολῇ μέζονι χρέονται τῶν ἄλλων. καὶ τὴν τεσσαρακονθήμερον κακοπαθείην ἀναγκάζονται κακοπαθεῖν, ἐξελθόντα ἐκ τῆς μήτρης. καὶ τῶν δεκαμήνων πολλὰ ἀποκτείνει. ἔστι δὲ ἃ τούτων τῶν ἑπταμήνων καὶ περιγίνονται ἐκ πολλῶν, ὀλίγα. ὅτι ὁ λόγος καὶ ὁ χρόνος ἐς ὃν ἐτράφη ἐν τῇ μήτρῃ καθέστηκεν. ὥστε μετέχειν πάντων, ὧνπερ καὶ τὰ τελεώτατα μετέχει. καὶ μάλιστα περιγινόμενα. καὶ ἐξήλλαξε τῆς μήτρης πρόσθεν κυούσης, ἅτε ἐν τῷ ὀγδόῳ μηνὶ νοσεύμενα. τούτοις γὰρ τοῖς πόνοις ἢν ἐπιγίνωνται, ὡς εἰς τοὐμφανὲς ἐλθεῖν τὸ παιδίον, ἀδύνατον περιγενέσθαι, διὰ τὰς πάθας τὰς προειρημένας ἃς ἐγὼ φημι τὰς ὀκταμήνους ἀποκτείνειν. πολλοὺς δὲ

καὶ τῶν δεκαμήνων. Τὰ δὲ πολλὰ τῶν ἐμβρύων τῶν ἐν αὐτῇ τῇ ἡλικίῃ τῇ ἑπταμήνῳ, ὅταν οἱ ὑμένες χαλῶσι, μετεχώρησαν ἐς τὸ ὑπεῖξαν, καὶ ἐνταῦθα τὴν τροφὴν ποιέεται. τὰς μὲν τεσσαράκοντα ἡμέρας τὰς πρώτας πονοῦνται, τὰ μὲν, μᾶλλον, τὰ δὲ, ἧσσον. διὰ δὲ τὴν μεταβολὴν τὴν ἐκ τῶν χωρίων τῶν θρεψάντων, μετεβάλλετο. καὶ ἀντὶ τοῦ ὀμφαλοῦ ἔσπασε καὶ μετεχώρησε. καὶ διὰ τῆς μητρὸς τοὺς πόνους. οἱ γὰρ ὑμένες τεινόμενοι καὶ ὁ ὀμφαλὸς σπασθεὶς ὀδύνας ποιέει τῇ μητρί. καὶ τὸ ἔμβρυον ἐκ τοῦ παλαιοῦ συνδέσμου ἐκλυθὲν, βαρύτερον γίνεται. πολλαὶ δὲ τῶν γυναικῶν, καὶ ἐπιπυρεταίνουσι τούτων γινομένων, αἱ δὲ καὶ ἀπόλλυνται σὺν τοῖς ἐμβρύοις. χρῶνται δὲ πᾶσαι ἐν ὀλίγῳ περὶ τούτου. / Φασὶ δὲ τοὺς ὀγδόους τῶν μηνῶν, καὶ χαλεπώτατα φέρειν τὰς γαστέρας, ὀρθῶς λέγουσαι. ἔστι δὲ ὄγδοος μὴν, οὐ μόνον ὁ χρόνος οὗτος, ἀλλὰ καὶ ἡμέρας πρόσεισιν ἀπὸ τοῦ ἑβδόμου μηνὸς, καὶ τοῦ ἐνάτου, καὶ ἀπὸ τοῦ ἐνιαυτοῦ. ἀλλὰ τὰς ἡμέρας οὐχ ὁμοίως, οὔτε λέγουσιν, οὔτε γινώσκουσιν αἱ γυναῖκες. πλανῶνται γὰρ διὰ τὸ μήτε κατὰ ταὐτὸ γίνεσθαι. ἀλλ' ὅτε μὲν, ἀπὸ τοῦ ἑβδόμου μηνὸς, πλέονας ἡμέρας προσγίνεσθαι, ἐς τὰς τεσσαράκοντα. ὅτε δὲ, ἀπὸ τοῦ ἐνάτου. τότε γὰρ ἀνάγκη γίνεσθαι, ὅκως ἂν τύχῃ ἡ γυνὴ ἐν γαστρὶ λαβοῦσα, τοῦ μηνός τε καὶ τοῦ χρόνου. ὁ δὲ μὴν ὁ ὄγδοος ἀναμφισβήτητός ἐστι. κατὰ τοῦτον γὰρ γίνεται, ὥστε δυσκείτως ἔχειν μετ' ἐμὲ καὶ τὸ μέρος ἐν τοῖς ἐνδεκα μησὶ, μῆς ἐστιν. ὥστε τοῦτον οὐ μνημονευόντων εἶναι. χρὴ δὲ οὐκ ἀπιστεῖν ταῖς γυναιξὶ περὶ τῶν τόκων. λέγουσι γὰρ πάντα, καὶ αἰεὶ λέγουσι, καὶ αἰεὶ θρέουσιν. οὐ γὰρ ἂν πεισθείησαν οὔτ' ἔργῳ, οὔτε λόγῳ. ἀλλ' ὅ, τι γνῶναι ἐν τοῖσι σώμασιν αὐτέων γινόμενον. τὰς δὲ βουλομένας ἄλλο λέγειν ἔξεστιν. αἱ δὲ κρίνουσαι, καὶ τὰ νικητήρια διδοῦσαι περὶ αὐτέου τοῦ λόγου, αἰεὶ θρέουσι, καὶ φάσκουσι τίκτειν καὶ ἑπτάμηνα. καὶ ὀκτάμηνα. καὶ ἐννεάμηνα. καὶ δεκάμηνα καὶ τούτων τὰ ὀκτάμηνα οὐ περιγίνεσθαι. φάσκουσι δὲ καὶ τοὺς τρωσμοὺς πλείστους ἐν τῇ πρώτῃ τεσσαρακοντάδι γίνεσθαι. καὶ τ' ἄλλα τὰ κατὰ τὰ γεγραμμένα ἐν τῇσι τεσσαρακοντάσι, καὶ ἐν τοῖσι μησὶν ἑκάστοισιν. ὅταν δὲ τῷ ἑβδόμῳ μηνὶ περιραγέωσιν οἱ ὑμένες, καὶ τὸ ἔμβρυον μεταχωρήσῃ, ὑπέλαβον οἱ πόνοι οἱ περὶ τὸν μῆνα τὸν ὄγδοον γινεαλογεύμενοι, καὶ περὶ τὴν ἕκτην τεσσαρακοντάδα. τούτου δὲ τοῦ χρόνου παρελθόντος ὁ πόσους μέλλει εὖ εἶναι, αἱ φλεγμοναὶ ἐλύθησαν καὶ τοῦ ἐμβρύου, καὶ τῆς μητρὸς, ὥστε γαστὴρ μαλαχθῇ, καὶ ὁ ὄγκος ὑποκατέβη, ἀπὸ τῶν ὑποχονδρίων, καὶ τῶν κενεώνων, εἰς τὰ κάτω χωρία ἐς εὐρυτέρην τὴν ἐπὶ τοὺς τόκους τροπὴν, καὶ τὴν ἑβδόμην τεσσαρακοντάδα ἐντεῦθεν ἐστὶ τὸ πλεῖστον τοῦ χρόνου τὰ ἔμβρυα. τὰ γὰρ χωρία αὐτοῖς μαλθακὰ καὶ αἱ μετακινήσιες αὐτοῖς εὐπετέστεραι γίνονται καὶ πυκνότεραι. καὶ διὰ ταῦτα κατέστη πρὸς τὸν τόκον εὐλυπότερα, καὶ πάσης τῆς τεσσαρακοντάδος. ταύτας αἱ γυναῖκες φέρουσι τὰς τελευταίας ἡμέρας εὐπετέστερον τὰς γαστέρας, ἐς ἂν ἁρμόσῃ τὸ ἔμβρυον στρέφεσθαι. μετὰ δὲ ταῦτα, αἵ τε ὠδῖνές εἰσι καὶ οἱ πόνοι ἐπίκεινται, ἐς ἂν ἐλευθερωθῇ τοῦ παιδίου καὶ τοῦ ὑστέρου. / Ὅσαι δὲ τῶν γυναικῶν ἔτεκον πολλὰ παιδία, καί τι αὐτέων ἐγένετο χωλὸν, ἢ τυφλὸν, ἢ ἄλλό τι κακὸν ἔχον, φάσκουσιν ἐπὶ τῶν τουτέων τοῦ παιδίου τὸν ὄγδοον μῆνα, χαλεπώτερον διαγαγεῖν, ἢ ἐφ' ὧν ἔτεκεν, οὐδὲν κακὸν ἐχόντων. τὸ γὰρ ἔμβρυον τὸ πηρωθὲν, ἐν τῷ ὀγδόῳ μηνὶ ἰσχυρῶς ἐνόσησεν, ὥστε καὶ ἀπόστασιν ἐποίησεν ἡ νοῦσος. ὡς καὶ τοῖς ἀνδράσιν αἱ ἰσχυραὶ νόσοι ἐποίησαν. ὅσα δ' ἂν τῶν ἐμβρύων ἐν ἄλλῳ χρόνῳ ἰσχυρῶς νοσήσῃ, ἀπόλλυται πρόσθεν, ἢ αὐτέῳ ἀπόστασιν γίνεσθαι. ὅσα δ' ἂν τῶν ὀκταμήνων ἐμβρύων μὴ σφόδρα νοσήσῃ, ἀλλὰ κατὰ ἔντι ἐκ τῆς μεθόδου κακοπαθήσῃ, τὰς μὲν τεσσαράκοντα ἡμέρας διετέλεσεν ἐν ἀσθενείῃ. τὰ δὲ πλεῖστα, ἐν τῇ μήτρῃ, διὰ τὰς ἀνάγκας τὰς προειρημένας, ἐγένοντο δὲ ὑγιαίνοντα. ὅ τι δ' ἂν γένηται ἐν τεσσαράκοντα ἡμέραις ταύταις, ἀδύνατον περιγίνεσθαι. νοσέοντι γὰρ αὐτέῳ ἔτι ἐν τῇ μήτρῃ, ἐπιγίνονται αἱ μεταβολαὶ καὶ αἱ κακοπάθειαι, μετὰ τὸν τόκον. ὅ τι δ' ἂν ἀπονοσήσειεν ἐν τῇ μήτρῃ, ἐς τὸν ἔνατον μῆνα ἔλθῃ, καὶ ἐν τουτέῳ τῷ μηνὶ γένηται, περιγίνεται. περιγίνεται μὲν οὐκ ἔλασσον ἢ ἑπτάμηνα. ὀλίγα δὲ καὶ τουτέων ἐκφέρεται. οὔτε γὰρ τὴν παχύτητα ἴσχει, ἣν περ τά τε λεώτατα ἔχουσιν, οὔτε πόνοι οἱ ἐν τῇ μήτρῃ, οὐ πάλαι πεπονημένοι εἰσὶν αὐτέοις, ὥστε λεπτὸν γίνεσθαι. συμβαίη δ' ἂν μάλιστα, εἰ τοῦ ἐνάτου μηνὸς γένοιτο ἐν ἐξόδῳ. ἰσχυρότερον δ' ἂν γένοιτο, καὶ πλεῖστον ἀπέχον τῶν νούσων, τῶν τοῖς ὀκταμήνοις γινομένων. καὶ γὰρ τὰ ἐν ἑπτὰ τεσσαρακοντάσι τικτόμενα, τὰ δεκάμηνα καλεόμενα, διὰ ταῦτα μάλιστα ἐκτρέφεται, ὅτι ἰσχυρότατά ἐστι καὶ πλεῖστον ἀπέχει τῶν γνωρίμων παιδίων τοῦ χρόνου ἐν ᾧ ἐκακοπάθησε τὰς τεσσαράκοντα ἡμέρας τὰς νοσουμένας, περὶ τὸν μῆνα τὸν ὄγδοον. σαφηνίζει δὲ περὶ τῶν νοσημάτων καὶ παθημάτων τῶν τοῖς ὀκταμήνοις γινομένων. καὶ τὰ ἐννεάμηνα λεπτὰ τικτόμενα κατὰ τὸ πλῆθος τοῦ χρόνου ἐγγόνει κατὰ τὸ μέγεθος τοῦ σώματος, ἐκ νόσων κακοπαθείης ἀφιγμένοισιν, οὐχ ὥσπερ τὰ ἑπτάμηνα τίκτεται σεσαρκωμένα. καὶ τὸ πάχος ἔχοντα εὐτραφέως. ἅπερ διατετελεκότα, οὐ χρόνον ἐν τῇ μήτρῃ διεφέρετο. / Ταῖς δὲ γυναιξὶν αἱ συλλήψιες τῶν ἐμβρύων. καὶ οἱ τρωσμοί τε καὶ οἱ τόκοι ἐν τουτέῳ τῷ χρόνῳ, ἐν ᾧ περ αἵ τε νοῦσοι, καὶ αἱ ὑγίειαι, καὶ οἱ θάνατοι κρίνονται τοῖς σύμπασιν ἀνθρώποισι ταῦτα δὲ πάντα, τὰ μὲν, καθ' ἡμέρας. τὰ δὲ, κατὰ μῆνας

τὰ μῆνας ἐπισημαίνει. τὰ δὲ, κατὰ τεσσαρακοντάδας ἡμερῶν. τὰ δὲ, κατ' ἐνιαυτόν. ἐν πᾶσι γὰρ τοῖς χρόνοισι τουτέοισιν ἔνεστι πρὸς ἕκαστον. πολλὰ μὲν, ξυμφέροντα, πολλὰ δὲ, πολέμια. ἐκ μὲν οὖν τῶν συμφερόντων, αἵ τε ὑγίειαι γίνονται, καὶ αἱ αὐξήσιες. ἐκ δὲ τῶν ἐναντίων, αἵ τε νοῦσοι καὶ οἱ θάνατοι. αἱ μὲν οὖν ἡμέραι ἐπισημόταταί εἰσιν ἐν τοῖς πλείστοις, αἵ τε πρῶται καὶ ἑβδομαῖαι. πολλαὶ μὲν, περὶ νούσων, πολλαὶ δὲ, καὶ τοῖς ἐμβρύοις. τρωσμοί τε γὰρ γίνονται καὶ οἱ πλεῖστοι ταύταις ταῖς ἡμέραις. ὀνομάζεται δὲ τὰ τηλικαῦτα, ἐκρύσεις ἀλλ' οὐ τρωσμοί. αἱ δ' ἄλλαι ἡμέραι ὅσαι ἐντὸς τῶν τεσσαράκοντα, ἐπίσημοι μὲν, ἧσσον. πολλαὶ δὲ, κρίνουσιν. ἐν δὲ τοῖς μησὶ ταῦτά τε καὶ ἐν τῇ ἡμέρῃ γινόμενα ἔνεστι κατὰ λόγον. καὶ καταμήνια γυναιξὶ ταῖς ὑγιαινούσαις φαίνονται καθ' ἕκαστον τῶν μηνῶν, ὡς ἔχοντος τοῦ μηνὸς ἰδίην δύναμιν ἐν τοῖς σώμασιν. διὸ ὧν δὴ καὶ οἱ ἕβδομοι μῆνες ταῖς ἐν γαστρὶ ἐχούσαις, τὰ ἔμβρυα εἰς τὴν ἀρχὴν καθιστᾶσι τῆς τελειώσεως. τοῖσι δὲ παιδίοις ἑπταμήνοισιν ἐοῦσι, καὶ ἄλλα διαφέροντα γίνονται ἐν τοῖς σώμασι, καὶ οἱ ὀδόντες φαίνεσθαι ἄρχονται ἐν τουτέῳ τῷ χρόνῳ. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ κεισίμων. ἣν περ ἴσως καὶ τοῖς δέ τις συγχρέοιτο, ὁκοίας ἔλεξας, ἱστορίας τε ἕνεκα εἰρήσθω. σκοπεῖν γὰρ χρὴ τὸν μέλλοντα ἰητρὸν ὀρθῶς στοχάζεσθαι περὶ τῆς τῶν καμνόντων σωτηρίας. θεωροῦνται μὲν, περὶ τὰς πάσας. τῶν δὲ ἀρτίων, τὴν τεσσαρεσκαιδεκάτην, καὶ τὴν ὀγδόην εἰκοστὴν, καὶ τεσσαρακοστὴν καὶ δευτέρην. οὗτος γὰρ ὁ ὅρος τίθεται τῷ τῆς ἁρμονίης λόγῳ πρός τινων. καὶ ὁ ἀρτιφυής τε καὶ τέλειος ἀριθμός. δι' ἣν δὲ αἰτίην, μακρότερον ἂν εἴη ἐπὶ τοῦ παρόντος διεξελθεῖν. θεωρεῖν δὲ χρὴ οὕτως, τριάσι τε καὶ τετράσι. ταῖς μὲν τριάσι συνηγμέναις ἁπάσαις. ταῖς δὲ τετράσι. δύο μὲν, παρὰ δύο συνημμέναις. δύο δὲ, παρὰ δύο συνεζευγμέναις. αἱ δὲ τεσσαρακοντάδες, πρῶτον μὲν κρίνουσιν ἐπὶ τῶν ἐμβρύων. ὅ, τι δ' ἂν ὑπερβάλλῃ τὰς τεσσαράκοντα ἡμέρας τὰς πρώτας, ἐκφεύγει τοὺς τρωσμοὺς ἐπὶ παντὸς γινομένους. πλέονες γὰρ γίνονται ἐν τῇ πρώτῃ τεσσαρακοντάδι τρωσμοὶ, ἢ ἐν ταῖς ἄλλαις ἐούσαις. τοῦ δὲ τοῦ χρόνου παρελθόντος, ἰσχυρότερά ἐστι τὰ ἔμβρυα, καὶ διακρίνεται καθ' ἕκαστα τῶν μελέων τὸ σῶμα. καὶ τῶν μὲν ἀρσένων, σφόδρα διάδηλα γίνεται πάντα. τὰ δὲ θήλεα, ἐς τοῦτον τὸν χρόνον, σάρκες φαίνονται ἀποφύσιας μοῦνον ἔχουσαι. πλείονα γὰρ χρόνον τὰ ὅμοια ἐν τῷ ὁμοίῳ ὅμοιόν ἐστι, καὶ κρίνεται βραδύτερον, διὰ τὴν συνήθειάν τε καὶ φιλότητα. καίτοι τά γε ἄλλα ὅταν χωρισθῶσι τῆς μητρὸς αἱ θυγατέρες τῶν κούρων, θᾶσσον ἡβῶσι, καὶ φρονέουσι, καὶ γηράσκουσι διὰ τὴν ἀσθενείην τε τῶν σωμάτων, καὶ τὴν δίαιταν. μάλλη δὲ τεσσαρακοντάς, ἐν ᾗ περὶ τὸν ὄγδοον μῆνα τὰ ἔμβρυα ἐν τῇ μήτρῃ νοσεῖ, περὶ ὧν ὁ λόγος λέγεται ὧδε σύμπας. τρίτη δὲ, ἐν ᾗ τὰ παιδία ὅταν γένηται καὶ κακοπαθήσαντα, ἣν περιφύγῃ τὰς τεσσαράκοντα ἡμέρας, ἐφάνη ἰσχύοντα δῆτα μᾶλλον καὶ φρονέοντα. καὶ γὰρ τὰς αὐγὰς ὁρᾷ σαφέστερον καὶ τὸν ψόφον ἀκούει πρόσθεν μὴ δυνάμενα, ὡς ἐπίδοσιν ἔχοντος τοῦ χρόνου τούτου κατὰ τὰ ἄλλα, καὶ κατὰ τὴν φρόνησιν τὴν διὰ τοῦ σώματος. τὸ μὲν γὰρ ἴδιον φρόνημα δῆλόν ἐστιν ἐνὸν ἐν τῷ σώματι, ἔν γε τῇ πρώτῃ ἡμέρῃ. ἔν τε γὰρ τοῖς ὕπνοισιν ἐοῦσιν εὐθέως ἐπὴν γένωνται, γελῶντα φαίνεται τὰ παιδία καὶ κλαίοντα. ἐγρηγορότα τε αὐτόματα, εὐθέως γελᾷ τε καὶ κλαίει, πρόσθεν ἢ τεσσαράκοντα ἡμέραι γενοίατο. οὐδὲ γελᾷ ψαυόμενά τε καὶ ἐρεθιζόμενα πρόσθεν, ἢ αὐτὸς ὁ χρόνος οὗτος γένηται. ἀμβλύνονται γὰρ αἱ δυνάμεις, ἐν ταῖς μίξεσι. καί γε ὁ θάνατος διὰ τὴν μοίρην ἔλαχεν. ὥστε παράδειγμα τοῖς πᾶσιν, ἐστὶ, ὅτι πάντα φύσιν ἔχει ἐκ τῶν αὐτέων ἐόντα, μεταβολὰς ἔχειν διὰ χρόνων τῶν ἱκνουμένων. σαφηνίζεται δὲ ἐν ἑκάστοισι ἄλλό τι τῶν γινομένων καὶ ἀπογινομένων. ἐν δὲ τῷ ἐνιαυτῷ τελευμένῳ, πολλαὶ μὲν νοῦσοι γίνονται, πολλαὶ δὲ ὑγίειαι κατὰ λόγον τοῦ χρόνου, πρὸς τοὺς μῆνάς τε καὶ τὰς ἡμέρας ἑκάστας τοῖς ἑβδόμοις. καὶ τ' ἄλλα πολλὰ γίνεται διαφέροντα τοῖς σώμασι. τοῖσι δὲ παιδίοισιν οἱ ὀδόντες ἐκπίπτουσι, καὶ ἕτεροι φύονται. τὰ γὰρ ἐπὶ σώμασι, τὰ δὲ γράψω.

Ἄλλη ἀρχὴ περὶ ἑπταμήνου.

Περὶ δὲ ἑπταμήνων ὁ λόγος ὑπό του φησὶ γίνεσθαι. ἐγὼ μὲν οὐ περιτέτευχά πω τῷδε τῷ πράγματι ὀφθαλμοῖσιν. ἀκοῇσι δὲ μοῦνον. ὅκως δή μοι φαίνεται, δηλώσω. πολλαὶ φύσιος εἰσι παραδοξίαι, καὶ παραφοραὶ ἐν ζώοισί τε καὶ ἐν φυτοῖσι, καὶ ἐν τῷ ἀϊδίῳ αἰῶνι. καὶ ἤδη που τὸ θῆλυ καὶ ἄρρεν ἐρρυσμώθη καὶ πολύχειρα, καὶ πολυόφθαλμα, καὶ πολύωτα, καὶ παντοίους ῥυσμοὺς παλιμπαγεῖς, ἔχοντας ὀστέα θαυμαστὴν παραδοξίην φύσιος. πάντα γὰρ καὶ ἴδιά ἐστι καιροῖς κραίνων καὶ σύγκρισις. κατὰ γὰρ τὴν ἀρχαίην γένεσιν ὁκότε ἐκτίσθη πάντα ζῶα ἐρρυσμοῦτο. καὶ νῦν γνῶθι διὰ ταῦτα κατὰ νόμους ῥυσμοῦσθαι. ἐμοὶ γοῦν δοκέει, ὡς κατὰ ἄλλον ὀργανιζομένων περὶ τὰ ἑπτάμηνα τοῖσιν εἴδεσιν γίγνεσθαι, καθάπερ κατὰ τὸ περιέχον, καὶ κατὰ τὴν γῆν προσκέρσους καρποὺς ῥυθμοῦσθαι, ὅκως περ ἐν Αἰγύπτῳ πάντα

* πρόσκορσα γίνεται. πολλὰ δὲ καὶ διὰ παντὸς ὥρου διὰ τὸ πολυφιλίην τῆς γῆς. καὶ τῆς θέρμης τῆς περὶ ὀκωχώσιος. ὡσαύτως οὖν καὶ περὶ τὰ σκηνοσὰ φιλέει γίνεσθαι τὰ ἑπτάμηνα. καὶ ὅταν ἡ ἔχουσα ἐς κίνησιν εὐήκη εἰς ὑποδοχὴν τὴν ἀπὸ τοῦ ἄρσενος, καὶ τὸ ἄρρεν ὠργημένον ἢ καλῶς πρὸς τὸ καταβάλλειν γένεσιν ῥυθμὸν. τὸ δὲ δὴ σκῆνος συγκρίνεται καὶ τελεόμενον γίνεται. συμφερὴ γὰρ ἀνάγκη κρατερή μιν κατέχεται τελεωθῆναι ὥσπερ τὸ τελεώμενον κατὰ τὸν ῥυθμόν. ἄλλως τε οὐκ ἄνυστον. οὔτε γάρ κως τὸν ῥυσμὸν ὑπερβάλλοντα δεῖ εἶναι. οὔτε ταῦτα πάλιν ἐλλιπέα. ἀλλ' ἐπὶ μέσον ῥυσμὸν ἐν πρήγματι μεγάλῳ. εἰ μὲν οὖν μέλλει ἐς ἀνθρώπους ῥυσμὸς ἐσαφίξεσθαί τις λεῖον παρεῖναι, διὰ καὶ ἀνθρώπων ἐπὶ τήλεια, καὶ προηβῶσι καὶ προγηρῶσι τινὲς ὅκως καὶ οἱ προσυγιανθέντες κατὰ νόμον, οἷχ ῥυσμὸς κατατήκει. καὶ

ἐς τὰ ἐπιτήδεια ὀστέων τε καὶ ἰνέων· καὶ φλεβῶν· καὶ νεύρων· καὶ σπλάγχνων· καὶ νηδύος· καὶ τῶν λοιπῶν· καὶ ἐς συντέλειαν. ἀλλὰ ἴσως θρέουσί τινες διατί ὀκτάμηνα οὐ ζῇ, οὐ μὴν οὐδὲ ἑπτάμηνα. φλεδόνες ἐόντες καὶ νήπιοι. ἅπαντα γὰρ τὸν αἰῶνα οὕτω μεμοίρηται καὶ φιλέει κατὰ τὰ ὅμοια ῥυθμοῦσθαι καὶ συγκρίνεσθαι ὅκως περ καὶ τῶν ἐς οὖδας ἐσπειρομένων ἢ φυτευομένων τὰ μὲν, πλείοσιν ἡμέρῃσι. τὰ δὲ, ἐν ἐλαχίστοισιν, οὐ κατὰ χρόνον. χρόνος γὰρ ἕπεται κατὰ ἡλίου περίοδον, καὶ σελήνης ὁριζομένης. οὐδὲ μὴν γὰρ καὶ ἑνδεκάμηνον καὶ δωδεκάμηνον κατὰ τὸν τούτων λόγον. ἐς ἂν ἄδητε παίζοντες. οὔτ' οὐδὲν ὑπὲρ τὸ ἱκνεύμενον γίγνεται κατὰ μυθίζομεν. ἀλλὰ ἑκάστου ῥυσμὸς ὁ κραίνων κατὰ νόμον. πάντα γὰρ ἡ μηχάνησις, ἐπί τε τοὺς ὀφθαλμοὺς, ἢ τὰ ὦτα, ἢ τὴν ῥῖνα, ἢ τὸ στόμα ἐν τοῖσι ῥυσμοῖς συνεχομένη, ἢ κατὰ
* τὰς ἄλλας συγκρίσιας. ὅκως περ νῦν ἀείδρηες ἐόντες κατὰ πάντας χαδουσῶν προλήμψεις. ταῦτα οὖν πρότερον ἐννοούμενες.

ἹΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡῚ ὈΚΤΑΜΗΝΟΥ.

Περὶ δὲ ὀκταμήνου γενέσιος φημὶ, διὰ τὰς ἐφεξῆς κακοπαθείας γινομένας, ἀδυνάτους εἶναι ποιέειν φέρειν τὰ παιδία. καὶ διὰ τοῦτο οὐ περιγίνεσθαι τὰ ὀκτάμηνα. συγκυρεῖ γὰρ αὐτοῖς ἐφεξῆς κακοπαθεῖν, τήν τε ἐν τῇ μήτρῃ γινομένην κακοπάθειαν, καὶ τὴν ὅταν ὁ τόκος γένηται, καὶ διὰ τοῦτο τῶν ὀκταμήνων οὐδὲν περιγίγνεται. ἐπεὶ καὶ τὰ δεκάμηνα καλεόμενα λέγω ἐν ἑπτὰ τεσσαρακονθ' ἡμέραις μᾶλλον τίκτεσθαι. καὶ μάλιστα προσήκει ἐκτρέφεσθαι. καὶ τελεώτατόν ἐστιν ἐν ταῖς πρώταις τεσσαράκοντα ἡμέραις. ἐπὴν δὲ γένηται πλείω, ἀπόλλυται. ἀναγκάζεται γὰρ πολλὰ μεταλαμβάνοντα ἐν ὀλίγῳ χρόνῳ πολλὰ νοσέειν, ἐξ ὧν οἱ θάνατοι γίνονται. ἄρχεται δὲ πονέειν τὸ παιδίον πρὸ τοῦ τόκου γινόμενον, καὶ κινδυνεύειν ἀπολέσθαι, ὅταν ἐν τῇ μήτρῃ στρέφηται. φύεται γὰρ πάντα, ἄνω τὴν κεφαλὴν ἔχοντα. τίκτεται δὲ πολλὰ, ἐπὶ κεφαλήν. καὶ ἀσφαλέστερον ἀπαλλάσσει τῶν ἐπὶ πόδας τικτομένων. τὰ γὰρ συγκαμπτόμενα τοῦ σώματος ἐπὶ κεφαλὴν οὔπω κωλύει ὄντος τοῦ παιδίου. ἀλλὰ μᾶλλον ὅταν ἐπὶ πόδας ὁρμήσῃ, τὰ ἐμφράγματα γίνονται. αἱ γὰρ στροφαὶ ἐν τῇ γαστρὶ, καὶ ἄλλος κίνδυνος. καὶ οἱ ὀμφαλοὶ πολλάκις ἤδη τῶν παιδίων ἐφάνησαν περὶ τοὺς τραχήλους. ἢν γὰρ κατὰ τὸ μόριον ὁπότερον ἂν τύχῃ ὁ ὀμφαλὸς τῇ μήτρῃ παρατεταμένος, μᾶλλον ταύτῃ τὸ παιδίον τῆς κεφαλῆς τὴν περίστασιν ἂν τοῦ ὀμφαλοῦ στρεφόμενον, ποιήσηται ἢ περὶ τὸν αὐχένα. ἢν δὲ κατὰ τὸν ὦμον τὴν περιβολὴν τοῦ ὀμφαλοῦ ἀντιτείνειν. τούτου δὲ γινομένου καὶ τὴν μητέρα ἀνάγκη πονῆσαι μᾶλλον, καὶ τὸ παιδίον ἢ ἀπολέσθαι, ἢ χαλεπώτερον ἐξελθεῖν. ὥστε ἤδη καὶ πολλὰ ἔνδον τὴν ἀρχὴν τῆς νόσου τῶν παιδίων ἦλθεν ἔχοντα. ἐξῆς τὰ μὲν, ἀπώλετο. τὰ δὲ νοσήσαντα, περιεγένετο. ὅκοσα δ' ἂν εὐπορήσῃ, καὶ ἀσφαλέως, καὶ ἐς τοὐμφανὲς ἐξίῃ ἀνεθέντα ἐξαίφνης ἐκ τῆς ἀνάγκης τῆς ἐν τῇ γαστρὶ, παχύτερα καὶ μέζω παραυτίκα ἢ κατὰ λόγον ἐγένετο. οὐκ αὐξήματος, ἀλλ' οἰδήματος γινομένου, ἐξ ὧν δὴ πολλὰ ἀπώλετο. ἢν γὰρ μὴ συνίζῃ τὸ οἴδημα θᾶσσον ἢ τριταῖον ἢ ὀλίγῳ πολυχρονιώτερον νοῦσοι γίνονται ἀπ' αὐτέου. ὥς τε τροφαὶ καὶ ἀναπνοαὶ σφαλεραὶ μεταλλασσόμεναι. ἤν τι γὰρ νοσηρὸν ἐπάγηται, κατὰ τὸ στόμα, καὶ κατὰ τὰς ῥῖνας ἐπάγεται. καὶ ἀντὶ τῶν τοσαῦτα εἶναι τὰ ἐσιόντα ὅσα ἐξαρκέει καὶ μὴ περιγίνεσθαι πολλῷ πλείω εἰσέρχεται. ὥς τε ἀναγκάζεσθαι ὑπὸ τοῦ πλήθεος τῶν ἐσιόντων καὶ ἀπὸ τῆς διαθέσιος ἧς διάκειται τὸ σῶμα τοῦ παιδίου, ἤδη τὰ μὲν, κατὰ τὸ στόμα τε καὶ τὰς ῥῖνας πάλιν ἐξιέναι. τὰ δὲ κατὰ τὸ ἔντερον καὶ τὴν κύστιν κάτω περαιοῦσθαι, πρόσθεν οὐδενὸς τουτέων οὕτως γινομένου. καὶ ἀντὶ πνευμάτων τε καὶ χυμῶν, οὕτω συγγενέων οἷς ἀνάγκη ἐν τῇσι μήτρῃσι γίνεσθαι συνήθειάν τε ἔχοντα καὶ εὐμένειαν πᾶσι ξένοις, χρῆται ὠμοτέροισι καὶ ξηροτέροισι, καὶ ἧσσον ἐξηνθρωπισμένοισιν, ἐξ ὧν ἀνάγκη πόνους γίνεσθαι πολλούς. πολλοῖς δὲ καὶ θανάτους. ἐπεὶ καὶ τοῖς ἀνδράσι πολλάκις αἱ μεταλλαγαὶ τῶν χωρίων τε καὶ τῶν διαιτημάτων, τὰς νόσους ποιέουσιν. ὁ δ' αὐτὸς λόγος ἐστὶ, καὶ περὶ τῶν ἐσθημάτων. ἀντὶ γὰρ τοῦ σαρκὶ καὶ χυμοῖς ἠμφιέσθαι, χλιαροῖς τε καὶ ὑγροῖς καὶ συγγενέσι, τοιαῦτα ἀμφιέννυνται τὰ παιδία οἷά περ οἱ ἄνδρες. ὁ δὲ ὀμφαλὸς δι' οὗ αἱ ἔσοδοί εἰσι τοῖσι παιδίοισι μοῦνον τοῦ σώματος τῇ μήτρῃ προσέχεται. διὰ τουτέων καὶ κοινωνεῖ τῶν ἐσιόντων, τὰ δ' ἄλλα ξυμμύει. καὶ οὐκ ἀνεστομωμένα ἐστὶ πρόσθεν ἢ ἐν ἐξόδῳ ἢ τὸ παιδίον ἐκ τῆς γαστρός. ὁκόταν δὲ ἐν ἐξόδῳ ἢ, τὰ μὲν ἄλλα, ἀναστομοῦται. ὁ δὲ ὀμφαλὸς, λεπτύνεταί τε καὶ ξυμμύει, καὶ ἀποξηραίνεται. ὥσπερ δὲ τοῖς ἐκ τῆς γῆς φυομένοις οἱ καρποὶ ἀδρυνόμενοι ἀποκρίνονται καὶ ἀποπίπτουσι κατὰ τὴν διάφυσιν, οὕτω καὶ τοῖσι παιδίοισιν ἀδρυνομένοις τε καὶ τελείοις γινομένοις, ὁ μὲν ὀμφαλὸς ξυνέμυσε, τὰ δὲ ἄλλα ἀνεστομώθη. ὥστε εἰσδέχεσθαί τε τὰ ἐσιόντα, καὶ ἐξόδους ἔχειν κατὰ φύσιν, ἧσιν ἀνάγκη τοὺς ζῶντας χρέεσθαι. ἥκιστα γὰρ χωρίζεται ῥέποντα, κατὰ τὰς συλλοχείας. κρατιστεύει δὲ τὰ τῷ ἡλίῳ ξυντροφώτατα. οἱ δὲ δεκάμηνοι τῶν τόκων καὶ ἑνδεκάμηνοι, ἐκ τῶν ἑπτὰ τεσσαρακοντάδων τὸν αὐτὸν τρόπον γίνονται. καὶ ἐκ τοῦ ἡμίσεος τοῦ ἐνιαυτοῦ οἱ ἑπτάμηνοι. τὰς γὰρ πλείστας τῶν γυναικῶν, ἀναγκαῖόν ἐστιν ἐν γαστρὶ λαμβάνειν, μετὰ τὰ καταμήνια, ἢν ᾖ. ἡ λύσις τοίνυν δεῖ τῇ γυναικὶ χρόνον διδόναι τοῦ μηνὸς ἐν ᾧ αὕτη ἡ κάθαρσις ἔσται. καὶ ὁ χρόνος οὗτος ἧσιν ἐλάχιστος γίνεται, τρεῖς ἡμέραι. ταῖς δὲ πλείσταις καὶ πολὺ πλείονες. ἔστι δὲ καὶ ἄλλα πολλὰ κωλύματα καὶ τοῖς ἀνδράσιν ἐξ ὧν βραδύνεται ἡ σύλληψις. χρὴ δὲ ἐν τοῖς μάλιστα καὶ τόδε λογίζεσθαι. ὅτι ἡ νουμηνίη, ἡμέρη μία ἐοῦσα, ἐφύταται τριηκο-

στημόριον

στημόριον ἐστὶ τοῦ μηνός. αἱ δὲ δύο ἡμέραι, σχεδὸν πεντεκαιδεκατημόριον τοῦ μηνός. αἱ δὲ τρεῖς ἡμέραι, δεκατημόριον τοῦ μηνὸς, καὶ τἄλλα κατὰ λόγον τουτέων. καὶ οὐχ ὅτι τε ἐν τοῖς ἐλάσσοσί τε μορίοις μᾶλλον γίνεσθαι, οὔτε τὴν λύσιν τῶν καταμηνίων, οὔτε τὴν σύλληψιν τῶν ἐμβρύων. ἐκ τούτων οὖν ἁπάντων, ἀναγκαῖόν ἐστι τὰς πλείστας τῶν γυναικῶν, περὶ διχομηνίην ἐν γαστρὶ λαβούσας, καὶ προσωτέρω. ὥστε πολλάκις δοκέειν ἐπιλαμβάνειν τοῦ ἑνδεκάτου μηνὸς, τὰς ὀγδοήκοντα καὶ διακοσίας. τοῦτο γάρ ἐστιν, ἑπτὰ τεσσαρακοντάδες. ὅτι γὰρ ἢν ἔξω τῆς διχομηνίης ξυλλαμβάνει ἡ γυνὴ, τὸ τοπᾶν ἀναγκαῖόν ἐστι τοῦ ἑνδεκάτου μηνὸς ἐπιλαμβάνειν, ἵνα περ ἐς τελευταίην περίοδον καταστῇ.

ἹΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡῚ ἘΠΙΚΥΗΣΙΟΣ.

Κόταν ἐπικυΐσκηται γυνὴ, ἢν μὲν ἐν τῷ μέσῳ τῆς μήτρης τὸ πρῶτον ἔχῃ παιδίον, καὶ τὸ ἐπικύημα προσπίπτει ἀπὸ τοῦ ἀρχαίου ἐξωθεύμενον. ἢν δὲ ἐν τῷ κέρατι τῷ ἑτέρῳ τὸ
ο ἐπικύημα ἔχῃ, ἐπιτίκτει ὕστερον οὐ γόνιμον. ἐπὴν χαλάσῃ ἡ μήτρη καὶ ὑγρανθῇ, τοῦ γονίμου ἀπολυθείσης. ἢν δὲ μὴ αὐτίκα ἀποχωρέῃ τὸ ἀποκύημα ὀδύνας τε παρέχει, καὶ ῥεῦμα δυσῶδες, καὶ πυρετόν. καὶ οἰδέει τὸ πρόσωπον. καὶ τὰς κνήμας. καὶ τοὺς πόδας. καὶ ἢν διάληται, ἀσιτέει ἕως ἂν ἐκπέσῃ. ἐπικυΐσκονται δὲ τῶν γυναικῶν, ὧν ἂν ὁ στόμαχος μετὰ τὸ πρῶτον κύημα ξυμμεμύκῃ, κάρτα ἐπιφαινομένων τῶν σημείων. συμμεμύκει δὲ τὰ δὲ ἐπικυήματα τὰ ἐπιτικτόμενα ὕστερον, ἢν μήπω διάκρισιν ἔχῃ, ἀλλὰ σὰρξ ᾖ, οἰδέει μὲν οὔ, ἀλλὰ κατασήπεται μέχρι ἂν ἐξέλθῃ τῆς μήτρης. ἢν τινι ἂν ἐκδύῃ τὸ χορίον τοῦ παιδίου ἐν τῇσι μήτρῃσι, πρὶν ἔξω ἄρχεσθαι χωρέειν τὸ παιδίον, δυστοκέει μᾶλλον καὶ ἐπικινδύνως, ἢν μὴ ἡ κεφαλὴ ἡγῆται. ἢν τινι δὲ ἢν ἔξω σὺν τῷ χορίῳ τὸ παιδίον καὶ προσχωρήσαν πρὸς τὸν στόμαχον ἐκδύῃ τοῦ χορίου ῥαγέντος, εὐτοκέει μᾶλλον. καὶ τὸ
* μὲν παιδίον θύρηφι χωρέει. τὸ δὲ χορίον ἴσχεται, καὶ ἀνασπᾷ ἑωυτὸ, καὶ μένει αὐτοῦ. ὁκόταν γόνιμον γένηται τὸ παιδίον, τουτέου ἡ σὰρξ, ὑπερέχει τῶν ὀνύχων. οἱ δὲ ὄνυχες ἐλλείπουσι τῶν χειρῶν καὶ τῶν ποδῶν. ὁκόταν γονίμου γινομένου τοῦ παιδίου χεὶρ ὑπερέχῃ, πρῶτον ἀνωθέειν ὀπίσω, μέχρις ἂν ἀπωσῇς. καὶ ἢν ἀμφότεραι, ἀμφοτέρας ἀνῶσαι. καὶ ἢν τὸ σκέλος ὑπερέχῃ. ἀνωθέειν καὶ τοῦτο. ὁκόταν δὲ ἀμφότερα τὰ σκέλεα προφανέντα, μένῃ καὶ μηδ' ἑτέρωσε προχωρέῃ, πτάρματι δέον χρῆσθαι, ἀπότου ὑγροτάτη ἔσται ἡ ὑστέρη. ὀδμὴν δὲ ἐχέτω τὸ πτάρμα. καὶ ὁκόταν ἡ μὲν κεφαλὴ προφανῇ, τὸ δ' ἄλλο σῶμα ἐνῇ, καὶ ὧδε πταρμῷ. καὶ ὁκόταν τὸ μὲν ἐν τῇσι μήτρῃσι τοῦ σώματος. τὸ δὲ ἐν τοῖσιν αἰδοίοισι. τὸ δὲ ἔξω τῶν αἰδοίων οἰδέει, καὶ μένει καὶ οὕτως πταρμῷ. καὶ ἢν μὲν ἀπὸ τῆς πταρμήσιος ἀποχωρήσῃ. εἰ δὲ μὴ, περιαλείψας τὸ στόμα τῆς μήτρης ἐλατηρίῳ παχεῖ, διεὶς ὕδατι, ὅκως ὠδῖνα ἐμποιήσῃ. καὶ ἀπὸ τῶν ποτῶν καὶ ἐδεστῶν, ὠδῖνα ἐμποιέειν. καὶ τὰ αἰδοῖα αὐτὰ, ἀλείφειν κηρωτῇ. ἢν σοι δοκέῃ ξηρότερα εἶναι τοῦ καιροῦ. ὁκόταν παιδίου τῆς κεφαλῆς προφανείσης ἐκ τοῦ στομάχου μηκέτι ἐθέλῃ τὸ ἄλλο σῶμα προχωρέειν, τὸ δὲ παιδίον τεθνήκῃ, τοὺς δακτύλους βρέξας ὕδατι μεταξὺ τοῦ στομάχου καὶ τῆς κεφαλῆς παραβύσας τὸν δάκτυλον ἐν κύκλῳ περιάγειν. εἶθ' ὑποβάλλων τὸν δάκτυλον ὑπὸ τὸ γένειον, διαβύσας ἐς τὸ στόμα ἔξω ἕλκειν. ὁκόταν δὲ τὸ μὲν ἄλλο σῶμα θύρηφι ᾖ τῶν αἰδοίων, ἡ δὲ κεφαλὴ εἴσω ἐπὶ πόδας φερομένου τοῦ ἐμβρύου, ἐπὴν περιάγῃς τὸν δάκτυλον ἐν κύκλῳ ἀμφοτέρας τὰς χεῖρας παρεὶς μεταξὺ τοῦ στομάχου καὶ τῆς κεφαλῆς, βρέξας ὕδατι ἐξελκύσαι. ἢν δὲ τοῦ στομάχου ἔξω ᾖ, τῶν δὲ αἰδοίων εἴσω, παρεὶς τὰς χεῖρας περιλαβὼν τὴν κεφαλὴν ἐξέλκειν. Ἢν δὲ τὸ ἔμβρυον ἔνδον μένῃ τετελευτηκὸς, καὶ μὴ δύνηται μήτε αὐτόματον, μήτε διὰ φαρμάκων ἐκπεσεῖν κατὰ φύσιν, χρίσας τὴν χεῖρα κηρωτῇ, ἥτις ὀλισθητικὴ μάλιστα, ἔπειτα ἐνείρξας ἐς τὴν μήτρην, διελεῖν τοὺς ὤμους ἀπὸ τοῦ τραχήλου ἐπερείσαντα τῷ μεγάλῳ δακτύλῳ. ἔχειν δὲ χρὴ πρὸς τὰ τοιαῦτα, καὶ ὄνυχα ἐπὶ τῷ δακτύλῳ τῷ μεγάλῳ. καὶ διελόντα ἐξενεγκεῖν τὰς χεῖρας. ἔπειτα πάλιν ἐγείραντα τὴν κοιλίην ἀναχίσαι. καὶ ἀναχίσαντα, ἡσυχῇ ἐξελεῖν τὰ ἐντοσθίδια. ἔπειτα ἐξελόντα συντρίψαι τὰ πλευρία, ὅκως ξυμπεσὸν τὸ σωμάτιον, εὐσταλέστερον γένηται. καὶ ῥᾷον ἐξίῃ, μὴ ὀγκῶδες ἐόν. τὸ δὲ χορίον ἢν μὴ ῥηϊδίως ἐκπίπτῃ, μάλιστα μὲν ἐᾶν πρὸς τὸ ἔμβρυον προσκρεμᾶσθαι. καὶ τὴν λεχὼ προστίθεσθαι ὥσπερ ἐπὶ λασάνου. ἔστω δὲ κατεσκευασμένον ὑψηλόν τι, ἵνα τὸ ἔμβρυον ἐκκρεμάμενον, συνεπισπᾶται τῷ βάρει ἔξω. ἡσυχῇ δὲ τοῦτο ποιέειν, μὴ πρὸς βίην, ὅκως μὴ ἀποσπασθὲν παρὰ φύσιν, φλεγμονὴν ἐμποιήσῃ. ὑποκεῖσθαι οὖν δεῖ τῷ ἐμβρύῳ, ἔρια, ὡς ὀγκωδέστατα νεόξαντα, ἵνα κατὰ μικρὸν ἐνδιδοῖ. ἡ ἀσκία δύο ἐζευγμένα ὕδατος μεστά. ἐπάνω δὲ τῶν ἀσκίων ἔρια. ἐπάνω δὲ τούτων, τὸ ἔμβρυον. ἔπειτα τρυπῆσαι ἑκάτερον τῶν ἀσκίων γραφίῳ, ὅκως ῥυῇ κατὰ μικρὸν τὸ ὕδωρ. ἐκρέοντος δὲ τοῦ ὕδατος, ἐνδιδόασιν οἱ ἀσκοί. ἐνδιδόντων δὲ, ἐπισπᾶται τὸ ἔμβρυον, τὸν ὀμφαλόν. ὁ δ' ὀμφαλὸς, ἐφέλκει τὸ χορίον. ἢν δὲ μὴ δύνηται καθῆσθαι ἐπὶ τοῦ λασάνου, ἐπ' ἀνακλιτοῦ δίφρου τετρυπημένου καθήσθω. ἢν δὲ ἀσθενέῃ τὸ σύνολον καθῆσθαι, τὴν κλίνην ὡς ὀρθοτάτην ἀπὸ τῶν πρὸς τῆς κεφαλῆς μερῶν ἄραντες, ἵνα κάτω ῥέπῃ, ὡς μάλιστα ξυνεπισπᾶται τὸ κάτω βάρος. ὑπὸ δὲ τὰς μασχάλας δῆσαι τὴν λεχὼ ἔξωθεν τῶν ἱματίων πρὸς τῇ κλίνῃ τῇ ταινίῃ, ἢ ἱμάντι πλατεῖ, καὶ μαλθακῷ. ὅκως μὴ ὀρθῆς ἐούσης τῆς κλίνης, κάτω τὸ σῶμα φέρηται. τὸν αὐτὸν δὲ τρόπον κἢν ἀποῤῥα-

γῇ ὁ ὀμφαλὸς, καὶ ἢν ἀποτάμῃ τις πρὸ τοῦ καιροῦ, βαρέα σύμμιξα ἐκκρεμανῶνται, τὴν ἐξαγωγὴν τοῦ χορίου ποιέεσθαι. βελτίστη γὰρ αὕτη θεραπείη τῶν τοιῶνδε γίνεται, καὶ ἥκιστα βλάπτει.

Ἢν δέ τινι ἐναποθάνῃ τὸ παιδίον ἐν τῇ μήτρῃ καὶ μὴ ἐξέλθῃ, ὑγρῆς ἐούσης τῆς μήτρης καὶ μὴ ἐχούσης ἔτι τὸ ὑγρὸν, ἀλλὰ ξηρανθῇ ἡ μήτρη, πρῶτον μὲν οἰδίσκεται αὐτό. ἔπειτα, τήκεται καὶ σήπεται τὰς σάρκας. καὶ ῥέει θύρηφι. ὕστατα δὲ τὰ ὀστέα χωρέει. καὶ ῥόος ἐνίοτε λαμβάνει, ἢν μὴ πρότερον ἀποθάνῃ. ὁκόταν τὸ παιδίον ἐντεθνήκῃ, καὶ τοῖς ἄλλοις ἐντεκμαίρεσθαι σημείοις, καὶ κελεύειν. τότε μὲν, ἐπὶ δεξιὰ κεῖσθαι. τότε δὲ, ἐπ᾽ ἀριστερὰ μεταβάλλειν. μεταπίπτει γὰρ ἐν τῇ μήτρῃ τὸ παιδίον, ὁποτέρωθι ἂν καὶ ἡ γυνὴ, ὥσπερ λίθος ἢ ἄλλό τι, ἢν τεθνήκῃ. καὶ τὸ ἦτρον ψυχρὸν ἔχει. ἢν δὲ ζώῃ, τό, τε ἦτρον θερμὸν ἔχει. καὶ ἡ μὲν γαστὴρ, ὅλη μεταπίπτει, τεταμένη μετὰ τοῦ ἄλλου σώματος. ἐν αὐτῇ δὲ, οὐδὲν μεταπίπτει χωρὶς τοῦ ἄλλου σώματος.

Ἤν τινι ἂν ὠδινούσῃ πρὸ τοῦ παιδίου ῥόος πολλὸς αἱματώδης γένηται ἀνώδυνος, κίνδυνος τὸ παιδίον τεθνηκὸς ἀπολυθῆναι, καὶ οὐ βιώσιμον γενέσθαι.

Κυουσέων τῶν γυναικῶν, ὁ στόμαχος τῶν πλείστων ἐγγὺς τυγχάνει ἐὼν, πρὸ τοῦ τόκου.

Κυέουσα ἡ γυνὴ, ἢν μὴ λαγνεύηται, ῥήϊτερον ἀπολυθήσεται τοῦ τόκου.

Ἡ τὰ δίδυμα κύουσα, οὐ τίκτει τῇ αὐτῇ ὥσπερ συνέλαβεν. ἔχει δὲ ἐν χορίῳ τὰ παιδία ἀμφότερα.

Γυναικὶ δυστοκεούσῃ, ἢν τὸ παιδίον ἐν τῇσι γονῇσιν ἔχηται καὶ μὴ εὐπόρως ἐξέλθῃ, ἀλλὰ σὺν πόνῳ, καὶ μηχανῇσιν ἐξίῃ, ταῦτα τὰ παιδία ἀρτίζωα. τουτέων οὐ χρὴ τὸν ὀμφαλὸν ἀποτάμνειν πρὶν ἂν οὐρήσῃ, ἢ πάρδῃ, ἢ φωνήσῃ, ἀλλὰ ἐᾶν. προσχωρῆσαι δὲ τὴν γυναῖκα ὡς ἐπὶ πάντα τοῦ παιδίου. καὶ ἢν διψῇ, πινέτω μελίκρητον. καὶ ἢν ὁ ὀμφαλὸς ἐμφυσῆται ὥσπερ στόμαχος καὶ κινηθήσηται, ἢ πάρδηται τὸ παιδίον, ἢ φωνὴν ῥήξῃ, καὶ τότε ἀποτάμνειν ἀναπνεύσαντος τοῦ παιδίου. ἢν δὲ μὴ φυσῆται ὁ ὀμφαλὸς, μηδὲ κινῆται, χρόνου ἐγγινομένου, βιώσεται.

Κυέουσαν γυναῖκα ἢν μὴ ἄλλως γινώσκῃς, ἀλλ᾽ οἱ ὀφθαλμοὶ εἱλκυσμένοι καὶ κοιλότεροι γίνονται. καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν, οὐκ ἔχει τὴν φύσιν τῆς λευκότητος, ἀλλὰ πελιδνότερα.

Ἤν τις ἐπίτοκος ἐοῦσα, κοίλη δὲ τοὺς ὀφθαλμοὺς, καὶ ὑποιδέῃ τὸ πρόσωπον, καὶ ὅλη αὐτὴ καὶ οἱ πόδες οἰδέουσιν, ὥσπερ ὑπὸ φλέγματος λευκοῦ ἐχομένη φαίνεται. καὶ τὰ ὦτα λευκά. καὶ τὴν ῥῖνα ἄκρην λευκήν. καὶ τὰ χείλεα πελιδνὰ αὐτέη, τεθνηκότα φορέει ἃ τίκτει. ἢ ζῶντα, πονηρὰ καὶ οὐ βιώσιμα. καὶ ἄναιμα ὡς νοσηλεύοντα. ἢ προτέτοκεν οὐ γόνιμα. ταύτῃσι τὸ αἷμα ὀξυδερκώθη. δεῖ οὖν τῇ τοιαύτῃ μετὰ τὸν τόκον, τὰ εὐώδεα προστιθέναι. καὶ ἐσθίειν καὶ πίνειν εὐώδεα. καὶ πρῶτον τοῦ προσώπου ἡ ῥὶς, εὔσημος γίνεται ἄκρη καὶ χρῶμα λαμβάνει.

Ἤν τισι κυϊσκούσῃσι γῆς ἐπιθυμῆται ἐσθίεσθαι, ἢ ἄνθρακας, καὶ ἐσθίονται, ἐπὶ τῆς κεφαλῆς τοῦ παιδίου φαίνεται, ὁκόταν τεχθῇ, σημεῖον ἀπὸ τῶν τοιούτων.

Γυναικὶ χρὴ εἰδέναι τὸν μαζὸν ὁκότερός ἐστιν αὐτῇ μέζων, κεῖθι γὰρ τὸ ἔμβρυον. ὁμοίως δὲ καὶ τὸν ὀφθαλμὸν. ἔσται γὰρ μέζων καὶ λαμπρότερος τὸ πᾶν εἴσω τοῦ βλεφάρου ὁκότερος ὁ μαζὸς μέζων.

Ἤν τινι καὶ ἀπὸ προσθέτων μὴ λίην ἰσχυρῶν ὀδύναι ἐς τὰ ἄρθρα ἀφικνέωνται. καὶ βρυγμὸς ἔχῃ. καὶ σκορδινᾶται. καὶ χασμᾶται, ἐλπὶς ταύτην κυῆσαι μᾶλλον, ἢ εἴ τις ἂν τουτέων μηδὲν πάσχῃ.

Γυνὴ ἥτις παχεῖα παρὰ φύσιν ἐγένετο, καὶ πιειρὰ, καὶ φλέγματος ἐπλήσθη, οὐ κυΐσκεται τούτῳ τῷ χρόνῳ. ἥτις δὲ φύσει τοιαύτη ἐστὶ, κυΐσκεται τουτέων εἵνεκεν, ἢν μή τι ἄλλο κωλύῃ αὐτήν.

Τῶν γυναικῶν τῇσι πλείστῃσιν ὅταν τὰ ἐπιμήνια μέλλῃ φαίνεσθαι, ὁ στόμαχος αὐτὸς ἑωυτὸν ἀνέσπακε μᾶλλον ἢ ἄλλοτε.

Γυνὴ ἥτις ἀκμάζουσα ἐοῦσα πέπαυται κυϊσκομένη, φλεβοτομείσθω δὶς τοῦ ἐνιαυτοῦ ἀπὸ τῶν χειρῶν καὶ τῶν σκελέων.

Ἤν τινι ὀδύναι ἐν τῷ ἰσχίῳ, ἢ ἐν τῇ κεφαλῇ, ἢ ἐν χερσὶν, ἢ ἄλλοθί που τοῦ σώματος, ὅταν ἡ κύη ἐκλείπουσιν. ὁκόταν δ᾽ ἀπολυθῇ ἀπὸ τῶν μητρέων ἔνεισι, ξυμφορέει τὰ εὐώδεα καὶ πίνειν καὶ προστίθεσθαι πρὸς τὸ στόμα τῶν μητρέων.

Ὅταν τινὰ ἰήσῃς γυναῖκα κυήσιος εἵνεκεν, ὁκόταν δοκέῃ κεκαθάρθαι, καὶ τὸ στόμα καλῶς ἔχῃ τῶν μητρέων, λουσάσθω. καὶ σμηξάσθω τὴν κεφαλὴν. μὴ ἀλειψάσθω δὲ μηδενί. ἔπειτα ὀθόνιον ἄνοδμον περιδεῖσα περὶ αὐτὰς τὰς τρίχας πεπλυμένον κεκρυφάλῳ πεπλυμένῳ, ἢ μηδενὸς ὄζοντι, καταδησάσθω, τὸ ὀθόνιον ἐπιθεῖσα πρῶτον. ἔπειτα ἀναπαυέσθω προσθεμένη χαλβάνην πρὸς τὸν στόμαχον. ἐψήσασα καὶ μαλθάξασα ἐς πῦρ, καὶ μὴ ἐς τὸν ἥλιον. ἔπειτα πρωῒ ἀπολυσαμένη τὸν κεκρύφαλον μετὰ τοῦ ὀθονίου, ὀσφραίνεσθαι παρεχέτω τινὶ τὴν αὐτῆς κορυφὴν, καὶ ἢν μὲν ὄζῃ, καλῶς ἔχει τῆς καθάρσιος. ἢν δὲ μὴ, κακῶς. ἄσιτος δὲ ταῦτα ποιείτω. καὶ ἢν μὴ τέκουσα ᾖ, οὐδέποτε ὀζέσει, οὔτε καθαιρομένη, οὔτ᾽ ἄλλως. οὐδ᾽ ἢν κυεούσῃ προσθῇ, οὐδ᾽ οὕτως καλῶς ὀζέσει. ἥτις δὲ κυΐσκεται θαμέως καὶ ἀκμάζουσά ἐστι καὶ ὑγιαίνει, ἢν μὴ προσθῇς μηδὲ καθήρας, ὀζέσει αὐτῆς ἡ κορυφὴ, ἄλλο δὲ οὐδέν. ὅταν δὲ δοκέῃ καλῶς ἔχειν πάντα, καὶ δέῃ παρὰ τὸν ἄνδρα ἐλθεῖν, ἡ μὲν γυνὴ, ἄσιτος ἔστω. ὁ δὲ ἀνὴρ, ἀθώρηκτος, ψυχρῷ λελουμένος, καὶ σιτηθεὶς τὰ ξύμφορα. καὶ ἢν γνῷ ξυλλαβοῦσα τὴν γονὴν, μὴ ἔλθῃ τοῦ χρόνου πρὸς τὸν ἄνδρα, ἀλλ᾽ ἡσυχαζέτω. γνώσεται δὲ, ἢν μὲν ὁ ἀνὴρ φῇ ἀφεῖναι, ἡ δὲ γυνὴ ἀγνοῇ ὑπὸ ξηρότητος. ἢν δὲ ἀποδιδοῖ πάλιν ἡ μήτρη τὴν γονὴν ἐς τὰ αἰδοῖα, καὶ γίνηται ὑγρὴ, πάλιν ξυμμιγέσθω, μέχρις ἂν συλλάβῃ.

Γυνὴ ἥτις κυΐσκεται μὲν, διαφθείρει δὲ δίμηνα τὰ παιδία, ἀκριβῶς ἐς τὸν αὐτὸν χρόνον. καὶ μήτε πρότερον, μήθ᾽ ὕστερον καὶ τοῦτο πάθῃ δὶς ἢ τρίς. ἀλλὰ καὶ ἢν τρίμηνα ἢ τετράμηνα, ἤν τε πλέονα χρόνον γεγονότα, διαφθείρῃ, κατὰ τὸν αὐτὸν τοῦτον τρόπον, ταύτῃσιν αἱ μῆτραι οὐκέτι διδόασιν ἐπὶ τὸ μέζον τοῦ παιδίου αὐξανομένου, καὶ ὑπερβάλλοντος τοῦ ἐκ τοῦ διμήνου, ἢ τριμήνου, ἢ ὁπηλίκου. ἢν ποτε ἂν ἄλλο τε μὲν αὐξάνηται. αἱ δὲ μῆτραι οὐκέτι εἰ-

σὶν ἱκαναὶ, ἀλλὰ κατὰ τοῦτο διαφθείρεται ἐς τὸν αὐτὸν χρόνον. ταύτῃ χρὴ σικυῆσαι ποιῆσαι ἐς τὴν μήτρην. δεῖ οὖν ἀποποιῆσαι καὶ φυσῆσαι ὡς μάλιστα προσθέτοισι φαρμάκοισι. τοῖσι δὲ, τῆς σικύης τὴν ἐντεριώνην κόψαντα διασῆσαι. ἔπειτα ἐν μέλιτι ἑφθῷ μίξαι ὀλίγην, πλέονι ὄντι τῷ μέλιτι, καὶ σιλφίου ὀλίγον. τὸ δὲ μέλι καθέφθον ἔστω. τοῦτο περιπλάσαι περὶ μήλην, τὸ πάχος ποιέοντα, ὁκόσον παραδέχεται ὁ στόμαχος. προστιθέναι δὲ καὶ πρὸς τὸ στόμα τῆς μήτρης καὶ ὦσαι ὅκως ἂν περήσῃ ἐς τὸ εἴσω τῆς μήτρης. ὅταν δὲ ἀποτακῇ τὸ φάρμακον, ἐξελεῖν τὴν μήλην. καὶ τὸ ἐλατήριον ὧδε ποιέων προστιθέναι, καὶ τῆς κολοκυνθίδος τῆς ἀγρίης ὡσαύτως. καὶ ἐσθιέτω τοῦτον τὸν χρόνον, σκόροδα ὡς πλεῖστα. καὶ καυλὸν σιλφίου. καὶ ὅ τι φῦσαν ἐμποιέει ἐν τῇ κοιλίῃ. προστιθέσθω δὲ τὸ πρόσθετον, διὰ τρίτης ἡμέρης, ἕως ἂν δοκέῃ καλῶς ἔχειν, καὶ πλῆθος ὁκόσον προσίηται. τὰς δὲ μεταξὺ μαλθακτηρίοισι χρῆσθαι. ἐπειδὰν δὲ καταστῇ τοῖσι μαλθακτηρίοισι τὸ στόμα τῶν μητρέων μετὰ τὸ ἐπιφανῆναι ἐπιμηνάσαν. ὁκόταν δὲ ξηρὴν μίγνυσθαι.

Ἤν τινι αἱ ἡ μήτρη ἔμπυος γένηται, ἢ μετὰ τόκον ἢ ἐκ διαφθορῆς, ἢ ἄλλως πως, καὶ μὴ ἐντυγχάνει ἑτέρως, καὶ χιτῶνι τὸ πῦον ὥσπερ ἐπὶ φύματος ᾖ, ξυμφορέει ταύτην μήλῃ ὑπαλιπτείσῃ καθιέναι ἐς τὸ στόμα τῆς μήτρης. ἧσσον γὰρ δοκέει καύσιος, εἰ χωρήσειε πρὸς τὴν μήλην. ἔπειτα καὶ κάμπας τὰς ἀπὸ τῆς τιθυμαλλίδος ξυλλέξας, ὥσπερ δὲ κέντρα ἔχουσιν, αὐτὰς ἀποτάμνειν ἡσυχῇ ὅκως ἂν ἡ φορβὴ μὴ ἐκρυῇ. ἔπειτα ξηραίνειν αὐτὰς ἐν ἡλίῳ καὶ τρίβειν. καὶ τοὺς σκώληκας δὲ τοὺς κοπρίους ὡσαύτως ξηραίνειν ἐν τῷ ἡλίῳ, ἔπειτα τρίβειν. καὶ τῆς μὲν κάμπης, δύο ὀβολοὺς σταθμῷ αἰγιναίους. τῶν δὲ σκωλήκων διπλάσιον. καὶ ἀννήσου ὀλίγον παραμίξαι. ἢ τῶν τοιουτοτρόπων τινός. καυσώδης γὰρ γίνεται. ταῦτα δὲ τρίψας λεῖα. διεὶς οἴνῳ λευκῷ εὐώδει. καὶ ἐπὴν πίῃ, βάρος ἐπιγίνεται. καὶ νάρκη ἐμπίπτει ἐν τῇ γαστρί. ἢν οὖν ἐπιγένηται, μελίκρητον ἐπιπινέτω ὀλίγον.

Κυήσιος δὲ καὶ παιδοποιίης ἥτις δέεται, καὶ ἄτεκνος ἐοῦσα. καὶ ἤδη κυήσασα, ἐοῦσα δὲ τέκνουσα, ἢ ὅταν ὁ στόμαχος ξηρὸς ἢ ἀκρόπαθος, ἢ ξυμμεμύκῃ, καὶ μὴ ὀρθῶς ᾖ, ἀλλὰ πρὸς τὸ ἰσχίον ἀπεστραμμένος τὸ ἕτερον, ἢ ἐς τὸν ἀρχὸν κεκρύφῃ, ἢ ἀνεσπάκῃ ἑωυτὸν, ἢ τὸ χεῖλος ἐπιβάλλει τοῦ στομάχου. ἐκεῖθεν οὖν ἐπ᾽ ἑωυτὸν, ἢ τραχὺς καὶ πεπωρωμένος ᾖ. σκληρὸς δὲ γίνεται καὶ ἀπὸ συμμύσιος καὶ ἀπὸ πωρώσιος, ταύτῃσι τὰ ἐπιμήνια οὐ φαίνεται, ἢ ἐλάσσονα τοῦ δέοντος. καὶ διὰ πλέονος χρόνου ἐπιφαίνεται. ἔστι δὲ ἐν ᾗσι τὰ ἐπιμήνια, καὶ κατὰ ὑγείην τοῦ σώματος, καὶ τῶν μητρέων τὴν ἔξοδον εὑρίσκεται. καὶ κατά γε τὸ ξύμφυτον καὶ δίκαιον καὶ ὑπὸ θερμότητος καὶ ὑγρότητος τῶν ἐπιμηνίων, καὶ τοῦ στομάχου μὴ κάρτα βεβλαμμένου. τὴν δὲ γονὴν διὰ τοῦτο οὐ δέχεται κατὰ τὴν βλάβην ἥν τις ἢν κωλύῃ ἀπὸ τοῦ στομάχου μὴ καλῶς ἔχοντος τοῦ δέχεσθαι, ταύτην χρὴ πυριήσαντα τὸ σῶμα ὅλον, δοῦναι πιεῖν φάρμακον, καὶ κάθαρσιν ποιήσασθαι τοῦ σώματος πρῶτον, ἤν τε ἄνω καὶ κάτω δέηται, ἤν τε ἄνω μοῦνον. καὶ ἤν τε ἄνω διδοῖς τὸ φάρμακον, μὴ πυριῆν τῆς καθάρσιος. πυριήσεις δὲ, μετὰ πόσιας κάτω. ἢν δὲ μὴ δοκέῃ δεῖσθαι ἀνωτερικοῦ προπυριήσας, κάτω πίσαι. ὅταν δὲ δοκέῃ καλῶς ἔχειν καθάρσιος τὸ σῶμα, μετὰ τοῦτο πυριῆν τὰς μήτρας. ἐγκαθίζοντα αὐτὰς πυκνὰ ἂν δοκέῃ ξυμφορέειν. ἐπιβάλλειν δὲ ἐς τὸ πυρίημα, κυπαρίσσου ῥινήματα καὶ δάφνης φύλλα κόψας. καὶ λούειν πολλῷ καὶ θερμῷ. ὅταν ᾖ νεόλουτος ἢ καὶ νεοπυρίητος, ἀναμηλοῦν τὸ στόμα τῶν μητρέων, τῇ μήλῃ τῇ κασσιτερίνῃ, καὶ ἀνορθοῦν ὅπῃ ἂν δέηται. ἢ μολιβδαίνῃ ἀρξάμενος ἐκ λεπτῆς. εἶτα παχυτέρῃς εἰ παραδέχηται, ἕως ἂν δοκέῃ καλῶς ἔχειν. βάπτειν δὲ τὰς μήλας, ἐν ἑνὶ τῶν μαλθακτηρίων διειμένῳ. ὅταν δὲ δοκέῃ ξυμφορέειν ὑγρὸν ποιῆσαι. τὰς δὲ μήλας ποιέειν ὄπισθεν κοίλας. εἶτα περὶ ξύλοισι μακροτέροισιν ἁρμόσαι, καὶ οὕτως χρῆσθαι. τὸν δὲ χρόνον τοῦτον πινέτω καθεψοῦσα ἐν οἴνῳ εὐώδει λευκῷ, καὶ ὡς ἡδίστῳ γλυκεῖ, δαῦκον ὡς πωτάτην καταχίσασα λεπτά. καὶ σελίνου καρπὸν κόψας. καὶ κυμίνου αἰθιοπικοῦ καρπὸν, καὶ λιβανωτὸν ὡς κάλλιστον. τουτέου πινέτω νῆστις ὁκόσον ἂν δοκέῃ μέτριον εἶναι πλῆθος. ἡμέρας ὁκόσας ἂν δοκέῃ ἅλις ἔχειν. καὶ ἐσθιέτω σκυλάκια ἑφθὰ, καὶ πολύποδα ἐν οἴνῳ ἑφθῷ γλυκεῖ. καὶ τοῦ ζωμοῦ πινέτω. καὶ κράμβην ἑφθήν. καὶ οἶνον λευκὸν ἐπιπινέτω, καὶ μὴ διψήτω. καὶ λουέσθω θερμῷ δὶς τῆς ἡμέρης. σιτίων δὲ ἀπεχέσθω τοῦτον τὸν χρόνον. μετὰ δὲ τοῦτον. ἢν μὲν χωρέει κατὰ τὸν στόμαχον καὶ φαίνηταί τι ἔξω καθάρσιος, πίνειν τε ἔτι τοῦ πόματος ἡμέρην μίην, καὶ δύο. καὶ τῇσι μήλῃσι παύεσθαι χρεομένους. καὶ πειρᾶσθαι καθαίρειν τὰς μήτρας προσθέτοισι φαρμάκοισι. ἤν τινι δὲ τοῦ στομάχου ὀρθοῦ καὶ μεγάλου καὶ ὑγιέος ἐόντος καὶ καλῶς ἔχοντος, καὶ ἐν τῷ δέοντι κειμένου τὰ ἐπιμήνια μὴ φαίνηται πάμπαν ἢ ἐλάσσονα, καὶ διὰ πλείονος χρόνου. καὶ μὴ ὑγιεινὰ τὴν νοῦσον ἀνευρεῖν, ἤν τινα ἔχουσιν αἱ μῆτραι. ἤν τε καὶ τὸ σῶμα ξυμβάλληταί τι ἐξευρεῖν τὸ αἴτιον, ἀφ᾽ οὗ περ οὐ κυΐσκεται. καὶ ταῦτα οὕτως ἔχῃ, τὴν ἴησιν ποιέεσθαι προσφέρων ἢν δέηται θεραπείην, ἀρχόμενος ἐξ ἰσχυρῶν, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι. τελευτᾶν δὲ ἐς μαλθακώτερα ἕως ἂν δοκέῃ καλῶς ἔχειν καθάρσιος ἡ μήτρη, καὶ ὁ στόμαχος καθεστηκέναι ὀρθῶς ἔχων, καὶ ἐν τῷ ἐξαρκέοντι κείμενος. ἢν δὲ ἀπὸ τῶν ποτῶν καὶ τῶν φαρμάκων μὴ προσχωρήσῃ, μὴ ᾖ πινούσης χρόνον τὸ μέτριον, τότε δὲ οὐ παύεσθαι τοῦ πόματος. ὅταν δὲ καλῶς ἔχῃ τῶν ἀπὸ τῶν μηλέων ἔργων μαλθάξαι τὸ στόμα τοῦ στομάχου. καὶ ποιῆσαι ὅκως ἀναχάνηται ἐς ὁδὸν τῷ προσθέτῳ. ἀπό τε θυμιητῶν καὶ φαρμάκων καὶ μαλθακτηρίων. ὅταν δὲ δοκέῃ καλῶς ἔχειν μαλθάξιος καὶ θυμιήσιος προστιθεὶς φάρμακον, κάθαρσιν ποιέε-

σθαι τῆς μήτρης ὡς ἀνωδυνότατα ἔχειν. αὐξόμενος δὲ καὶ μᾶλλον ἐπὶ τὸ χυρότερα. τελευτῶν δὲ αὖθις, εἰς μᾶλλον καὶ αὐτώδεα. τὸν χρόνον φερομένων τὰ τοιαῦτα, ἕλκει ἡ σῶμα τοῦ καὶ δύνεται. ἔπειτα τὸν τε σῶμα τοῦ καθιστὰν, ἐς ὀρθὸν καὶ ὑγιὲς. καὶ καλῶς ἔχοντα πρὸς πάντα δέξιν τῆς γενῆς. καὶ πάντα μήτρην ἐμβρύῳ ποιεῖν, καὶ φύσιν ἐμποιεῖν. Ἢν γάρ τινα δοκέῃ ὑπὸ πμελῆς τὰς μήτρας βεβλαφθαι ἐς πάντα κίνησιν, λεπτυῦναι ὡς μάλιστα καὶ ἰσχναίνειν πρὸς τοῦτον ἄλλοισιν. ὧδε δὲ ἑκάστην αἱρέσιν κινήσιος. ὁ δὲ ἀὴρ μὴ μεθυσκέσθω. μὴ δὲ οἶνον λευκὸν πινέτω. ἀλλ' ὅς τις ἰσχυρότατος καὶ ἀκριτοτάτος. καὶ σιτία ὡς ἰσχυρότατα. καὶ μὴ θρομολυτέτω. ἰσχυέτω δὲ καὶ ὑγιαινέτω. καὶ σιτίων ἀπεχέσθω τὴν μὴ ἐμφορήσοντων τῷ πονήματι. ὅταν βούληται αἵρειν φυτεύειν, τὴν ἐπιμηνίων ἀπολιπόντων, ἢ ἐλκελοιπότων μᾶλλον. καὶ ὠθεῖν ὡς μάλιστα, ἕως ἂν ἐκμαίνηται. ὅταν δὲ θέλῃ βούληται ἡλεύσθαι, ὅταν τελείσα ἐπιμηνία εἴη τῇ γυναικὶ καὶ ἔτι δύνηται. ἢν δὲ ὄρχιν ἢν δέξιον ἀποδήσεται, ὡς ἂν μάλιστα καὶ ἀνέχεσθαι δυνήσηται. ἐπὴν δὲ αἵρειν βούληται φυτεύειν, ἢν αἵρεσθαι ἀποδήσεται.

Στόμαχος μήτρης ἀπὸ μὲν θυμιμάτων ἐυμμεμυκώς, ἀναχάσκει. ἀφὸ δὲ τῶν μαλθακτηρίων, μαλθάσσεται. θυμιᾶν δὲ λωτοῦ φλοιὸν. σπόρμα δάφνης, καὶ φύλλα τῆς αὐτῆς χλωρὰ κεκομμένα. λιβανωτὸν. σμύρναν. αἵρτεμισίης καρπὸν. ἢ φύλλα. καὶ ἄνησον καθαρὸν. καὶ θεῖον. καὶ κυπειρίστα. σπόρμα πευκεδανοῦ ῥίζαν. μαράθης φύλλα χλωρὰ κεκομμένα. κάστορος ὄρχιν. ὀνίσας αἵρτυνος ἄνου. σκόρδα. σύραγα. ὑὸς στέαρ. καὶ ἀπεσταγμένον ἢ τὸ σῶμα. τουτέοισι θυμιᾶν. ἀναχάσκει μὲν οὖν οὕτως ἢ σχεθέτω. μαλθάσσειν δὲ αἱρὸ τουτέων τὸ σῶμα τῆς μήτρης. σανδαράχην. στέαρ αἰγὸς. ὀπὸν σικύης. ὀπὸν σιλφίου. κυκλαμίνου χυλὸν. βαλάνιον. ὀπὸν πτελαμύδος. ἡσπερίδα μῶν μου ἡσπερὸν. πάνακος ἡ καλέουσι πέτραλος. ἡσπερος ὄρχιν. λίνου ἡσπερὸν. λίπος. αἶρυ ῥίζαν. σαπώδεα ἀγρίλιον. καλαμίνθης φύλλα χλωρὰ. σρουθίου ἡσπερὸν. σκίλλης τὸ ἐκ τοῦ μέσου. φαρμάκων μαλθακτήρια. καὶ πρὸς τὸ ἰσχυρὸν ἡσθῆρσιν χρὴ ἐσθιέτω ἀνησκινῆσαι. θαλλοῦς ῥίζαν. μυελὸν βοὸς. χλοῖσι στέαρ. ῥόδινον. ταῦτα χρίσασα καὶ ἀναξέσασα προστιθέσθω ἡμβράσα τέσσαρα. καὶ πινέτω πρᾶσον χυλὸν. ἢ οἶνον γλυκὺν λευκὸν. καὶ ῥητίνην. καὶ ἔλαιον γλαυκὸν. καὶ κύμινον. λίβανον. ῥητίνην. μέλι. ἢ ὑπὸ παρῶν ἐψέτω ἡμβρα τέσσαρα. πίνουσα σελίνου ἡσπερον. καὶ λιβανωτὸν πυρίσασα πέντε. ἢ κύμινον αἰθιοπικὸν. ἢ οἶνον λευκὸν ἀκρητον γλυκὺ. καὶ λουέσθω δὶς τῆς ἡμέρης. σμύρναν. λίβανος. βοὸς χολὴ. ῥητίνη τερεβινθίνη, ἢ νέτωπον. τουτέων ἰσον ἑκάστου μέξασα, προστιθέσθω ἢ ἐψέτω ἢ ὑπὸ παρῶν. ἢ ῥάκει λεπτῷ. βάψασα δὲ ὁ ῥάκος ἢ μύρῳ λευκῷ ἀγυπτίῳ ὀδώλει, καὶ ἀποθήσεται λίνῳ λουσαμένῃ. προστιθέσθω. καὶ πάλυπον φλάσασα ἐσθιέτω. καὶ πινέτω σελίνου ἡσπερον. καὶ ἀσπαράγου. καὶ οἶνον λευκὸν γλυκὺν. ἢ ὑσσῶπον. σμύρναν. κιννάμωμον. λιβανωτὸν. κινναμώμου μόνου. νίτρου πόν. τουτέων ἑκάστου ἢ ἴσον ἐνέψω. ἢ βαλάνους ποιέουσα προστιθέσθω. κολοκύνθης ἀγρίης, κύμινον πεφρυγμένον. ἀνήθου ἡσπερον. κυπαρίσσου ῥίζαν. ταῦτα ξίφος λεῖα. μέλιτι ἐφθῷ φυρήσασα βαλάνους ποιέων ὀπίσθω προστιθέσθω. καὶ πινέτω γλυκυσίδης ῥίζαν. σελίνου ἡσπερον. σιλφίου χυλὸν σὺν οἴνῳ. ἀλλὰ ἢ βάλλιον καὶ αὖθις ἡσθαίρει προστιθέμενον. καὶ σμύρναν πρώτην. ἄνθος ὀλίγον ἐν οἴνῳ λευκῷ ὀδώλει προσίθει. φαρμάκων προσθετὰ εἰς ἢ μήτρην ἡσθῆρσι ἐπιτηδειότατα. λαβὼν ἄνθος χαλκοῦ καὶ λίτρου ῥίτον μόριον, μέλιτι ἐφθῷ φυρήσασα, βαλάνους ποιήσας, ὁκόταν αὖ ὀδκέωσι μέγιαι εἶναι μέγεθος καὶ πάχος, οὕτως προσίθει πρὸς ἢ στόμα τῆς μήτρης. ἰῶ δὲ βούλῃ ἰσχυρότερον εἶναι ἐλατήριον παρχμίξαι. καὶ ἢ ἄνθος μοῦνον. ἢ οὕτως ποιέων, ὀπίσθω προστίθεσθαι ἢ κράδης παραμεγνῦσι. Ἕτερον. φλοιὸν ζύων, καὶ ῥίβων λεῖον, ὅταν ἢ στόμα δοκέῃ ξηρότερον εἶναι τῆς μήτρης ἢ ἧμον ὡσαύτως. Ἄλλο. Τείφασ' ἐλατήριον ἢ ἄνθος χαλκοῦ λεῖα, λύσ μοιρασ' ἄνθους, ἐλατηρίου δὲ μέαν, ταῦτα δὶς ἐψ. κυκλαμίνου ξίφασ', τούτῳ αἰχμίξαι, ὡκως αὐδοκέῃ καιρὸς εἶναι. καὶ ποιησαμένῳ προσθέτῃ, προσίθεσθαι σὺν ἐλαίῳ. Προσθετὰ λευκῷ. Κάθαρον αἵρτεμισίῳ πῶ ποιῶ. λίτρον. κυκλάμινον ἢ μίξηρον. κύμινον. Ἕτερον. Αἵρτεμισίῳ ποίῳ χλωρῷ ξίφασ'. καὶ σμύρνης ξίτον μόριον. οἴνου ἀναμίξασ' ὑδάτος ἐλαίῳ λευκῷ πυρελίξασ' αὖθις, σὺν οἴνῳ τὰ βρίξασ', ὧδε προσίθεσθαι. Ὅταν δὲ χαλάσσιν αἱ μῆδαι, λίτρον σικύης σὺν ἐλαίῳ κυκλάμινον ἢ μίξηρον σὺν ἐλαίῳ προσίθει. Προσθετὰ παντοῖα καθαίρειν δυνάμενα. Σταφίδας αγρίλιον ξίφασ' χλωρῷ πυρισάσας, αὖτε μισίης ποίης ξίφασ' τὰ φύλλα. φλοιῶ τε σαλάσας καὶ ξηρῷ ασ' σὺν σκίλλῃ, αἶρ τουτέου ποίει προσθετὰ. καὶ σὺν τῇ γυναικὶ προστίθεσθαι. Ἄλλο. Ἄνθος μεγνὺς χαλκοῦ, ἢ συπηείλω αἰγυπτίῳ δύσις τῇ κυκλαμίνῳ, ὡς πρὸ τὰ πρότερα σὺν ἐφθῷ μέλιτι σαλήσας, ἢ σὺν ἀσὶ ποιήσας καὶ σμύρνῃ ὀλίγῃ. Ἄλλο. Τῷ κυκλάμινον ξίφασ' πῶ λευκῷ οἴνῳ ὀδώλει πυρομεξασ' σὺν ἐράκει ὀπόσας, ὡς λεπτοτάτῳ λίνῳ καθαρῷ ὅλου προστίθεσθαι. Ἄλλο. Κυκλάμινον ἢ μίξηρον. λίζον. καθαίροντας. στέαρ, σανδαράχην. Γρὺ παρθενίου. Παρθένῳ ὁκόταν τὰ ὡραῖα μὴ γίνηται. πολλὰ καὶ πυρεταίνει καὶ ὀδυνᾶται. διψᾷ. καὶ πίνει. καὶ ἱζέμει. καὶ μαίνεται. καὶ πάλιν σωφρονέει. κινέονται αἱ μῆδαι. καὶ ἐνότων πρὸς τὰ σπλάγχνα ζάπτωται, ἱζέμει. καὶ πυρέσσειν, καὶ παραφρονεῖν αὐτῇ δοκέοντα.

τῇ δοκέοντα. ὅταν δὲ ἀπολίπωσιν, πίνειν καὶ διψᾷν, καὶ ἢ παλὸς πυρετὸς ἔχει. χρὴ ταύτῃ γε ἀρχομένῃσι προσιθέναι θρομβας πρὸς τὰ στέρα. καὶ ὑποκαπνίζειν ἐς αὐτὰ τὰ αἰδοῖα ὅτι μάλιστα ἐπ' ἀμφορέως αὐχένι καθίσασ'. σμύρνης ὅσον κύαμον. λιβανωτὸν τε δὶς ὅσον τὸ μέξασ' καὶ ξέσασ', δρυεμμέσασ' ὁμοῦ θυμιᾶν. καὶ ἐπὶ τὸ πῦρ ἐπιβάλλων, νῆστις ὡς μάλιστα, καὶ λούειν πολλῷ θρομβῷ. Προσθετὸν. Αἰγυπτίῳ συπηείνῳ, μελθακπῷ, ἐελαίῳ τοσοῦτον ἐλαίωσασα προσιθέσθω. Ἄλλο. Αρτεμισίῳ τείφασ', σὺν οἴνῳ τε λευκῷ λαβύσασ', σὺν δου προσιθέσθαι. Νεοτόκῳ γυναικί. Ῥόδινον, σμύρναν. κηρὸν μέξαντα σὺν ἐελαίῳ λοῦναι προσιθέσθαι. ὅταν δὲ οἱ προσπέσωσιν αἱ μῆδαι, τὰ ξηρὰ μὴ ῥυφνὰ προσφορέειν μὴ πίνειν μὴ προσίεναι. Σύκον μέλαν. σκόρδον. λίζον. κύμινον. ταῦτα πάντα τείφασ' λεῖα, σὺν ἐελαίῳ λοῦναι προσίθεσθαι. Ἕτερον. Σιπύης ὄστρακον κάψας λεῖον ἐς οἶνον τε λαβύσασ σὺν λαγωοῦ θειῷ. καὶ ἐελαίῳ προσίθεσθαι. ἰῶ δὲ μεξὰ τόκου τοὺς ὑστερικὰ λαγόν, πτισανίνλ. μὴ πρᾶτα. μὴ στέαρ αἴγειον ἐμίσασα. ῥοφείτω τούτου ὡς ὀλίγιστον. Προσθετὸν. λίτρον. κύμινον. σύκου ἡσσον. Καθαρτήριον προσθετὸν καὶ μαλθακτήριον. Νέτωπον. ῥόδινον μύρινον. χλωὸς ἄλειφα, ἐς ὀβόνια λεπτὰ. Ἢν τὰ ἐπιμηνία πολλὰ γίνεται, γλυκυσίδης κόκκους τοῦ μέλανος. δὶς ἐπὶ πίνειν οἴνου λευκοῦ κυάθοις. ἰῶ δὲ ὑστερχοντας αἱ μῆδαι πυκναὶ, βρίξασ' ὑδατι χλιαρῷ τὰς μήδασ' ὑπὲρ ἰῶ ἀνακλίνασ', μέξασ' σίτου. κυκλάμ. ῥοῦν πῶ ὀρυθρῶ σὺν οἴνῳ λευκῷ διατείφασ', τούτῳ χρίσασ' ἐπιθέναι. ἔπειτα πίσσου δὲ ῥυτης φύλλα σὺν οἴνῳ αὐστηρῷ. ὅταν γυνὴ κύουσα προσρέῃται, ὀνίσας ξηρῷ, ἢ μέλιτον, καὶ ὄστρακον σιπύης, τοῦτα τείφασα λεῖα, σὺ ῥάκει ἀποθήσασα προσιθέναι. ἰῶ δὲ μὴ ἡσθαρθῇ ὑπὸ ὀδρου, λεαίνει σὺν οἴνῳ λευκῷ, ὅσον κυάθου, ἢ ξίφασ' ὀβολὸν ἀπίκον διδόναι πίνειν ἢ ἡσθαίρεται.

ΙΠΠΟΚΡΑΤΟΥΣ, ΠΕΡΙ ΕΓΚΑΤΑΤΟΜΗΣ ΕΜΒΡΥΟΥ.

Ἐπεὶ δὲ τῶν μὴ κατὰ τόπον κυϊσκομένων, ἀλλ' ἐκτοπίως τε μυομένων, οὕτως. πρῶτον μὲν ἐπὶ πῶ γαστέρα συνδόνα ἐπιβάλων, κατάζωσον ἀνωτέρω τῆς μαζοῦ. καὶ πῶ κεφαλῶ κατακλύψας χρὴ τὴν συνδόνι, ὅκως μὴ ὁρώσας φοβῆται, ὁ, τι ἀν ποιήσῃς. ἰῶ δὲ ὑβρίχῃ πῶ χείρα ἐμβρυον, παραπλάγιον παραπίσον, ἢ τῆς χειρὸς ἐπιλαβόμενος, πρὸς αγεν ἕξω ἐπιχείρει ὡς μάλιστα. παρὰ δὲ ἐρα καὶ ἢν βραχίονα, ἢ ἀπομιλώσας αὐτῆς ὁ ὀστέον, ἰχθύλῳ πρίσθω, τοῦ τῶν δακτύλους τῆς χειρὸς τοῦ δύο, ὅκως μὴ ἀπολιθανοι ἢ σαρξ. μεξὺ δὲ τοῦτα, ἢν ὦμον πρὶ σάρκισον. καὶ ἄφελε κατὰ ἢ αὐθρον. ἔπειτα πῶ κεφαλῶ κατὰ φύσιν παρώσας, ὑπάγειν ἔξω πῶ κεφαλῶ τῆς ἐμβρύου. τῷ δὲ δακτύλῳ ἢ ἐμβρυον ἔσω ἀπῶσαι, ἢ μοχλεύω δι' ἧς τοῦ ὠλένης, ὅκως πῶ φύσαν ἀφῇ, καὶ ἐμπέσῃ ἢ ἐμβρυον, καὶ ἢ ἐξοδος αὐτόθεν, ὥσπερ τε σεσηρὼ. πῶ δὲ κεφαλὴν, ἰῶ μὴ δυνήσασθαι κατὰ φύσιν ἔξω ὦσαι. ἰῶ ὃ μὴ, ξυωφλάσαι. καὶ οὕτως ὑπεξαγαγεῖν ἔξω ἢ ἐμβρυον. ἔπειτα τῷ θρομβῷ πολλῷ κατακλύσας, καὶ ἀλείψασα ἐλαίῳ, κατακεῖσθαι κελεύειν, ἐπαλλάξασα τῷ πόδε. καὶ μετὰ πίσσου οἴνου γλυκέος κεράσασ', ὑδρηρότερον, καὶ λευκὸν. ἀλλὰ μὴ καὶ ῥητίνῃ, μέλιτι διαξίφασ', μέξασ' τῷ οἴνῳ, διδόναι πίειν. τὰ δ' ἄλλα θρόμβου ὡς πρὸ λέγω, κατὰ τὰ εἰρημένα. ὅταν δὲ τῇ πικτούσῃ γυναικὶ πλάγιον παραπέσῃ ἢ ἐμβρυον, γίνεται δὲ ὁκόταν σρέφηται ἢ τοιόνδε. ὁ ὀμφαλὸς πρὸς ἢν ῥάχυλον πρὶ ελίσσηται, καὶ ἐπέχῃ πῶ ἐξοδον τῆς ἐμβρύου, καὶ ἐς ἢ ἰσχίον ἐπεμβάλλῃ πῶ κεφαλῶ, καὶ ἢ χειρὸς ἐπὶ τοπολὺ ἔξω γίνεται. ἰῶ μὲν οὖν ἤδη τεθνηκὸς ἐξαγάγῃται, τῶτο προσημαίνει. ἢσι δὲ μὴ ἔξω ἢ χειρ τῆς ἐμβρύς, ὡς ἐπὶ τοπολὺ ζῇ ἢ ἐμβρυον. κίνδυνος δὲ μὴ οὕτως. σῶσαι δὲ μὴ τὰ λόχια πρὸ τῆς ἐμβρυου ἀφλάσαι. ἀναγκαῖον δὲ γνῶσιν εἶναι πῶ ὡσίνα ξηραν καὶ ἐπίπονον. ὁκόσα δὲ τὰ λόχια μὴ προκαθαίρονται, ῥᾶον ἀπαλλάσσουσιν σὺν τῷ τοκῳ. ἀναγκαῖον δὲ λέγειν, ὡδε. σινδόνα ὑποζωσάσασαν, ἀνακλίναι πῶ γαστέρα. καὶ ἐτέρῳ ἐπιβαλεῖν, ὅμως αὐ αὐτὴς ἢ αἰδοῖον, κεκρυμμένον ἢ. καὶ πειρᾶν λύσαι ὡδε ἑκάτερον ἢ σκέλος, πῶ σινδόνα, καὶ ὡδε ἑκάτερον ἢ γύαλον. ἔπειτα δὲ δύο λαβέσθαι τῶ σκέλεος ἑκατέρας, καὶ τῆς χειρὸς ἑκατέρης, ἑτέραν ἑκατέρῳ. καὶ ἀνέλκειν ἀσφαλέως. μὴ ἐλαφρῶς ἢ δυνατῶς. ἔπειτα δὲ ἐς κλίνειν ἀνακλίναι πῶ γαστέρα ἐπὶ κεφαλῶ. τὰ δὲ σκέλεα ἀνῶ ἔχειν. καὶ τὰς γυναῖκας πάσας λαβέσθαι τοῖν σκελέοιν, ἀφεισας τὰς χεῖρας. ἔπειτα σείειν πολλάκις ποιεῖν τὰς γυναῖκας ἐπὶ τὸν ὦμους αὐ τὰς ἐπὶ πῶ κλίνειν, ὅκως ἐς πῶ ὀρυχωείλω ἐπανασείσθῃ ἢ ἐμβρυον γραφῇ, καὶ δυνήσεται ἐπὶ φύσινίσαι. καὶ ἰῶ ἔχησ δίκτυον κρητικὸν, μετὰ πίσσου δύσ. εἰ δὲ μὴ, κάτοχον ἀσπίσασι τῷ ἰσοχάλῳ. ἰῶ δὲ αἰὺ σέρω ἔξω χωρέωσι, κἂν τε ἐκ πόνου, κἂν τε ἐκτὸς. ἰῶ μὲν οὖν παραλάβοις νέαν, ἄξιον ἐπιχειρεῖν. εἰ δὲ μὴ, ἐᾶν. ἐπιχειρεῖν δὲ χρὴ ὧδε. ἐπὶ τα μῶν ἢν ὑμένα τῆς ὑστερης, κατὰ φύσιν, καὶ κατὰ πλάγιον, δίφαν ὀθονίῳ ὡς φλεγμαίνῃ. κατὰ λείφασ' φώκης ἔλαιον, ἢ πίσσης κατὰ πλάσας, ἢ κυτίνοισι. καὶ μελθακοὺς ἐσπόγους σὺν οἴνῳ ῥῖψασ' προσθεὶς ἀνάδησαι ἐκ τῆν ὠμων καὶ ἀνακείσθω ὡς ἀνωτατω τὸ σκέλεα ἔχουσα. ἐσθιέτω δὲ, σιτία μέτρια.

ἹΠΠΟΚΡΆΤΟΥΣ ΠΕΡῚ ὈΔΟΝΤΟΦΥΐΑΣ.

Α φύσει εὔτροφα τῶν παιδίων, οὐκ ἀνάλογον τῆς σαρκώσιος καὶ τὸ γάλα θηλάζει. τὰ βορὰ καὶ πολὺ ἕλκοντα γάλα, οὐ πρὸς λόγον σαρκοῦνται. τὰ πουλὺ διουρέοντα τῶν θηλαζόντων, ἥκιστα ἐνιαύσια. ὁκόσοισι πολλὴ φέρεται ἡ κοιλίη, καὶ εὐπεπτοῦσιν, ἐπίνοσα. ὁκόσοισι δὲ πουλὺ γαλακτῶδες ἀπεμέεται, κοιλίη ξυνίσταται. ὁκόσοισιν ἐν ὀδοντοφυΐῃ ἡ κοιλίη πλεῖον ὑπάγει, ἧσσον σπᾶται, ἢ οὕτως ὀλιγάκις. ὁκόσοισιν ἐπὶ ὀδοντοφυΐῃ πυρετὸς ὀξὺς ἐπιγίγνεται, ὀλιγάκις σπῶνται. ὁκόσα ὀδοντοφυέοντα εὔτροφα μένει, καταφορικὰ ἐόντα, κίνδυνος σπασμὸν ἐπιλαβεῖν. τὰ ἐν χειμῶνι ὀδοντοφυέοντα, τῶν ἄλλων ὁμοίων ἐόντων, βέλτιον ἀπαλλάσσει. οὐ πάντα τὰ ἐπὶ ὀδοῦσι σπασθέντα, τελευτᾷ. πολλὰ δὲ καὶ διασώζεται. τὰ μετὰ βηχὸς ὀδοντοφυέοντα χρονίζει. ἐν δὲ τῇ διακοντήσει, ἰσχναίνεται μᾶλλον. ὁκόσα ἐν τῷ ὀδοντοφυέειν χειμῶνας ἔχει, ταῦτα καὶ προσεχόντως ἡγεμόνα, ῥᾷον φέρει ὀδοντοφυΐαν. τὰ διουρέοντα πλέον ἢ διαχωρέοντα πρὸς λόγον εὐτροφώτερα. ὁκόσοισιν οὐρέεται μὴ πρὸς λόγον, κοιλίη δὲ πυκνῶς ὠμὸν ἐκ παιδίων παρέθη, ἐπίνοσα. τὰ ἄϋπνα καὶ εὔτροφα πουλὺ ἀναλαμβάνειν καὶ παράκειται, οὐχ ἱκανῶς διωκημένοι. τὰ παρεθέντα ἐν τῷ θηλάζειν, ῥᾷον φέρει ἀπογαλακτισμόν. τὰ πολλάκις παρειθέοντα δίαιμον καὶ ἄπεπτον κατὰ κοιλίην, πλεῖστα τῶν ἐν πυρετῷ ὑπνώδεα. τὰ ἐν παρισθμίοις ἕλκεα ἄνευ πυρετῶν γιγνόμενα, ἀσφαλέστερα. ὁκόσοισιν ἐν τῷ θηλάζειν τῶν νηπίων βὴξ προσίσταται, σταφυλὴν εἴωθεν μείζονα ἔχειν. ὁκόσοισι ταχέως ἐν παρισθμίοις νομαὶ ἐφίστανται τῶν πυρετῶν μενόντων καὶ βηχίων, κίνδυνος πάλιν γενέσθαι ἕλκεα. τὰ παλινδρομήσαντα ἐν ἰσθμίοις ἕλκεα τοῖσιν ὁμοίοισι, κινδυνώδη. τοῖσι παιδίοισιν ἀξιολόγοις ἕλκεσιν ἐν παρισθμίοισι, κατὰ πινομένων, σωτηρίας ἐστίν. ὁκόσα δὴ μᾶλλον τὸ πρότερον μὴ δυναμένων καταπίνειν ἐν παρισθμίοισιν ἕλκεσι, πολὺ τὸ χολῶδες τι ἐόν, οὐκ ἀγαθόν. ἐν τοῖσιν παρισθμίοισιν ἕλκεσιν ἀραχνιῶδες κακόν. μετὰ τοὺς πρώτους χρόνους, διαῤῥέειν φλέγμα διὰ τοῦ στόματος πρότερον οὐκ ὄν, χρήσιμον. ὅμως ἀνεκτέον. ἢν δὲ ἄρξηται ξυνοιδεῖν πάντως, ὀσμονιστέον. τὸ δὲ μὴ οὕτως διαῤῥέειν, εὐλαβητέον. ῥευματιζομένοις παρίσθμια, κοιλίη κατενεχθεῖσα πλείω λύει τὰς ξηρὰς βῆχας. παιδίοισιν ἀνενεχθὲν τι πεπεμμένον, πλείω λύει. τὰ πολὺν χρόνον ἐν παρισθμίοις ἕλκεα ἀναυξῆ μένοντα, ἀκίνδυνα πρὸ τῶν πέντε ἢ ἓξ ἡμερέων. τὰ πουλὺ γάλα τῶν θηλαζόντων ἀναλαμβάνοντα, ὥστε πολὺ ὑπνώδη. τὰ μὴ εὐτροφέα τῶν θηλαζόντων, ἄτροφα καὶ δυσανάληπτα. ἕλκεα ἐν θέρει γιγνόμενα ἐν παρισθμίοις, χείρονα τῶν ἐν τῇσιν ἄλλῃσιν ὥρῃσιν. ταχέως γὰρ νέμεται. τὰ περὶ σταφυλὴν νεμόμενα ἕλκεα ἐν παρισθμίοισι, σωζομένοισι τὴν φωνὴν ἀλλοιοῖ. τὰ περὶ φάρυγγα νεμόμενα ἕλκεα, χαλεπώτερα καὶ ὀξύτερα, ὡς ἐπὶ πολὺ δύσπνοιαν ἐπιφέρει.

ἹΠΠΟΚΡΆΤΟΥΣ ΠΕΡῚ ἈΝΑΤΟΜΗ͂Σ.

ρτηρίη δὲ ἑκατέρου φαρυγέθρου τὴν ἔκφυσιν ποιευμένη ἐς ἄκρον πνεύμονος τελευτᾷ κρίκοις ξυγκειμένη ὁμοιορυσμοῖς τῶν περιηγέων ἁπτομένη κατ᾽ ἐπίπεδον ἀλλήλων. αὐτὸς δὲ ὁ πνεύμων συνεξαναπληροῖ τὴν χέλυν, τετραμμένος ἐς τὰ ἀριστερά, πέντε ὑποκορυφώσιας ἔχων, ἃς δὴ καλέουσι λοβούς, τεφρείνης χροιῆς τυχὼν στίγμασιν ὀφρονάγεσι κεκεντημένος, φύσει ἐών τε θρηνιώδης. μέσῳ δ᾽ αὐτέῳ ἡ καρδίη ἐγκαθίδρυται, στρογγυλωτέρη καθεστεῶσα πάντων ζώων. ἀπὸ δὲ καρδίης ἐς ἧπαρ βρογχίη πολλὴ καθήκει. καὶ μετὰ βρογχίης φλὲψ μεγάλη καλευμένη δι᾽ ἧς ὅλον τὸ σκῆνος τρέφεται. τὸ δὲ ἧπαρ ὁμοιορυσμίην μὲν ἔχει τοῖς ἄλλοις ἅπασιν. αἱμοῤῥωδέστερον δέ ἐστι τῶν ἄλλων. ὑπερκορυφώσιας ἔχον δύο, ἃς καλέουσι πύλας, ἐν δεξιοῖς τόποις κειμένας. ἀπὸ δὲ τουτέου, σκολιὴ φλὲψ ἐπὶ τὰ κάτω νεφρῶν ἀποτείνουσα. νεφροὶ δὲ ὁμοιορυσμοί. τὴν χροιὴν δέ, ἐναλίγκιοι μήλοισιν. ἀπὸ δὲ τουτέων ὀχετοὶ σκαληνοειδέες ἄκρην κορυφὴν κύστιος κέονται. κύστις δὲ νευρώδης οὔλη καὶ μεγάλη. ἐκεῖσαθε κύστιος, μετοχὴ εἴσω πέφυκε. καὶ τὰ μὲν ἐξ ἀνὰ μέσον ἐντὸς φύσις ἐκοσμήθη. οἰσοφάγος δὲ ἀπὸ γλώσσης τὴν ἀρχὴν ποιεύμενος, ἐς κοιλίην τελευτᾷ, ὃν δὴ καὶ ἐπὶ σηπτικῆς κοιλίης, στόμαχον καλέουσιν. πρὸς δὲ ἀκάνθης ὄπισθεν ἥπατος φρένες πεφύκασιν. ἐκ δὲ περιφερῆς νόθης, λείω δὲ ἀριστερῆς, σπλὴν ἀρξάμενος ἐκτέταται, ὁμοιορυσμὸς ἴχνει ποδός. κοιλίη δὲ ἥπατι παρακειμένη κατ᾽ εὐώνυμον μέρος οὐλομένη ἐστὶ νευρώδης. ἀπὸ δὲ κοιλίης, πέφυκεν ἔντερον, ὁμοιορυσμὸν μικρὸν πηχέων οὐκ ἔλασσον δώδεκα ἑλικηδὸν ἐν κόλποις ἐνειλούμενον, ὃ καλέουσιν ἔνιοι κῶλον, δι᾽ οὗ ἡ παραφορὰ τῆς τροφῆς γίνεται. ἀπὸ δὲ κώλου, πέφυκεν ἀρχὸς λοίσθιος. σαρκώδης περιπληθέα ἔχων ἐς ἄκρον δακτυλίου τελευτῶν. τὰ δὲ ἄλλα, ἡ φύσις διετάξατο.

ἹΠΠΟΚΡΆΤΟΥΣ ΠΕΡῚ ΚΑΡΔΊΗΣ.

αρδίη σχῆμα ὁκοίη πυραμίς. χροιὴν δὲ κατακορῆς φοινικέα. καὶ περιβέβληται χιτῶνα λεῖον. καὶ ἔστιν ἐν αὐτέῳ ὑγρὸν σμικρὸν ὁποῖον οὖρον. ὥστε δόξεις ἐν κύστει τὴν καρδίην ἀναστρέφεσθαι. γεγένηται δὲ τούτου εἵνεκα ὅκως βάλληται ῥωσκομένως ἐν φυλακῇ. ἔχει δὲ τὸ ὕγρασμα, ὁκόσον μάλιστα καὶ πυρευμένη ἄκος. τοῦτο δὲ τὸ ὑγρὸν διουρέει ἡ καρδίη πίνουσα ἀναλαμβανομένη καὶ ἀναλίσκουσα λάπτουσα τοῦ πνεύμονος τὸ ποτόν. πίνει γὰρ ὥνθρωπος τὸ μὲν πολλόν, ἐς νηδύν. ὁ γὰρ στόμαχος, ὁκοῖον χῶνος. καὶ ἐκδέχεται τὸ πλῆθος, καὶ ὅσα προαιρούμεθα. πίνει δέ, καὶ ἐς φάρυγγα. τυτθὸν δὲ δὴ καὶ ὁκόσον ἂν λάθοι διὰ ῥύμης ἐς ῥυσίν. πῶμα γὰρ ἀτεκὲς ἡ ἐπιγλωσσὶς κἂν δίησει μεῖζον ποτοῦ οὐδέν. σημήϊον τοῦτο. ἢν γάρ τις κυανῷ ἢ μίλτῳ φορύξας ὕδωρ δοίη δεδιψηκότι πάνυ πιεῖν. μάλιστα δὲ συΐ. τὸ γὰρ κτῆνος, οὐκ ἔστιν ἐπιμελὲς οὐδὲ φιλόκαλον. ἔπειτα δὲ εἰ ἔτι πίνοντος ἀνατέμοις τὸν λαιμόν, εὕροις ἂν τοῦτον κεχρωσμένον τῷ ποτῷ. ἀλλ᾽ οὐ παντὸς ἀνδρὸς ἡ χειρουργία. οὔκουν ἀπιστητέον ἡμῖν περὶ τοῦ ποτοῦ εἰ εὐτρεπίζει τὴν σύριγγα τῷ ἀνθρώπῳ. ἀλλὰ πῶς ὕδωρ ἀναιδὲς ἐνουρὸν ὄχλον καὶ βῆχα περιέχει πολλήν; οὕνεκα φημὶ ἀπαντικρὺ τῆς ἀναπνοῆς φέρεται. τὸ γὰρ διὰ τῆς ῥωμῆς ἐσρέον, ἅτε παρὰ τοῖχον ἰόν, οὐκ ἐνίσταται τῇ ἀναφορῇ τοῦ ἠέρος. ἀλλὰ τινὰ καὶ λείην ὁδὸν οἱ παρέχει ἡ ἐπίτεγξις. τοῦτο δὲ τὸ ὑγρόν, ἀπάγει τοῦ πνεύμονος ἅμα τῷ ἠέρι. τὸν μὲν οὖν ἠέρα χρὴ γενόμενον θεραπείην, ἀνάγκη ὀπίσω τὴν αὐτὴν ὁδὸν ἐκβάλλειν ὅθεν ἤγαγεν. τὸ δ᾽ ὑγρὸν τὸ μὲν ἐς τὸν κουλεὸν αὐτέης, ἀποπιεῖ. τὸ δ᾽ αὖ ἔξω τῷ ἠέρι, θύραζε χωρέει. ἐν ταύτῃ καὶ διαίρει τὸν οὐρανὸν ὁκόταν παλινδρομέῃ τὸ πνεῦμα. παλινδρομέει δὲ κατὰ δίκην. οὐ γάρ ἐστιν ἀνθρώπου φύσιος τροφὴ ταῦτα. πῶς γὰρ ἀνθρώπου τροφὴ ἄνεμος καὶ ὕδωρ τὰ ὠμά; ἀλλὰ μᾶλλον τιμωρίη ξυγγενέος πάθης. περὶ δὲ οὗ ὁ λόγος. ἡ καρδίη μῦς ἐστιν κάρτα ἰσχυρός, οὐ τῷ νεύρῳ, ἀλλὰ πιλήματι σαρκός. καὶ δύο γαστέρας ἔχει διακεκριμένας ἐν ἑνὶ περιβόλῳ. τὴν μέν, ἔνθα. τὴν δέ, ἔνθα. οὐδὲν δὲ ἐοίκασιν ἀλλήλῃσιν. ἡ μὲν γὰρ ἐν τοῖσι δεξιοῖσιν ἐπὶ στόμα κέεται ὁμιλέουσα τῇ ἑτέρῃ φλεβί. ἡ δὲ δεξιὴ φημὶ τῶν ἐν λαιοῖς. ἡ γὰρ πᾶσα καρδίη, τουτέοισι τὴν ἕδρην ἐμπεποίηται. ἀτὰρ ἥδε καὶ πάμπαν εὐρυκοίλιος, καὶ λαγαρωτέρη πολλῷ τῆς ἑτέρης, οὐδὲ τῆς καρδίης νέμεται τὴν ἐσχατιήν, ἀλλ᾽ ἐγκαταλείπει τὸν οὐραχὸν καὶ στερεόν ἐστιν, ὥσπερ ἔξωθεν προσεῤῥαμμένη. ἡ δὲ ἑτέρη κέεται ὑπένερθεν μὲν μάλιστα καὶ κατ᾽ ἰθυωρίην. μάλιστα μὲν μαζῷ ἀριστερῷ. ὅπη καὶ διασημαίνει τὸ ἅλμα. περίβολον δὲ ἔχει παχὺν καὶ βόθρον, ἐμβεβόθρωται τὸ εἶδος εἴκελον ὅλμῳ. ἀλλὰ γὰρ ἤδη καὶ τοῦ πνεύμονος ἐνδύεται μετὰ προσηνίης τε, καὶ κολάζει τὴν ἀκρασίην τοῦ θερμοῦ περιβαλλομένη. ὁ γὰρ πνεύμων φύσει ψυχρός. ἀτὰρ καὶ ψυχόμενος τῇ εἰσπνοῇ. ἄμφω γε μὴν δασεῖαι τὰ ἔνδον, καὶ ὥσπερ ὑποδιαβεβρωμέναι μᾶλλον τῆς δεξιῆς ἡ λαιή. τὸ γὰρ ἔμφυτον πῦρ οὐκ ἐν τῇ δεξιῇ, ὥστε θαῦμα τρηχυτέρην γενέσθαι τὴν λαιὴν ἐσπνέουσαν ἀκρήτου. ταύτῃ καὶ παχετὸν ἐνδέδμηται φυλακῆς εἵνεκα τῆς ἰσχύος τοῦ θερμοῦ. στόματα δ᾽ αὐτέοισιν, οὐκ ἀνέῳγασιν, εἰ μή τις ἀποκείρῃ τῶν οὐάτων τὴν καρδίην. καὶ τῆς καρδίης τὴν κεφαλήν. ἢν δ᾽ ἀποκείρῃ, φανήσεται καὶ δισσὰ στόματα ἐπὶ δυσὶ γαστέροιν. ἡ γὰρ παχείη φλὲψ ἐκ μιῆς ἀναθέουσα, πλανᾷ τὴν ὄψιν ἢν ἀνατμηθῇ. αὗται πηγαὶ φύσιος ἀνθρώπου. καὶ οἱ ποταμοὶ ἐνταῦθα ἀνὰ τὸ σῶμα τοῖσιν ἄρδεται τὸ σκῆνος. οὗτοι δὲ καὶ τὴν ζωὴν φέρουσι τῷ ἀνθρώπῳ. κἢν αὐανθέωσιν, ἀπέθανεν ὥνθρωπος. ἀγχοῦ δὲ τῆς ἐκφύσιος τῶν φλεβῶν σώματα τοῖσι κοιλίῃσιν ἀμφιβεβήκασιν, μαλθακὰ σηραγγώδεα ἃ κληΐσκεται μὲν οὔατα. τρήματα δὲ οὐκ ἔστιν οὐάτων. ταῦτα γὰρ οὐκ ἐσακούουσιν ἰαχῆς. ἔστι δὲ ὄργανα τοῖσιν ἡ φύσις ἐρπάζει τὸν ἠέρα. καίτοι δοκέω τὸ ποίημα χειρώνακτος ἀγαθοῦ. κατασκεψάμενος γὰρ σχῆμα στερεὸν ἐσόμενον τὸ σπλάγχνον διὰ τὸ πλατικὸν τοῦ ἐγχύματος. ἔπειτα, πᾶν ἐὸν ἑλκτικόν, παρέθηκεν αὐτέῳ φύσας, καθάπερ τοῖσι χοάνοισιν οἱ χαλκέες. ὥστε διὰ τουτέων χειροῦται τὴν πνοιήν. τεκμήριον δὲ τοῦ λόγου. τὴν μὲν γὰρ καρδίην, ἴδοις ἂν ἐῤῥιπταζομένην οὐλομελῆ. τὰ δὲ οὔατα κατ᾽ ἰδίην ἀναφυσώμενά τε καὶ ξυμπίπτοντα. διὰ τοῦτο δέ φημι καὶ φλέβια μὲν ἐργάζεται τὴν ἀναπνοὴν ἐς τὴν ἀριστερὴν κοιλίην. ἀρτηρίη δ᾽ εἰς τὴν ἄλλην. τὸ γὰρ μαλακόν, ἑλκτικώτερον. καὶ ἐπίδοσιν ἔχον. ἔχρῃ δὲ ἡμῖν μᾶλλον τὰ ἐπικείμενα τῆς καρδίης διαψύχεσθαι βεβλήματα. ἔστι γὰρ τὸ θερμὸν ἐν τοῖσι δεξιοῖσιν. ὥστε διὰ τὴν πάθην οὐκ ἔλαβον εὐπετὲς ὄργανον, ἵνα μὴ πάμπαν κρατηθῇ ἀπὸ τοῦ ἐσιόντος. λοιπὸς ἐστὶν ὁ λόγος ὁ τῆς καρδίης ὑμένες ἀφανέες ἔργον ἀξιαγαστότατον. ὑμένες γὰρ καὶ ἄλλοι τινὲς ἐν τοῖσι κοίλοισιν ὁκοῖον ἀράχναι διαπετέες ζώσαντες πάντῃ τὰ στόματα κτηδόνας ἐμβάλλουσιν ἐς τὴν στερεὴν καρδίην. οὗτοί μοι οἱ τόνοι τοῦ σπλάγχνου καὶ τῶν ἀγγείων ἀρχαὶ τῇσιν ἀορτῇσιν. ἔστι δὲ αὐτέων ζεῦγος. οἷ θύρῃσι μεμηχάνηνται τρεῖς ὑμένες ἑκάστῃ περιφερέες ἐξ ἄκρου ὅσον ἡμίτομα κύκλου. οἵ τε ξυνιόντες θαυμάσιον ὡς κλείουσι τὰ στόματα τῶν ἀορτέων πέρας. καὶ τὴν καρδίην ἀποθανόντος ἤν τις ἐξεπιστάμενος τὸν ἀρχαῖον κόσμον. ἀφελόντων δὲ τὸν μὲν ἀποστρήσει. τὸν δὲ ἐπανακλίνει, οὔτε ὕδωρ

ἂν διέλθοι ἐς τὴν καρδίην, οὔτε φύσαι ἐμβαλλομένη. καὶ μᾶλλον τῆς τῆς ἀριστερῆς. τοῖς γὰρ ἐμηχανήθησαν ἀφεκέστερον κατὰ δίκην. γνώμη γὰρ ἡ τοῦ ἀνθρώπου πέφυκεν ἐν τῇ λαιῇ κοιλίῃ. καὶ ἄρχει τῆς ἄλλης ψυχῆς. τρέφεται δὲ, οὔτε σιτίοισιν, οὔτε ποτοῖσιν ἀπὸ τῆς νηδύος. ἀλλὰ καθαρῇ καὶ φωτοειδεῖ περιουσίῃ γεγονυίῃ ἐκ τῆς διακρίσιος τοῦ αἵματος. εὐπορέει δὲ τὴν τροφὴν, ἐκ τῆς ἔγγιστα δεξαμενῆς τοῦ αἵματος διαβάλλουσα τὰς ἀκτῖνας. καὶ νεμομένη ὥσπερ ἐκ νηδύος τῶν ἐντέρων τὴν τροφὴν οὐκ ὂν κατὰ φύσιν. ὅκως δὲ μὴ ἀνακωχὴ τὸ σιτίον τὰ ἐνεόντα ἐν τῇ ἀρτηρίῃ ἐν ζάλῃ ἐὸν, ἀποκλείει τὴν ἐπ᾽ αὐτὴν κέλευθον. ἡ γὰρ μεγάλη ἀρτηρίη βόσκεται τὴν γαστέρα καὶ τὰ ἔντερα. καὶ γέμει τροφῆς οὐχ ἡγεμονικῆς. ὅτι δὲ οὐ φέρεται βλεπομένῳ αἵματι ἡ μεγάλη ἀρτηρίη δῆλον ὧδε. ἀποσφαγέντος τοῦ ζώου, σχασθείσης τῆς ἀριστερῆς κοιλίης ἐρήμη φαίνεται πᾶσα. πλὴν ἰχῶρός τινος, καὶ χολῆς ξανθῆς, καὶ τῶν ὑμένων περὶ ὧν ἤδη μοι πέφανται. ἡ δὲ ἀρτηρίη οὐ λειφαιμοῦσα, οὐδὲ ἡ δεξιὴ κοιλίη. τουτέῳ μὲν οὖν τῷ ἀγγείῳ κατ᾽ ἐμὸν νόον ἤδη πρόφασις τῶν ὑμένων. τὸ δ᾽ αὖ φερόμενον ἐκ τῆς δεξιῆς, ζυγοῦται μὲν καὶ τοῦτο τῇ ξυμβουλῇ τῶν ὑμένων. πλὴν οὐ κάρτα ἔθρωσκεν ὑπὸ ἀσθενείης. ἀλλ᾽ ἀνοίγεται μὲν, ἐς τὸν θύμονος αἷμα παρασχεῖν αὐτοῖς τὴν τροφήν. κλείεται δὲ, ἐς τὴν καρδίαν οὐχ ἁρμῷ. ὅκως ἐσίῃ μὲν ὁ ἠὴρ, οὐ πάνυ δὲ πολύς. ἀσθενὲς γὰρ ἐνταῦθα τὸ θερμόν. οὐ δὲ γὰρ ἄλλό τι ὕδωρ, ἀλλὰ θερμαίνεται. δοκέει δὲ τοῖσι πολλοῖσι φύσει θερμόν. περὶ δὲ καρδίης, τοιαῦτα εἰρήσθω.

ἹΠΠΟΚΡΆΤΟΥΣ ΠΕΡῚ ἈΔΈΝΩΝ.

π

ερὶ δὲ ἀδένων οὐλομελίης, ὧδε ἔχει. φύσις μὲν αὐτέοισιν ἡ σπογγώδης. ἀραιαὶ μὲν καὶ πίονες. καὶ ἔστιν οὔτε σαρκία ἴκελα τῷ ἄλλῳ σώματι, οὔτε ἄλλό τι ὅμοιον τῷ σώματι, ἀλλὰ ψαφαρὰ, καὶ φλέβας ἔχει συχνάς. εἰ δὲ διατάμοις, αἱμοῤῥαγίη λάβρος. τὸ εἶδος λευκὴ, καὶ οἷον φλέγμα. ἐπαφωμένῳ δὲ οἷον εἴρια. κὴν θράσσῃ τοῖς δακτύλοις ἐπὶ πουλὺ βιησάμενος, ἡ ἀδὴν ὑγρὸν ἀφίησιν ἐλαιῶδες. καὶ αὐτὸ θρύπτεται πολλὰ καὶ διαπόλλυται. πονέουσι δὲ, οὐ κάρτα, ἀλλὰ τῷ ἄλλῳ σώματι. ἐπὴν πονέουσι δὲ ἢ δι᾽ ἰδίην νοῦσον. παύρας δὲ καὶ τῷ σώματι ξυμπονέουσιν. αἱ νοῦσοι φύματα γίνονται καὶ χοιράδες ἀναπηδῶσιν. καὶ πῦρ ἔχει τὸ σῶμα. πάσχουσι δὲ ταῦτα, ἐπὴν ὑγρασίης πληρωθῶσι τῆς ἐπὶ τοῦ ἄλλου σώματος διὰ τῶν φλεβῶν. αἱ δι᾽ αὐτῶν τέτανται πολλαὶ καὶ κοῖλαι ὥστε ἀκολουθεῖν τὸ ὑγρὸν ὅτι ἂν ἕλκωσιν εὐπετέως ἐς αὐτάς. κὴν πουλὺ ἔῃ καὶ νοσῶδες ἡ ῥοὴ, ξυντείνουσιν οἱ ἀδένες ἐπὶ σφᾶς τὸ ἄλλο σῶμα, οὕτω πυρετὸς ἐξάπτεται. καὶ ἀείρονται καὶ φλογῶσιν οἱ ἀδένες. ἀδένες δὲ ὕπεισιν ἐν τῷ σώματι, πλείους ἢ μέζους ἐν τοῖσι κοίλοισιν αὐτέου ἢ ἐν τοῖσιν ἄρθροισιν. καὶ ὁκόσα ἐν τοῖσιν ἄλλοισιν ὑγρηδὸν καὶ κατὰ τὰ αἱματώδεα χωρία. αἱ μὲν ὡς τὸ ἐπιῤῥέον ἄνωθεν ἐς τὰ κοῖλα ἐπιδεχόμεναι ἐπὶ σφέας ἕλκωσιν. αἱ δὲ ὥστε τὴν αὖθις γινομένην ὑπὸ τῶν πόνων ὑγρασίην ἐκδεχόμεναι ἐν τοῖσιν ἄρθροισι τὴν πληθὺν, ἥν τινα μεθίησι τὰ ἄρθρα, οὕτω πλάδον οὐκ ἔνι ἐν τῷ σώματι. εἰ γάρ τι καὶ γίνοιτο, παραυτίκα οὐκ ἂν ἐπιγίνοιτο πλάδον ὀπίσω, καταναισιμοῦται γὰρ καὶ τὸ πουλὺ καὶ τὸ ὀλίγον ἐς τὰς ἀδένας. καὶ οὕτως τὴν πλεονεξίην τοῦ ἄλλου σώματος αἱ ἀδένες κέρδος ποιεύμεναι, τροφὴ ξύντροφος αὐτέῃσιν ἐστίν. ὥστε ὅκου τελματώδεα, ἐκεῖ καὶ ἀδένες. σημεῖον ὅκου ἀδὴν, ἐκεῖ καὶ τρίχες. ἡ γὰρ φύσις ποιέει, ἀδένας καὶ τρίχας, ἄμφω χρέος ὡς ὑπολαμβάνουσιν. αἱ μὲν ὡς τὸ ἐπιῤῥέον, ὡς καὶ ἔμπροσθεν εἴρηται. αἱ δὲ τρίχες, τὴν ἀπὸ τῶν ἀδένων ἐπικαιρίην ἔχουσαι φύονταί τε καὶ αὔξονται, ἀναλεγόμεναι τότε περιττὸν καὶ ἐκβραζόμενον ἐπὶ τὰς ἐσχατιάς. ὅκου δὲ αὖον ἐὸν τὸ σῶμα, οὔτε ἀδὴν, οὔτε θρίξ. τὰ δὲ ἁπαλὰ καὶ πονεύμενα καὶ κάθυγρα, ἀδὴν ὧδε καὶ τρίχες. ἀδένας δὲ καὶ κατὰ τοῖν οὐάτοιν ἔνθα καὶ ἔνθα ἑκατέρωθεν κατὰ τὰς σφαγὰς τοῦ τραχήλου, τρίχες τε ἐνταῦθα. ἑκατέρωθεν ἐπὶ ταῖς μασχάλῃσιν ἀδένες καὶ τρίχες. βουβῶνες καὶ ἐπίσιον ἰκέλως μασχάλῃσιν ἀδένας καὶ τρίχας. ταῦτα μὲν κοῖλα τῶν ἐν τῷ σώματι καὶ ἐπίδια ἐς περιουσίην ὑγροῦ. καὶ γὰρ πονέει ταῦτα καὶ κινέεται μάλιστα τῶν ἐν τῷ σώματι. τὰ δ᾽ ἄλλα ὁκόσα ἀδένας ἔχει μοῦνον, οἷον ἔντερα. ἔχει γὰρ καὶ ταῦτα ἀδένας ἐς τὸ ἐπίπλοον μέζονας, τρίχας οὐκ ἔχει. καὶ γὰρ ἐν τοῖσι τέλμασι τῆς γῆς καὶ καθύγροισιν, οὐ φύεται τὸ σπέρμα, οὔτ᾽ ἐθέλει ἀναβαίνειν τῆς ἄνω, ἀλλ᾽ ἀποσήπεται καὶ ἀποπνίγεται τῇ πλεονεξίῃ. βιῆται γὰρ τὸ σπέρμα. βιῆται δὲ καὶ ἐν τοῖσιν ἐντέροισιν ἡ πληθὺς, καὶ τὸ ὑγρὸν πουλὺ καὶ οὐκ ἂν φύσαι τρίχας. αἱ δὲ ἀδένες μέζονες ἤπου ἄλλοθι τοῦ σώματος, καὶ νέμονται αἱ ἀδένες ἐν τοῖσιν ἐντέροισιν ἐκπιεζούμεναι τὸν πλάδον. τὰ δὲ ἔντερα, ἐκ τῶν τευχέων ἐς τὰ ἐπίπλοα ἐκδέχεται καὶ καθίησι τὴν ὑγρασίην. τὸ δὲ ἐπίπλοον διαδίδοι τῇσι δὲ ἀδένῃσιν. ἔχουσιν καὶ οἱ νεφροὶ δὲ ἀδένας, καὶ γὰρ οὗτοι κορίσκονται πολλῆς ὑγρασίης. μείζους δὲ αἱ ἀδένες ταύτῃ, ἢ αἱ ἄλλαι ἀδένες ἐοῦσαι. οὐ γὰρ ἐμπνέεται τοῖσι νεφροῖσι τὸ ὑγρὸν τὸ ἐπιῤῥέον, ἀλλὰ διαῤῥέει ἐπὶ κύστιν κάτω. ὥστε ὁπόσον ἀποκερδαίνωσιν ἀπὸ τῶν ὀχετῶν, τοῦτο ἕλκουσι πρὸς σφέας. καὶ ἄλλαι δὲ εἰσὶν ἐν τῷ σώματι ἀδένες σμικραὶ καὶ πάνυ. ἀλλ᾽ οὐ βούλομαι ἀποπλανᾶν τὸν λόγον.

λόγον. ἐς γὰρ τὰς ἐπικαίρους, ἡ γραφή. νῦν δὲ ἀναβήσομαι τῷ λόγῳ καὶ ἐρέω περὶ ἀδένων οὐλομελίης τραχήλου. τράχηλος τὰ μέρεα αὐτοῦ ἑκάτερα ἔνθα καὶ ἔνθα ἀδένας ἔχει, καὶ παρίσθμια καλέονται αἱ ἀδένες αὗται χροιῇ τοιῇδε. ἡ κεφαλὴ ὑπέρκειται ἄνω κοίλη ἐοῦσα καὶ περιφερής. καὶ τῆς περὶ αὐτὴν ἀπὸ τοῦ ἄλλου σώματος ὑγρασίης, καὶ ἅμα ἀναπέμπει τὸ σῶμα ἀτμοὺς ἐς τὴν κεφαλὴν παντοίους ἄνω, οὓς αὖθις ἡ κεφαλὴ ὀπίσω ἀφίησιν. οὐ γὰρ δύναται ἐμμένειν τὸ ἐπιῤῥέον οὐκ ἔχον ἔνθα ἕδρην, ἢν μὴ τὴν κεφαλὴν πονέῃ, τότε οὐκ ἀνίησιν, ἀλλ᾽ αὐτοῦ κρατέει. ἐπὴν δὲ ἀνῇ, τὴν ἕλξιν ἐς τὰς ἀδένας. ἢν γὰρ πουλὺ ἐπιῤῥυῇ δριμύ. ἢν μένῃ δριμὺ καὶ κολλῶδες φλεγμαίνει, καὶ ἀνοιδίσκεται, καὶ ξυντείνει ὁ τράχηλος καὶ οὕτω προΐει ἐς οὖς. κὴν μὲν ἐς ἑκάτερα τὰ μέρεα, ἑκάτερον. ἢν δὲ ἐς θάτερον, πονέει θάτερον. ἢν δὲ ἡ φλεγματῶδες καὶ πουλὺ καὶ ἀργὸν ἡ ῥοὴ, φλεγμαίνει δὲ καὶ ὧδε. καὶ ἡ φλεγμονὴ, στάσιμον ἐὸν ὑγρὸν, χοιράδες ἐπιγίνονται. αὗται χρόνιοι αἱ νοῦσοι τραχήλου. μασχάλοισι δὲ, ξυῤῥέει μὲν καὶ ἐνταῦθα, ἀλλ᾽ ὅταν πλῆθος ἢ, δριμεῖς ἰχῶρες, καὶ ὧδε γίνονται φύματα κατὰ ταῦτα. καὶ ἐν τοῖσι βουβῶσιν, ἕλκει τὴν ἀπὸ τῶν ὑποκειμένων ὑγρασίην ἡ ἀδὴν, ἄλλως εἰ πλῆθος λάβοι, βουβωνοῦται καὶ διαπυΐσκεται καὶ φλεγμαίνει ἰκέλως μασχάλοισί τε καὶ τραχήλῳ. τὰ δ᾽ αὐτὰ καὶ δοκέει παρέχειν ἀγαθὰ καὶ κακά. καὶ ταῦτα μὲν ἀμφὶ τῶνδε. τὰ δὲ ἔντερα, ἔχει κόρον πολλὸν ἀπό τε σιτίων καὶ ποτῶν. ἔχει δὲ καὶ τὴν ὑπὸ τοῦ δέρματος ὑγρασίην. αὕτη πᾶσα ἀπαναισιμοῦται ἰκέλη τῆς πρόσθεν. νούσους δὲ οὐ ποιέει τὰ πολλὰ ὅκως περ καὶ ἐν τοῖσιν ἄρθροισι γίνεται. συχναὶ γάρ τοι ἀδένες καὶ ἀναπετέες καὶ οὐ κοῖλαι, καὶ οὐ πολὺ πλῆθος ἐπανεισκόμεναι ἡ ἑτέρη τῆς ἑτέρης. ἐπεὶ μᾶλλον πλεονεκτεῖν ἐθέλουσαι, οὐδὲ μὴν τότε πλῆθος ἔχειν δύναται, ἀλλ᾽ ἐς ὀλίγον ἑκάστης ξυῤῥέον ἐς τὸ ἀθρόον ἐς πολλὰ διαιρεόμενον ἰσότης ἐστὶν αὐτέῃσιν. ἡ κεφαλὴ καὶ αὐτὴ τὰς ἀδένας, ἔχει τὸν ἐγκέφαλον ἴκελον ἀδένι. ἐγκέφαλος γὰρ καὶ λευκὸς καὶ ψαφαρὸς, ὅκως περ καὶ ἀδένες. καὶ ταῦτα ἀγαθὰ τῇσιν ἀδέσι ποιέει τὴν κεφαλὴν ἐοῦσαν, διὰ τὰ εἰρημένα μοι τιμωρέων ὁ ἐγκέφαλος ἀποστρέφει τὴν ὑγρασίην. καὶ ἐπὶ τὰς ἐσχατιὰς ἔξω ἀποστέλλει τὸ πλέον ἀπὸ τῶν ῥόων. μέζων δ᾽ ὁ ἐγκέφαλος τῶν ἄλλων ἀδένων καὶ αἱ τρίχες μέζους ἢ αἱ ἄλλαι τρίχες. μέζων τε γὰρ ὁ ἐγκέφαλος καὶ ἐν εὐρυχωρίῃ κέεται τῇ κεφαλῇ. ποιέει δὲ νούσους καὶ ἥσσονας καὶ μέζονας ἢ αἱ ἄλλαι ἀδένες. ποιέει δὲ ὁκόταν ἐς τὰ κάτω τοῦ σώματος τὴν σφετέρην πλεονεξίην ἀποστέλλῃ. ῥόοι δὲ, ἀπὸ κεφαλῆς ἕως ἀπὸ κρίσιος, δι᾽ ὤτων κατὰ φύσιν. δι᾽ ὀφθαλμῶν. διὰ ῥινῶν. τρεῖς οὗτοι, καὶ ἄλλοι δι᾽ ὑπερῴης ἐς φάρυγγα, ἐς στόμαχον. ἄλλοι διὰ φλεβῶν ἐπὶ νωτιαῖον, ἐς τὸ αἷμα. οἱ πάντες ἑπτά. οὗτοι τοῦ τε ἐγκεφάλου λύματα εἰσὶν ἀπιόντες. καὶ εἰ μὴ ἀπίοιεν νοῦσος αὐτέῳ. οὕτω δὲ καὶ τῷ ἄλλῳ σώματί τινες τὰ ἔνδον ἀπίωσι καὶ μὴ ἔξω. καὶ αὐτοῖς ὄχλος πουλὺς χανδὸν ἕλκοι καὶ ἄδριμυ μένει πρόσοιτο ὁ ἐγκέφαλος ῥεῦμα ὃ τὰς ἐπιῤῥοὰς ἐθέλει καὶ ἕλκοι. καὶ τὰ μὲν ἔπιον ἢν ἡ πλῆθος κατιὸν, ἄλλος οὐκ ἂν ἔχοι ὅρος, ἐς τ᾽ ἀνεὶς ἀρίατε τὴν πληθὺν τοῦ κατιόντος. καὶ τὸ μὲν ἐπιῤῥέον ἀποπέμπον ἔξω. ἕτερον δὲ εἰσδεχόμενος ἐς τὸ ὅμοιον αἰεὶ καθιστάμενος. τὰ δ᾽ ὑγρὰ ἕλκει καὶ ποιέει νούσους. ἄμφω δὲ ἐν ἀκηδίῃ καταγυῇ τὴν φύσιν. καὶ ἢν πάθῃ δύνεσον κακίᾳ. τὰ μὲν γὰρ πάθη τῆς φύσεως οἱ προειρημένοι ῥόοι δυσφορέουσι τὸ πλῆθος. καὶ ὀδάξονται τὸ ἄλογον καὶ οὐ ξυνήθες ὄν. ὁ δὲ ἐγκέφαλος, πῆμα ἴσχει. καὶ αὐτὸς οὐχ ὑγιαίνων. ἀλλ᾽ εἰ μὲν διακνοῖτο, ταραχὴν πουλλὴν ἴσχει. καὶ ὁ νόος ἀφρενεῖ. καὶ ὁ ἐγκέφαλος σπᾶται καὶ ἕλκει τὸν ὅλον ἄνθρωπον, ἐνίοτε δ᾽ οὐ φωνέει καὶ πνίγεται, ἀποπληξίη τῷ πάθει τοὔνομα. ἀλλ᾽ ὅτε δὲ δριμὺ μὲν οὐ ποιέει αὐτῷ τὸ ῥεῦμα. πλῆθος δ᾽ ὂν τὸ ἔμπεσον πονέει τοῦτο καὶ ἡ γνώμη ταράττεται. καὶ παρίησιν ἀλλοῖα φρονῶν, καὶ ἀλλοῖα ὁρέων. φέρων τὸ ἦθος τῆς νούσου ἐσηρόσει μυδήμασι καὶ ἀλλοκότοισι φαντάσμασιν. ἄλλος ῥόος ἐπ᾽ ὀφθαλμοὺς, ὀφθαλμία. καὶ οἰδέουσιν αἱ ὄψεις. εἰ δὲ ἐπὶ ῥῖνας ὁ καταῤῥοῦς, ὀδάξονται μυκτῆρας καὶ ἄλλο οὐδὲν δεινόν. αἵ τε γὰρ ὁδοὶ τουτέων εὐρέες καὶ ἱκαναὶ τιμωρέειν σφίσιν. πρὸς δὲ καὶ ἀσύστροφον τὸ ἄπιον αὐτέῃσι. τὰ δὲ οὔατα, σκολιὸς μὲν πόρος καὶ στενός. ὁ δ᾽ ἐγκέφαλος, πλησίον αὐτέου αὐτοῖσιν ἐμπιέζεται. νοσέω δὲ τὴν νοῦσον ταύτην τὰ πολλὰ ἀποκρίνει. καὶ τὸ οὖς ἀπὸ τῆς πυκινῆς ῥοῆς ἀνὰ χρόνον ὠεισαί τε καὶ ῥέει δυσῶδες πύον. οὕτως ἐς τὰ ἔξω δῆλοι τῶν ὀφθαλμῶν ῥόοι, καὶ οὐ πάμπαν θανατώδεες. ἢν δὲ ὀπίσω τὸ ῥεῦμα ἡ δι᾽ ὑπερῴης τὸ ἀφικνεόμενον φλέγμα ἐς τὴν κοιλίην. ῥέουσι μὲν καὶ αἱ κοιλίαι τουτέων. νοσέουσι δὲ, οὐ. ἀναμένοντος κάτω τοῦ φλέγματος, εἰλεοὶ τὰ πάθη χρόνια. ἄλλοις δ᾽ ὑπερῴης ἐπὶ φάρυγγα, ἢν πουλὺ ῥυῇ. καὶ ἐπὶ πουλὺ αἱ νοῦσοι φθινάδες. κορίσκονται γὰρ τοῦ φλέγματος οἱ πνεύμονες. καὶ γίνεται ὅ τε πύον τοῦτο διεσθίει τοὺς πνεύμονας. καὶ οἱ νοσέοντες, οὐ ῥᾷον περιγίνονται. καὶ ἡ γνώμη τοῦ ἰητροῦ, καὶ ἢν ἀγαθὸς, καὶ ἢν ἀγχίνοος τὰ πολλὰ ξυντέει τῆς προφάσιος. ἀλλ᾽ ἡ νοῦσος διὰ φλεβῶν ἐπὶ νωτιαῖον ἀπὸ καταῤῥοῦ κεφαλῆς. ἀΐσσει δὲ ἐνταῦθα ἐπὶ ἱερὸν ὀστέον ἄγων τὴν ἐπιῤῥοὴν ὁ νωτιαῖος, καὶ ἐναπέθετο τῇσι κοτύλῃσι τῶν ἰσχίων ἰσχία. καὶ ἢν ποιέῃ φθίσιν καὶ μαραίνεται ὁ ἄνθρωπος ὧδε καὶ ὧδε. καὶ ζώειν οὐκ ἐθέλει. ταχὺ γὰρ πονέει τὴν σπάθην. καὶ ἅμα τὼ πόδε καὶ μηρὼ παρέπονται καὶ αἰεὶ τελέως ὄλλυνται χρόνῳ πολλῷ, μελεδαινόμενοι καὶ οὔτε ἀπήνδηκε καὶ θνήσκει. ταῦτά μοι ῥόων

ἀπὸ κεφαλῆς εἴρηται. καὶ παίδεια ἐγκεφάλου καὶ ἄλλαι νοῦσοι. παραφροσύναι. καὶ μανίαι. καὶ πάντα ἐπικίνδυνα, καὶ πονέει ὁ ἐγκέφαλος καὶ αἱ ἄλλαι ἀδένες. ἔχει γὰρ καὶ τόνον, καὶ ἄλλην ξυνόδους ἐνταῦθα πάλιν τοῦ σώματος. ἀλλὰ καὶ ἀδένες ἐν τοῖσι στήθεσι μαζοὶ καλέονται, καὶ ἀείρονται καὶ γάλα ποιέουσιν. οἷς δὲ οὐ ποιέουσι γάλα. ποιέουσι μὲν αἱ γυναῖκες. οἱ δὲ ἄνδρες οὐ ποιέουσι. τῇσι μὲν γυναιξὶν ἀραιή τε ἡ φύσις καὶ κατὰ τὴν ἀδένων, ὥσπερ τὸ ἄλλο σῶμα, καὶ τὴν τροφὴν ἥν τινα ἕλκουσιν ἐπὶ σφᾶς, ἀλλοιοῦσιν ἐς τὸ γάλα. καὶ ἀπὸ τῆς μήτρης παραφαίνεται ἐπὶ τοὺς μαζοὺς ἐς τὴν μετὰ τὸν τόκον τῷ παιδίῳ τροφὴν ἥν τινα ἀποπιέζει, εἰ καὶ ὑπερβάλλει τὸ ἐπιπολοιὸν ἐς τὰ ἄνω στενοχωρούμενον ὑπὸ τοῦ ἐμβρύου. τοῖσι δὲ ἄρρεσι καὶ ἡ στενοχωρίη καὶ ἡ πυκνότης τοῦ σώματος μετασυμβάλλεται μὴ εἶναι μεγάλας τὰς ἀδένας. τὸ γὰρ ἄρρεν, ἀστόν ἐστι, καὶ οἷον εἷμα πυκνὸν καὶ ὁρέοντι καὶ ἐπαφωμένῳ. τὸ δὲ θῆλυ ἀραιὸν καὶ χαῦνον. καὶ οἱονεὶ ἔριον ὁρέοντι καὶ ἐπαφωμένῳ. ὥστε τὴν ὑγρασίην, οὐ μεθίησι τὸ ἀραιὸν καὶ μαλθακόν. τὸ δὲ ἄρσεν, οὐκ ἄν τι προσδέξαιτο, πυκνόν τε ἐὸν καὶ ἀστεργὲς, καὶ ὁ πόνος κρατύνει αὐτοῦ τὸ σῶμα. ὥστε οὐκ ἔχει δι' οὗ λήψεται τὸ τῶν περιττῶν οὕτως ἀναγκάζει. ὁ δὲ λόγος καὶ στήθεα καὶ μαζοὺς καὶ τὸ ἄλλο σῶμα τοῖσι γυναιξὶν, χαῦνα καὶ μαλακὰ εἶναι, καὶ διὰ τὴν ἀργείην, καὶ διὰ τὰ προειρημένα. τοῖσι δὲ ἀνδράσι τὰ ἐναντία. ποιέουσι καὶ μαζοὶ φύματα, φλεγμονὰς, τὸ γάλα ἀποσήποντες. ἀγαθὰ δὲ ἔχουσιν τοῖσιν ἔμπροσθεν ὅμοια. ἀποστηρίζουσι τὴν πλεονεξίην τοῦ ἄλλου σώματος. μαρτύριον τῇσι γυναιξὶν, ἧσιν ἀφαιρεῖται νοῦσος, ἢ ἄλλη τις ξυμφορὰ μαζὸς καὶ ἡ φωνὴ θρασεῖα καὶ ὑγρὰ ἐς στόμαχον, καὶ πτυελίζουσιν, καὶ τὴν κεφαλὴν ἀλγέουσιν, καὶ ἀπὸ τῆσδε νοσέουσιν. ἰὸν γὰρ ἀπὸ τῆς μήτρης καὶ ἐπιρρέον τὸ γάλα, ὥσπερ μεθίει καὶ ἔμπροσθεν ἐς τὰ ἄνω τεύχεα, τὰ οἰκεῖα οὐκ ἔχον τεύχεα, συντυγχάνει τοῖσι κυρίοις τοῦ σώματος καρδίῃ, πνεύμονι καὶ ἀποπνίγονται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΟΣΤΕΩΝ ΦΥΣΙΟΣ.

Στέα χειρὸς εἰκοσιεπτά. ποδὸς, εἰκοσιτέσσαρα. τραχήλου ἐς τὸν μέγαν, ἑπτά. ὀσφύος, πέντε. ῥάχιος εἴκοσι. κεφαλῆς ξὺν ἐπωπίοις ὀκτώ. ξύμπαντα. ϙα. ξὺν ὄνυξιν. ρια. διῄρηνται αὐτοὶ τοῦ ἀνθρώπου ὀστέων κατὰ μάθημα. σπόνδυλοι οἱ ἄνω τῆς κληῗδος σὺν τῷ μεγάλῳ ἑπτά. οἱ δὲ κατὰ τὰς πλευρὰς, ὅσαι περ αἱ πλευραὶ, ιβ. οἱ δὲ κατὰ κενεῶνας ἐκ τῶν ἐν τοῖς ἰσχίοις ἐν τῇ ὀσφύϊ, πέντε. τὸ δὲ σῶμα ὃ δὴ κεῖται ἑκατέρωθεν τῆς κύστιος. ἐκ δ' αὐτῆς φλέβες ἑκατέρωθεν τοῦ οὐρητῆρος ἐς τὸ αἰδοῖον τείνουσι. πόρον, διὰ φάρυγγος καὶ στομάχου. λάρυγξ, ἐς πλεύμονα καὶ ἀρτηρίην. ἀπὸ δὲ τούτων, ἐς ἄκρην κύστιν ἧπαρ, πέντε λοβοί. ἐπὶ δὲ τοῦ τετάρτου λοβοῦ, ἐπίκειται ἡ χολή. ἡ δὲ στόμα ἐπὶ φρένας καὶ καρδίην, καὶ πλεύμονα φορέει. καρδίην, ὑμὴν περιέχει. τὰ κῶλα ἔχει κοινῶς μείζω. ἤρτηται δὲ ἐκ τῶν μεσοκώλων. ταῦτα δὲ ἐκ νεύρων ἀπὸ τῆς ῥάχιος ὑπὸ τὴν γαστέρα. νεφροὶ, ἐκ νεύρων ἀπὸ ῥάχιος καὶ ἀρτηρίης. καρδίης πηγὴ ξυμπάσης, φλὲψ τείνει διὰ φρενῶν. ἧπαρ. σπλήν. νεφρῶν ἐς ἰσχίον. περὶ γαστροκνημίην. ἐπὶ τὸν ταρσόν. ἑτέρη δὲ ἐκ καρδίης, ὑπὸ μασχάλας. κληῗδας. σφαγάς. κεφαλήν. ῥῖνα. μέτωπον. παρὰ τὰ ὦτα. ὤμους μεταφρένων. στήθεα. γαστέρα. διὰ πήχεος. ἡ δὲ διὰ μασχάλων ἐπὶ πῆχυν, ἐπὶ ταρσόν. νεύρων ἔκφυσις ἀπὸ τοῦ ἰνίου ἄχρι παρὰ ῥάχιν. παρὰ ἰσχίον. ἐς αἰδοῖα. ἐς μηρούς. πόδας. κνήμας. ἐς χεῖρας. ἀλλ' ἐς βραχίονας. τὰ μὲν, ἐς σάρκας. τὰ δὲ, παρὰ τὴν περόνην, ἐς τὸν μέγαν δάκτυλον. τὰ δ' ἐκ τῶν σαρκῶν ἐπὶ τοὺς ἄλλους δακτύλους. ἀλλ' ὠμοπλάτην. στῆθος. γαστέρα. ὀστέοισι. συνδέσμοισιν. ἀπὸ δὲ αἰδοίου παρ' ἀρχὸν. κοτυληδόνα. τὸ μὲν ἄνωθεν μηροῦ. τὸ δὲ κάτωθεν ἐπὶ τὰ γούνατα. ἐντεῦθεν γὰρ γούνατι ξυνταθὲν, ἐπὶ τένοντα. πτέρναν. πόδας. τὸ δὲ ἐς περόνην. ἄλλα δ' ἐς τοὺς νεφρούς. αὗται δὲ αἱ φλέβες ἐφ' ἑκάτερα δίχη τὰ μέγιστα σχίζονται. τὰ μὲν, ἔνθεν τοῦ νεφροῦ ἑκατέρου. τὰ δὲ, ἔνθεν. καὶ διατέτανται ἐς τοὺς νεφρούς. καὶ εἶδος καρδίης οἱ νεφροὶ ἔχουσι, καὶ οὗτοι κοιλιώδεες. ὁ δὲ νεφρὸς τὰ κοῖλα ἑωυτοῦ πρὸς τὰς φλέβας ἔχων κεῖται τὰς μεγάλας, ὅθεν ἐκπεφύκασιν ἐξ αὐτέων αἱ φλέβες, αἱ ἐς κύστιν, ἢ εἵλκετο τὸ ποτὸν, διὰ τῶν φλεβῶν ἐς τοὺς νεφρούς. ἔπειθ' ὥσπερ καὶ διὰ τῶν νεφρῶν διηθεῖται τὸ ὕδωρ. καὶ δι' αὐτέων τουτέων τῶν ἐντέρων ὧν ξυνεπακολουθεῖ. σπογγοειδὲς γάρ ἐστι τὸ ἀπ' αὐτέων ἐς τὴν κύστιν. καὶ ἐνταῦθα διηθούμενον καὶ ἀποκρινόμενον ἀπὸ τοῦ αἵματος τὸ οὖρον, διὸ δὴ ἐρυθρόν ἐστιν. οὐδὲ γὰρ ἐς τοὺς νεφροὺς ἦσαν ἄλλαι φλέβες ἢ αἱ εἰρημέναι. οὐδ' ὅποι ἂν τὸ ποτὸν ξυντήκοιτο. ὅσον ἐγὼ οἶδα. αἱ περὶ τὰς πλευρὰς κατατείνουσαι, κάτωθεν εἰσὶν ἑκάστης τῆς πλευρέων, οὐ πρὸς κεφαλῆς. κατωτέρω δὲ καὶ ἀπὸ ἀρτηρίης. ἀρτηρίη μὲν, οὕτω εὐθὺ ὑπερβαίνουσα διαδιδοῖ τῇσι πλευρῇσι. ἀπὸ δὲ τῆς παχείης ἀπὸ καρδίης παλινδρομέει μία ἐς τὰ ἀριστερὰ ἐγκεκλεισμένη. ἔπειτα ἡ μὲν, διὰ μέσων σπονδύλων μέχρις ἄκρων πλευρέων πορεύεται, πλευρῇσιν οὐκ ἐξ ἴσου διαδιδοῦσα τοῖσι δεξιοῖσι τοῖσιν ἀριστεροῖσι διαχίδες ἄλλ' ἴσας μὲν, ἀνωτέρωθεν δὲ, ἐν τοῖσι δεξιοῖσιν ἀποσχίζεται. παρὰ δὲ κληῗδος ἑκατέρης τὴν φλεβῶν. δύο μὲν, ἄνω. δύο δὲ, ὑπὸ τὸ στῆθος. αἱ μὲν, ἐς δεξιά. αἱ δὲ, ἐς ἀριστερὰ ἀποσχισθεῖσαι ἀποσχίδες. ἐὰν πρὸς αὐχένος μὲν μᾶλλον αὗται. δύο δὲ πρὸς καρδίην μᾶλλον. αἱ μὲν, ἐπὶ δεξιά. αἱ δὲ, ἐπ' ἀριστερά. ἀφ' ἑκατέρης

παρὰ

παρὰ τὰς πλευράς. καὶ ἀπ' αὐτέων, ὥσπερ αἱ κάτω ἐσχίζοντο μέχρις ὅτου ξυμμίξαι τῇ κάτω παλινδρομησάσῃ ἀπὸ καρδίης. ἡ δὲ αἱμόρροις, ἀπὸ τῆς ἀρτηρίης ταύτης διὰ τοῦτο ἐσχίσθη, ὅτι μετέωρος ἐνταῦθά ἐστι, διὰ καρδίας πορευομένη. τὰ δὲ κάτω πλευρέων, ἡ αἱμόρροις ἡ παχείη καλεομένη φλὲψ, τοῖσι σφονδύλοισιν αὖθις ἐφ' ἑωυτῆς διαδιδοῖ. καὶ ἐνταῦθα προσέχεται, καὶ οὐκέτι κρέμαται ὥσπερ ἄνω δι' ἥπατος ἰοῦσα. ἔστι δὲ κατὰ μὲν ὀσφὺν ἄνω ἡ ἀρτηρίη. ὑποκάτω δὲ, ἡ αἱμόρροις, ἡ ἀπὸ τοῦ ἥπατος διὰ φρενῶν ἐλθοῦσα μετέωρος, παρὰ τὰ ἐπιδέξια τῆς καρδίης φέρεται ἄχρι κληῗδων, ἐπὶ πλείην ὅσον αὐτῇ τῇ καρδίῃ κοινωνέει. τὰ μὲν κατ' αὐτὴν σχιζόμενα ἐπιπολαιότερα. τὰ δὲ τὴν κοιλίην τῆς καρδίας διέχονται. ἔπειτα ἀπὸ τῆς καρδίας τὸ ἐπ' ἀριστερὰ καθῆκται ἀπολὺ πρὸς ῥάχιν παλινδρομέει. ἐς μὲν τὸ ἄνω μέχρι τοῦ σώματος, ἄχρι τῶν ἀνωτάτω πλευρέων. καὶ ἀποσχίδας ἀφ' ἑωυτῆς ἔχει παρ' ἑκάστην πλευρὴν παρατεταμένας κατὰ φύσιν ἄχρι στήθεος συνοχωχῆς. καὶ ἐπ' ἀριστερά. καὶ ἐπὶ δεξιά. καὶ τὸ ἰθὺ αὐτέης, πρὸς σφονδύλῳ μᾶλλόν ἐστιν. ἢ ὁ τῆς ἀρτηρίης τόνος, καὶ ὁ τῆς ἀπὸ τοῦ ἥπατος φλεβός. πρὸς δὲ τὸ κάτω μέρος τῆς καρδίης ὁ μὲν ἰθὺς τόνος ἀπ' αὐτέης πρὸς σφονδύλῳ μᾶλλόν ἐστιν, ἢ ὁ τῆς ἀρτηρίης. ὁ δ' ἕτερος ὁ παρὰ καρδίην καὶ ἐς τὰ κάτω μέρη φρενῶν ἐξάπτετο τὰ πρὸς ῥάχιος ἠρτημένα. ἐντεῦθεν δὲ, ἀποσχίδες ἐς ἰθὺ ἕκαστον ἐπιφέρεται, δι' ὀστέων καὶ σαρκῶν περὶ συνωθεῖσαι ἀλλήλαις. αἱ φλέβες δὲ αἱ παχεῖαι, ὧδε πεφύκασιν ἐκ τοῦ ὀφθαλμοῦ παρὰ τὴν ὀφρύν, διὰ τοῦ νώτου, παρὰ τὸν πλεύμονα ὑπὸ τοῦ στήθεος. ἡ μὲν ἐκ τοῦ δεξιοῦ, ἐς τὸ ἀριστερόν. ἡ δὲ ἐκ τοῦ ἀριστεροῦ, ἐς τὸ δεξιόν. ἡ μὲν οὖν ἐκ τοῦ ἀριστεροῦ διὰ τοῦ ἥπατος ἐς τὸν νεφρὸν καὶ τὸν ὄρχιν. ἡ δὲ ἐκ τοῦ δεξιοῦ, ἐς τὸν σπλῆνα καὶ νεφρὸν καὶ ὄρχιν. ταύτῃσι δὲ τὸ στόμα, αἰδοῖον. ἀπὸ δὲ τοῦ δεξιοῦ τιτθοῦ, ἐς τὸ ἀριστερὸν ἰσχίον, καὶ ἐς τὸ σκέλος. καὶ ἀπὸ τοῦ ἀριστεροῦ ἐς τὰ δεξιά. ὁ δὲ ὀφθαλμὸς ὁ δεξιὸς, ἐκ τοῦ ἀριστεροῦ. καὶ ὁ ὄρχις κατὰ τὸν αὐτὸν τρόπον ἐκ τοῦ δεξιοῦ ὁ ἀριστερός. αἱ παχύταται τῶν φλεβῶν, ὧδε πεφύκασι. τέσσαρες ζεύγεά εἰσιν ἐν τῷ σώματι. καὶ αἱ μὲν αὐτέων, ἀπὸ τῆς κεφαλῆς ὄπισθεν διὰ τοῦ αὐχένος, ἔξωθεν παρὰ τὴν ῥάχιν ἔνθεν καὶ ἔνθεν ἐς τὰ ἰσχία ἀφικνέεται καὶ ἐς τὰ σκέλεα. ἔπειτα διὰ τῶν κνημέων ἐπὶ τῶν σφυρῶν τὰ ἔξω καὶ ἐς τοὺς πόδας ἀφικνεῖ. δεῖ οὖν τὰς φλεβοτομίας ἐπὶ τῶν ἀλγημάτων τῶν ἐν τῷ νώτῳ καὶ ἐν τοῖσιν ἰσχίοισιν ἀπὸ τῶν ἰγνύων ποιέεσθαι, καὶ ἀπὸ τῶν σφυρῶν ἔξωθεν. αἱ δὲ δεύτεραι φλέβες ἐκ τῆς κεφαλῆς παρὰ τὰ ὦτα διὰ τοῦ αὐχένος, σφαγίτιδες καλεόμεναι, ἔσωθεν παρὰ τὴν ῥάχιν. ἑκατέρωθεν φέρονται παρὰ τὰς ψόας ἐς τοὺς ὄρχιας καὶ ἐς τοὺς μηρούς. καὶ ἰγνύων ἐκ τοῦ ἔξωθεν μέρεος. ἔπειτα διὰ τῶν κνημέων ἐπὶ τὰ σφυρὰ τὰ ἔσωθεν καὶ τοὺς πόδας. δεῖ οὖν τὰς φλεβοτομίας ποιέεσθαι πρὸς τὰς ὀδύνας τὰς ἀπὸ τῶν ψοῶν καὶ τῶν ὀρχίων, ἀπὸ τῶν ἰγνύων καὶ ἀπὸ τῶν σφυρῶν ἔσωθεν. αἱ δὲ τρίται φλέβες ἐκ τῶν κροτάφων, διὰ τοῦ αὐχένος ἐπὶ τὰς ὠμοπλάτας, ἔπειτα ξυμφέρονται ἐς τὸν πλεύμονα. καὶ ἀφικνέεται ἡ μὲν ἀπὸ τῶν δεξιῶν ἐς τὰ ἀριστερὰ ὑπὸ τὸν μαζὸν καὶ ἐς τὸν σπλῆνα, καὶ ἐς τὸν νεφρόν. ἡ δ' ἀπὸ τῶν ἀριστερῶν ἐς τὰ δεξιὰ ἐκ τοῦ πλεύμονος ὑπὸ τὸν μαζὸν, καὶ ἐς τὸ ἧπαρ, καὶ ἐς τὸν νεφρόν. τελευτῶσι δὲ ἐς τὸν ἀρχὸν αὗται ἀμφότεραι. αἱ δὲ τέταρται ἀπὸ τοῦ ἔμπροσθεν τῆς κεφαλῆς καὶ τῶν ὀφθαλμῶν ὑπὸ τὸν αὐχένα, καὶ ὑπὸ τὰς κληῗδας. ἔπειτα ἀπὸ τῶν βραχιόνων ἄνωθεν, ὑπὸ τὰς συγκαμπάς. ἔπειτα διὰ τῶν πήχεων ἐς τοὺς καρποὺς καὶ τοὺς δακτύλους. ἔπειτα πάλιν ἀπὸ τῶν δακτύλων, διὰ τῶν στηθέων καὶ τῶν πήχεων τῶν χειρῶν, ἐς τὰς ξυγκαμπάς. διὰ δὲ τῶν βραχιόνων καὶ τοῦ κάτωθεν μέρεος, ἐς τὰς μασχάλας, καὶ ἐκ τῶν πλευρέων ἄνωθεν. ἡ μὲν, ἐς τὸν σπλῆνα ἀφικνέεται. ἡ δὲ, ἐς τὸ ἧπαρ. ἔπειτα ὑπὲρ τῆς γαστρὸς ἐς τὸ αἰδοῖον τελευτῶσιν ἀμφότεραι. καὶ αἱ μὲν παχεῖαι τῶν φλεβῶν, οὕτω πεφύκασιν. εἰσὶ δὲ καὶ ἀπὸ τῆς κοιλίης φλέβες ἀνὰ τὸ σῶμα πολλαί τε καὶ παντοῖαι, δι' ὧν ἡ τροφὴ τῷ σώματι ἔρχεται. φέρουσι δὲ καὶ ἀπὸ τῶν παχειῶν φλεβῶν, ἐς τὴν κοιλίην καὶ τὸ ἄλλο σῶμα, καὶ ἀπὸ τῶν ἔξω τάτω, καὶ ἀπὸ τῶν ἐσωτάτω. καὶ ἐς ἀλλήλας διαδιδόασιν. αἵ τε ἔσωθεν ἔξω, καὶ αἱ ἔξωθεν ἔσω. τὰς οὖν φλεβοτομίας ποιέεσθαι χρὴ, κατὰ τοὺς δὲ τοὺς τρόπους. ἐπιτηδεύειν δὲ δεῖ τὰς τομὰς, ὡς προσωτάτω τάμνειν ἀπὸ χωρίων, ἔνθα ἂν αἱ ὀδύναι μεμαθήκωσι γίνεσθαι. καὶ τὸ αἷμα ξυλλέγεσθαι. οὕτω γὰρ ἂν ἥκιστα ἥ τε μεταβολὴ γίνοιτο μεγάλη ἐξαπίνης, καὶ τὸ ἔθος μεταστήσειας ἄν, ὥστε μηκέτι ἐς τὸ αὐτὸ χωρίον ξυλλέγεσθαι. ἡ δὲ ἡπατῖτις ἐν ὀσφύϊ, μέχρι τοῦ μεγάλου σπονδύλου, κάτωθεν καὶ σπονδύλοισι προσδιδοῖ. ἐντεῦθεν μετέωρος, καὶ διὰ φρενῶν ἐς καρδίην. καὶ ἡ μὲν εὐθεῖα, ἐς κληῗδας. ἐντεῦθεν δὲ, αἱ μὲν ἐς τράχηλον, αἱ δ' ἐπ' ὠμοπλάτας. αἱ δὲ ἀποκαμφθεῖσαι κάτω, παρὰ σπονδύλους καὶ πλευρὰς, ἀποκλίνουσιν. ἐξ ἀριστερῶν μὲν, μία ἐγγὺς κληῗδων. ἐκ δεξιῶν δὲ, ἐπί τι αὕτης χωρίον. ἄλλη δὲ ἑκατέρωθεν ἀποκαμφθεῖσα. ἄλλη δὲ σμικρὸν κατώτερον ἀποκαμφθεῖσα, ὅθεν μὲν ἐκείνη ἀπέλιπε προσέδωκε τῇσι πλευρῇσιν, ἐς ἂν τῇ ἐπ' αὐτέης τῆς καρδίης προστύχῃ ἐπικαμπτομένη ἐς τὰ ἀριστερά. ἀποκαμφθεῖσα δὲ κάτω, ἐπὶ σφονδύλους καταβαίνει, ἔστ' ἂν ἀφίκηται. καὶ ἔνθεν ἤρξατο μετεωρίζεσθαι ἀποδιδοῦσα τῇσι πλευρῇσι, καὶ τῇσιν ἐπιλοίποις ἁπάσαις, καὶ ἔνθεν καὶ ἔνθεν ἀποσχίδας παρ' ἑκάστην διδοῦσα μία ἐοῦσα. ἀπὸ μὲν τῆς καρδίης ἐπί τι χωρίον ἐν τοῖσιν ἀριστεροῖσι μᾶλλον ἐοῦσα. ἔπειτα ὑποκάτω τῆς ἀρτηρίης, ἔστ' ἂν καταναλωθῇ, ὅθεν ἡ ἡπατῖτις ἐμετεωρίσθη. πρότερον δὲ πρὶν ἐνταῦθα ἐλθεῖν, παρὰ τὰς ἐσχάτας δύο πλευρὰς, ἐδιχώθη. καὶ ἡ μὲν ἔνθα. ἡ δὲ ἔνθα. ἡ δ' ἔνθα τῶν σφονδύλων ἐλθοῦσα, κατηναλώθη. ἡ δὲ εὐθεῖα ἀπὸ καρδίης πρὸς κληῗδας τείνουσα, ἄνωθεν τῆς ἀρτηρίης

δεῖ. καὶ ἀπὸ ταύτης ὥσπερ καὶ παρ᾽ ὀσφὺν κάτωθεν τῆς ἀρτηρίης. καὶ ἀπὸ ταύτης, αἱ ὅσαι ἐς τὸ ἧπαρ. ἡ μὲν ἐπὶ πύλας καὶ λοβόν. ἡ δὲ ἐς τὸ ἄλλο. ἑξῆς ἀφορμὴ κεῖται μικρὸν κάτωθεν τῶν φρενῶν. φρένες δὲ προσπεφύκασι τῷ ἥπατι, ἃς οὐ ῥᾴδιον χωρίσαι. δισσαὶ δ᾽ ἀπὸ κληΐδων, αἱ μὲν ἔνθεν, αἱ δὲ, ἔνθεν ὑπὸ στῆθος ἐς ἦτρον. ὅποι δὲ ἐντεῦθεν, οὔπω οἶδα. φρένες δὲ κατὰ τὸν σπόνδυλον τὸν κατὰ τὰς πλευρὰς, ᾗ νεφρὸς διὰ ἀρτηρίης ταύτῃ ἀμφιβεβήκασι. αἱ ἀρτηρίαι δὲ ἐκ τουτέου ἐκπεφύκασιν ἔνθεν καὶ ἔνθεν, ἀρτηρίῃσι φόρον ἔχουσαι. ταύτῃ τῇ παλινδρομησάσῃ ἀπὸ καρδίης, ἡ ἡπατῖτις ἔληγεν. ἀπὸ δὲ τῆς ἡπατίτιδος διὰ τῶν φρενῶν αἱ μέγισται δύο. ἡ μὲν, ἔνθεν. ἡ δὲ, ἔνθεν φέρονται μετέωροι. πολυσχιδέες δὲ διὰ τῶν φρενῶν εἰσιν, ἀμφὶ ταύτας καὶ πεφύκασιν, ἄνωθεν δὲ φρενῶν. αὗται δὲ μᾶλλόν τι ἐμφανέες. δύο δὲ παχέες τόνοι ἀπ᾽ ἐγκεφάλου ὑπὸ τὸ ὀστέον τοῦ μεγάλου σφονδύλου ἄνωθεν, καὶ πρὸς τοῦ στομάχου μᾶλλον ἑκατέρωθεν τῆς ἀρτηρίης παρελθὼν ἑκάτερος εἰς ἑαυτὸν ἦλθον ἴκελος ὤν. ἔπειτα οἱ σφόνδυλοι καὶ φρένες, πεφύκασιν ἐνταῦθα, οὗ ἐτελεύτα. καί τινες ἐνδοιαστοὶ πρὸς ἧπαρ καὶ σπλῆνα ἀπὸ τούτου τοῦ κοινωνήματος ἐδόκεον τείνειν. ἄλλος τόνος ἑκατέρωθεν ἐκ τῶν κατὰ κληῗδα σφονδύλων παρὰ ῥάχιν παρατείνει. ἐκ πλαγίου σφονδύλου, καὶ τῇσι πλευρῇσιν ἀπένεμον. ὥσπερ αἱ φλέβες οὗτοι διὰ φρενῶν ἐς μεσεντέριόν μοι δοκέουσι τείνειν. ὅθεν δὲ αὗται ἐξέλιπον, αὖθις ἔνθεν φρένες ἐκπεφύκασιν ἀπὸ τῶν ξυνεχέες ἐόντες, κατὰ μέσον κάτωθεν ἀρτηρίης. τὸ ἐπίλοιπον, παρὰ σπονδύλους ἀπεδίδου. ὥσπερ αἱ φλέβες, μέχρι κατηναλώθησαν πρὶν διελόντες τὸ ἱερὸν ὀστέον. τὰ ὀστέα τῷ σώματι, στάσιν, καὶ ὀρθότητα, καὶ εἶδος παρέχονται. τὰ δὲ νεῦρα, κάμπτειν, καὶ ξυντάσιν, καὶ ἔκτασιν. αἱ δὲ σάρκες καὶ τὸ δέρμα, πάντων ξύνδεσιν, καὶ ξύνταξιν. αἱ φλέβες διὰ τοῦ σώματος κεχυμέναι, πνεῦμα, καὶ ῥεῦμα, καὶ κίνησιν παρέχονται. ἀπὸ μιῆς πολλαὶ διαβλαστάνουσαι. καὶ αὕτη μὲν ἡ μία ὅθεν ἦρκται, καὶ ᾗ τετελεύτηκεν, οὐκ οἶδα. κύκλου γὰρ γεγενημένου, ἀρχὴ οὐχ εὑρέθη. τὰς δ᾽ ἀποφυάδας αὐτῶν, ὅθεν ἤρτηνται καὶ ᾗ [illegible] τοῦ σώματος. καὶ ὡς ἡ μία ταύτῃσιν ὁμολογέει. καὶ ἐν ὁποίοις τόποις τέτακται τοῦ σώματος, ἐγὼ δηλώσω. ἀπὸ μὲν γὰρ τῆς κεφαλῆς κατὰ τὸ μέσον ἐκ πλαγίου περαίνεται, ἡ φλέψ. αὕτη πλατεῖα καὶ λεπτὴ, καὶ πολύαιμος. τῷ γὰρ ἐγκεφάλῳ κατὰ τὰς ἁρμονίας ἐνερρίζωκε πολλὰ καὶ λεπτὰ φλέβια. καὶ περὶ τὴν ὅλην κεφαλὴν ἐκ τεσσάρων ἔσω μέχρι τοῦ μετώπου, καὶ τῶν κροτάφων. αὕτη δὲ ἀπωθεῖται ἐς τοὐπίσθεν τῆς κεφαλῆς ἐκ πρὸς περὶ τῆς ἀκάνθης τὸ δέρμα. ἐντεῦθεν δὲ καθίεται περὶ τὴν ἔξωθεν καὶ τὴν ἔσωθεν φλέβα τῶν ἐν τῇσι σφαγῇσι. πρὶν δὲ τῆς ἀκοῆς ὑποχωρέουσα ἀπὸ τοῦ γένυος ἔξωθεν τείνει παχεῖα. ἀπὸ δὲ ταύτης ἐς τὴν γλῶσσαν, πολλαὶ καὶ λεπταί. πλὴν ἡ ὑπὸ τὴν γλῶσσαν, ἡ ὑπὸ τοὺς γομφίους. αὕτη δὲ παχείη διὰ τῆς κληΐδος καθήκει ὑπὸ τὴν ὠμοπλάτην. καὶ ταύτῃ ἀπ᾽ αὐτῆς βεβλάστηκε φλέψ, διὰ τοῦ νεύρου τοῦ ὑπὸ τὴν ἐπωμίδα τῆς ἐπωμιαίης ὀνομαζομένης. αὕτη δὲ αἱμόρρους καὶ αἱματώδης, καὶ δυσίητος ἢν ἄρχῃ ἢ ἀποκαθῇ. τῇ μὲν γὰρ αὐτέῃ, νεῦρον περιέχει πλατύ. τῇ δὲ χόνδρος. τὸ δὲ μεταξὺ τούτων, αὐτή τε ξυνέχει, καὶ ὑμὴν ἀφρώδης. ἀσάρκου δὲ ἐόντος τοῦ τόπου, ῥηϊδίως ῥήγνυται οὐκ ἔχουσα περιφύεσθαι σάρκας. ἤν τε ὑποδράμῃ ἐς τὸ αἷμα τοῦτο μόριον ἐπιτυχὸν εὐρυχωρίης, οὐκ ἔχει ἀπαλλαγὴν, ἀλλὰ σκληρύνεται. σκληρυνθὲν δὲ, νοῦσον καὶ πόνον παρέχει. αὕτη μὲν περαίνει, ἣν πρότερον εἶπον. ἡ δὲ ὑπὸ τὴν ὠμοπλάτην ἀποβεβλάστηκεν ὑπὸ τοῖσι μαζοῖσι, πυκνῇσι καὶ λεπτῇσι καὶ ἐπηλλαγμένῃσι φλεψί. καὶ διὰ τῆς ἐπωμιαίης παραλλάσσουσα τὸν χόνδρον. αὐτὴν ὄρθιον ὑπονεμομένη, ἐς τὸν βραχίονα τείνει, τὸν μὲν ἐν ἀριστερᾷ ἔχουσα. ἡ δὲ δεξιὴ, σχίζεται αὕτη περὶ τὸν ὦμον, καὶ τοῦ ἀγκῶνος τὴν ἄνω μοῖραν. τὸ δ᾽ ἐντεῦθεν διαπέφυκε τοῦ ἀγκῶνος ἑκατέρωθεν. ἔπειτα αὖθις περὶ τὸν καρπὸν τῆς χειρός. ἐντεῦθεν δὲ ἤδη ἀπορρέουσα διόλου ἀνὰ τὴν χεῖρα πολυπλανέως ἐρρίζωται. ἡ δ᾽ ἀρχαίη φλὲψ ἡ νεμομένη περὶ τὴν ἄκανθαν, διὰ δὲ τοῦ μεταφρένου τῆς σφαγῆς καὶ τοῦ βρόγχου, ἐμπέφυκεν ἐς τὴν καρδίην. ἀφ᾽ ἑωυτῆς φλέβας εὐμεγέθεα πολύστομον κατὰ τὴν καρδίην. ἐντεῦθεν δὲ ἐς τὸ στόμα ἐσυρίγγωκεν. ἡ περ ἀρτηρίη διὰ τοῦ πλεύμονος ὀνομάζεται, ὀλιγαιμός τε καὶ πνευματώδης. ἐν γὰρ εὐρυχωρίῃ καὶ ἀραιώσει. σπλάγχνου πολλαχῆ μὲν τοῦ πλεύμονος ὀχετεύεται. χονδρώδης δὲ τοὺς ἄλλους πεποίηται. διὸ δὴ καὶ ἤν τις ἐς ταύτας κατενέχθῃ τὰς διόδους τοῦ πλεύμονος τῶν ἀνθέων, ἢ ἐν τῷ ποτῷ, ἢ ἐν τῇ τοῦ πνεύματός τε καὶ αἵματος διόδῳ. ἅτε τῶν φλεβῶν τοιουτέων ἐουσέων, καὶ τοῦ σπλάγχνου σπογγοειδέος πολύ τε ὑγρὸν δυναμένου δέξασθαι ἄνω τε πεφυκότος. τῶν γὰρ ἐλθόντων ὑγρῶν, νόμος καθέστηκεν. ἔτι τε τὸ αἷμα διὰ τῶν φλεβῶν τούτων, οὐ πολὺ περισφύζεται. καὶ οὐ ταχέως χωρέον, οὐκ ἐξάγει τὰ ἐμπίπτοντα. οὐχ ὑπεξαγομένων δὲ αὐτῶν, ἀλλ᾽ ἐμμενόντων, γίνεται πῶρος. οὗτος δὲ ἀπολλύεται τὸ πλησιάζον τῆς ῥοφῆς ταύτης ἐούσης τῆς προσαγωγῆς τοῦ λάρυγγος, καὶ πρὸς τὰ ἔξω. ἐγκαταλαμβανομένων δὲ τῶν διόδων ὑπὸ τοῦ πώρου, τὰ [illegible] τε καὶ δύσπνοια ἴσχει. τῶν δὲ μὴ δυναμένων τὴν φύσιν ἐξεῖναι τῇ δὲ οὐκ εὐπόρως ἐχόντων καταστάσιν. ἐκ δὴ τοιουτέων αἱ τοιαῦται νοῦσοι γίνονται. οἷα ἄσθματα, καὶ ξηραὶ φθινάδες. ἢν δὲ ἐν αὐτοῖσι ξυνιστάμενον πλέον τὸ ὑγρὸν κρατήσῃ, ὥστε μὴ δύνασθαι παχυνθὲν πλαγῆναι, καὶ σαπὲν τὸν πλεύμονα ποιέει, καὶ τὰ πλησιάζοντα, καὶ γίνονται ἔμπυοί τε καὶ φθινώδεες. γίνεται δὲ τὰ νοσήματα ταῦτα, καὶ δι᾽ ἄλλας αἰτίας. ἐντεῦθεν δέ τε ἡ φλὲψ αὕτη κατέχει τὸν πλεύμονα. καὶ διὰ τῶν λοβῶν τῶν δύο τῶν μεγάλων τῶν ἔσω τεταμμένων ὑπὸ τὰς φρένας, ἐπιτέταται τῇ ἀκάνθῃ, λευκὴ καὶ νευρώδης, διαπέμπουσα φλέβια, διὰ τοῦ ἄλλου σώματος πεπυκνωμένα. ἔντονα δὲ διά τε τῶν σφονδύλων πυκνοῖσι φλεβίοισιν ἐς

σιν ἐς

σιν ἐς τὸν νωτιαῖον μυελὸν ἐγκισσεύεται. καὶ αἱ μὲν ἄλλαι φλέβες ἐν τῷ σώματι τεταγμέναι ἐκ πάντων τῶν μερῶν συντείνουσαι ἐς τὴν ἄκανθαν τὸ λεπτότατον καὶ εἰλικρινέστατον ἑκάστη ξυνάγουσαι, ἐνταῦθα ἐξερεύγεται. αὕτη δὲ ἡ ἐπιτεταγμένη διὰ τῶν καθειμένων πλεκτανέων, ἐς ταὐτὸ ξυνάγειν. ἐντεῦθεν δὲ καὶ ἐς τοὺς νεφροὺς ἀπερρίζωται, παρὰ τὴν νόθην πλευρὴν, λεπτῇσι καὶ ἰνώδεσι φλεψί. καὶ τὸ ἐντεῦθεν συντείνουσα συμπεπύκνωται. ἔπειτα καὶ νευροῦται πρὸς τὸν ἀρχὸν, πέσσουσά τε τοὺς ξυναγωγέας, ἐμπέφυκεν αὐτῷ τήν τε κύστιν, καὶ τοὺς ὄρχιας, καὶ τοὺς παραστάτας ἐρρίζωκε, πολυπλόκοισί τε λεπτῇσι, καὶ στερεῇσι, καὶ ἰνώδεσι φλεψίν. ἐντεῦθεν αὐτῆς τὸ παχύτατον καὶ ἰθύτατον ἀνάπαλιν ὥσπερ, προσκεκαύληκεν, ὅπερ ἐστὶν αἰδοῖον. ἐν δὲ τῇ ἀνακάμψει, ὅπερ ἐς τὰ αὐτὰ ταῦτα. καὶ διὰ τοῦ κτενὸς ἄνω ὑπὸ τὸ δέρμα τῆς γαστρὸς καὶ τῆς φλεβὸς αὐτέης ὡρμήκασι πρὸς τὰς κάτω φερούσας, αἳ ἐς ἀλλήλας ἐπωχετεύονται. διαπεφύκασι δὲ καὶ διὰ τοῦ αἰδοίου φλέβες παχεῖαι καὶ λεπταὶ, καὶ πυκναὶ, καὶ καμπύλαι. τῇσι δὲ θηλείῃσιν, αὕτη συντείνει ἐς τὰς μήτρας, ἐς τὴν κύστιν, καὶ ἐς τὴν οὐρήθρην. ἐντεῦθεν δὲ ἰθυπόρηκε. καὶ τῇσι γυναιξὶ μὲν, περὶ τὰς μήτρας ἤρτηται. τοῖσι δὲ ἄρσεσι, περὶ τοὺς ὄρχιας ἐσπείρωται. διὰ ταύτην τὴν φύσιν αὕτη ἡ φλὲψ καὶ τὰ γόνιμα, πλεῖστα ξυλλαμβάνει. ἀπὸ γὰρ τῶν πλείστων καὶ εἰλικρινεστάτων μερῶν τρεφομένη, ὀλιγαιμός τε οὖσα καὶ κοίλη καὶ νευρόπαχυς καὶ πνευματώδης, ἐντεινομένη τε ὑπὸ τοῦ αἰδοίου τὰ καθήμενα ἐς τὴν ἄκανθαν φλέβια βιάζεται. τὰ δὲ μὴ βιαζόμενα ὥσπερ σικύη ἐς ἑωυτὰ πάντα ἐκδίδοι ἐς τὴν ἄνω φλέβα. συλλείβεται δὲ καὶ ἐκ τῶν ἄλλων μελέων σώματος, ἐς ταύτην. τὸ δὲ πλεῖστον, ὥσπερ εἴρηται, ἀπὸ τοῦ μυελοῦ τοῦτο συναλίζεται. Ἡ δὲ ἡδονὴ τουτέῳ παραγίνεται, τῆς φλεβὸς ταύτης πληρευμένης τῆς γονῆς. ἐωθυίης οὖν τὸν ἄλλον χρόνον ὑφαίμου τε εἶναι καὶ πνευματώδεος, πληρευμένης τε καὶ θερμαινομένης, καὶ ξυρρέοντος κάτω τοῦ σπέρματος, περισφίγγει τὰ ἐν ἑωυτῇ. τὸ δὲ πνεῦμα τὸ ἐνὸν καὶ ἡ παρεοῦσα βίη καὶ ἡ θερμότης, καὶ τῶν φλεβίων πάντα χρόνον ἡ ξυντονίη, γαργαλισμὸν ἐμποιέει. ἐκείνη δὲ ἡ ἀφ᾽ ἑωυτῆς διεβλάστανε. διά τε τοῦ μεταφρένου καὶ τῆς σφαγῆς παρὰ τὴν ἄκανθαν νεμομένη, πολλοῖσι φλεβίοισι τὰς πλευρὰς διαπέπλοχε. καὶ τοὺς σφονδύλους διὰ τῶν σαρκῶν ἐπηλλαγμένως ξυμπεπύκνωκεν, ὥστε ζοφερός τε καὶ ἔναιμος εἶναι. αὕτη δὲ παρὰ τὸν γλουτὸν ἵεται, διὰ τοῦ μυὸς ὑπὸ τὸν μηρὸν ὑποβρυχίη. πρὸς δὲ τοῦ γλουτοῦ τῇ κοτυληδόνι τοῦ μηροῦ παρὰ τὴν κεφαλὴν, [illegible] φλέβι, ἥπερ ἀναπνοὴν τῷ μηρῷ παρέχει. ἐκ πλαγίου τοῦ μηροῦ, παρὰ τὴν πρὸς τὸ γόνυ καμπήν. ἑτέρην δὲ παρὰ τὸν βουβῶνα καθῆκε πυκνόρριζον, καὶ δυσζάπηλον. ἡ δὲ διὰ τοῦ μυὸς τείνουσα, περί τε τὸ γόνυ ἐσπείρωται, καὶ διὰ τοῦ ὀστέου τοῦ κνημιαίου ἄκρου σεσυρίγγωκε φλέβα, ἣ τρέφει τὸν μυελὸν καὶ ἐξοχετεύεται διὰ τοῦ νοτιωτάτου τοῦ κνημιαίου, παρὰ τὴν ἔνδεσιν τοῦ ποδός. αὕτη δὲ διὰ τῆς ἐπιγουνίδος ἐς τὸ ἐντὸς διὰ τῆς κνήμης τοῦ μυὸς, βρυχίη τέταται. καὶ ἐμπέπλεκται διὰ τοῦ σφυροῦ, ἐντὸς παχείη καὶ ἔναιμος. καὶ ἐνταῦθα περὶ τὸ σφυρὸν καὶ τὸν τένοντα, δυσκείτους φλέβας μεμύρηκεν. αὕτη δὲ ὑποδεδράμηκε κάτωθεν τοῦ ποδὸς, ὑπὸ τὸν ταρσόν. καὶ ἐνταῦθα διαπλέξασα καὶ ἐς τὸν μέγα δάκτυλον ἐνερείσασα, διπλῆν ἔναιμον φλέβα ἄνωθεν ὑπὸ τὸ δέρμα ἐκ τοῦ ταρσοῦ ἀνακέκαμπται, καὶ πέφανται. παχυνθεῖσα παρὰ τὸ ἐκτὸς τοῦ σφυροῦ, καὶ νέμεται ἄνω παρὰ τοῦ ἀντικνημίου τὴν ἀντιβεβλημένην κορκίδα. παρὰ δὲ τὴν γαστροκνημίην διὰ σφονδύλην πεποίηται. τὸ δ᾽ ἐντεῦθεν τέταται παρὰ τοῦ γούνατος τὸ ἐντός. ἐμβέβληκε δὲ καὶ τῇ ἐπιγουνατίδι φλέβας. καὶ κατὰ τὸ ἐντὸς τῆς ἐπιγουνατίδος, ἐς τὸ κοῖλον ἐμπέπλεκε φλέβα. ἣν τις πονήσῃ τάχιστα, ξυνάγει χολώδεα ἰχῶρα. διώρμηκε δὲ αὕτη κατὰ τὸ ἐντὸς καὶ κοῖλον τοῦ γούνατος. ἀποκεκάρπωκε δὲ, καὶ εἰς τὰς ἰγνύας πολυπλόκους φλέβας. αἱ ἐντεῦθεν παρατείνουσαι κατὰ τὰ ὑποκάτω νεῦρα τοῦ μηροῦ, καὶ κατερρίζωνται ἐς τοὺς ὄρχιας καὶ ἐς τὸν ἀρχόν. καὶ περὶ τὸ ἱερὸν δὲ ὀστέον λελεπτυσμέναι ἐλωμέναι περιτέτανται. ἡ δὲ ἀφιγμένη παρὰ τοῦ γούνατος τὸ ἐντὸς ἄνω. παρὰ τοῦ μηροῦ τὸ ἐντὸς, ἀνίεται ἐς τὸν βουβῶνα. καὶ διὰ τοῦ ἰσχίου πορείην πρὸς τὴν ἄκανθαν καὶ τὴν ψύαν ἐντὸς ἔχουσα. παχεῖα καὶ πλατεῖα, καὶ ἔναιμος ἄνω ὀρέγεται πρὸς τὸ ἧπαρ. καὶ διακέλευθον ἐκφῦσα ἔναιμον. κατέχει ἐς τὸν νεφρὸν, τὸν δεξιὸν λοβὸν τὸν ἡπατιαῖον. αὕτη δὲ ὑποκάτω τὰ τοῦ ἥπατος ὑπονεμησαμένη, ἀπέχισται ἐς φλέβα παχείην. ἣν δ᾽ ἀποκαυθεῖσα ἐσπέφυκεν ἐς τὸ παχὺ τοῦ ἥπατος. καὶ τὸ μὲν αὐτῆς ἐπιπολάζον ἐπὶ τοῦ σπλάγχνου πέφυκεν, ἐν ᾧπερ ἡ χολὴ, ἔστι τε πολύρριζος διὰ τοῦ ἥπατος πεπλεκτανωμένη. τὸ δὲ διὰ τῶν ἐντὸς αὐτῆς ὀχετεύεται. δύο δὲ ἐκπεπλώκασι φλέβες, μεταξὺ δύο λοβῶν τῶν πλατέων. καὶ μία μὲν, διὰ τῶν κορυφῶν καὶ τοῦ δέρματος διαχέουσα ἐκ τοῦ ὀμφαλοῦ ἀνήκει. ἡ δὲ ἑτέρη, πεσοῦσα ἐς τὴν ἄκανθαν καὶ ἐς τὸν νεφρὸν ἣν κυροβόληται, ἐς τὴν κύστιν τε καὶ τὸ αἰδοῖον. ἐκ δὲ τοῦ ἰσχίου ἀρχομένη ἀνιέναι ἐπὶ τὸ ἦτρον πολλὰς ἀπεπλάνησε φλέβας. καὶ τάς τε πλευρὰς καὶ τοὺς σφονδύλους, ἐνεκείνωσε πρὸς τὴν ἄκανθαν. καὶ τάς τε παραφυάδας ἐνεφλεβοτόμησε, καὶ τὰ ἔντερα καὶ τὴν νηδὺν ἐνειλίξατο. καὶ αἱ μὲν ἀπὸ τοῦ ἤτρου ἔς τε τοὺς μαζοὺς, καὶ τὸν περ ἀνθερεῶνα καὶ τὰς ἀκρωμίας ἐπορεξάμεναι κατεπλάκησαν. ἡ δ᾽ ἀφιγμένη παρὰ τὸ παχὺ τοῦ ἥπατος, καὶ ἀποσυριγγώσασα τὴν χολὴν ἄνω, ὑπὸ τὴν ἄκανθαν νέμεται, διὰ τῶν φρενῶν ὁδὸν ποιησαμένη. ἡ δὲ ἐκ τῶν ἀριστερῶν φλὲψ, τὰ μὲν ἄλλα τὴν αὐτὴν φύσιν ἐρρίζωται, τῇ ἐν τοῖσι δεξιοῖσιν ἐκ τῶν ἀριστερῶν ἐς τὸ ἧπαρ ἀνιοῦσα οὐκ ἐνέβαλλε, ἀλλ᾽ ἐς τὸν σπλῆνα ἐμπέφυκε κατὰ τὴν κεφαλὴν τὴν ἐν τῷ πάχει αὐτοῦ. ἐντεῦθεν δὲ κατελύσατο ἐς τὸ ἐντὸς ἰσχνίω καὶ τοῦ σπληνὸς ἐναίμοισι φλεβίοισιν. ὁ δὲ ὅλος

ἐκ τοῦ ἐπιπλόου αἰωρεῖται τοῖσιν ἐξ ἑωυτέου φλεβίοισιν ἐναιματώσασα αὐτό. αἱ δὲ ἀπὸ τῆς κεφαλῆς τοῦ σπληνὸς πρὸς τὴν ἄκανθαν ἐγχρίμπτουσαι, διὰ τῶν φρενῶν διωρμήκασιν. ἐντεῦθεν δὲ κάτω καὶ ἡ δεξιὴ καὶ ἡ ἀριστερὴ, ὑπὸ τὸν πνεύμονα ἐλήλαται. αἱ δὲ ἐναίμονες ἐοῦσαι ὑπ' αὐτὸν, καὶ ἐξοχετεύονται ἐς αὐτόν. ὀλίγαι μὲν δὲ καὶ λεπταὶ, αἱ ἀπὸ πνεύμονος ἔσωθεν γινόμεναι τῇ φύσει ἀραιοῦ ἐόντος ἐς τὴν καρδίην, ἅτε ὑπ' αὐτοῦ ἐξαθελγόμεναι, ἐγκεχαλίνωνται περὶ τὰ ὦτα αὐτέης. καὶ ἐς τὰ κοῖλα τὰ ἐντὸς διερρυήκασιν. ἐμβάλλουσι δὲ καὶ αἱ πρότεραι καὶ αὗται ἐς αὐτήν. ἐν γὰρ στενοχωρίῃ τῆς διόδου ἐνίδρυνται ὡς ἐκ παντὸς τοῦ σώματος τὰς ἰνίας ἔχουσα. διὸ καὶ παντὸς τοῦ σώματος περὶ τὸν θώρηκα μάλιστά ἐστιν ἡ αἴσθησις. καὶ τῶν χρωμάτων αἱ μεταβολαὶ γίνονται. ταύτης ἀποσφιγγούσης τὰς φλέβας καὶ χαλώσης μὲν οὖν, ἐρυθρὰ τὰ χρώματα γίνονται, καὶ εὔχροα καὶ διαφανέα. συναγούσης δὲ, χλωρὰ καὶ πελιδνά. τὰ τοιαῦτα δὲ παραλλάσσει, ἐκ τῶν παρεόντων ἑκάστῳ χρωμάτων.

ἹΠΠΟΚΡΆΤΟΥΣ ΠΕΡῚ ΤΌΠΩΝ ΤΩ͂Ν ΚΑΤᾺ ἌΝΘΡΩΠΟΝ.

Ἐμοὶ δοκέει ἀρχὴ μὲν οὖν οὐδεμία εἶναι τοῦ σώματος, ἀλλὰ πάντα ὁμοίως ἀρχὴ καὶ πάντα τελευτή. κύκλου γὰρ γραφέντος ἀρχὴ οὐχ εὑρέθη. καὶ τῶν νοσημάτων ἀπὸ παντὸς ὁμοίως τοῦ σώματος. τὸ μὲν ξηρότερον πεφυκὸς, νούσους λάζεσθαι, καὶ μᾶλλον πονέειν. τὸ δὲ ὑγρὸν, ἧσσον. τὸ μὲν γὰρ ἐν τῷ ξηρῷ νόσημα, πήγνυταί τε καὶ οὐ διαπαύει. τὸ δ' ἐν τῷ ὑγρῷ, διαρρέει, καὶ τοῦ σώματος ἄλλοτ' ἄλλο μάλιστα ἔχει, καὶ ἀεὶ μεταλλάσσον, ἀνάπαυσιν ποιέει καὶ θᾶσσον παύεται, ὥστε οὐ πεπηγός. τοῦ δὲ σώματος τὰ μέλεα ἕκαστα τὸ ἕτερον τῷ ἑτέρῳ ὁπόταν ἔνθα ἢ ἔνθα ὁρμήσῃ, νοῦσον παραυτίκα ποιέει. ἡ κοιλίη τῇ κεφαλῇ. καὶ ἡ κεφαλὴ, τῇσι σαρξὶ καὶ τῇ κοιλίῃ. καὶ τἄλλα πάντα οὕτω κατὰ λόγον, ὥσπερ ἡ κοιλίη τῇ κεφαλῇ. καὶ ἡ κεφαλὴ, τῇσί τε σαρξὶ καὶ τῇ κοιλίῃ. ἡ γὰρ κοιλίη ὁπόταν ὑποχώρησιν μὴ ποιέῃ τὴν μετρίην καὶ ἐσίῃ ἐς αὐτὴν, ἄρδει τῇ ὑγρότητι τὸ σῶμα τῇ ἀπὸ τῶν σιτίων τῶν προσφερομένων. αὕτη δὲ ἡ ὑγρότης ἀπὸ τῆς κοιλίης ἀποφρασσομένη, ἐς τὴν κεφαλὴν ὁδοιπορέουσιν ἀθρόη. καὶ ἐς τὴν κεφαλὴν ἐπὴν ἀφίκηται, οὐ χωρεομένη ἀπὸ τῶν τευχέων τῶν ἐν τῇ κεφαλῇ, ῥέει ᾗ ἂν τύχῃ καὶ πέριξ τῆς κεφαλῆς καὶ ἐς τὸν ἐγκέφαλον διὰ λεπτοῦ τοῦ ὀστέου. καὶ ἡ μὲν, ἐν τῷ ὀστέῳ ἐνδέδυκεν. ἡ δὲ, περὶ τὸν ἐγκέφαλον διὰ λεπτοῦ τοῦ ὀστέου. καὶ ἢν μὲν ἐς τὴν κοιλίην πάλιν ἀφίκηται, τῇ κοιλίῃ νοῦσον ἐποίησεν. ἢν δ' ἄλλῃ πῃ τύχῃ, ἄλλην νοῦσον ποιέει. καὶ τἄλλα οὕτως ὥσπερ τοῦτο τὸ ἕτερον τῷ ἑτέρῳ νοῦσον ποιέει. καὶ κάλλιστον οὕτως εὐτρεπίζειν τὰ νοσεύμενα, διὰ τῶν τὰς νούσους ποιεόντων. οὕτω γὰρ ἂν κάλλιστα τὴν ἀρχὴν τοῦ νοσεύματός τις ἰῷτο. τὸ δὲ σῶμα αὐτὸ ἑωυτῷ ταὐτόν ἐστι. καὶ ἐκ τῶν αὐτῶν σύγκειται. ὁμοίως δὲ οὐκ ἐχόντων καὶ τὰ σμικρὰ αὐτοῦ, καὶ τὰ μεγάλα, καὶ τὰ κάτω καὶ τὰ ἄνω, καὶ εἴ τις βούλεται τοῦ σώματος ἀπολαβὼν μέρος κακῶς ποιέειν τὸ σμικρότατον, πᾶν τὸ σῶμα αἰσθήσεται τὴν πεῖσιν ὁποίη ἄν τις ᾖ, διὰ τόδε, ὅτι τοῦ σώματος τὸ σμικρότατον πάντα ἔχει, ὅσα περ καὶ τὸ μέγιστον. τοῦτο δ' ὁποῖον ἄν τι πάθῃ τὸ σμικρότατον, ἐπαναφέρει πρὸς τὴν ὁμοεθνίην, ἕκαστον πρὸς τὴν ἑωυτοῦ. ἤν τε κακὸν, ἤν τε ἀγαθὸν ᾖ. καὶ διὰ ταῦτα καὶ ἀλγέει καὶ ἥδεται ὑπὸ τοῦ ἔθνεος τοῦ σμικροτάτου τὸ σῶμα. ὅτι ἐν τῷ σμικροτάτῳ, πάντ' ἔνι τὰ μόρια. καὶ ταῦτα ἐπαναφέρουσιν ἐς τὰ σφῶν αὐτῶν ἕκαστα. καὶ ἐξαγγέλλουσιν πάντα. φύσις δὲ τοῦ σώματος, ἀρχὴ τοῦ ἐν ἰητρικῇ λόγου. πρῶτον διατέτρηνται ᾗ ἐσακούομεν. τὰ μὲν γὰρ παρὰ τὰ ὦτα πέριξ κενεὰ, οὐκ ἐσακούει ἀλλ' ἢ ψόφον καὶ ἰαχήν. ὅτι δ' ἂν διὰ τῆς μήνιγγος ἐς τὸν ἐγκέφαλον ἐσέλθῃ, τοῦτο διαφραδέως ἀκούεται ταύτῃ. καὶ μόνη τρῆσις διὰ τῆς μήνιγγός ἐστι τῆς περὶ τὸν ἐγκέφαλον περιτεταμένης. κατὰ δὲ τὰς ῥῖνας. τρῆμα μὲν, οὐκ ἔνεστιν. σομφὸν δὲ, οἷον σπογγιά. καὶ διὰ τοῦτο διὰ πλέονος ἀκούει ἢ ὀσφραίνεται. κατὰ πολὺ γὰρ σκίδναται ἡ ὀδμὴ τῆς ὀσφρήσιος, καὶ ἐς τοὺς ὀφθαλμοὺς φλέβια λεπτὰ ἐς τὴν ὄψιν ἐκ τοῦ ἐγκεφάλου διὰ τῆς μήνιγγος τῆς περιεχούσης φέρονται. ταῦτα δὲ τὰ φλέβια τὴν ὄψιν τρέφουσι τῷ ὑγρῷ τῷ καθαρωτάτῳ τῷ ἀπὸ τοῦ ἐγκεφάλου, ἐς ὃ καὶ ἐμφαίνεται ἐν τοῖσιν ὀφθαλμοῖσιν. ταῦτα δὲ τὰ φλέβια καὶ ἀποσβεννύασι τὰς ὄψεις ὅταν ξηρανθῶσιν. μήνιγγες δὲ τρεῖς εἰσιν αἳ τοὺς ὀφθαλμοὺς φυλάσσουσαι. ἡ μὲν ἐπάνω, παχυτέρη. ἡ δὲ διὰ μέσου, λεπτοτέρη. ἡ δὲ τρίτη, λεπτή. ἡ τὸ ὑγρὸν φυλάσσουσα. τουτέων ἡ μὲν ἐπάνω καὶ παχυτάτη νοῦσος ἢν κωφωθῇ. ἡ δὲ διὰ μέσου ἐπικινδύνως αὕτη, καὶ ὅταν ῥαγῇ ἐξίσχει οἷον κύστις. ἡ δὲ τρίτη ἡ λεπτοτάτη πάμπαν ἐπικινδύνως, ἡ τὸ ὑγρὸν φυλάσσουσα. μήνιγγες δὲ δύο εἰσὶ τοῦ ἐγκεφάλου. ἡ λεπτὴ οὐκέτι ἡ αὐτὴ, ἐπὴν τρωθῇ. φλέβες δὲ τετραίνουσι μὲν ἐς τὴν κορυφὴν διὰ τῆς σαρκὸς ἔχουσαι πρὸς τὸ ὀστέον. φέρονται δὲ διὰ τῆς σαρκός. δύο μὲν ἐκ τῆς κορυφῆς κατ' ἰθὺ ᾗ αἱ ὀφρύες συγκλείονται καὶ τελευτῶσιν ἐς τοὺς κανθοὺς τῶν ὀφθαλμῶν. μία δ' ἀπὸ τῆς κορυφῆς ἐς τὴν ῥῖνα φέρεται, καὶ σχίζεται ἐς τὸν χόνδρον τῆς ῥινὸς ἑκάτερον. ἄλλαι δύο φλέβες παρὰ τοὺς κροτάφους φέρονται, ἐν μέσῳ τῶν κροτάφων καὶ τῶν ὤτων, αἳ πιέζουσι τὰς ὄψεις καὶ σφύζουσιν ἀεί. μόναι γὰρ αὗται οὐκ ἀρδεύουσι τῶν φλεβῶν, ἀλλ' ἀποτρέπεται ἐξ αὐτῶν τὸ αἷμα. τὸ δ' ἀποτρεπόμενον ἀποσυμβουλεύει τῷ ἐπιρρέοντι. καὶ τὸ μὲν ἀποτρεπόμενον βουλόμενον ἀποχωρέειν. τὸ δ' ἄνωθεν ἐπιρρέειν βουλόμενον κάτω χωρέειν ἐνταῦθα ὠθεύμενά τε καὶ ἀγχόμενα πρὸς ἄλληλα καὶ κυκλούμενα, σφυγμὸν παρέχουσιν τοῖσι φλεβίοισιν. ἡ δὲ ὄψις τῷ ἀπὸ τοῦ ἐγκεφάλου ὑγρῷ τρέφεται. ὅταν δέ τι τοῦ

ἀπὸ τῶν

ἀπὸ τῶν φλεβῶν λάβῃ τῇ ῥύσει ταράσσεται, καὶ οὐκ ἐμφαίνεται ἐς αὐτό, καὶ προκινέεσθαι δοκέει ἐν αὐτῷ τότε μὲν οἷον εἴδωλον ὀρνίθων. τότε δὲ οἷον φακοὶ μέλανες. καὶ τἄλλα οὐδὲν ἀτρεκέως κατ' ἀληθείην δύναται ὁρᾶν. ἄλλαι δύο φλέβες ἐν μέσῳ τῶν τε ὤτων καὶ τῶν ἄλλων φλεβῶν, αἳ φέρονται ἐς τὰ ὦτα, καὶ πιέζουσι τὰ ὦτα. ἄλλαι δύο φλέβες ἐκ τῆς συγκλίσιος τοῦ ὀστέου ἐς τὰς ἀκοὰς φέρονται. αἱ δὲ κάτω τοῦ σώματος τετραμμέναι. δύο μὲν φλέβες παρὰ τοὺς τένοντας τοῦ τραχήλου. φέρονται δὲ καὶ παρὰ τοὺς σπονδύλους. καὶ τελευτῶσιν ἐς τοὺς νεφρούς. αὗται δὲ καὶ ἐς τοὺς ὄρχιας τετραίνουσιν. καὶ ὅταν αὗται πονέσωσιν, αἷμα οὐρέει ἄνθρωπος. ἄλλαι δύο φλέβες ἀπὸ τῆς κορυφῆς φέρονται ἐς τοὺς ὤμους. καὶ δὴ καὶ ὠμιαῖαι καλέονται. ἄλλαι δύο φλέβες ἀπὸ τῆς κορυφῆς παρὰ τὰ ὦτα ἐν τοῖς ἔμπροσθεν τοῦ τραχήλου ἑκατέρωθεν ἐς τὴν κοίλην φλέβα καλεομένην, φέρονται. ἡ δὲ κοίλη φλὲψ τετραίνεται μὲν, ὡς ὁ οἰσοφάγος. πέφυκε δὲ, μεταξὺ τοῦ τε βρόγχου καὶ τοῦ οἰσοφάγου. φέρεται δὲ διὰ τῶν φρενῶν. καὶ διὰ τῆς καρδίης. καὶ μεταξὺ τῶν φρενῶν. καὶ σχίζεται ἐς τοὺς βουβῶνας, καὶ ἐς τοὺς μηροὺς ἐντὸς, καὶ τὰς διασφαγὰς ἐν τοῖσι μηροῖσι ποιέεται, καὶ ἐς τὰς κνήμας φέρεται ἐντὸς παρὰ τὰ σφυρά. αὗται καὶ ἄκαρπον ποιέουσι τὸν ἄνθρωπον ὅταν ἀποτμηθῶσιν, αἳ καὶ ἐς τοὺς μεγάλους δακτύλους τελευτῶσιν. ἐκ δὲ τῆς κοίλης φλεβὸς ἀποπέφυκεν ἐς τὴν χεῖρα τὴν ἀριστερήν. φέρεται δ' ὑποκάτω τοῦ σπληνὸς ἐς τὴν λαπάρην τὴν ἀριστερὴν, ὅθεν ὁ σπλὴν ἀποπέφυκεν διὰ τοῦ ἐπιπλόου. καὶ τὴν ἀποτελεύτησιν ἴσχει ἐς τὸν κίθαρον. ἀποπέφυκε δὲ κατὰ τὰς φρένας, καὶ ξυμβάλλει τῇ ὠμιαίῃ κάτω τοῦ ἄρθρου τοῦ ἀγκῶνος, καὶ τοῦ σπληνὸς τέμνεται αὕτη. καὶ ἄλλη ἐς τὴν δεξιὴν, τὸν αὐτὸν τρόπον ἀποπέφυκεν ἀπὸ τῆς κοιλίης. κοινωνέουσι δὲ πᾶσαι αἱ φλέβες καὶ διαρρέουσιν ἐς ἑωυτάς. αἱ μὲν γὰρ σφίσιν ἑωυταῖς ξυμβάλλουσιν. αἱ δὲ, διὰ τῶν φλεβίων τῶν διατεταμένων ἀπὸ τῶν φλεβῶν, αἳ τρέφουσι τὰς σάρκας ταύτῃ διαρρέουσι πρὸς ἑωυτάς. καὶ ἀπὸ τῶν φλεβῶν ὅτι ἂν νόσημα γένηται, ῥᾴδιόν ἐστιν ἢ ἀπὸ τῶν νεύρων. διαρρέει γὰρ σὺν τῷ ὑγρῷ τῷ ἐνεόντι ἐν τῇσι φλεψί. καὶ οὐκ ἀτρεμίζει. καὶ ἡ φύσις τῇσι φλεψὶν ἐν ὑγρῷ ἐστιν ἐν τῇσι σαρξί. τὰ δὲ νεῦρα ξηρά τέ ἐστι καὶ ἀκοίλια. καὶ πρὸς τῷ ὀστέῳ πεφύκασιν. καὶ τρέφονται δὲ τὸ πλεῖστον ἀπὸ τοῦ ὀστέου. τρέφονται δὲ καὶ ἀπὸ τῆς σαρκὸς, καὶ τὴν χώρην καὶ τὴν ἴξιν μεταξὺ τοῦ ὀστέου καὶ τῆς σαρκὸς πεφύκασιν. καὶ ὑγρότερα μέν εἰσι τοῦ ὀστέου καὶ σαρκοειδέστερα. ξηρότερα δ' εἰσὶν ἢ αἱ σάρκες καὶ ὀστεοειδέστερα. νόσημα δ' ὅτι ἂν ἐς αὐτὰ ἔλθῃ, ῥώννυταί τε καὶ ἀτρεμίζει ἐν τῷ αὐτῷ, καὶ χαλεπόν ἐστιν ἐξάγειν. μάλιστα δ' ἐσέρχονται, τέτανοί τε καὶ ἄλλα ἀφ' ὧν τρόμος τὸ σῶμα λαμβάνει, καὶ τρέμειν ποιέει. τὰ δὲ νεῦρα πιέζουσι τὰ ἄρθρα παρατεταμένα τέ ἐστι παρ' ὅλον τὸ σῶμα. ἰσχύουσι δὲ μάλιστα ἐν ἐκείνοισιν τοῦ σώματος, καὶ ἀεὶ παχύτατά ἐστιν, ἐν οἷσι τοῦ σώματος αἱ σάρκες ἐλάχισταί εἰσι. καὶ τὸ μὲν σῶμα πᾶν ἔμπλεων νεύρων. περὶ δὲ τὸ πρόσωπον καὶ τὴν κεφαλὴν, οὐκ ἔστι νεῦρα, ἀλλ' ἶνες παρόμοιαι νεύροις μεταξὺ τοῦ τε ὀστέου καὶ τῆς σαρκὸς λεπτότεραι καὶ στερεώτεραι. αἱ δὲ νευροκοίλιοι. αἱ κεφαλαὶ ῥαφὰς ἔχουσιν. αἱ μὲν, τρεῖς. αἱ δὲ τέσσαρας. αἱ μὲν, τέσσαρας ἔχουσαι, κατὰ τὰ ὦτα ἑκατέρωθεν, ῥαφὴ ἄλλη ἔμπροσθεν. ἄλλη ἐξόπισθεν τῆς κεφαλῆς. οὕτω μὲν ἡ τὰς τέσσαρας ἔχουσα. ἡ δὲ τὰς τρεῖς κατὰ τὰ ὦτα, ἑκατέρωθεν καὶ ἔμπροσθεν. ὥσπερ δὲ ἡ τὰς τέσσαρας ἔχουσα, οὐ διαπέφυκεν οὐδὲ ταύτῃ ῥαφή. ὑγιεινότεροι δ' εἰσὶ τὴν κεφαλὴν, οἱ τὰς πλέονας ῥαφὰς ἔχοντες. ἐν τῇσιν ὀφρύσι διήλθεν τὸ ὀστέον, καὶ ἡ σύγκλεισις τῶν γενύων ἐν τε τῷ γενείῳ μέσῳ, καὶ ἄνω πρὸς τῇ κεφαλῇ. σπονδύλους οἱ μὲν, πλέονας. οἱ δὲ, ἐλάσσονας ἔχουσιν. καὶ οἱ μὲν πλέονας ἔχοντες, δυοῖν δέοντοιν εἰκοσίν εἰσιν. ὧν οἱ μὲν ἄνω πρὸς τῇ ἕδρῃ τῆς κεφαλῆς. οἱ δὲ κάτω πρὸς τῇ ἕδρῃ. πλευραὶ ἑπτά. τὰ μὲν, ὄπισθεν τοῦ σώματος πρὸς τοὺς σπονδύλους. τὰ δ' ἔμπροσθεν ἐν τῷ στέρνῳ πρὸς ἑωυτάς. κλεῖδες ἄρθρα ἔχουσιν. τὰ μὲν ἐν μέσῳ τοῦ στέρνου κατὰ τὸν βρόγχον, κατὰ ταῦτα ἤρθρωνται. τὰ δὲ πρὸς τοὺς ὤμους κεκλιμένα πρὸς τὰς πλάτας. αἱ ἐπὶ τοῖς ὤμοις ἀεὶ πεφύκασιν. αἱ δὲ πλάται πρὸς τὰ ἰσχία ἤρθρωνται, ἐπιβάλλουσαι ἐπὶ τὸ ὀστέον τὸ ἐν τῷ γυίῳ. παρὰ δὲ τὸ ὀστέον περόναι δύο παρήκουσιν. ἡ μὲν, ἔνδοθεν. ἡ δὲ, ἐκτός. αἱ πρὸς τὰς πλάτας τῷ ὀστέῳ προσπεφυκυῖαι, ἤρθρωνται κάτω. αἱ δ' ἐν τῷ ἀγκῶνι. κάτω μὲν περόνη ἤρθρωνται, κάτω πεφυκυῖαι. ἄνω δὲ σμικρὸν τῆς περόνης ἐς τὸν ἀγκῶνα. τό τε ὀστέον καὶ ἡ περόνη ἐς τὸ αὐτὸ συμβάλλοντα, ἄρθρον ἐν τῷ κυβίτῳ ποιέουσι. παρὰ δὲ τὸν πῆχυν περόναι παρήκουσι λεπταὶ πάνυ τέσσαρες. αἱ μὲν δύο, ἄνω. αἱ δὲ δύο, κάτω. καὶ πρὸς μὲν τὸν ἀγκῶνα δύο περόναι πεφυκυῖαι ἄνω ἐκ τοῦ ὀστέου πεφύκασιν. αὗται σὺν τῷ ὀστέῳ πεφυκυῖαι, παρὰ τὸ τοῦ ὀστέου ἄρθρον ἤρθρωνται ἐς τὸ κύβιτον. αἱ δὲ κάτω κείμεναι καὶ ἐντὸς κεκλιμέναι, αὗται ἀμφότεραι ξυμβάλλουσαι πρὸς τὴν περόνην τὴν ἄνωθεν ἀπὸ τοῦ γυίου φερομένην, ἐντὸς τοῦ γυίου ἤρθρωνται. καὶ περόνην καλευμένην ποιέουσιν, αὗται ἑωυταῖς ξυμβάλλουσαι ἐν τῷ κυβίτῳ ἐντός. κάτω δὲ πρὸς τὴν χεῖρα τὸ ὀστέον ἄρθρον ἔχει. αἱ δὲ περόναι ταύτῃ ἁπαλαὶ ἔασι. αἱ μὲν δύο, οὐκ ἐξήκουσιν ἐς τὸ ἄρθρον. ἡ δ' ἄνω καὶ ἡ κάτω, σὺν τῷ ὀστέῳ ἤρθρωνται πρὸς τὴν χεῖρα. αἱ δὲ χεῖρες ἄρθρα ἔχουσι πολλά. ὅσα γὰρ ὀστέα πρὸς ἑωυτὰ συμβάλλουσιν πάντα ἄρθρα ποιέουσιν. δάκτυλοι ἄρθρα ἔχουσιν πολλὰ, ἕκαστος τρία. ἓν μὲν ὑπὸ τῷ ὄνυχι ἐν μέσῳ τοῦ τε ὄνυχος καὶ τοῦ κονδύλου. ἄλλο ἐν τῷ κονδύλῳ, ᾗ καὶ ξυγκάμπτουσιν τοὺς δακτύλους. ἄλλο τρίτον, ᾗ ὁ δάκτυλος ἀπὸ τῆς χειρὸς ἀποπέφυ-

κεν. ἐν δὲ τοῖσιν ἰσχίοισιν ἄρθρα δύο εἰσὶν αἱ κοτύλαι καλεύμεναι, καὶ οἱ μηροὶ ἐς ταῦτα ἐνήρθρωνται. παρὰ δὲ τοὺς μηροὺς τένοντε δύο παρήκουσιν. ὁ μὲν, ἐντός. ὁ δ᾽ ἐκτὸς, καὶ ἐς τὸ ἄρθρον οὐδέτερος ἐξήκει, οὐδ᾽ ἑτέρωθεν, ἀλλὰ πρὸς τῷ ὀστέῳ προσπεφύκασιν πρὸς τῷ μηρῷ. ὁ δὲ μηρὸς, ἄνωθεν μὲν ἐς τὴν κοτύλην ἐμβάλλει, δίκραος ἐστὶ τοιῇδε δικραότητι. ᾗ μὲν τοῦ ἐντὸς κεκλιμένου τῶν δικραίων ἐπὶ τοῦ ἄκρου ἐπιπέφυκεν στρογγύλον καὶ λεῖον, ὃ καὶ ἐς τὴν κοτύλην ἐμβάλλει. τὸ δ᾽ ἕτερον τὸ ἔλασσον τῶν δικραίων τὸ ἐκτὸς μᾶλλον ἔξω ἐξέχει, καὶ φαίνεται ἐν τῷ πυγαίῳ κάτω, καὶ ἰσχίον καλέεται. πρὸς δὲ τὸ γόνυ τὸ ὀστέον τοῦ μηροῦ τοιόνδ᾽ ἐστὶ δίκραον. τῷ δὲ δικραίῳ τούτῳ τὸ ὀστέον ἡ κνήμη καλεομένη δὴ ἐν γιγγλύμῳ ἐνήρμοσται. ἄνωθεν δὲ τοῦ ἐνηρμοσμένου, ἡ μύλη ἐπίκειται, ἣ ἀποκωλύει ἐς τὸ ἄρθρον ἀναπεπταμένον ἐσβῆναι τὴν ὑγρότητα, τὴν ἀπὸ τῆς σαρκός. παρὰ δὲ τὴν κνήμην τένοντε δύο παρήκουσιν, αἳ κάτωθεν μὲν, πρὸς τῶν ποδῶν τὰ σφυρὰ τελευτῶσιν. ἄνωθεν δὲ πρὸς τοῦ γόνατος, οὐκ ἐξήκουσι πρὸς τὸ ἄρθρον. πρὸς δὲ τὸν πόδα ἡ κνήμη κατὰ τὰ σφυρὰ ἄρθρον ἔχει, καὶ ἄλλο κατωτέρω τῶν σφυρῶν. καὶ ἐν τοῖσι ποσὶν ἄρθρα πολλὰ, ὥσπερ καὶ ἐν τῇσι χερσίν. ὅσα γὰρ τὰ ὀστέα, τοσαῦτα καὶ ἄρθρα. καὶ ἐν τοῖσι δακτύλοισι τῶν ποδῶν τὸν ἀριθμὸν, ἴσα κατὰ ταῦτα. ἄρθρα δὲ πολλὰ ἐν τῷ σώματι σμικρὰ, οὐχ ὁμοίως πᾶσιν, ἀλλὰ ἄλλα ἄλλοις. ταῦτα δὲ τὰ γεγραμμένα πᾶσιν ὁμοίως εἰσὶν, ἀλλὰ τὰ φλεβία εἰσὶν ἄλλοις, ἀλλ᾽ οὐκ ἄξια λόγου. μύξα πᾶσιν ἐστὶ φύσει. καὶ ὅταν αὕτη καθαρὴ ᾖ, ὑγιαίνουσι τὰ ἄρθρα, καὶ διὰ τοῦτο εὐκίνητά ἐστιν, ὥστε ὀλισθάνοντα πρὸς ἑωυτά. πόνος δὲ καὶ ὀδύνη γίνεται, ὅταν ἀπὸ τῆς σαρκὸς ὑγρασίη ῥυῇ συνιοῦσα. τὸ πρῶτον μὲν πήγνυται τὸ ἄρθρον. οὐ γὰρ ὀλισθηρὴ ἡ ὑγρότης ἡ ἐπεξυνηκυῖα ἀπὸ τῆς σαρκός. ἔπειτα ὥστε πολλὴ λίην γενομένη, καὶ οὐκ ἀρδομένη ἐκ τῆς σαρκὸς, ἀεὶ ξηραίνεται. καὶ ὥστε πολλὴ ἐοῦσα, καὶ οὐ χωρέοντος τοῦ ἄρθρου ἐκρεῖ, κακῶς τε πεπηγυῖα μετεωρίζει τὰ νεῦρα, οἷσι τὸ ἄρθρον συνδέδεται. καὶ ἀεὶ τὰ ποιέει καὶ διαλελυμένα, καὶ διὰ τοῦτο χωλοὶ γίνονται. καὶ ὅταν μὲν τοῦτο μᾶλλον γίνεται, μᾶλλον. ὅταν δ᾽ ἧσσον, ἧσσον. ἐς δὲ τὴν κοιλίην καὶ τὰ ἐσθιόμενα καὶ τὰ πινόμενα χωρέουσιν. ἐκ δὲ τῆς κοιλίης, ἶνες ἐς τὴν κύστιν, ᾗ διηθεῖ τὸ ὑγρὸν τεταμέναι εἰσίν. ῥόοι δὲ γίνονται καὶ διαψυχομένης τῆς σαρκὸς λίην, καὶ διαθερμαινομένης, καὶ ὑπερφλεγμαινούσης. ῥόοι δὲ διὰ μὲν τὸ ψῦχος γίνονται, ὁπόταν τόδε γένηται, ὅταν ἡ σὰρξ ἡ ἐν τῇ κεφαλῇ καὶ αἱ φλέβες τεταμέναι ἔωσιν αὐτοῦ φριξάσης τῆς σαρκὸς καὶ ἐς μικρὸν ἀφικνευμένης καὶ ἐκφλιψάσης ἐκθλίβουσι τὴν ὑγρότητα. καὶ αἱ σάρκες ἅμα αὗται, αὖτε ἐκθλίβουσιν ἐς μικρὸν ἀφικνούμεναι. καὶ αἱ τρίχες ἄνω ὀρθαὶ γίνονται, ὥστε πάντοθεν ἅμα ἰσχυρῶς πιεζόμεναι. ἐντεῦθεν ὅ,τι ἂν ἐκφλιβῇ, ῥεῖ ᾗ ἂν τύχῃ. ῥεῖ δὲ καὶ διὰ τὴν θερμότητα, ὅταν αἱ σάρκες ἀραιαὶ γινόμεναι διόδους ποιήσωσιν. καὶ τὸ ὑγρὸν θερμανθὲν λεπτότερον γένηται. πᾶν γὰρ τὸ ὑγρὸν θερμαινόμενον, λεπτότερον γίνεται. καὶ πᾶν τὸ ὑπεῖκον, ῥεῖ. μάλιστα δ᾽ ὅταν λίην ὑπερφλεγμαίνῃ, διὰ τόδε ῥεῖ. αἱ σάρκες λίην ἔμπλεαι γινόμεναι ὅ,τι ἂν μὴ δύνωνται χωρέειν, ῥεῖ τὸ ὑγρὸν τὸ μὴ δυνάμενον χωρέεσθαι. ῥεῖ δὲ, ᾗ ἂν τύχῃ. ἐπὴν δὲ ἅπαξ εὔροοι αἱ ῥοιαὶ γίνωνται, ῥεῖ καὶ τὸ χωρίον ᾗ ἂν τύχῃ, ἔστ᾽ ἂν συμπιεχθῶσιν αἱ δίοδοι τοῦ ῥόου, δι᾽ ἰσχνότητα. ὅταν τὸ σῶμα ξηρανθῇ. ὥστε γὰρ τὸ σῶμα κοινωνέειν αὐτὸ ἑωυτῷ διαλαμβάνει καὶ ἄγει, καθ᾽ ὅ,τι ἂν ὑγρὸν ἐπιτύχῃ, ἐς ἑωυτὸ τὸ ξηρόν. ἄγειν δ᾽ οὐ χαλεπὸν αὐτό ἐστιν ὥστε τοῦ σώματος κενοῦντε καὶ οὐ συνοιδέοντος ὑπὸ ἰσχνότητος. ὅταν δὲ τὰ κάτω, ξηρὰ γένωνται. τὰ δ᾽ ἄνω, ὑγρά. μᾶλλον δὲ τὰ ἄνω ὑγρὰ ἐστὶ τεύχεα. αἱ γὰρ φλέβες ἄνω πλέονές εἰσιν ἢ κάτω. καὶ αἱ σάρκες ἐλάττονες ὑγρότητος δεόμεναι αἱ ἐν τῇ κεφαλῇ. ἄγει δὴ τὸ ξηρὸν τοῦ σώματος τὸ ἐκ τῆς κεφαλῆς ὑγρόν. καὶ ἅμα καὶ δίοδοί εἰσιν τῷ ἄγοντι μᾶλλον, ἢ τῷ ἀγομένῳ. καὶ γὰρ αὗται κορδαίνουσιν ὥστε ξηραὶ ἐοῦσαι. καὶ ἅμα καὶ τὰ ὑγρὰ πέφυκε κάτω χωρέειν. καὶ ἢν βραχείη τις ἀνάγκη γένηται. ῥόοι δὲ ἀπὸ τῆς κεφαλῆς ἑπτά. ὁ μὲν, κατὰ τὰς ῥῖνας. ὁ δὲ, κατὰ τὰ ὦτα. ὁ δὲ, κατὰ τοὺς ὀφθαλμούς. οὗτοι οἱ ῥόοι καταφανέες ἐκ τῆς κεφαλῆς τοῖσιν ὀφθαλμοῖσιν. ἐπὴν δ᾽ ἐς τὴν κίθαρον ῥυῇ ὑπὸ ψύχους χολὴ γίνεται. μᾶλλον δὲ ῥεῖ ἐς τὸν κίθαρον ὑπὸ ψύχεος, διὰ τόδε, ὅτι εὔροον γίνεται ἐς τὸν βρόγχον. ὥστε οὐδὲ ξυγκεκαλυμμένον. ὑπὸ δὲ τοῦ ψύχους καὶ κόπος ἔχει, διὰ τοῦτο τοὺς ὑπὸ τῆς χολῆς ἐχομένους. ὅτι αἱ σάρκες, ὅταν εὐχυμέῃ, οὐκ ἀτρεμίζουσιν, ἀλλὰ σείονται. καὶ σειόμεναι μοχθέουσιν, καὶ κοπιῶσιν. ὥστε σειόμεναι ὥσπερ ἐν τῇσιν ὁδοιπορίῃσιν καὶ ἔμπνοοι γίνονται ὅταν ἐς τὸν κίθαρον ῥέῃ, καὶ φθισιῶντες. ὅταν δ᾽ ἐς τὸν μυελὸν ῥόος γένηται, φθίσις ἄλλη γίνεται. ὅταν δ᾽ ὄπισθεν ἐς τοὺς σπονδύλους, καὶ ἐς τὰς σάρκας ῥυῇ, ὕδρωψ γίνεται. καὶ τῷδ᾽ ἐστὶ γινώσκειν. ξηρὰ τὰ ἔμπροσθεν ᾖ, ἡ κεφαλὴ καὶ αἱ ῥῖνες καὶ οἱ ὀφθαλμοί. καὶ τοῖσιν ὀφθαλμοῖσι γίνεται ἀμβλυώσσειν, καὶ χλωροὶ γίνονται καὶ τὸ ἄλλο σῶμα. καὶ οὐκ ἀποπτύει οὐδὲν, οὐδ᾽ ἢν πολὺ ῥέῃ. ὅδε γὰρ ὁ ῥόος διὰ τῆς σαρκὸς μέσης ῥέων τῆς ὄπισθεν καὶ τῆς ἔμπροσθεν ἀπεστραμμένος, ξηρὰ τὰ ἔμπροσθεν ποιέει. τὴν δ᾽ ὄπισθεν ἄρδει σάρκα, καὶ τὴν ἐντὸς μᾶλλον πρὸς τὴν κοιλίην, ἢ ἐκτὸς πρὸς τὴν ῥῖνα. διὰ τοῦτο δὲ ἐκτὸς μᾶλλον ἢ ἐντὸς στερεώτερον τὸ σῶμα, καὶ στενωτέρας διαφύσιας ἔχει. ὥστε δὲ λεπταὶ ἐοῦσαι συμπλέονται. καὶ ἀκέουσιν αὗται σφίσιν ἑωυταῖς. καὶ ῥόος οὐ δύναται ταύτῃ ἰέναι οὐδείς. αἱ δ᾽ εὐρύτεραί τέ εἰσιν αἱ ἐντός. καὶ λεπτότερα τὰ μεταξὺ ἔχουσαι. ὁ δὲ ῥόος, ὥστε ἀφ᾽ ὑψηλοτέρων, καὶ λεπτὰ τὰ ἀντικωλύοντα ἔχων, ῥεῖ καὶ πιμπλᾶσιν ὑγρότητος τὰς σάρκας. καὶ ἀπὸ τῶν σιτίων ἐς τὸ αὐτὸ χωρέουσα ἡ ὑγρότης, διέφθαρται. διεφθαρ-

μένη δ᾽ αὐτή

μένη δ᾽ αὐτὴ ὑπὸ τοῦ συμμέξιος, καὶ τὸ ῥέον ἢν αὐτῇ ἀπὸ τῆς κεφαλῆς, τρέφουσι τὸ σῶμα. λίην δ᾽ ἢ πολλῷ ὑγρῷ αἱ σάρκες τρεφόμεναι, καὶ νοσηλῷ θάλλουσαι, ὕδρωπος ἔμπλεαί εἰσιν. ἢν δ᾽ ὀλίγον ἐνθύσῃ, ἰσχάδας καὶ κέδματα ἐποίησεν, ἐπὴν ῥέον παύσηται. ὥστε γὰρ ὀλίγον ἐρρυηκὸς, καὶ πάντοθεν ἀθροίμενον ὑπὸ παντὸς κρέσσονος ἐόντος ἐς τὰ ἄρθρα ἀποφυγὴν ποιέεται. γίνεται δὲ κέδματα καὶ ἰσχάδες καὶ ἀπὸ τοιούτου νοσήματος ὑγιῶν γιγνομένων. ὅταν τὸ μὲν νόσημα τὸ ποιέον ὑγιὲς γένηται. καταληφθῇ δέ τι ἐν τῇ σαρκὶ καὶ μὴ ᾖ αὐτῷ ἡ ἔξοδος. μήτ᾽ αὖ ἔσω, μήτε ἔξω, ἀλλ᾽ ἐς τὸ δέρμα φῦμα ποιήσῃ, ἐξιὸν φεύγει ἐς τὸ ὑπεῖκον ἐς τὰ ἄρθρα, καὶ ἢ κέδματα, ἢ ἰσχάδας ἐποίησεν. ἢν δὲ συνοιδήσωσιν αἱ ῥῖνες, καὶ φλέγματος ἔμπλεαι ἔωσιν συμπεπηγότος τούτου, χρὴ τὸ φλέγμα τὸ συμπεπηγὸς λεπτύνειν, ἢ πυρίησιν, ἢ φαρμάκῳ. καὶ μὴ ἀποξέειν. ἢν γὰρ ἀποξεσθῇ ἄλλῃ πορεύσει πάντῃ τὸ ῥέεθρον μείζονα νόσον ποιέει. ὁπόταν δ᾽ ἐς τὰ ὦτα ῥέῃ. τὸ πρῶτον ὀδύνην παρέχει. βίῃ γὰρ χωρέει. πόνον δὲ παρέχει. ἔστ᾽ ἂν ἀποσυρισθῇ. ἐπὴν δὲ μάθῃ ῥέειν, οὐκέτι πόνον ποιέει τῷ ὑπὸ τῆς ὀδύνης ἐχομένῳ. φάρμακον θερμὸν φύσει χλιαρὸν ποιήσαντα, διὰ τὰ μετώπω ἐγχέειν. καὶ ὄπισθεν σικύην ἐμβάλλειν. ἢν τὸ ἀριστερὸν ἀλγῇ, ἐς τὸ δεξιόν. καὶ ἢν τὸ δεξιὸν, ἐς τὸ σκαιόν. μὴ κατακρούειν δὲ, ἀλλ᾽ ὡς ἂν ἕλκῃ μοῦνον. ἢν δὲ μὴ πρὸς ταῦτα παύηται, ψύχοντα ἐγχέειν φύσει ψυχρὰ καὶ φάρμακον πίσαι, ὅ,τι ἂν κάτω ὑποχώρησιν ποιέῃ. ἄνω δὲ μὴ, ὦ πρὸ τοῦ δ᾽ ἀρήγει ἐμέειν καὶ τὰ ἄλλα ψύχειν. καὶ ἀεὶ δὲ ἐκ τοῦ ὑγιὲς μὴ ποιέοντος τόπου, μεταλλάσσειν. καὶ ἢν μὲν κάκιον ποιέῃ, ἔχου ἐς τὸ ὑπεναντίον. ἢν δὲ ῥέπῃ ἐς τὸ ὑγιὲς, τὸ πάμπαν μὴ ἀφελεῖν τι τῶν προσφερομένων, μὴ δ᾽ ἀποζευγνύναι, μὴ δὲ προσθεῖναι ἄλλο τι. ἢν δὲ ἐσυρισμένον ἤδη ᾖ. καὶ πεπιωμένος ῥέῃ ἰχὼρ πουλύς. καὶ κακὸν ὄζομενον, τοῦτο ὧδε ποιέειν. σπόγγια δεύων ξηραίνοντι τινὶ φαρμάκῳ ξηρῷ, πρὸς τὴν ἀκοὴν ὡς πελασάτω προσθεῖναι. καὶ πρὸς τὰς ῥῖνας καθαρτήριον, ὅπως τοῦ ἐς τὰ ὦτα ῥέοντος, πρόσθεν ἐς τὰς ῥῖνας φορῆται. καὶ μὴ ἐς τὴν κεφαλὴν πάλιν ἀποχωρέῃ. νοσηλὸν ἐόν. ὅταν δ᾽ ἐς ὀφθαλμοὺς ῥευματίῃ, φλεγμαίνουσιν οἱ ὀφθαλμοὶ καὶ οἰδέουσιν, τοῦτον χρὴ φαρμάκῳ ἢ τῷ ὑγρῷ ἢ τῷ ξηρῷ ἐν πάσῃ ἰᾶσθαι. ἢν δ᾽ εὐθέως φλεγμήνωσιν μὴ ἐγχρίειν μηδὲν, ἀλλ᾽ ἢ καύσαι κατωτάτω ἰσχυροτάτῳ, ἢ ἄλλῳ τινὶ ἀποχνῶσαι ὑποχωρητικῷ φαρμάκῳ, φυλασσόμενος μὴ ἔμετον ποιήσῃς. ἢν δὲ δὴ λίθοι ὑποφέρωσιν, φάρμακον ἐγχρίειν ὅ,τι πλεῖστον ἄγειν δάκρυον μέλλει. καὶ τὸ ἄλλο σῶμα ὑγραίνοντα καὶ φλεγμαίνειν ποιέοντα, ὡς ὑγρότεροι οἱ ὀφθαλμοὶ γίνωνται καὶ ἐκκεκλυσμένοι, ὡς τὸ δάκρυον συμπεπηγὸς ὑποφέρειν ποιέῃς. ὅταν δὲ ἐς τοὺς ὀφθαλμοὺς κατὰ σμικρὸν ῥέῃ, καὶ κνιπότητα παρέχῃ, τοῦτον ἐγχρίειν μαλθακώδει, ὅ,τι μέλλει ξηραίνειν ἅμα καὶ δάκρυον ὀλίγον ἄγειν. καὶ πρὸς τὰς ῥῖνας φάρμακον προσφέρειν ἢ ἑκάστης ἡμέρης, ἢ διὰ τρίτης τῷ αὐτῷ χρώμενος. τοιόνδε ἔστω τὸ φάρμακον, ὅ,τι μὴ πλεῖον ἢ ἔμβαφον ἀπάγειν μέλλει κατὰ τὰς ῥῖνας. ἀπάγειν δὲ κατὰ σμικρόν, τὸ δὲ κατὰ τοὺς ὀφθαλμοὺς ἀποξηραίνειν. ὡς ὅ,τι ἂν τὸ τῶν ὀφθαλμῶν φάρμακον ἀποξηρήνῃ καὶ ἀποφράξῃ, καὶ κατὰ τὰς ῥῖνας ἀποστάζηται. τὰ δὲ φάρμακα τὰ τῆς κεφαλῆς καθαρτήρια, ἃ μὲν αὐτῶν ἰσχυρά ἐστιν, ἀπὸ τῆς κεφαλῆς ἄγουσιν ὅλης. ἄσσα δὲ ἀσθενέα, ἀπὸ τῶν ὀφθαλμῶν. καὶ αὐτόθεν ἀπὸ τοῦ πλάσιος τῆς ῥινός. ἢν δ᾽ ἀπὸ τῆς σαρκὸς καὶ τοῦ ὀστέου μύξης ὑποστάσης μεταξὺ τοῦ ὀστέου καὶ τῆς σαρκὸς ῥεῦμα ἐς τοὺς ὀφθαλμοὺς ἰδίηται, τῷδε δῆλόν ἐστιν, ὅτι ἐντεῦθεν ῥεῖ τὸ ῥεῦμα τὸ ἐπὶ τῇ κεφαλῇ φλιβόμενον καὶ ὑπείκει, καὶ ἕλκεα ἐς τὴν κεφαλὴν ἐκθύουσιν, καὶ κατὰ τοὺς ὀφθαλμοὺς δακρύουσιν. καὶ οὐχ ἑλκοῦνται τὰ βλέφαρα, οὐδὲ δάκνει, οὐδ᾽ ἀμβλυώσσειν ποιέει, ἀλλ᾽ ὀξὺ ὁρᾶν γίνεται. τὸ γὰρ ῥεῦμα οὐχ ἁλμυρόν ἐστιν, ὡς οὐκ ἀπὸ τοῦ ἐγκεφάλου, ἀλλὰ μυξῶδες μᾶλλον. τοῦτον ὧδε χρὴ ἰᾶσθαι. φαρμάκῳ καθαίρειν χρὴ τὴν κεφαλὴν μὴ ἰσχυρῷ. καὶ τὸ σῶμα ἰσχναίνειν. καὶ σιτίοισι καὶ φαρμάκοισι κάτω ὑπάγοντα, ὡς ἀποξηρανθῇ ἰσχναινομένου τοῦ σώματος, ἢ ἐκζεσθῇ τῷ κατὰ τὰς ῥῖνας προστιθεμένῳ φαρμάκῳ. πρὸς δὲ τοὺς ὀφθαλμοὺς οὐδὲν δεῖ φάρμακον προσφέρειν. ἢν δὲ μὴ δ᾽ οὕτως ὑγιὲς γένηται, τὴν κεφαλὴν κατατάμνειν ἐς ἂν πρὸς τὸ ὀστέον ἴῃς, μὴ μετεώρους, μὴ δ᾽ ἐπικαρσίους τὰς τομὰς ποιέειν. τάμνειν δὲ ἄχρι τούτου, ἄχρις ἂν τοῦ ὀστέου θίγῃς. τάμνειν δὲ πυκνὰ, ὡς ἂν τὸ συνεστηκὸς ἐξέλθῃ θᾶσσον διὰ τῶν ἑλκέων ἀποῤῥέον. ἅμα δὲ αἱ τομαὶ πυκναὶ ἔσονται πρόστασιν ποιέωσιν τῇ σαρκὶ πρὸς τὸ ὀστέον. οὕτως ἰᾶσθαι δεῖ, εἰ τούτῳ τοιάδε ἡ ἀποτελεύτησις γίνεται. ἢν μὴ ταῦτ᾽ εὖ ξέπῃ, εἴη οὐκ ἐκκέκλυσται, ὥστ᾽ ἐκκλυσομένην ὀξὺ ὁρᾶν ποιέειν, ἀεὶ τῷ ἐφισταμένῳ μαρμαρυγώδης μᾶλλον γίνεται, καὶ τὸ ὀξὺ ὁρᾶν τοῦ ἀνοῦ ἀποσβέννυται. ἢν δ᾽ ἐς τὴν ὄψιν ἐς τὸ ὑγρὸν καθαρὸν, αἱματῶδές τι ἐσέλθῃ ὑγρὸν, τούτῳ ἡ ὄψις εἶδον ἐμφαίνεται τοῦ ὀφθαλμοῦ, οὐ στρογγύλον ἐὸν διὰ τόδε. ἐν ᾧ ἂν τὸ αἱματῶδες ἐνῇ, τοῦτο οὐκ ἐμφαίνεται, τοῦτο δὴ ἐλλείπει τὸ φαινόμενον περιφερὲς εἶναι. καὶ προκινέεσθαι αὐτῷ δοκέει πρὸ τῶν ὀφθαλμῶν. καὶ οὐδὲν κατ᾽ ἀλήθειαν ὁρᾷ. τούτου χρὴ τὰς φλέβας ἀποκαίειν, τὰς πιεζούσας τὰς ὄψεις, αἳ σφύζουσιν αἰεὶ καὶ μεταξὺ τῶν τε ὤτων, καὶ τῶν κροτάφων πεφύκασι. καὶ ἐπειδὰν ταύτας ἀποφράξῃς, πρὸς τοὺς ὀφθαλμοὺς φάρμακα ὅσα ὑγραίνει προσφέρειν. καὶ δάκρυον ἀπάγειν ὡς πλεῖστον, ὅπως τὸ συνεστηκὸς ἐν τοῖσιν ὀφθαλμοῖσιν ἐκκλυσθῇ, τὸ τὴν νόσον παρέχον. ἢν δὲ ὀφθαλμὸς ῥαγῇ, μαλθακοῖσι φαρμάκοισιν χρῆσθαι, καὶ στρυφνοῖσιν. ὡς στυφόμενον τὸ ἕλκος ἐς μικρὸν συνίῃ, καὶ ἡ ῥαγὴ λεπτὴ ᾖ. ὅταν δ᾽ ἀρξῆται μὲν δακρύειν τὸ ὀφθαλμῷ ἀρήγει. ὁπόταν δὲ ἐς τὸν κίθαρον ῥέῃ καὶ χολὴ ᾖ, τῷδε δῆλόν ἐστιν. ὀδύνην ἔχει ἐς τὴν λαπάρην.

(καὶ ἐς τὴν κληῖδα

τὴν ἐς τὴν λαπάρην, καὶ πυρετός, καὶ ἡ γλῶσσα τὰ ἄνω χλωρὴ γίνεται. καὶ ἀποχρέμπτεται ξυμπεπηγότα. ταύτης τῆς νούσου ἑβδομαῖος ὁ κίνδυνός ἐστιν ἢ ἐναταῖος. ὁπόταν ἀμφότερα τὰ πλευρὰ ἀλγέῃ, τὰ δ᾽ ἄλλα ὁμοίως ἢ τῇ ἑτέρῃ. αὕτη μὲν περιπλευμονίη ἐστίν. ἡ δ᾽ ἑτέρη πλευρῖτις. αὗται δὲ γίνονται διὰ τόδε. ὅταν ἐς τὸν πλεύμονα ῥεύσῃ ἐκ τῆς κεφαλῆς διὰ τοῦ βρόγχου καὶ τῶν ἀρτηριῶν, ὁ πλεύμων ἅτε ψαφαρὸς ἐὼν καὶ ξηρὸς φύσει, ἕλκει ἐφ᾽ ἑωυτὸν τὸ ὑγρὸν ὅτι ἂν δύνηται. καὶ ἐπὴν εἰσρεύσῃ, μέζων γίνεται. καὶ ὅταν μὲν ἐς ὅλον ῥεύσῃ, μέζων ὁ λοβὸς γενόμενος, ἀμφοτέρων ἔψαυσεν τῶν πλευρέων, καὶ περιπλευμονίην ἐποίησεν. ὅταν δὲ τῆς ἑτέρης μούνον, πλευρῖτιν. ἡ δὲ περιπλευμονίη πολὺ ἐπικινδυνοτέρη ἐστί, καὶ ὀδύναι πολὺ ἰσχυρότεραί εἰσιν αἱ ἐς τὰς λαπάρας καὶ ἐς τὰς κληῖδας. καὶ ἡ γλῶσσα πολὺ ὠχροτέρη. καὶ τὴν φάρυγγα ἀλγέει ὑπὸ τοῦ ῥεύματος, καὶ κόπος ἔχει ἰσχυρός, καὶ πνεῦμα ἑκταῖον ἢ ἑβδομαῖον λάζεται. τοῦτον ἢν μὲν ἑβδομαῖον ὁ πυρετὸς ἀφῇ, ἀποθνήσκει καὶ ἀποπνίγεται, ἢ ἀμφότερον. ἢν δ᾽ ἐναταῖον δύο ἡμέρας διαλιπὼν λάζηται ὡς τὰ πολλά, καὶ οὗτος ἢ ἀποθνήσκει, ἢ ἔμπυος διαφεύγει. ἢν δὲ ἑνδεκαταῖον, ἔμπυος γίνεται. ἢν δὲ τεσσαρεσκαιδεκαταῖον, ὑγιὴς γίνεται. καὶ ἔμπυοι ὅσοι ἀπὸ περιπλευμονίης ἢ πλευρίτιδος γίνονται, οὐκ ἀποθνήσκουσιν, ἀλλ᾽ ὑγιέες γίνονται. ὡς τὰ πολλὰ ἔμπυοι γίνονται, ὅταν ῥεῦμα ἐς τὸ αὐτὸ ὥσπερ ἐπὶ τῇσι χολῇσιν γίνηται. ἀλλὰ τῇσι μὲν χολῇσι, πολὺ ἀπορρέει, καὶ ἀπορρεῦσαν παύεται. τοῖσι δ᾽ ἐμπύοισιν ἔλασσόν τε ῥέει καὶ οὐ παύεται. καὶ ἔμπυοι γίνονται, ὅταν ἔλασσον ἀποχρέμπτωνται ἢ ἐπιρρέει ἐς τὸν πλεύμονα. τοῦτο δὲ τὸ ἐν τῷ πλεύμονι συνιστάμενόν τε καὶ ἐπιρρέον, πύον γίνεται. τὸ δὲ πύον συνιστάμενον ἐν τῷ πλεύμονι καὶ ἐν τῷ κυθάρῳ, ἑλκοῖ καὶ σήπει. καὶ ἐπὴν ἑλκωθῇ, ἀπὸ τοῦ ἡλκωμένου ἐπιρρέει, καὶ ἐπαναχρέμπτονται. ἅμα μὲν ἡ κεφαλὴ μᾶλλον ῥέει σειομένη. ἅμα δ᾽ ἐκ τοῦ ἡλκωμένου ἐν τῷ κυθάρῳ καὶ τῷ πλεύμονι μᾶλλον ῥέει. καὶ τὰ ἕλκεα κινεύμενα ἐπαναρρήγνυται. ὥστε καὶ εἰ παύσαιτο τὸ ἀπὸ τῆς κεφαλῆς ῥέον, τὸ ἀπ᾽ αὐτέων τῶν ἑλκέων ἱκανὸν ἔσται νοῦσον παρασχεῖν. γίνεται δὲ καὶ ἀπὸ ἕλκους ἔμπυος, καὶ ῥάων αὕτη ἡ νοῦσος. γίνεται δὲ καὶ ἐκ τοῦ πλεύμονος. μάλιστα μὲν ἀπὸ ῥήγματος, καὶ ὅταν ἡ σὰρξ φλασθῇ. κατὰ τοῦτο δὲ πύον ξυνίσταται, καὶ συνιστάμενον εἴ τις σείῃ τὸ σῶμα, κλυδάζεται, καὶ ψόφον παρέχει καὶ καίονται ταῦτα. φθίσις δὲ γίνεται, ὅταν ἐς τὸ αὐτό, ὥσπερ τῷ ἐμπύῳ, ὁ ῥόος γίνηται διὰ τοῦ βρόγχου καὶ τῶν ἀορτέων αἳ ξυνέχουσι τὸν πλεύμονα καὶ τὸν βρόγχον. ἐς δὲ τὸν πλεύμονα ῥέει θαμινὰ κατ᾽ ὀλίγον, καὶ ὑγρότητα ἐν τῷ πλεύμονι μὴ ποιῇ πολλήν. ξηραινόμενον γὰρ τὸ ἐπιρρέον ἐν τῷ βρόγχῳ πεπηγός, ὥστε οὐκ ἐκκλυζόμενον, ἀλλὰ κατ᾽ ὀλίγον ἐπιρρέον καὶ ἐνεχόμενον, βῆχα ποιέει. ἔν τε τῇσιν ἀορτῇσιν ἐνεχόμενον τὸ ῥέον, ὥστε στενὰς διαφύσιας ἐχούσας τὰς ἀορτάς, στενοχωρίην τῷ πνεύματι παρέχει, καὶ τοῦτο ποιέει πνεῦμα ἔχειν. ὥστε γὰρ ἀναλιπόμενον ἀεὶ ἐπιθυμέει ἀναπνεῖν. καὶ ἐν τῷ πλεύμονι, ὥστε οὐκ ἰσχυρῶς ὑγρῷ ἐόντι, ξυσμὸς ἐγγίνεται. ὅταν δὲ πολὺ ἀπορρέῃ τῆς κεφαλῆς, οὔτ᾽ ἐν τῷ πλεύμονι ξυσμὸς γίνεται. πολὺ γὰρ αὐτέῳ τὸ ἐπιρρέον ἐστί, καὶ ἔμπυοι ἐκ τῶν φθισίων τούτων γίνονται, ὅταν ὑγρότερον τὸ σῶμα γίνηται. καὶ ὅταν ξηρότερον γίνηται, ἐκ τῶν ἐμπύων φθισιῶντες. ἔμπυοι τῷδε δῆλοι γίνονται. τὴν λαπάρην ἀρχομένων πόνος ἔχει. ἐπὴν δὲ πύον ξυνεστήκῃ ἤδη, ὅτε πόνος ὁμοίως ἔχῃ, βήξ τε γίνεται, καὶ ἐπαναχρέμπτεται πύον, καὶ πνεῦμα ἔχει. ἢν δὲ μή πω ἐρράγῃ ἐν τῇ λαπάρῃ, σείεται καὶ ψοφέει οἷον ἐν ἀσκῷ. ἢν δὲ τούτων μηδὲν προσμείνῃ. ἔμπυος δὲ ᾖ, τοῖσι δὲ χρὴ τεκμαίρεσθαι. πνεῦμα πουλὺ ἔχει, φθέγγεταί τε ὑπὸ βραχύτερον. καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ γούνατα. μᾶλλον δὲ κατὰ τὴν λαπάρην ἐν ᾗ τὸ πύον ἐστί. καὶ ὁ κύθαρος συγκεκαμμένος ἐστί. καὶ λυσιγυίη γίνεται. καὶ ἱδρὼς περιχέεται ὅλον τὸ σῶμα. καὶ τοτὲ μὲν δοκέει, θερμὸς αὐτὸς ἑωυτῷ εἶναι, τοτὲ δὲ, ψυχρός. καὶ οἱ ὄνυχες περιτεταμένοι εἰσί. καὶ ἡ κοιλίη θερμὴ γίνεται. τούτοισι χρὴ γινώσκειν τοὺς ἐμπύους. ὅταν δ᾽ ὄπισθεν ῥεύσῃ ἐς τὴν ῥάχιν φθίσις γίνεται τούτῳ τοιάδε. τὴν ὀσφὺν ἀλγέει καὶ τὰ ἔμπροσθεν τῆς κεφαλῆς κενὰ δοκέουσιν αὐτῷ εἶναι. χολὴ δὲ. τάδ᾽ ἐστὶν ἐπικίνδυνα. ἴκτερος ἢν ἐπιγένηται ἐν τοῖσιν ὀφθαλμοῖσιν, καὶ ἐν τοῖσιν ὄνυξιν πελιδνὰ ὅταν γένωνται. καὶ ἐς τὸ σῶμα ὅταν ἔχῃ ἕλκεα, καὶ τὰ περὶ τὰ ἕλκεα, πελιδνὰ ᾖ. καὶ ὁ ἱδρὼς ὁκόταν μὴ καθ᾽ ὅλον τὸ σῶμα ἐκθύῃ, ἀλλὰ καθ᾽ ἓν μέρος τοῦ σώματος. καὶ ὅταν τοῦ πυρετοῦ ἐπιόντος ἐπαναχρέμπτηται χλωρόν. ἢ ἐνεόντος ἐν τῷ πλεύμονι ἔτι τοῦ χλωροῦ, ἡ ἐπανάχρεμψις παύσηται. τοῦτο δὲ δεῖ γινώσκειν ὅταν ἐνῇ καὶ ὅταν μὴ ἐνῇ. ὅταν ἐνῇ ἐμψοφεῖ ἐν τῇ φάρυγγι ἀναπνέοντος, καὶ πνεῦμα ἐπικίνδυνον καὶ λύγξ, καὶ ὁ πυρετὸς ἀπιὼν ἀποχρέμματος ἔτι ἐν τῷ πλεύμονι ἐόντος. καὶ ἡ κοιλίη ἀσθενέος ἤδη ἐόντος ὑποχωρέουσα. ταῦτα πλευρίτιδος καὶ περιπλευμονίης ἐπικίνδυνα. πλευρῖτιν ὧδε χρὴ ἰᾶσθαι. τὸν πυρετὸν μὴ παύειν ἑπτὰ ἡμερέων. ποτῷ δὲ χρήσθω, ἢ ὀξυμελικρήτῳ, ἢ ὄξει, καὶ ὕδατι. ταῦτα δὲ χρὴ προσφέρειν ὡς πλεῖστα, ὡς ἐπὶ τάξις γίνηται. καὶ γινομένη ἐπανάχρεμψιν ποιέῃ. καὶ τὴν ὀδύνην παύειν θερμαντηρίοισι φαρμάκοισιν, καὶ καταρροφεῖν διδόναι, ὅ, τι ἐπανάχρεμψιν ποιήσει. καὶ λουτροῖσι χρῆσθαι τεταρταίοισιν. τῇ δὲ πέμπτῃ καὶ τῇ ἕκτῃ χρίειν ἐλαίῳ. τῇ δὲ ἑβδόμῃ λούειν, ἢν μὴ ὁ πυρετὸς μέλλῃ ἀφιέναι, ὡς ἀπὸ τοῦ λουτροῦ ὁ ἱδρὼς ἐπίηται. καὶ ἔτι τῇ πέμπτῃ καὶ τῇ ἕκτῃ ἰσχυροτάτοισι χρῆσθαι τοῖσιν ἐπαναχρεμπτηρίοισι φαρμάκοισι, ὡς τὴν ἑβδόμην ὅ τι ῥᾷστα ἡμέρην ἀγάγῃ. ἢν δὲ μηδὲ

τῇ ἑβδόμῃ ἡμέρῃ παύσηται, τῇ ἐνάτῃ παύσηται ἢν μή τι ἄλλο τῶν ἐπικινδύνων γίνηται. ἐπὴν δ᾽ ὁ πυρετὸς ἀφῇ, ῥυφήματα ὡς ἀσθενέστατα ποιέων προσφέρειν. ἢν δὲ ἰσθμὸς ἐπίηται, ἢν μὲν ἔτι νεαροῦ τοῦ σώματος ἐόντος, τῶν ποτῶν ἀφαιρέειν. ἢν δὲ τοῦ πυρετοῦ ἀφικόντος, πυείνοις τοῖς ῥυφήμασι χρῶ, καὶ τὴν περιπλευμονίην τὸν αὐτὸν τρόπον ἰῶ. τοὺς ἐμπύους καθαίρειν τὴν κεφαλήν, μὴ ἰσχυροῖσι φαρμάκοισιν, ἀλλὰ κατὰ μικρὸν ἀποτρέπειν ἐς τὰς ῥῖνας, καὶ ἅμα διαχωρητικοῖσιν σιτίοισι χρῆσθαι. καὶ ἐπὴν ἡ ἀρχὴ τοῦ νοσήματος μηκέτι ᾖ, ἀλλ᾽ ἐκτρέπεται ὁ ῥόος ἐπανάχρεμψιν ποιέεσθαι. καὶ βῆχα ποιέειν. καὶ ἐγχύτοισι φαρμάκοισιν χρῆσθαι. καὶ σιτίοισιν ἅμα. ὁπόταν δὲ δεῖ ἀπόχρεμψιν ποιέεσθαι. καὶ πλείοσι σιτίοισι καὶ ἁλυκοῖσι χρῆσθαι καὶ λιπαροῖσι. καὶ οἴνῳ αὐστηρῷ. καὶ βῆχα ποιέειν ὅταν ὧδε ἔχῃ. καὶ τοὺς ἀπὸ τῆς φθίσιος τὸν αὐτὸν τρόπον τἆλλα, πλὴν τὰ σιτία μὴ πολλὰ ἅμα. καὶ τὰ ὄψα μὴ πλέονα, ἢ τὰ σιτία καὶ τῷ οἴνῳ ὑδαρεῖ χρῶ ἐπὶ τῷ σιτίῳ, ὡς μὴ θερμαίνῃ. καὶ τῷ σώματι ἀσθενεῖ ἐόντι θερμότητα παρέχῃ. καὶ ἅμα ἀμφότερα θερμαίνωσιν ἐν τῷ αὐτῷ χρόνῳ, καὶ θερμωλὴν ποιέουσιν ῥεῦμα πουλύ. ὁπόταν διὰ τοῦ οἰσοφάγου ἐς τὴν κοιλίην ῥεύσῃ νοῦσος γίνεται κάτω. ἔστι δ᾽ ὅτε καὶ ἄνω. τούτῳ ἢν μὲν ὀδύνη ἐνῇ ἐν τῇ γαστρί, ὑπεξάγειν πρῶτον φαρμάκῳ ἢ χυλῷ. ἔπειτα φαρμάκῳ ἰσχυντηρίῳ χρῆσθαι. τοῖσι δὲ σιτίοισι διαχωρητικοῖσιν ἕως ἂν ἡ ὀδύνη ἔχῃ. ἐπὴν δὲ παύσηται ἡ ὀδύνη, καὶ τοῖσι σιτίοισιν ἰσχυντηρίοισι χρῆσθαι. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὴν πολλὰς ἡμέρας ἡ νοῦσος ἔχῃ, ἰᾶσθαι. ἢν δὲ ἀσθενὴς ᾖ καὶ μὴ δύνηται προσφέρεσθαι ὑπὸ ἀσθενείης, κλύζειν πρῶτον μὲν χρὴ χυλῷ πτισάνης. ἔπειτα ἐπὴν τούτῳ καθήρῃς, τῷ στύφοντί τινι, ὕστερον ἐπὴν τούτῳ κλύσῃς. ὁπότε δ᾽ ἐς τὴν σάρκα ὄπισθεν παρὰ τοὺς σπονδύλους ῥεύσαντος ὕδρωπα ποιήσῃ, ὧδε χρὴ ἰᾶσθαι. καίειν τὴν σάρκα τὴν ἐν τῷ τραχήλῳ μεταξὺ τῶν φλεβῶν ἐσχάρας θείς. καὶ ἐπὴν καύσῃς, ξυνάγειν καὶ ποιέειν ὡς ἰσχνοτάτας οὐλάς. καὶ ἐπὴν ἀποτρέψῃς πρὸς τὰς ῥῖνας φάρμακον προσφέρειν, ὡς ἐκτρέπηται καὶ ἀσθενὲς αὖθις, ἕως ἂν ἀποτρεφθῇ. καὶ τὰ μὲν ἔμπροσθεν τῆς κεφαλῆς θερμαίνειν. τὰ δ᾽ ὄπισθεν, ψύχειν. καὶ ἐπὴν σοι ἐκθερμασμένος ᾖ τὰ ἔμπροσθεν τῆς κεφαλῆς, σιτία ἐσθίειν τὰ φλεγματωδέστατα, καὶ ἥκιστα διαχωρητικά, ὡς ὅτι μάλιστα διουρωθῶσιν αἱ ῥοιαὶ αἱ ἔμπροσθεν τῆς κεφαλῆς. ἔπειτα δ᾽ ἐπὴν ἀποτράξῃς καὶ ἀποτρέψῃς τὴν ἐπίρρεξιν, ἤν τι πρὶν ἢ εὐτρεπίζειν τὸ ῥεῦμα ἐς τὸ σῶμα ἔλθῃ, ὧδε χρὴ ἰᾶσθαι. ἢν μὲν μᾶλλον πρὸς τὸ δέρμα ἐκκεχωρηκὸς ᾖ, τὰ ἔξωθεν πυριῶντα. ἢν δ᾽ ἔνδον πρὸς τὴν κοιλίην, ἔξωθεν δὲ μὴ δῆλον ᾖ, φάρμακον πιπίσκοντα. ἢν δ᾽ ἐπ᾽ ἀμφότερα, ἀμφοτέρων ἀφαιρέειν. ἐπιτηδεύειν δὲ χρὴ ἐπὶ ταύτην ἔξοδον ποιέειν, ἤν τε κάτω, ἤν τε ἄνω, ἤν τε ἄλλῃ ὅπῃ τοῦ σώματος ἔξοδοί εἰσιν. ὁπόταν ἰσχιὰς ἀπὸ ῥόου γίνηται, σικύην χρὴ προσβάλλειν, καὶ ἕλκειν ἔξω, καὶ μὴ κατακρούειν, καὶ ἔνδοθεν θερμαντηρίοισι φαρμάκοισι πιπίσκοντα διαθερμαίνειν, ὅπως ἔξοδος ᾖ καὶ ἔξω ἐς τὸ δέρμα ὑπὸ τῆς ἑλκύσιος τῆς σικύης, καὶ ἔσω πρὸς τὴν κοιλίην ἀπὸ τῆς θερμασίης. ὁπόταν γὰρ ἀποφραχθῇ, καὶ μὴ ἔχῃ ὅπῃ ὁδοιπορέῃ. ὁδοιπορέουσα ἐς τὰ ἄρθρα ῥέει ἐς τὸ ὑπεῖκον, καὶ ἰσχιάδα ποιέει ἡ ὄπισθεν φθίσις. τούτῳ τὴν κεφαλὴν καθαρτέον ἀσθενεῖ φαρμάκῳ, ἕως ἂν ἀποτραφθῇ ὁ ῥόος. καὶ τῇ διαίτῃ, ὥσπερ ἔμπροσθεν χρῶ. φάρμακον δὲ πῖσον ἐλατήριον. καὶ κάτω γάλακτι κλύσον. τὰ δ᾽ ἄλλα πειρήσιν ἰῶ. ἐπὴν ὁ σπλὴν ἀπὸ πυρετοῦ μέγας γένηται. γίνεται δὲ ὅταν τὸ σῶμα λεπτυνθῇ. τοῖσι γὰρ αὐτοῖσιν ὅ τε σπλὴν θάλλει καὶ τὸ σῶμα φθίνει. ὅταν δὲ τὸ σῶμα λεπτὸν ᾖ καὶ ὁ σπλὴν θάλλῃ. καὶ τὸ ἐπίπλοον ἅμα τῷ σώματι λεπτυνθῇ, ἡ πιμελὴ ἡ ἐν τῷ ἐπιπλόῳ ἐκτήκεται. ἐπὴν δὲ ταῦτα τὰ κενὰ πιμελῆς γένηται, καὶ ἀπὸ τοῦ σπληνὸς θάλλοντος ἀπορρέοι ἐς τὸ ἐπίπλοον, ὡς ἐγγύτατα ἐὸν τὸ ἐπίπλοον, ὥστε τεύχεα ἔχον, καὶ ταῦτα κενεὰ ἐσδέχεται. καὶ ἐπὴν τὸ νόσημα ἅπαξ ἐν τῷ σώματι γένηται, ἐς τὸ νοσέειν τρέπεται, ἢν μή τις εὐτρεπίζῃ. ὡς καὶ τὸ εὐτρεπιζόμενον ἐπὶ κινδύνῳ. τοῦτον ὧδε ἰᾶσθαι, φάρμακα πιπίσκειν ὑφ᾽ ὧν ὕδωρ καθαίρεται καὶ σιτία τὰ φλεγματωδέστατα διδόναι. ἢν δὲ μὴ δ᾽ οὕτω ῥάων γένηται, καίειν ὡς λεπτότατα καὶ ὡς ἐπιπολαιότατα, ὅπως τὸ ὕδωρ ἴσχειν δύνῃ, περιὲξ τοῦ ὀμφαλοῦ κύκλον καὶ ἐς τὸν ὀμφαλὸν μίαν, καὶ ἀφιέναι ἑκάστης ἡμέρης τοῦ νοσήματος ὅτι ἂν ἐπικινδυνότατον ἐστιν. ἐν τούτοισι παρακινδυνεύειν χρή. ἐπιτυχὼν μὲν γὰρ ὑγιᾶ ποιήσεις. ἀτυχήσας δ᾽, ὅπερ καὶ ὡς ἔμελλε γίνεσθαι, τοῦτ᾽ ἔπαθε. παιδίῳ δὲ χρὴ ὕδρωπα ὧδε ἰᾶσθαι. τὰ οἰδέοντα καὶ ὕδατος ἔμπλεα. σχάζειν μαχαιρίῳ, πυκνά, καὶ σμικρὰ σχάζοντα. σχάζειν δ᾽ ἐν μέρει ἑκάστῳ τοῦ σώματος. καὶ πυρίῃσι χρήσασθαι. καὶ ἀεὶ τὸ σχαζόμενον χρίειν θερμαντηρίῳ φαρμάκῳ. πλευρῖτις ξηρὴ ἄνευ ῥόου γίνεται ὅταν ὁ πλεύμων λίην ξηρανθῇ ὑπὸ δίψης ἀναγκαίης. ὁ γὰρ πλεύμων, ἅτε ξηρὸς ἐών, ἐπὴν τι μᾶλλον ξηρανθῇ τῆς φύσιος, ἰσχνὸς γίνεται καὶ ἀκρατὴς γενόμενος καὶ κλιθεὶς ἐς τὸ πλευρὸν ὑπ᾽ ἀκρασίης, ψαύει τοῦ πλευροῦ. καὶ ἐπὴν θίγῃ ὑγροῦ ἐόντος ἅπτεται, καὶ πλευρῖτιν ποιέει. τότε δὲ καὶ ὀδύνη γίνεται ἐς τὸ πλευρὸν καὶ ἐς τὴν κληῖδα. καὶ πυρετός. καὶ ἐπαναχρέμπτεται λευκόν. τοῦτον χρὴ πολλοῖσι ποτοῖσιν ἰᾶσθαι. καὶ λούειν. καὶ τῆς ὀδύνης φάρμακον διδόναι. καὶ τἆλλα τὰ ἀνάχρεμψιν ποιεῦντα. οὗτος ἐν ἡμέρῃσιν ἑπτὰ ὑγιὴς γίνεται. καὶ τὸ νόσημα ἀκίνδυνόν ἐστιν. καὶ σιτίου χρὴ διδόναι. πυρετοὶ δ᾽ αὐτοὶ δὲ γίνονται ὅταν τοῦ σώματος ὑποφλεγμήναντος αἱ σάρκες αὗται οἰδήσωσιν. καὶ τὸ φλέγμα καὶ ἡ χολὴ κατακλεισθέντα ἀτρεμέωσι. καὶ μὴ ἀναψύχηται μηδὲν μήτ᾽ ἐξιόν, μήτε κινεύμενον, μήτ᾽ ἄλλου ὑπιόντος. ὁπόταν κόπος ἔχῃ καὶ πυρετὸς καὶ πλησμονὴ λούειν χρὴ πολλῷ. καὶ

χρίειν ὑγρόν. καὶ θερμαίνειν ὡς μάλιστα ὡς ἡ θερμωλὴ ἀνοιχθέντος τοῦ σώματος ἀπὸ τοῦ ἱδρῶτος διεξέλθῃ. ἑξῆς δὲ ταὐτὰ ποιέειν καὶ τρεῖς καὶ τέσσαρας ἡμέρας. καὶ ἢν μὴ παύηται, φάρμακον πῖσαι χολαγωγόν. καὶ ψύχειν τὸν πυρετόν, πρὶν ἢ τεταρταῖος ᾖ. μὴ δὲ ὡς ἂν τὸ σῶμα θάλλῃ πιπίσκειν φάρμακον. οὐ γὰρ κεῖνοι, εἰ μὴ σμικρόν. ὥστε συνοιδέοντος τοῦ σώματος. ἐπὴν δὲ ἰσχνὸς ᾖ, πιπίσκειν, καὶ ἱνῆται πυρετῷ. σιτίον μὴ προσφέρειν, μηδὲ ῥυφήμασιν ὑπεξάγειν. καὶ πίνειν ὕδωρ θερμὸν καὶ μελίκρατον, καὶ ὄξος σὺν ὕδατι. ταῦτα δὲ πιπίσκειν ὡς πλεῖστα. ἢν γὰρ μὴ ψυχρὸν ἔσω τὸ ποτὸν θερμὸν ἐόν, καὶ μᾶλλον ἐκ τοῦ σώματος τοῦ νοσέοντος ἀφαιρέει, ἤν τε διουρήσῃ, ἤν τε διιδρώσῃ. πάντῃ δὲ ἀνοιγόμενόν τε καὶ ἀναπνέον, καὶ κενούμενον τὸ σῶμα συμφέρον ποιήσει. ἐπὴν δὲ ἰσχνὸν ἐόντα καίῃ, δῆλον ὅτι οὐ διὰ τὸ φλεγμαίνειν ὁ πυρετὸς ἔχει, καὶ ἢν μὴ παύηται ζέφειν, καὶ φλεγμαίνειν ποιέειν, καὶ ἢν μὴ δὲ οὕτω ξυμφέρῃ, δῆλον ὅτι οὐκ ἐχρῆν τὸν πυρετὸν παρέχειν. τοῦτον χρὴ φάρμακον πῖσαι, ὡς ὑπεξάγῃ, ὅπῃ ἂν μᾶλλον ὁ πυρετὸς ἔχῃ, ἤν τε κάτω, ἤν τε ἄνω, ἢν μὲν ἄνω, ἄνω. ἢν δὲ κάτω, κάτω. οὐδὲν δὲ ἧσσον δεῖ τοὺς ἀσθενέοντας τῶν ἰσχυρῶν φαρμάκων πιπίσκειν. ἀλλ' ὁμοίως ἢ μᾶλλον οὕτω. τοῖσι μὲν ἰσχυροῖς, ἰσχυρόν. τοῖσι δὲ ἀσθενέσιν, ἀσθενές. τοὺς δὲ πυρώσιας τοῖσι καὶ ῥυφήμασιν, ὥσπερ τὸν πυρετὸν ψυκτηρίῳ φαρμάκῳ ἐκλύειν καὶ μανδραγόρῃ ἢ ἄλλῳ τινὶ τοιούτῳ. καὶ ἐπὴν καυτιῷ τῷ ψυκτηρίῳ, θερμαντηρίοισι χρῶ διεξῆς. ἐπὴν δὲ μὴ παύηται, ψυκτηρίοισι πάλιν χρῆσθαι. ἴκτερον ὧδε χρὴ ἰᾶσθαι. ἐπὴν παραλάβῃς, ζέφε καὶ λουτροῖσι καὶ πιαντηρίοις. καὶ ποτοῖσι καὶ σιτίοισι καθυγραίνειν τρεῖς ἢ τέσσαρας ἡμέρας. ἐπὴν δὲ ὑγρανθῇ τὸ σῶμα, καθαίρειν καὶ ξηραίνειν τὸ σῶμα. λιπαρά τε διεξαίφνης διαχωρῆσαι. πάντῃ τε προσφέρων φάρμακον, εἰ δυνατὸν ἡ ὑγρότητα διάγειν. πρὸς δὲ τὴν κεφαλὴν καθαρτηρίῳ ἀσθενεῖ. καὶ οὐρητικὰ πιπίσκειν. καὶ περὶ τῶν σιτίων τοῦτον τὸν χρόνον ἢν καθαρῇς τὴν ταραχώδεα μὴν ὑγρότητα κατὰ τροφὴν δίδου, ὡς μὴ ζέφηται ἀπὸ τούτου τοῦ χρόνου τὸ σῶμα. ὅταν δὲ ἰσχναίνηται καὶ λουτροῖσι καθαίρειν. τοῦ δὲ σικύου τοῦ ἀγρίου τὴν ῥίζαν κόψας, ἐς ὕδωρ ἐμβαλών, ἀπὸ τούτου λοῦε. χολαγωγὸν δὲ φάρμακον μὴ πιπίσκε, ὡς μὴ ταράσσῃ μᾶλλον τὸ σῶμα τοῦτον. ἐπὴν δὲ ξηρὸν ᾖ τὸ τεταραγμένον, τρέφε μηδενὶ ὑποχωρητικῷ φαρμάκῳ μηδὲ διουρητικῷ, ἀλλ' οἴνῳ οἰνώδει. καὶ ὅσα ἐρυθρότερον ποιέει τὸν αὐτὸν τούτοισιν. ἢν δὲ χλωρὸς ᾖ, πάλιν διαχωρῆσαι, ξηραίνειν δὲ μηδαμά, ὡς μὴ παγῇ χλωρὸς ἐών. θηρίον ἐπέρχεται ἐπὶ τὸ σῶμα διὰ τόδε. ἐπὴν φλεγμαίνῃ ἡ σὰρξ ἡ περὶ ξ, καὶ οἱ κρημνοὶ μεγάλοι ἐῶσι τοῦ ἕλκεος, καὶ τὸ ἕλκος ὑγρόν, καὶ ἐπὶ τοῦ ἕλκεος διεξερχόμενος ἐπῇ ἰχώρ. ἢ τὸ ἕλκος συμπεπηγὸς ᾖ. ξυνώσῃ πως ὁ ἰχὼρ ὁ ἀπὸ τοῦ ἕλκεος ἀπορρέων, κωλύεται ἔξω χωρέειν ὑπὸ τοῦ ἐπιπεπηγότος ὑπὸ τοῦ ἕλκεος πρὸς τὴν σάρκα. ἡ δὲ σὰρξ ὑποδέχεται ὥστε μετέωρος ἐοῦσα ὑπὸ φλεγμασίης. καὶ ὅταν ἀναφίκηται ὁ ἰχὼρ ὑπορρέων σήπει καὶ μετεωρίζει, τοῦτον φαρμάκοισιν ὑγραίνουσι αὐτὸ τὸ ἕλκος χρίειν. ὡς ὑγραινομένου ἔξω τὸ ῥεῦμα ῥέῃ ἐκ τοῦ ἕλκεος, καὶ μὴ ὑπὸ τὴν σάρκα. καὶ τὰ καταῤῥέα τοῦ ἕλκεος ψύχουσι φαρμάκοισιν, ὡς χειμοῦσα συμπίληται ἡ σάρξ. καὶ μὴ διαρραγεῖσα αὖτε ἐπιῤῥέῃ. καὶ τἄλλα δὲ ἕλκεα ψύχουσι παραχρίειν. καὶ ἐπὶ αὐτὰ τὰ ὑγραίνοντα ἐπιτιθέναι. κυνάγχος ἀπὸ αἵματος γίνεται, ὅταν τὸ αἷμα παγῇ τὸ ἐν τῇσι φλεψί, τῇσιν ἐν τῷ τραχήλῳ, τουτέστιν ἀπὸ τῶν ἐν τοῖσι γυίοισιν φλεβῶν αἷμα ἀφαιρέειν, καὶ ἅμα κάτω ὑπεξάγειν, ὡς τὴν νοῦσον παρέχον τοῦτο καταστορεσθῇ. καὶ γλῶσσαν ὁπόταν ἕλκεα μεγάλα ἔχῃ ὡσαύτως εὐθετιστέον. τὰ νοσήματα χρὴ ἀπ' ἀρχῆς ἰᾶσθαι. ὅσα μὲν ἀπὸ τῶν ῥόων γίνεται, τοὺς ῥόους παύειν πρῶτον. ὅσα δὲ ἀπ' ἄλλου, παύειν τὴν ἀρχὴν τοῦ νοσήματος, καὶ εὐθετίζειν. ἔπειτα τὸ συνερρυηκός. ἢν μὲν πολὺ ᾖ, διάγειν. ἢν δὲ ὀλίγον, δίαιταν καθιστάναι. ἢν μὲν τὸ ὀστέον κατεαγῇ καὶ ξυντριβῇ, ἀκίνδυνον. καὶ ἰᾶσθαι χρὴ τοῦτον ὑγραίνουσι φαρμάκοισιν. ἢν δὲ ῥαγῇ, καὶ ῥωγμὴ ἐσέλθῃ ἐπικίνδυνον. τοῦτον πρίειν ὡς μὴ κατὰ τὴν ῥωγμὴν τοῦ ὀστέου ἰχὼρ ῥέων τὴν μήνιγγα σήπῃ. ὥστε γὰρ κατὰ στενὸν μὲν ἐσιὼν, διεξιὼν δέ, οὐ λυπέει, καὶ μαίνεσθαι ποιέει τὸν αὐτόν. τοῦτον χρὴ πρίειν ὡς ἔξοδος ᾖ τῷ ἰχῶρι, μὴ μᾶλλον ἔσοδος, εὐρέος διαπρισθέντος, καὶ φαρμάκοισι χρῆσθαι, ἅσσα ἐφ' ἑωυτὰ τὸ ὑγρὸν ἑλκύουσιν, καὶ λούειν. πυρεταίνοντι κεφαλὴν μὴ καθαίρειν, ὡς μὴ μαίνηται. θερμαίνουσι γὰρ τὴν κεφαλὴν καθαίροντα φάρμακα. πρὸς δὴ τὸ ἀπὸ τοῦ πυρετοῦ θερμὸν, τὸ ἀπὸ τῶν φαρμάκων προσελθὸν μανίην ποιέει. ἐφ' ὧν ἂν τινὶ κακῶς ἔχοντι χολὴν μέλαιναν ἀπεμέσῃ, ἀποθνήσκει ὁ τὸ σῶμα ἔχων, καὶ ὑπὸ ἠνιθμοῦ ὁ ἐνεχόμενος, καὶ ἔχων ἀσθενέως, καὶ λεπτὸς ἐὼν διεξαπίνης ξηρὸν καθίζει, ἀποθνήσκει. ἐπὴν ὑπὸ θερμωλῆς ἐχομένῳ ἑλκύδρια ἐκθύωσιν ἀσθενεῖ ἐόντι, περὶ ξ πελιδνά, ἀποθνήσκει. ἐπὴν ὑπό τινος νοσήματος ἐχομένῳ ἀσθενεῖ ἤδη ἐόντι, πελιδνὰ ἐκθύῃ, θανάσιμον. ἐπὴν φάρμακόν τις πιὼν ὑπερινοσῇ, καὶ κάτω καὶ ἄνω ὑπεκχωρέῃ, δεῖ κατὰ ῥοφεῖν τὸ μὲν πρῶτον κεκρημένον. ἔπειτα ἄκρητον θαμινὰ διδόναι καὶ παύεται. φάρμακον δὲ μήτ' ἱνηθμῶν, μήτ' ἐμετήριον. χολὴ δὲ ἐπὴν αὐτομάτη ῥαγῇ ἢ κάτω ἢ ἄνω, χαλεπωτέρα παύειν. ἡ γὰρ αὐτομάτη ὑπὸ βίης γινομένης τῷ σώματι βιᾶται. ἢν δὲ ὑπὸ φαρμάκου ῥέῃ, οὐχ ὑπὸ συγγενέος βιᾶται. ἐπὴν παραλάβῃς οἰνωμένον τε καὶ ἐμέοντα, μὴ παύειν τὸν ἔμετον. ὁ γὰρ ἔμετος τὸν ἠνιθμὸν παύει. ῥᾴων δὲ ὁ ἔμετος ὕδρον παύεται. ἢν δὲ ἂν ἀσθενὴς ᾖ ὁ ταῦτα πάσχων, ὕπνου φάρμακον ἐμετηρίου διδόναι. τὸ μὲν αἷμα ὁπόταν νοῦσον ποιέει, ὀδύνην παρέχει. τὸ δὲ φλέγμα, βάρος, ὡς τὰ πολλά. τῶν νοσημάτων ὧν μὴ ἐπίστηταί τις φάρμακον, πῖσαι μὴ ἰσχυρόν, ἢν δὲ ῥᾴων γένηται, δέδεικται ὁδὸς εὐθετιστέον ἐστὶν ἰσχναίνοντα. ἢν δὲ μὴ

ῥᾷον ᾖ. ἀλλὰ χαλεπώτερον ἔχῃ, τἀναντία. ἢν μὴ ἰσχναίνειν ξυμφέρῃ, φλεγμαίνειν συνοίσει καὶ θαμινὰ μεταλλάσσειν. ταύτῃ τῇ γνώμῃ χρώμενος. τοῦ δὲ νοσήματος ἤν τις ἰσχύοντος μὲν τοῦ ἀλγέοντος παραλάβηται. τοῦ δὲ νοσήματος ἀσθενέος. ἐνταῦθα μὲν ἰσχυροτέρῳ θαρσέων τῷ φαρμάκῳ τοῦ νοσήματος χρῆσθαι. ὥστε καὶ ἤν τι τοῦ ὑγιαίνοντος ἢν ἀπάγειν σὺν τῷ ἀσθενέοντι, οὐδὲ μέγα βλάβη ἐστίν. ἐπὴν δὲ τὸ νόσημα ἰσχυρότερον. τὸν δὲ νοσέοντα ἀσθενέα λάβῃς, ἀσθενέσι τοῖσι φαρμάκοισιν εὐθετίζειν, ἅσσα αὐτοῦ τοῦ νοσήματος περιέσονται καὶ ἀπάξουσιν. ἀσθενέστερον δὲ μηδὲν ποιήσουσι τὸν ἀλγέοντα. γυμναστικὴ δὲ καὶ ἰητρικὴ ὑπεναντία πέφυκεν. ἡ μὲν γὰρ γυμναστικὴ οὐ δεῖται μεταλλαγὰς ποιέειν, ἀλλ' ἡ ἰητρική. τῷ μὲν γὰρ ὑγιαίνοντι, οὐκ ἀρήγει ἐκ τοῦ παρεόντος μεταλλάσσειν. τῷ δὲ ἀλγέοντι. τῶν δὲ νοσημάτων ἅσσα μὲν ἕλκεα ἐόντα ὑπερέχοντα τοῦ ἄλλου σώματός εἰσιν, ἅμα τοῖσι φαρμάκοισι καὶ λιμῷ χρὴ ἰῆσθαι. ῥόου ξυμφέρον ἐκ κεφαλῆς ῥέοντος, ἔμετος. τὰ παλαιὰ νοσήματα χαλεπώτερον ἰᾶσθαι τῶν νέων. ἀλλὰ νοσήματα τὰ παλαιά, νέα πρῶτον ποιέειν. ἕλκος πεπωρωμένον ἐκβάλλοντα τὸ σκληρὸν σηπτηρίῳ φαρμάκῳ, ἔπειτα συνάγειν. τῶν φαρμάκων ὅσα φλεγμαίνειν ποιέει μάλιστα, ταῦτα συνάγουσι τὰ καθαρὰ τὰ δι' ἰσχναίνοντα. ταῦτα δὲ καθαίρουσιν. ἢν δέ τις συνάγῃ τὰ μήπω ὡραῖα ἐόντα, τὸ νοσέον ζέφει σῶμα ὃ ἂν ἕλκος ἔχῃ. καὶ ἢν μετὰ συνάγειν δέῃ τὸ ἕλκος, καὶ ἐμπλῆσαι, φλεγμαίνειν ἀρήγει. καὶ ἢν ἐν κεφαλῇ σάρκα σῦλῃ. ἐπὰν ζεφομένη γὰρ ἡ σὰρξ ὑπὸ τῶν σιτίων, ὠθέει τὴν ὑπὸ τῶν φαρμάκων σηπομένην καὶ ξυμμαχεῖ. τὴν δὲ μετέωρον ἢ λείην ἰσχναίνειν τοῖσι σιτίοισι. τοὺς αἰωρουμένους, καὶ νοσέοντας, καὶ ἀπάγχεσθαι βουλομένους. μανδραγόρου ῥίζαν πρωῒ πιπίσκειν ἔλασσον, ἢ ὡς μαίνεσθαι. σπασμὸν ὧδε χρὴ ἰῆσθαι. πῦρ παρακαίειν ἑκατέρωθεν τῆς κλίνης. καὶ μανδραγόρου ῥίζαν πιπίσκειν ἔλασσον ἢ ὡς μαίνεσθαι. καὶ πρὸς τοὺς τένοντας τοὺς ὄπισθεν σακκία προστιθέναι θερμά. ἀπὸ σπασμοῦ πυρετὸς ἢν ἐπιλάβῃ παύεται αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ ἡμέρῃ. ἀπὸ ῥήγματος πυρετὸς οὐ λαμβάνεται πλέον ἢ τρεῖς ἢ τέσσαρας ἡμέρας. ἢν δὲ λάζηται, οἰόμενος ἀπὸ ῥήγματος ἔχειν, ἀπ' ἄλλου τινὸς λάζοιτο ἄν, καὶ οὐ χρὴ ὡς ἂν ἀπὸ ῥήγματος εὐθετίζειν. ὁπόταν αὐτὸς συντεταμένος ᾖ τοὺς πόδας, καὶ τὰς χεῖρας, μανίην ἑωυτῷ ποιέει. φλέβα δὲ ὧδε χρὴ καίειν ἐπὶ πλεῖον, ὥστε τὸ νόσημα ὃ ἂν καὶ ἡ νοσέων. ἢν κεκαυμένος ᾖ αὐτὸς, ῥέῃ δὲ τὸ τοῦ αἵματος, ὡς μὴ ἐπικίνδυνον ᾖ τοῦτο αὐτῷ, ἀμφότερα ταῦτα δεῖ ποιέειν. ἢν διακαύσῃς ταύτῃ ἐν τῷ πόνῳ οὗ εἵνεκα ἐκαίετο, οὐ ξυμφύεται. ὠφελήσει δὲ τῷ ῥόῳ. ἢν γὰρ διακαῇ, οὐ ῥέει. ἐπὴν γὰρ διακαῇ τὸ ἄκρον. ἑκάτερον ἀναφέρει τῆς φλεβὸς ἡ διακαῇ, καὶ συναυαίνεται. ἢν δὲ καταλελειμμένον ᾖ, ὑπὸ τοῦ καταλελειμμένου διαρρέοντος τοῦ ῥεύματος, ὑγραίνεται. ἢν δὲ αἷμα ῥέει ἐκ φλεβὸς διακαίειν ἐπικάρσιν. ἢν δὲ μὴ παύηται πρὸς ταῦτα ἄνω καὶ κάτω ἑκατέρωθεν διατάμνειν ὡς ἀποζεφθῇ τὸ αἷμα ῥέον. διαλελαμμένον γὰρ φαρμάκῳ ῥᾷον παύειν ἢ τὸ ἀθρόον. ὀδύνης ἐν κεφαλῇ τοῦ αἵματος ἀφαιρέειν ἀπὸ τῶν φλεβῶν, ἢν δὲ μὴ παύηται, ἀλλὰ πολυχρόνιον ᾖ, διακαίειν τὰς φλέβας, καὶ ὑγιὴς γίνεται. ἢν δὲ κεφαλὴν καθαίρῃς, μᾶλλον πονέεις. ἰητρικὴν οὐ δυνατόν ἐστι ταχὺ μαθεῖν διὰ τόδε, ὅτι ἀδύνατόν ἐστι καθεστηκός τι ἐν αὐτῇ σόφισμα γενέσθαι. διὸ ὁ τὸ γράφειν ἕνα τρόπον μαθὼν, ὃν διδάσκουσι πάντα ἐπίσταται. καὶ οἱ ἐπιστάμενοι πάντες ὁμοίως διὰ τόδε, ὅτι τὸ αὐτὸ καὶ ὁμοίως ποιούμενον νῦν τε καὶ οὐ νῦν, οὐκ ἂν τὸ ὑπεναντίον γένοιτο. ἀλλ' αἰεὶ ἐνδυκέως ὅμοιόν ἐστιν. καὶ οὐ δεῖ καιροῦ. ἡ δὲ ἰητρικὴ νῦν τε καὶ αὐτίκα οὐ τὸ αὐτὸ ποιέει, καὶ πρὸς τὸν αὐτὸν ὑπεναντία ποιέει. καὶ ταῦτα ὑπεναντία σφίσιν ἑωυτοῖσιν. πρῶτον ὑποχωρητικὰ οὐκ αἰεὶ ποιέουσι, καὶ τὰ ὑποχωρητικὰ ἀμφότερα ποιέουσιν. τάχα δὲ οὐδὲ οὕτως ἔχουσι τὰ ὑποχωρητικὰ τοῖσι στασίμοις ὡς ὑπεναντία. ἐπίστασις τῆς κοιλίης διὰ τὴν λίην στάσιν φλεγμῆναι τὸ σῶμα, ἐς τὴν κοιλίην φλέγματος ἀφικομένου. οὕτως ἡ στάσις ὑποχώρησιν ἐποίησεν. ἐπὴν γὰρ τὸ φλέγμα ἐς τὴν κοιλίην ἐσέλθῃ ἱνηθμὸς γίνεται. ἐν τούτῳ δὲ τὰ ὑποχωρητικὰ φύσει στάσιμον ποιέουσιν ἐν τῇ κοιλίῃ. ἢν μὲν μὴ ὑποχωρητικὰ ποιέῃς. ἐκλύηται δὲ τὸ νοσεῖν ποιέον καὶ ὑγραίνηται, ἐπὴν ἐκκλυσθῇ, γίνεται ὑγιής. καὶ οὕτω τά τε στάσιμα τοῖσιν ὑποχωρητικοῖσιν στάσιν ποιέουσι τῆς κοιλίης. καὶ τοῖσι στασίμοισι τὰ ὑποχωρητικά. τὸν αὐτὸν δὲ τρόπον καὶ τοὺς ἐρυθροὺς καὶ τοὺς χλωρούς. καὶ τὰ φλεγματώδεα χλωροὺς ποιέει καὶ ἀχρόους. καὶ τὰ ἰσχναινόμενα εὐχρόους. ἑκατέρου δὲ ἐστὶ φάρμακον τὰ ὑπεναντία τῷ ὑπεναντίῳ. αὐτίκα ὅταν φλεγμαίνῃ χλωρὸς ἐὼν ἐκλύεται, ἢν μή τι ἰσχναῖνον φάρμακον προσενεχθῇ, ἐνθάδε τῷ φλεγμαίνοντι τὸ ἰσχναῖνον ὠφελήσει. τούτῳ δὲ τὸ ποτὲ ὠφελεύμενον τῷ ὠφελέοντι νῦν ὠφελεῖ ἐνταῦθα, ὁπότ' ἂν ὑπὸ ἰσχνότητος ἄχροος καὶ χλωρὸς ᾖ. ἢν γάρ τις φλεγματῶδες προσφέρῃ, παύεται τὸ χλωρόν. ὀδύνη τε γίνεται καὶ διὰ τὸ ψυχρὸν καὶ διὰ τὸ θερμόν. καὶ διὰ τὸ πλέον λίην. καὶ διὰ τὸ ἔλασσον. καὶ ἐν μὲν τοῖσιν ἐψυγμένοισι φύσει τοῖσιν ἐκ τοῦ σώματος πρὸς τὸ δέρμα, διὰ τὸ θερμαινόμενον λίην ὀδύνη γίνεται. ἐν δὲ τοῖσι θερμοῖσι φύσει, διὰ τὸ ψυχρόν. καὶ ἐν μὲν τοῖσι ξηροῖσι, φύσει ὑγραινομένοισιν. ἐν δὲ τοῖσιν ὑγροῖσι, φύσει ξηραινομένοισι. τὴν γὰρ φύσιν διαλλασσομένοις ἑκάστοισι καὶ διαφθειρομένοις αἱ ὀδύναι γίνονται. ὑγιαίνονται τε αἱ ὀδύναι τοῖσιν ὑπεναντίοισιν. ἴδιον ἑκάστῳ νοσήματί ἐστι. τοῖσι θερμοῖσι φύσει, διὰ τόδε τὸ ψυχρὸν νοσέουσι. θερμαίνονται καὶ τἄλλα κατὰ λόγον. ἄλλος δὲ τρόπος. διὰ τὰ ὅμοια νοῦσος γίνεται. καὶ διὰ τὰ ὅμοια προσφερόμενα ἐκ νοσεύντων ὑγιαίνονται. οἷον στραγγουρίην τὸ αὐτὸ ποιέει οὐκ ἐοῦσαν, καὶ ἐοῦσαν τὸ αὐτὸ παύει. καὶ βὴξ κατὰ τὸ αὐτό, ὥσπερ καὶ στραγγουρίη ὑπὸ τῶν αὐτῶν γίνεται καὶ παύεται. ἄλλος δὲ τρόπος

πος. Πυρετὸς ὁ διὰ φλεγμασίην γινόμενος· τοτὲ μὲν ὑπὸ τῶν αὐτῶν γίνεται, καὶ παύεται· τοτὲ δὲ τοῖσιν ὑπεναντίοισιν ἐγένετο· τοτὲ μὲν δ' εἴ τις βούλεται λούειν ὕδατι θερμῷ καὶ ποτὰ πολλὰ διδόναι, ὑγιὴς γίνεται διὰ τὸ φλεγμαῖνον τοῖσι φλεγμαίνειν ποιέουσι προσφερομένοισιν, ὧν πυρετὸς γίνεται ὑγιής. καὶ εἴ τις βούλεται φάρμακον πῖσαι ὑποχωρητικὸν καὶ ἐμετικόν, τὸν αὐτὸν τρόπον τοῖσί τε ποιέουσι παύεται, καὶ τοῖσι παύουσι γίνεται. τοῦτο μὲν δ' εἴ τις ἐμέοντι ἄνω βούλεται ὕδωρ δοῦναι πιεῖν πολύ, ἐκκλυσθήσεται δι' ἃ ἐμέει ξὺν τῷ ἐμέτῳ. οὕτω μὲν διὰ τὸ ἐμέειν ὁ ἔμετος παύεται. ὧδε δὲ διὰ τὸ παύειν ὅτι κάτω ποιήσει αὐτὸν ἐλθεῖν, ἐξ ἐκείνου ὃ ἐνεὸν ἔμετον ποιέει, ἀμφοτέροισι τοῖσιν ὑπεναντίοισι τρόποις, ὑγιὴς γίνεται. καὶ εἰ μὲν οὕτως εἶχε πᾶσι, καθεστήκει ἄν· οὕτω τὰ μὲν τοῖς ὑπεναντίοισιν, ἐξεπίστασθαι οἷά τε ἐστὶ καὶ ἀφότου ἐγένετο· τὰ δὲ τοῖσιν ὁμοίοισιν οἷά τε ἐστὶ καὶ ἀφότου ἐγένετο. τούτου δ' αἴτιόν ἐστιν ἡ τοῦ σώματος ἀσθενείη. τὸ δ' σῶμα ὑπὸ μὲν τῶν σιτίων ἴσως ἴσως φέρεται, ὑπὸ δὲ τοῦ σώματος, τὰ σιτία κρατέεται. ἐπὴν δὲ πλέον ἢ ἔλασσον προσενέγκηται, ἢ ὡς ἄλλο μεταλλάξας κρατέεται. κρατέεται δὲ καὶ τὰ σιτία. καὶ ὁπόταν κρατέηται τὸ σῶμα ὑπὸ τῶν προσισμάτων, θάλλειν ποιέει ταῦτα καὶ κρατέει ἅμα τοῦ σώματος τά τε ὑπεναντία ποιέουσιν αὐτίκα. τὸ λουέσθαι θερμῷ, ἕως μὲν ἂν τὸ σῶμα κρατέῃ τῶν προσισμάτων, θάλλει. ἐπὴν δὲ κρατηθῇ, ἰσχνὸν ποιέει τὸ σῶμα. καὶ τὸ διαψύχεσθαι ὁμοίως τῷ λουέσθαι ποιέει. ταῦτα μὲν δ' ἕως μὲν ἂν κρατῶνται, θάλλειν ποιέουσιν· ἐπὴν δὲ κρατέωσιν, ὑπεκχωρήσιές τε ποιέουσι καὶ ἀλλοίας κακίας. ὁπότε δὲ ὃ προσφέρεται τοῦτο μεταλλάσσεται, ἀνάγκη καὶ τὸ προσφερόμενον μεταξὺ πεσεῖν. τὸ δ' σῶμα μεταξεπόμενον νικώμενον καὶ ὀλιγοδρανές ἐστιν. καὶ ὑπὸ παντὸς τὰς παλιγκοτίας παρέχει. τοῦτο δὲ ποιέει καὶ τὰ ὑποχωρητικά. καὶ τὰ θάλλειν ποιέοντα, ἰσχναίνει ταῦτα τὸ σῶμα ποιέουσι. καὶ τἆλλα πάντα τὰ ὑπεναντία τούτοισι πάσχοντα. ἡ δὲ ἰητρικὴ ὀλιγόκαιρός ἐστιν. καὶ ὃς τοῦτο ἐπίσταται ἐκεῖνο καθέστηκεν. καὶ ἐπίσταται τὰ εἴδεα καὶ τὰ μὴ εἴδεα, ἃ μὴ ἔστιν ἐν ἰητρικῇ ὁ καιρὸς γνῶναι. ὅτι τὰ ὑποχωρήματα οὐχ ὑποχωρητικὰ γίνεται. καὶ τἆλλα ὅτι ὑπεναντία ἐστί. καὶ τὰ ὑπεναντιώτατα οὐχ ὑπεναντιώτατα. ὁ δὲ καιρὸς ἐν ᾧ ἐστι. τὰ σιτία προσφέρειν· ὅσων μέλλει τὸ σῶμα προσφερόμενον τὸ πλῆθος κρατέειν. ὥστ' ἢν μὲν οὕτω ποιέῃ. πᾶσα ἀνάγκη τὸ ὑποχωρητικὸν σιτίον προσφερόμενον ὑποχωρητικὸν εἶναι. καὶ τὸ φλεγματῶδες, φλεγματῶδες. ἢν κρατέῃ ἐν τὸ σῶμα τῶν σιτίων, οὔτε νοῦσος, οὔτε ὑπεναντίωσις γίνεται προσφερομένων. καὶ αὐτὸς ὁ καιρός ἐστιν ὃν δεῖ τὸν ἰητρὸν εἰδέναι. ἐπὴν δὲ τὸν καιρὸν ὑπερβάλλῃ, τὸ ὑπεναντίον γίνεται. καὶ οἱ πρὶν ταλαιπωρέειν οἷόν τε ἔχειν καὶ τὸ θερμαίνεσθαι ἕως μὲν ἂν τὸ σῶμα τῶν προσισμάτων κρατέῃ, φέρεται τὸ σῶμα. ἐπὴν δὲ τοῦτον τὸν καιρὸν ὑπερβάλλῃ, τὸ ὑπεναντίον γίνεται. ἰσχναίνεται γάρ. καὶ τἆλλα πάντα δὲ τὰ φλεγμαίνειν ποιέοντα, ἕως μὲν ἂν κρατέῃ τὸ σῶμα, ἔτι τε πρὸς τὸν καιρόν, καὶ τὰ κατὰ φύσιν ποιέουσιν ἕκαστον. τὰ φλεγματώδεα φλεγμαίνειν. ἐπὴν δὲ ὑπερβάλλῃ τὸν καιρόν, τὰ ὑπεναντία γίνεται. πάντα φάρμακά εἰσι τὰ μετακινέοντα τὸ παρεόν. πάντα δὲ τὰ ἰσχυρότερα μετακινέουσιν. ἔξεστι δέ, ἢν μὲν βούλῃ, φαρμάκῳ μετακινέειν. ἢν δὲ μὴ βούλῃ, σιτίῳ. ἅπαντα δὲ νοσέοντι μετακινέειν ἐκ τοῦ παρεόντος ἀρήγει. ἢν δὲ μὴ μετακινήσῃς τὸ νοσέον, αὔξεται. φάρμακα οὐ χρὴ τὰ ἰσχυρὰ φύσει ἐπὶ τῶν ἀσθενέων νοσημάτων διδόναι. ὀλιγότητι τοῦ φαρμάκου ἀσθενὲς ποιέουσι. ἀλλὰ τοῖσι μὲν ἰσχυροῖσι φύσει, φαρμάκοις ἰσχυροῖσι χρῆσθαι, τοῖς δ' ἀσθενέσι, φαρμάκοις μὴ ἰσχυροῖσι. μὴ δὲ τὰ ποιέοντα τὸ φάρμακον, ἀλλὰ κατὰ φύσιν ἑκάστοισι. τοῖσι μὲν ἀσθενέσιν, ἀσθενῆ φάρμακα φύσει. τοῖσι ἰσχυροῖσι νοσήμασιν, ἰσχυρὰ φύσει τὰ φάρμακα. τὰ δὲ νοσήματα ἢ πελαστάτω πέφυκεν ἐξάγειν. ταύτῃ δ' ἐξάγειν ἡ ἐγγίστω ἔξοδος ἐοῦσα τοῦτο. τὰ ὑποχωρητικὰ τοιάδε ἐστίν· ὅσα ὀλισθηρὰ καὶ τμηματώδεα. καὶ ὅσα ἐν τοῖσι θερμοῖσι λεπτύνονται. ἡ γὰρ κοιλίη θερμή ἐστι. καὶ τἆλλα τὰ ἁλμυρὰ καὶ ὅσα τῶν τοιούτων πλεῖστον ἔχουσι. τὰ δ' οὐ διαχωρητικά, ἀλλὰ στάσιμα, ὅσα φῦσαν παρέχουσιν. τὰ γὰρ ὑγρὰ ξηραινόμενα φῦσαν ποιέουσι. καὶ τὰ στύφοντα. καὶ τὰ ὑπὸ θερμοῦ πηγνύμενα, καὶ τὰ ψαθυρά, καὶ τὰ ξηρά. πάντα δὲ τὰ ἐντὸς φλεγμαίνειν ποιέουσι προσφερόμενα, ἅσσα τὰ ἐκτὸς ἰσχναίνουσιν. ταῦτα δὲ καὶ ἰσχυτήριά ἐστι καὶ φλεγματώδεα. καὶ τὰ ὑποχωρητικὰ ἰσχναίνοντα θερμαίνουσι τὰ τοιαῦτα. ἔτι δὲ τὰ ὀξέα καὶ φλεγματώδεα. πάντα δὲ τὰ ψύχοντα τὰ ἐν τῇ κοιλίῃ. τὰ δὲ τοιαῦτα ὑποχωρητικά ἐστι. καὶ τὰ ψυχρὰ καὶ τὰ ὑγρά. ὁπόταν δὲ μὴ ὑποχωρητικὰ ἔωσι θερμαίνουσιν. ψύχουσι δὲ καὶ τὰ θερμὰ ἐς τὴν κοιλίην προσφερόμενα καὶ ταχύ, διαχώρησιν δὲ μὴ ποιεύμενα θερμά ἐστιν ἐν τῇ κοιλίῃ. τούτων ὅσα πλησμονὴν ποιέει, μάλιστα φλεγματώδεά ἐστιν. ἃ δὲ πλεῖστα προσφερόμενα, οὐ ποιέει πλησμονήν, διαχωρητικά. ἰητρικὴ δή μοι δοκέει ἤδη ἀνευρῆσθαι ὅλη, ἥ τις οὕτως ἔχει. ἥ τις διδάσκει ἕκαστα καὶ τὰ ἔθεα, καὶ τοὺς καιρούς. ὃς γὰρ οὕτως ἰητρικὴν ἐπίσταται, ἐλάχιστα τὴν τύχην ἐπιμένει. ἀλλὰ καὶ ἄνευ τύχης, καὶ ξὺν τύχῃ εὖ ποιηθείη ἄν. βέβηκε γὰρ ἰητρικὴ πᾶσα, καὶ φαίνεται τῶν σοφισμάτων, τὰ κάλλιστα ἐν αὐτῇ συγκείμενα, ἐλάχιστα τύχης δεῖσθαι. ἡ γὰρ τύχη αὐτοκρατὴς καὶ οὐκ ἄρχεται. οὐδ' ἐπ' εὐχῇ ἐστιν αὐτὴν ἐλθεῖν. ἡ δ' ἐπιστήμη ἄρχεταί τε καὶ εὐτυχής ἐστιν, ὁπόταν βούληται ὁ ἐπιστάμενος χρῆσθαι. ἔπειτα τί καὶ δεῖται ἰητρικὴ τύχης; εἰ μὲν ἔστι τῶν νοσημάτων φάρμακα σαφῆ, οἶμαι, οὐκ ἐπιμένει τὴν τύχην, τὰ φάρμακα ὑγιᾶ ποιῆσαι τὰ νοσήματα. εἴπερ ἐστὶ τὰ φάρμακα. εἰ δὲ ξὺν τῇ τύχῃ διδόναι ὠφελέει οὐδὲν μᾶλλον τὰ φάρμακα, εἰ καὶ τὰ μὴ φάρμακα σύν γε τῇ τύχῃ ὑγιᾶ ποιέουσι προσφερόμενα τοῖσι νοσήμασιν. ὅστις δὲ τὴν τύχην ἐξελᾷ ἐξ ἰητρι-

κῆς, ἢ ἐξ ἄλλου τινὸς ἐξελάσει, φάμενος οὐ τοὺς καλῶς τι πρήγματος ἐπισταμένους χρῆσθαι τύχῃ, τὸ ὑπεναντίον δοκέει μοι γινώσκειν. ἐμοὶ γὰρ δοκέουσι μοῦνοι καὶ ἐπιτυγχάνειν καὶ ἀτυχεῖν οἱ καλῶς τι καὶ κακῶς πρῆξαι ἐπιστάμενοι. ἐπιτυγχάνειν τε γάρ τουτέστι, τὸ καλῶς ποιέειν. τοῦτο δὲ οἱ ἐπιστάμενοι ποιέουσιν. ἀτυχεῖν δέ, τοῦτ' ἐστιν, ὃ ἤν τις μὴ ἐπίστηται, τοῦτο μὴ καλῶς ποιέῃ. ἀμαθὴς δὲ ἐών, πῶς ἂν ἐπιτύχοι; εἰ γάρ τι καὶ ἐπιτύχοι οὐκ ἂν ἀξίως λόγου τὴν ἐπιτυχίην ποιήσαιτο. ὁ γὰρ μὴ καλῶς ποιέων οὐκ ἂν ἐπιτύχοι τἆλλα τὰ εἰκότα μὴ πράσσων. τὰ γυναικεῖα νοσεύματα καλεύμενα αἱ ὑστέραι πάντων τῶν νοσημάτων αἴτιαί εἰσιν. αὗται γὰρ ὅπη ἂν ἐκ τῆς φύσιος μετακινηθέωσι νούσους παρέχουσιν, ἤν τε προσέλθωσιν, ἤν τε παραχωρήσωσιν. καὶ ὅταν μὲν μὴ βάλλωσι τὸ στόμα αἱ μῆτραι, καὶ μὴ ψαύωσι τῶν κρημνῶν μετακεκινημέναι ἐοῦσαι, ἔξω σμικροτάτη νοῦσός ἐστιν. ἐπεὶ δὲ προσκινηθέωσιν ἐς τὸ ἔμπροσθεν καὶ ἐμβάλλωσι τὸ στόμα ἐς τὸν κρημνόν, πρῶτον μὲν ψαύσασα, πόνον παρέχει. εἶτα ἀποφραχθεῖσα ἡ μήτρη καὶ ἐπιπωμασθεῖσα ἀπὸ τῆς ἐμβλήσιος, τῆς ἐς τὸν κρημνόν, οὐ γίνεται ῥόος τὰ καταμήνια. τοῦτο δὲ οὐ συνιστάμενον οἰδός τε καὶ ὀδύνην παρέχει. καὶ ἢν μὲν κάτω κατελθοῦσα καὶ ἀποστραφεῖσα ἐμβάλλῃ ἐς τὸν βουβῶνα, ὀδύνην παρέξει. ἢν δὲ ἄνω ἐπαναχωρήσασα ἀποστραφῇ καὶ ἀποφραχθῇ, καὶ οὕτω διὰ τὴν ἀφανότητα νοῦσον παρέχει. ὁπόταν δὲ διὰ τοῦτο νοσέῃ, ἐς τὰ ἰσχία καὶ τὴν κεφαλὴν ὀδύνην ποιέει. ὁπόταν δὲ αἱ μῆτραι πληθεῖσαι συνοιδήσωσιν οὐ ῥεῖ οὐδέν, καὶ πλέαι γίνονται. ἐπὴν δὲ πλέαι ἔωνται, ψαύουσι δὲ τῶν ἰσχίων, ὀδύνας παρέχουσι καὶ ἐς τὰ ἰσχία καὶ τὸν βουβῶνα. καὶ οἷον σφαῖραι ἐν τῇ γαστρὶ ὑποτρέχουσι. καὶ τὴν κεφαλὴν πονέουσι. τοτὲ μέν, ἐς τὸ ἕτερον μέρος. τοτὲ δέ, ὅλην ἐν γίνεται καὶ ἡ νοῦσος. ὧδε δὴ ταῦτα ἐξεπιστέον. ἢν μὲν προέλθῃ μοῦνον καὶ ἡ διαχρίειν, χρῶ ὅτῳ βούλει τῶν κακοδμῶν, ἢ κέδρῳ, ἢ μυσιωτῷ, ἢ ἄλλῳ τινὶ τῶν βαρυτέρων καὶ κακὸν ὀζομένων, καὶ κάπνιζε, καὶ μὴ πυρία, μὴ δὲ σιτίῳ, μὴ δὲ πίσῳ οὐρητικῷ χρῶ τοῦτον τὸν χρόνον, μὴ δὲ λοῦε θερμῷ. ἢν δὲ ἀνακεχωρήκει καὶ μὴ ἀπεστραμμένη ᾖ, τοῖσιν εὐόδμοισι προσθετοῖσι χρῶ, ὅσα ἀναθερμαίνουσιν ἅμα. ταῦτα δὲ τοιάδε εἰσί· σμύρνη, ἢ μύρῳ, εἶθ' ἐν ἄλλῳ εὐόδμῳ καὶ θερμαίνοντι ἅμα. τοιούτοισι προσθετοῖσι χρῶ. καὶ πυρία ἂν οἴνῳ κάτωθεν, καὶ θερμῷ ὕδατι λούειν, καὶ διουρητικοῖσι χρῶ. τὸ δὲ δῆλόν ἐστιν, ἢν μὴ ἀποστροφῇ ἀνακεχωρήκῃ ὁ ῥεῦμα γίνεται. ἢν δ' ἀπεστραμμένη ᾖ, οὐ γίνεται ῥόος τὰ καταμήνια καλεύμενα. τοῦτο τὸ νόσημα πυρίῃ πρῶτον τοιῆδε χρὴ ἰᾶσθαι, ἐς οἶνον ἐρινεὰ ἐμβάλλοντος θερμαίνοντα τοῦτον περιθέντα σικυωνίην, περὶ τὸ στόμα τοῦ τεύχεος ἐν ᾧ ἂν θερμαίνηται ὧδε ποιῆσαι. σικυωνίην μέσην διαταμὼν ἐκκενώσας, τὸ ἄκρον ἀποταμὼν σμικρόν, ὡς ἐπὶ ἀσκίων τοῦτο περιπωμάσαι. ὅπως ἂν ἡ ὀδμὴ διὰ τοῦ στενοῦ ἰοῦσα πρὸς τὴν μήτρην ἀφίκηται, καὶ θερμῷ ὕδατι ἀκραίῳ, καὶ φαρμάκοισιν θερμαίνουσι χρῆσθαι προσθετοῖσι. θερμαίνοντα δ' ἐστὶ τὰ ἄγοντα τὴν πρόσθεν. τὰ δὲ τοιάδε. βόλβιτον, χολὴ βοός. σμύρνα. συμπίνειν. χαλβάνη· καὶ ἄλλο, ὃ τοιοῦτόν ἐστι. πυρίων ὡς πλείστοισι καὶ ὑπεξάγειν ἐλατηρίοισιν φαρμάκοισιν κάτω, ἐς ἔμετον ποιέουσιν, ὃ ἀσθενέουσιν, ὅπως μὴ ἢν θυμὸς γένηται ἐκ τῆς ὑποδινήσιος. τὰ δὲ προσθετά, ὧδε χρὴ ποιέειν ἢν βούλῃ ἰσχυρὰ ποιέειν. μέλι ἢ μάραθον ποιέων ἐμβαλλέων γεγραμμένων προσθετῶν τὴν ἄγειν ποιούντων. καὶ ἐπὴν ἐμβάλλῃς ποίησον, ὥσπερ τὰς βαλάνους τὰς πρὸς τὴν ἕδρην προστιθεμένας· μακρὰς δὲ ποίει καὶ λεπτὰς ταύτας. τὴν δὲ γυναῖκα ὑπτίην κατακλίνας ἄνω τοὺς πόδας ποιήσας τῆς κλίνης τὰ πρὸς ποδῶν. ἔπειτα πρόσθες καὶ θερμαίνει ἐν ἀκηδίῃ ἄλλῳ τινί, ἕως ἂν κατατακῇ. ἢν δὲ ἀσθενέστερον βούλῃ τὸ προσθετὸν προστιθέναι, ἐς ὀθόνιον οὐ διῶν. καὶ ἢν ὑγρότητος ἔμπλεαι οὖσαι αἱ μῆτραι τὸ στόμα συνοιδήσωσιν, καὶ ἀρροίην παράσχωσι, ῥόον χρὴ ποιέοντα ἰᾶσθαι προσθετοῖσι φαρμάκοισιν, καὶ πυριῶντα ὡς γέγραπται οὕτω ποιέοντα. ὥσπερ καὶ τὴν πρόσθεν ἀρροίην. καὶ εἰ ἐς τὸ πρόσθεν προσχωρέουσα ἀποστραφῇ, ῥόον χρὴ ποιέειν ὥσπερ ἐπὶ τῆς πρότερον ἀρροίης. ὅταν δὲ ῥόος ᾖ λίην, οὔτε θερμαίνειν χρὴ θερμῷ ὕδατι, οὔτ' ἄλλῳ οὐδενί. οὔτε οὐρητικοῖσι χρῆσθαι. οὔτε σιτίοισι διαχωρητικοῖσι. τῆς γε κλίνης τὰ πρὸς ποδῶν ὑψηλότερα εἶναι, ὡς μὴ ἡ κατάκλισις ὄρθιος ᾖ. καὶ προσθετοῖσιν ἅμα τοῖς στύφουσι χρῶ. οἱ δὲ ῥόοι, ὁπόταν μὲν εὐθέως ἴηται ἡ κάθαρσις, εὐθέως ὕφαιμοι γίνονται. ὁπόταν δ' ἧσσον ἴῃ, πυώδεες. καὶ τῇσι νεωτέρῃσιν ὕφαιμα μᾶλλον. αἱ δὲ πρεσβύτεραι, μυξώδεα μᾶλλον ἔχουσι τὰ καταμήνια καλεύμενα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΕΡΩΝ ΥΔΑΤΩΝ ΤΟΠΩΝ.

Ἰητρικὴν ὅστις βούλεται ὀρθῶς ζητεῖν, τάδε χρὴ ποιέειν. πρῶτον μὲν ἐνθυμέεσθαι τὰς ὥρας τοῦ ἔτεος, ὅ τι δύναται ἀπεργάζεσθαι ἑκάστη. οὐ γὰρ ἐοίκασιν οὐδέν, ἀλλὰ πολὺ διαφέρουσιν αὐταί τε ἑωυτῶν, καὶ ἐν τῇσι μεταβολῇσιν. ἔπειτα δέ, τὰ πνεύματα, τὰ θερμά τε καὶ τὰ ψυχρά. μάλιστα μέν, τὰ κοινὰ πᾶσιν ἀνθρώποισιν. ἔπειτα δέ, καὶ ἐν ἑκάστῃ χώρῃ ἐπιχώρια ἐόντα. δεῖ δὲ καὶ τῶν ὑδάτων ἐνθυμέεσθαι τὰς δυνάμιας. ὥσπερ γὰρ ἐν τῷ στόματι διαφέρουσιν, καὶ ἐν τῷ σταθμῷ, οὕτω καὶ ἡ δύναμις διαφέρει πολὺ ἑκάστου. ὥστε ἐς πόλιν ἐπειδὰν ἀφίκηταί τις, ἧς ἄπειρός ἐστι, διαφροντίσαι χρὴ τὴν θέσιν αὐτῆς, ὅκως κέεται, καὶ πρὸς τὰ πνεύματα, καὶ πρὸς τὰς ἀνατολὰς

τοῦ ἡλίου. οὐ γὰρ τωὐτὸ δύναται, ἥτις πρὸς βορέην κέεται, καὶ ἥτις πρὸς νότον. οὐδ' ἥτις πρὸς ἥλιον ἀνίσχοντα. οὐδ' ἥτις πρὸς δύνοντα. ταῦτα δὲ ἐνθυμέεσθαι ὡς κάλλιστα. καὶ τῶν ὑδάτων πέρι, ὡς ἔχουσιν. καὶ πότερον ἑλώδεσι χρέονται καὶ μαλακοῖσιν, ἢ σκληροῖσί τε καὶ ἐκ μετεώρων, καὶ ἐκ πετρωδέων. εἴτε ἁλυκοῖσι, καὶ ἀτεράμνοισιν. καὶ τὴν γῆν πότερον ψιλή τε καὶ ἄνυδρος, ἢ δασεῖα καὶ ἔφυδρος, καὶ εἴτε ἐν κοίλῳ ἐστὶ καὶ πνιγηρὴ, εἴτε μετέωρος καὶ ψυχρή. καὶ τὴν δίαιταν τῶν ἀνθρώπων ὁκοίῃ ἥδονται. πότερον φιλοπόται καὶ ἀριστηταὶ καὶ ἀταλαίπωροι, ἢ φιλογυμνασταί τε καὶ φιλόπονοι, καὶ ἐδωδοὶ καὶ ἄποτοι. καὶ ἀπὸ τουτέων χρὴ ἐνθυμέεσθαι ἕκαστα. εἰ γὰρ ταῦτα εἰδείη τις καλῶς. μάλιστα μὲν, πάντα. εἰ δὲ μὴ, τάτε πλεῖστα, οὐκ ἂν αὐτὸν λανθάνοι ἐς πόλιν ἀφικνεόμενον, ἧς ἂν ἄπειρος ᾖ, οὔτε νοσήματα ἐπιχώρια, οὔτε τῶν κοινῶν ἡ φύσις ὁκοίη τίς ἐστιν. ὥστε μὴ ἀπορέεσθαι ἐν τῇ θεραπείῃ τῶν νούσων. μὴ δὲ διαμαρτάνειν, ἃ εἰκός ἐστι γίγνεσθαι, ἢν μή τις ταῦτα πρότερον εἰδὼς προφροντίσῃ. περὶ ἑκάστου δὲ χρόνου προσιόντος καὶ τοῦ ἐνιαυτοῦ λέγοι ἂν, ὁκόσα τε νοσήματα μέλλει πάγκοινα τὴν πόλιν κατασχήσειν. ἢ θέρεος, ἢ χειμῶνος. ὁκόσα τε ἴδια ἑκάστῳ κίνδυνος γίγνεσθαι, ἐκ μεταβολῆς τῆς διαίτης. εἰδὼς γὰρ τῶν ὡρέων τὰς μεταβολὰς, καὶ τῶν ἄστρων ἐπιτολάς τε καὶ δύσιας, καθότι ἕκαστον τουτέων γίγνεται, προειδείη ἂν τὸ ἔτος, ὁκοῖόν τι μέλλει γίγνεσθαι. οὕτως ἄν τις ἐρευνώμενος καὶ προγινώσκων τοὺς καιροὺς, μάλιστ' ἂν εἰδείη περὶ ἑκάστου, καὶ τὰ πλεῖστα τυγχάνει τῆς ὑγιείης, καὶ κατ' ὀρθὸν φέροιτο οὐκ ἐλάχιστα ἐν τῇ τέχνῃ. εἰ δὲ δοκέοι τις ταῦτα μετεωρολόγα εἶναι, εἰ μετασταίη τῆς γνώμης, μάθοι ἂν ὅτι οὐκ ἐλάχιστον μέρος συμβάλλεται ἀστρονομίη ἐς ἰητρικὴν, ἀλλὰ πάνυ πλεῖστον. ἅμα γὰρ τῇσιν ὥρῃσιν, καὶ αἱ κοιλίαι μεταβάλλουσι τοῖσιν ἀνθρώποισιν. ὅκως δὲ χρὴ ἕκαστα τῶν προειρημένων σκοπεῖν καὶ βασανίζειν, ἐγὼ φράσω σαφέως. ἥτις μὲν πόλις πρὸς τὰ πνεύματα κέεται τὰ θερμά. ταῦτα δ' ἐστὶ μεταξὺ τῆς τε χειμερινῆς ἀνατολῆς τοῦ ἡλίου καὶ τῶν δυσμέων τῶν χειμερινῶν καὶ αὐτῇ ταῦτα τὰ πνεύματά ἐστι ξύννομα. τῶν δὲ ἀπὸ τῶν ἄρκτων πνευμάτων, σκέπη. ἐν ταύτῃ τῇ πόλει ἐστὶ, τάτε ὕδατα πολλὰ καὶ ὕφαλα, καὶ ἀνάγκη εἶναι μὴ μετέωρα. τοῦ μὲν θέρεος, θερμά. τοῦ δὲ χειμῶνος, ψυχρά. καὶ λειεντερίαι καὶ ὕδρωπες τελευτῶσι τοῖσι νοσεύμασιν ἐπιγίγνονται. οὐ γὰρ ἀποξηραίνονται αἱ κοιλίαι ῥηϊδίως. ἢν δὲ τὸ θέρος ἔπομβρον γένηται, καὶ νότιον, καὶ τὸ μετόπωρον, χειμῶνα ἀνάγκη νοσερὸν εἶναι. καὶ τοῖς φλεγματίῃσιν, καὶ τοῖς γεραιτέροισι τεσσαράκοντα ἐτέων, καύσους γίγνεσθαι εἰκός. τοῖσι δὲ χολώδεσιν, πλευρίτιδας, καὶ περιπλευμονίας. ἢν δὲ τὸ θέρος αὐχμηρὸν γένηται, καὶ νότιον. τὸ δὲ μετόπωρον, ἔπομβρον καὶ βόρειον, κεφαλαλγίας ἐς τὸν χειμῶνα, καὶ σφακέλους τοῦ ἐγκεφάλου εἰκὸς γίγνεσθαι. καὶ προσέτι βράγχους, καὶ κορύζας, καὶ βῆχας. ἐνίοισι δὲ καὶ φθίσιας. ἢν δὲ βόρειόν τε ᾖ καὶ ἄνυδρον, καὶ μήτε ἐπὶ τῷ ἀρκτούρῳ. τοῖσι μὲν φλεγματίῃσι φύσει, ξυμφέροι, μάλιστα καὶ τοῖς ὑγροῖς τὰς φύσιας καὶ τῇσι γυναιξίν. τοῖσι δὲ χολώδεσι, τοῦτο πολεμιώτατον γίνεται. λίην γὰρ ἀναξηραίνονται, καὶ ὀφθαλμίαι αὐτέοισιν ἐπιγίγνονται ξηραί. καὶ πυρετοὶ ὀξέες καὶ πολυχρόνιοι ἐνίοισιν, καὶ μελαγχολίαι. τῆς γὰρ χολῆς τὸ μὲν ὑγρότατον καὶ ὑδαρέστατον, ἀναλοῦται. τὸ δὲ παχύτατον καὶ δριμύτατον, λείπεται. καὶ τοῦ αἵματος κατὰ τὸν αὐτὸν λόγον. ἀφ' ὧν ταῦτα νοσεύματα αὐτέοις γίγνεται. τοῖσι δὲ φλεγματίῃσι, πάντα ταῦτα ἀρωγά ἐστιν. ἀποξηραίνονται γὰρ καὶ ἐς τὸν χειμῶνα ἀφικνέονται, ὑπ' ἄλλων τ' ἐς ἄλλα ἀναξηραινόμενοι. ἢν δὲ ὁ χειμὼν, βόρειος γένηται καὶ ξηρός. τὸ δὲ ἦρ, νότιον καὶ ἔπομβρον. κατὰ τὸ θέρος ὀφθαλμίαι γίνονται ἰσχυραί. τοῖσι δὲ παισὶ καὶ γυναιξὶν, πυρετοί. κατὰ ταῦτα τίς ὁ νοεύμενος καὶ σκοπούμενος, προειδείη ἂν τὰ πλεῖστα τῶν μελλόντων ἔσεσθαι ἀπὸ τῶν μεταβολέων. φυλάσσεσθαι δὲ χρὴ μάλιστα τὰς μεταβολὰς τῶν ὡρέων τὰς μεγίστας, καὶ μήτε φάρμακον διδόναι ἑκόντα, μήτε καίειν ὅ, τι ἐς κοιλίην, μήτε τάμνειν πρὶν παρέλθωσιν αἱ ἡμέραι δέκα ἢ καὶ πλείονες. μέγισται δέ εἰσιν αἱ δέκα, καὶ ἐπικινδυνώταται ἡλίου τροπαὶ ἀμφότεραι, καὶ μᾶλλον θεριναί, καὶ ἰσημεριναὶ νομιζόμεναι εἶναι ἀμφότεραι. μᾶλλον δὲ αἱ μετοπωριναί. δεῖ δὲ καὶ τῶν ἄστρων τὰς ἐπιτολὰς φυλάσσεσθαι, καὶ μάλιστα τοῦ κυνός. ἔπειτα ἀρκτούρου, καὶ ἐπὶ πληϊάδων δύσει. τά τε γὰρ νοσεύματα μάλιστα ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν κρίνεται. καὶ τὰ μὲν, ἀποφθίνει. τὰ δὲ, λήγει. τὰ δὲ ἄλλα πάντα, μεθίσταται ἐς ἕτερον εἶδος, καὶ ἑτέρην κατάστασιν. περὶ μὲν τουτέων, οὕτως ἔχει. βούλομαι δὲ περὶ τῆς Ἀσίης καὶ τῆς Εὐρώπης δεῖξαι, ὁκόσον διαφέρουσιν ἀλλήλων ἐς τὰ πάντα. καὶ περὶ τῶν ἐθνέων τῆς μορφῆς, τί διαλλάσσει, καὶ μηθὲν ἔοικεν ἀλλήλοισι. περὶ μὲν οὖν ἁπάντων πολὺς ἂν εἴη λόγος. περὶ δὲ τῶν μεγίστων, καὶ πλεῖστον διαφερόντων, ἐρέω ὥς μοι δοκέει ἔχειν. τὴν Ἀσίην πλεῖστον διαφέρειν φημὶ τῆς Εὐρώπης, ἐς τὰς φύσιας τῶν ξυμπάντων τῶν τε ἐκ τῆς γῆς φυομένων, καὶ τῶν ἀνθρώπων. πολὺ γὰρ καλλίονα καὶ μείζονα πάντα γίγνεται ἐν τῇ Ἀσίῃ. ἥ τε χώρη, τῆς χώρης ἡμερωτέρη. καὶ τὰ ἔθνεα τῶν ἀνθρώπων ἠπιώτερα καὶ εὐοργητότερα. τὸ δὲ αἴτιον τουτέων, ἡ κρᾶσις τῶν ὡρέων. ὅτι τοῦ ἡλίου ἐν μέσῳ τῶν ἀνατολέων κέεται πρὸς τὴν ἠῶ, τοῦ τε ψυχροῦ πορρωτέρω. τὴν δὲ αὔξησιν καὶ ἡμερότητα παρέχει πλεῖστον ἁπάντων, ὁκόταν μηδὲν ἐπικρατοῦν

βιαίως.

βιαίως. ἀλλὰ παντὸς ἰσομοιρίη δυναστεύῃ. ἔχει δὲ κατὰ τὴν Ἀσίην, οὐ πανταχῆ ὁμοίως. ἀλλ' ὅση μὲν τῆς χώρης ἐν μέσῳ κέεται τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, αὕτη μὲν εὐκαρποτάτη ἐστὶν, καὶ εὐδενδροτάτη, καὶ εὐδιεστάτη, καὶ ὕδασι μάλιστα κέχρηται, τοῖσί τε οὐρανίοισιν, καὶ τοῖσιν ἐκ τῆς γῆς. οὔτε γὰρ ὑπὸ τοῦ θερμοῦ, ἐκκέκαυται λίην. οὔτε ὑπὸ αὐχμῶν καὶ ἀνυδρίης, ἀναξηραίνεται. οὔτε ὑπὸ ψύχεος βεβιασμένη. νοτίη τε καὶ διάβροχός ἐστιν, ὑπό τε ὄμβρων πολλῶν καὶ χιόνος. τά τε ὡραῖα αὐτόθι πολλὰ ἐοικὸς γίνεται, ὁκόσα τε ἀπὸ σπερμάτων, καὶ ὁκόσα αὐτὴ ἡ γῆ ἀναδιδοῖ φυτά. ὧν τοῖσι καρποῖσι χρέονται ἄνθρωποι, ἡμεροῦντες ἐξ ἀγρίων, καὶ εἰς ἐπιτήδειον μεταφυτέοντες. τά τε ἐντρεφόμενα κτήνεα, εὐθηνεῖν εἰκὸς καὶ μάλιστα, τίκτειν τε πυκνότατα, καὶ ἐκτρέφειν κάλλιστα. τούς τε ἀνθρώπους εὐτραφέας εἶναι. καὶ τὰ εἴδεα καλλίστους. καὶ μεγέθει μεγίστους. καὶ ἥκιστα διαφόρους ἐς τάτε εἴδεα αὐτῶν καὶ τὰ μεγέθεα. εἰκός τε τὴν χώρην ταύτην τοῦ προσεικότατα εἶναι κατὰ τὴν φύσιν, καὶ τὴν μετριότητα τῶν ὡρέων. τὸ δὲ ἀνδρεῖον καὶ τὸ ἀταλαίπωρον. καὶ τὸ ἔμπονον. καὶ τὸ θυμοειδὲς, οὐκ ἂν δύναιτο ἐν τοιαύτῃ φύσει ἐγγίγνεσθαι μήτε ὁμόφυλον, μήτε ἀλλόφυλον, ἀλλὰ τὴν ἡδονὴν κρατέειν, διότι πολύμορφα γίνεται τὰ ἐν τοῖς θηρίοις. περὶ μὲν οὖν Αἰγυπτίων, καὶ Λιβύων, οὕτως ἔχειν μοι δοκεῖ. περὶ δὲ τῶν ἐν δεξιᾷ τοῦ ἡλίου τῶν ἀνατολῶν τῶν χειμερινῶν μέχρι Μαιώτιδος λίμνης, οὗτος γὰρ ὅρος τῆς Εὐρώπης καὶ τῆς Ἀσίης, ὧδε ἔχει περὶ αὐτέων. τὰ δὲ ἔθνεα ταῦτα, ταύτῃ διάφορα αὐτὰ ἑωυτέων μᾶλλόν ἐστι τῶν προδιηγημένων, διὰ τὰς μεταβολὰς τῶν ὡρέων καὶ τῆς χώρης τὴν φύσιν. ἔχει δὲ καὶ κατὰ τὴν γῆν ὁμοίως, ἅπερ καὶ κατὰ τοὺς ἄλλους ἀνθρώπους. ὅκου γὰρ αἱ ὧραι μεγίστας μεταβολὰς ποιέονται καὶ πυκνοτάτας, ἐκεῖ καὶ ἡ χώρη ἀγριωτάτη καὶ ἀνωμαλωτάτη ἐστίν. καὶ εὑρήσεις ὄρη τε πλεῖστα καὶ δασέα καὶ πεδία καὶ λειμῶνας ἐόντας. ὅκου δὲ αἱ ὧραι μὴ μεγάλα ἀλλάσσουσιν, ἐκείνοις ἡ χώρη ὁμαλωτάτη ἐστίν. οὕτω δὲ ἔχει καὶ περὶ τῶν ἀνθρώπων. εἴ τις βούλεται ἐνθυμέεσθαι. εἰσὶ γὰρ φύσιες. αἱ μὲν, ὄρεσιν ἐοικυῖαι, δενδρώδεσί τε καὶ ἐφύδροισι. αἱ δὲ, λεπτοῖσί τε καὶ ἀνύδροις. αἱ δὲ, λειμακωδεστέροις τε καὶ ἑλώδεσι. αἱ δὲ, πεδίῳ τε καὶ ψιλῇ καὶ ξηρῇ. αἱ γὰρ ὧραι αἱ μεταλλάσσουσαι τῆς μορφῆς τὴν φύσιν, εἰσὶ διάφοροι. ἢν δὲ διάφοροι ἔωσι μετὰ σφῶν αὐτέων, διαφοραὶ καὶ πλείονες γίνονται τοῖς εἴδεσιν. καὶ ὁκόσα μὲν ὀλίγον διαφέρει τῶν ἐθνέων, παραλείψω. ὁκόσα δὲ μεγάλα ἢ φύσει ἢ νόμῳ, ἐρέω περὶ αὐτῶν ὡς ἔχει. καὶ πρῶτον περὶ τῶν μακροκεφάλων. τουτέων γὰρ οὐκ ἔστιν ἄλλο ἔθνος ὁμοίως τὰς κεφαλὰς ἔχον οὐδέν. τὴν μὲν γὰρ ἀρχὴν, ὁ νόμος αἰτιώτατος ἐγένετο τοῦ μήκους τῆς κεφαλῆς. νῦν δὲ, καὶ ἡ φύσις ξυμβάλλεται τῷ νόμῳ. τοὺς γὰρ μακροτάτην ἔχοντας τὴν κεφαλὴν γενναιοτάτους ἡγέονται. ἔχει δὲ περὶ νόμου ὧδε. τὸ παιδίον ὁκόταν γένηται, τάχιστα τὴν κεφαλὴν αὐτέου ἔτι ἁπαλὴν ἐοῦσαν μαλακοῦ ἐόντος, ἀναπλάσσουσι τῇσι χερσὶν, καὶ ἀναγκάζουσιν ἐς τὸ μῆκος αὔξεσθαι, δεσμά τε προσφέροντες, καὶ τεχνήματα ἐπιτήδεια ὑφ' ὧν τὸ μὲν σφαιροειδὲς τῆς κεφαλῆς κακοῦται. τὸ δὲ μῆκος αὔξεται. αὐτὸς τὴν ἀρχὴν ὁ νόμος κατειργάσατο. ὥς τε τοιαύτην τὴν φύσιν γενέσθαι. τοῦ δὲ χρόνου προϊόντος, ἐν φύσει ἐγένετο, ὥς τε τὸν νόμον μηκέτι ἀναγκάζειν. ὁ γὰρ γόνος πανταχόθεν ἔρχεται, ἀπό τε τῶν ὑγιηρῶν ὑγιηρὸς τοῦ σώματος. ἀπό τε τῶν νοσερῶν, νοσερός. εἰ οὖν γίγνονται ἔκ τε τῶν φαλακρῶν, φαλακροί. καὶ ἐκ γλαυκῶν, γλαυκοί. καὶ ἐκ διεστραμμένων, στρεβλοί, ὡς ἐπὶ τὸ πλῆθος. καὶ περὶ τῆς ἄλλης μορφῆς ὁ αὐτὸς λόγος. τί κωλύει καὶ ἐκ μακροκεφάλου, μακροκέφαλον γίγνεσθαι; νῦν δ' ὁμοίως οὐκέτι γίγνονται ἢ πρότερον. ὁ γὰρ νόμος οὐκέτι ἰσχύει, διὰ τὴν ἀμέλειαν τῶν ἀνθρώπων. περὶ μὲν οὖν τουτέων, οὕτως μοι δοκεῖ. περὶ δὲ τῶν ἐν Φάσει, ἡ χώρη ἐκείνη ἑλώδης ἐστὶ, καὶ θερμὴ, καὶ ὑδατεινὴ, καὶ δασεῖα. ὄμβροι τε αὐτόθι γίγνονται πᾶσαν ὥρην πολλοί τε καὶ ἰσχυροί. ἥ τε δίαιτα τοῖς ἀνθρώποις ἐν τοῖς ἕλεσιν ἐστίν. τά τε οἰκήματα, ξύλινα καὶ καλάμινα ἐν τοῖς ὕδασι μεμηχανημένα. ὀλίγῃ τε χρέονται βαδίσει, κατὰ τὴν πόλιν, καὶ τὸ ἐμπόριον, ἀλλὰ μονοξύλοις διαπλέουσιν ἄνω καὶ κάτω. διώρυγες γὰρ πολλαί εἰσιν. τὰ δὲ ὕδατα, θερμὰ καὶ στάσιμα πίνουσιν, ὑπό τε τοῦ ἡλίου σηπόμενα, καὶ ὑπὸ τῶν ὄμβρων ἐπαυξόμενα. αὐτός τε ὁ Φᾶσις, στασιμώτατος πάντων τῶν ποταμῶν, καὶ ῥέων ἠπιώτατα. οἵ τε καρποὶ γινόμενοι αὐτέοι πάντες ἀναλθέες εἰσιν, κατατεθηλυσμένοι καὶ ἀτελέες ὑπὸ πολυπληθείης τοῦ ὕδατος. διὸ καὶ οὐ πεπαίνονται. ἠήρ τε πουλὺς κατέχει τὴν χώρην ἀπὸ τῶν ὑδάτων. διὰ ταύτας δὴ τὰς προφάσιας, τὰ εἴδεα ἀπηλλαγμένα τῶν λοιπῶν ἀνθρώπων ἔχουσιν οἱ Φασιηνοί. τά τε γὰρ μεγέθη μεγάλοι. τὰ πάχεα δ' ὑπερπάχητες. ἄρθρον τε κατάδηλον οὐδὲν, οὐδὲ φλέψ. τήν τε χροιὴν ὠχρὴν ἔχουσιν, ὥσπερ ὑπὸ ἰκτέρου ἐχόμενοι. φθέγγονταί τε βαρύτατον ἀνθρώπων, τῷ ἠέρι χρεώμενοι οὐ λαμπρῷ, ἀλλὰ χνοώδει τε καὶ διερῷ. πρὸς ταλαιπωρέειν τε τὸ σῶμα ἀργότεροι πεφύκασιν. αἵ τε ὧραι οὐ πολὺ μεταλλάσσουσιν, οὔτε πρὸς τὸ πνῖγος, οὔτε πρὸς τὸ ψῦχος. τά τε πνεύματα πολλὰ νότια, πλὴν αὔρης μιῆς ἐπιχωρίης. αὕτη δὲ πνέει ἐνίοτε, βίαιος καὶ χαλεπὴ καὶ

θερμὴ. καὶ πίγχρονα ὀνομάζουσιν τοῦτο τὸ πυθμα. ὁ δὲ βορέης οὐ σφόδρα ἀφικνεῖται. ὁκόταν δὲ πνέῃ ἀθενὴς καὶ βληχρὸς. τοῦδε μὲν τῆς φύσιος, καὶ τῆς διαφορῆς, καὶ τῆς μορφῆς τὴν αἰτίη Ἀσίη καὶ τῇ Εὐρώπῃ, οὕτως ἔχει. τοῦδε δὲ τῆς ἀθυμίης τὴν αἰτίην ἀνθρώποισι καὶ τῆς ἀνανδρείης, ὅτι ἀπολεμώτατοί εἰσιν τὴν Εὐρωπαίων οἱ Ἀσίωοι, καὶ ἠμερώτεροι τὰ ἤθεα, αἱ ὧραι αὐτῶν μάλιστα, οὐ μεγάλας τὰς μεταβολὰς ποιεύμεναι, οὔτε ἐὸν τῷ θερμῷ, οὔτε ἐὸν τῷ ψυχρῷ, ἀλλὰ παραπλήσιαι. οὐ γὰρ γίνονται ἐκπλήξιες τῆς γνώμης, οὔτε μετάστασις ἰσχυρὴ τοῦ σώματος. ἀφ' ὅπερ εἰκὸς πλὴ ὀργίλῳ ἀγριοῦσθαί τε, καὶ τῇ γνώμῃ καὶ θερμοῦ μετέχειν μᾶλλον, ἢ τῷ αὐτῷ ἀεὶ ὄντα. αἱ γὰρ μεταβολαὶ εἰσὶ τὴν πάντων, ἀεί τε ἐγείρουσι πλὴ γνώμιν τοῦ ἀνθρώπου, καὶ οὐκ ἐάσουσι ἀφεμένην. διὰ ταύτας ἐμοὶ δοκέει τοὺς προφάσιος, ἀναλκεῖς εἶναι ὁ γένος ὁ Ἀσιωνικόν. καὶ, προσέτι διὰ τοῦ νόμου. τῆς γὰρ Ἀσίης τὰ πολλὰ βασιλεύεται. ὅκου δὲ μὴ αὐτοὶ ἑωυτέων εἰσὶ κρατεροὶ ἀνθρωποι, μὴ δὲ αὐτόνομοι, ἀλλὰ δεσπόζονται, οὐ τοῦδε τουτέου αὐτοῖσιν ὁ λόγος ἐστὶν, ὅπως τὰ πολέμια ἀσκήσωσιν, ἀλλ' ὅκως μὴ δόξωσι μάχιμοι εἶναι. οἱ γὰρ κίνδυνοι οὐκ ὁμοίοι εἰσίν. τοῦ μὲν γὰρ κρατεῖσθαι εἰκὸς, καὶ ταλαιπωρέειν, καὶ ἀποθνήσκειν ὑπ' ἀνάγκης ἔστιν τὴν δεσποτέων. ἀπὸ τε παιδίων καὶ γυναικὸς ἐόντας, καὶ τῶν λοιπῶν φίλων. καὶ ὁκόσα μὲν ἂν χρηστὰ καὶ ἀνδρεῖα δρήσωσιν, οἱ δεσπόται ἀπ' αὐτέων αὔξεντές τε καὶ ἐκφύοντες. τοῦ δὲ κινδύνους καὶ θανάτους αὐτοὶ ἡμεροῦσιν. ἔτι δὲ πρὸς τούτοισιν τὴν τοιούτων ἀνθρώπων, ἀφίκται δρημοῦσθαι πλὴ γλῶ ὑπό τε ἀπολεμίων καὶ ἀργίης. ὡς τε καὶ ἔστις φύσει πέφυκεν ἀνδρεῖος καὶ εὔψυχος, ἀποιρέπεσθαι πλὴ γνώμιν ἀφὶ τὴν νόμων. μέγα δὲ τεκμήριον τούτων. ὁκόσοι γὰρ εἰσὶ τῇ Ἀσίη ἑλλήνων ἢ βαρβάρων μὴ δεσπόζονται, ἀλλ' αὐτόνομοί εἰσι καὶ ἑαυτοῖσιν ταλαιπωροῦσιν, οὗτοι μαχιμώτατοί εἰσι πάντων. τοῦ γὰρ κινδύνους ἑαυτέων πρὸς κινδύνους ἀγουσιν. καὶ τῆς ἀνδρείης αὐτοὶ τὰ ἆθλα φορέοντες. καὶ τῆς ἀειλίης πλὴ ζημίῃ ὡσαύτως. διαιρέσεις δὲ καὶ τοῦ Ἀσιηνοὺς διαφέροντες αὐτοῦ ἑαυτέων. τοῦ μὲν, βελτίονας. τοῦ δὲ, φαυλοτέρους ἐόντας. τουτέων δὲ αἱ μεταβολαὶ αἴτιαι τὴν ὡρέων, ὡς πρὸ μοι ἔρηται καὶ τοῖς προτέροισι. καὶ τοῦδε μὲν τὴν αἰτίη Ἀσίη, οὕτως ἔχει. ἡ δὲ τῇ Εὐρώπῃ, ἔστιν ἔθνος σκυθικὸν, ὃ τοῦδε πλὴ λίμνῃ οἰκεῖ πλὴ Μαιώτην, διαφέρον τὴν ἐθνέων τὴν ἄλλων, σαυρωμάτας ἀκλεῶς ἐπονομάζουσιν. τουτέων αἱ γυναῖκες ἱππάζονταί τε καὶ τοξεύουσιν, καὶ ἀκοντίζουσιν ἀφὸ τῶν ἵππων, καὶ μάχονται τοῖς πολεμίοις, ἕως ἂν παρθένοι ἔωσιν. οὐκ ἀποπαρθενεύονται δὲ μίχρις ἂν τοὺς πολεμίους ἕξεις ἀποκτείνωσι. καὶ οὐ πρότερον συνοικέουσιν, ἢ πρὸ τὸ ἰδρὰ θύσωσι τῷ σὶ νόμῳ. ἢ δ' ἂν ἀνδρα ἑωυτῇ αἴρηται, παύονται ἱππαζόμεναι, ἕως ἂν μὴ ἀνάγκην ἀκριβῆ παγκοίνου στρατείης. ἢν δεξιὸν δὲ μαζὸν οὐκ ἔχουσιν. παιδίοις γὰρ ἐοῦσιν ἔτι νηπίοις, αἱ μητέρες χάλκεον τετεχνημένον ἢ ἐπ' αὐτῷ τουτέῳ διάπυρον ποιέουσαι, πρὸς ἢν μαζὸν τιθέασιν ὁ δεξιὸν, καὶ ἐπικαίεται, ὥς τε πλὴ αὔξησιν φθείρεσθαι, ἐς δὲ ἢν δεξιὸν ὦμον καὶ βραχίονα πᾶσαν πλὴ ἰσχὺν καὶ ὁ τύπος ἐκδιδόναι. τοῦδε δὲ τὴν λοιπῶν Σκυθέων τῆς μορφῆς, ὅτι αὐτοὶ αὐτοῖσιν ἐοίκασι, καὶ οὐδαμῶς ἄλλοις ἀνθρώποις λόγος καὶ τοῦδε τὴν Αἰγυπτίων, τοῦτο ὅτι οἱ μὲν ὑπὸ τοῦ θερμοῦ εἰσι βεβιασμένοι. οἱ δὲ ἀφὸ τοῦ ψυχροῦ. οἱ δὲ Σκυθέων δρημὴν καὶ γυμνὴν, τοιοῦδε ἐστὶ. καὶ λειμακώδης. καὶ ὑγρὴ. καὶ σκιερὸς μετρίως. ποταμοὶ γὰρ εἰσι μεγάλοι, οἳ ἐξοχετεύουσι τὸ ὕδωρ ἐκ τῶν πεδίων. ἐνταῦθα καὶ οἱ Σκύθαι διαιτέονται, Νομάδες δὲ καλέονται, ὅτι οὐκ ἔστιν οἰκήματα, ἀλλὰ σκάφεις οἰκέουσιν. αἱ δὲ σκάφεις εἰσὶν, αἱ μὲν ἐλάχιστοι, τὸ τροχηλοί. αἱ δὲ, ὑβάκυκλοι. αὗται δὲ πηλοῖς τοῦδε περιφερομένοις. εἰσὶ δὲ καὶ τετρασκιαί, ὡσπερ οἰκήματα τὰ μὲν, ἁπλᾶ. τὰ δὲ, τεσσαρᾶ. ταύτας δὲ καὶ σωτὰ πρὸς ὕδωρ, καὶ πρὸς χιόνα, καὶ πρὸς τὰ πυθμα τα. τὰς δὲ ἁμάξεσ ἕλκουσι ζεύγεα. τὰς μὲν, δύο. τὰς δὲ, τέσσαρα βοῶν κέρως ἄτερ. οὐ γὰρ ἔχουσι κέρατα ὑπὸ ψύχεος. σὺν ταύτῃσι μὲν οὖν ταῖς ἁμάξῃσι, γυναῖκες διαιτεῦνται. αὐτοὶ δ' ἐφ' ἵππων ὀχεῦνται οἱ ἄνδρες. ἕπονται δὲ αὐτοῖς καὶ τὰ πρόβατα ἑόντα καὶ αἱ βόες καὶ οἱ ἵπποι. μένουσι δ' ἐν τῷ αὐτέῳ τοσοῦτον χρόνον, ὅσον ἂν ἀποχρῇ ἐωυτοῖσιν τοῖς κτήνεσιν ὁ χρότος. ὁκόταν δὲ μηκέτι, εἰς ἕτερον χώριον ὄχονται. αὐτοὶ δ' ἐαυτοῦσι κρέα ἑφθὰ. καὶ πίνουσι γάλα ἵππων. καὶ ἱππάκιλλο φωνοῦσιν, τοῦτο δὲ ὅσι τυρὸς ἵππων. τὰ μὲν εἰς πλὴ διαιταν αὐτέων οὕτως ἔχει καὶ ὧδε νόμους. τοῦδε δὲ τὴν ὡρέων καὶ τῆς μορφῆς, ὅτι πολὺ ἀπίλλακται τὴν λοιπῶν ἀνθρώπων ὁ Σκυθικὸν γένος, καὶ ἔοικεν αὐτὸ ἑωυτέῳ, ὡσπερ ὁ Αἰγύπτιον. ὧ ἥκιστα πολύγονον ἐστιν. κὴ ἡ χώρη ἐλάχιστα θηρία ξέφει καὶ μεγέθος καὶ πλῆθος. κεῖται γὰρ ὑπ' αὐτοῖς τοῖς ἄρκτοις, καὶ τοῖς ὄρεσιν τοῖς ὑπερέουσιν, ὅθεν ὁ βορέης πνέει. ὁτὲ ἥλιος τελευτᾷ ἐπὶ πλεῖστα γίνεται, ὁκόταν ὦδι τοῖς θερεινοῖς ἔλθῃ τροπῇσιν. καὶ τότε ὀλίγον χρόνον θερμαίνει. καὶ οὐ σφόδρα τὰ διαπυθμαινόμενα τὰ ἀφὸ τῶν θερμῶν πνέοντα ἀφικνεῖται, ὧν μὴ ὀλιγάκις

μὴ ὀλιγάκις καὶ ἀθενέα, ἀλλ' ἀφὸ τῶν αἰεὶ πνέουσιν πνεύματα ψυχρὰ ἀπό τε χιόνος, καὶ κρυστάλλων, καὶ ὑδάτων πολλῶν. οὐδέποτε δὲ τὰ ὄρεα ἐκλείπει. ἀφὸ τουτέων δὲ ἀνυσικατά ἐστιν. ὅπερ καὶ κατέχει πουλὺς τῆς ἡμέρης τὰ πεδία. καὶ οἱ νότοισι διαιτῶνται. ὧς τε ἀεὶ μὲν χειμῶνα, ἀεὶ εἶναι. ὁ δὲ θέρος, ὀλίγας ἡμέρας, καὶ ταύτας μὴ λίαν. μετέωρα γὰρ τὰ πεδία καὶ ψυλὰ καὶ οὐκ ἐσεφαίνοντες ὄρεσιν. ἀλλ' ἢ ἀπὸ τῆ ἀφὸ τῶν αἰεὶ πνεόντων αὐτόθι. καὶ τὰ θηρία οὐ γίνεται μεγάλα. ἀλλ' οἷα τέ ἐστιν πλὸ γλῶ σκεπάζεσθαι. ὁ γὰρ χειμὼν κωλύει, καὶ τῆς γῆς ἡ μελότης. καί τοι οὐκ ἔστιν ἀλέα. οὐδὲ σκέπη. αἱ γὰρ μεταβολαὶ τῶν ὡρέων οὐκ εἰσὶ μεγάλαι, οὐδὲ ἰσχυραὶ, ἀλλ' ὅμοιαι καὶ ὀλίγον μεταβάλλουσιν. διότι καὶ τὰ ἔθνεα, ὅμοια αὐτὰ ἑωυτοῖσιν ἐστὶν. σιτοῦται χρεόμεναι ἀεὶ ὁμοίως, ἐοῦσι τὰ τῇ αὐτέῃ καὶ θέρεος καὶ χειμῶνος. τόν τε ὕδατα πίνοντες ἐλκόντες καὶ πάχυ. τά τε ὕδατα πίνοντες ἀφὸ χιόνος καὶ πάγου. τῶ τε ταλαιπώρου ἀπέοντος. οὐ γὰρ οἷόν τε ὁ σῶμα ταλαιπωρέεσθαι, οὐδὲ πλὸ ψυχλῷ, ὅκου μεταβολαὶ μὴ γίγνονται ἰσχυραὶ. διὰ ταύτας τὰς αἰτίας, τὰ ἔθνεα αὐτῆ πάχεα ἐστὶ καὶ σαρκώδεα. καὶ αἵματα καὶ ὑγρὰ καὶ ἄτονα. αὖτε κοιλίαι ὑγρότατοι παισέων κοιλιῶν αἱ πάντων. οὐ γὰρ οἷόν τε νοσῶ αἰσχρηματίζεσθαι σὺν τοιαύτῃ χώρῃ καὶ φύσει καὶ ὥρης μεταστάσει, ἀλλὰ διὰ πιμελῶ τε καὶ μαλακῶ πλὸ σάρκας, τά τε ἔθνεα ἔοικεν ἀλλήλοισιν, τά τε αἰδοῖα τοῖς αἰδοίοισιν, καὶ τὰ θήλεα τοῖς θήλεσι. τῆ γὰρ ὡρέων παραπλησίων ἐουσέων, φθορὰι οὐκ ἐγγίγνονται οὐδὲ ἀνακόπτει σὺν τῇ τῶ τομοῦ ξυμπίπτει. ἰῶ μή τινες ἀνάγκης βιαίου τύχῃς ἢ νούσου. μέγα δὲ τεκμήριον ἐς πλὸ ὑγρότητα παρέξομαι. σκυθέων γὰρ τῶν πολλοὺς, ἅπαντες ὅσοι Νομάδες, βίρσεσιν, κεκαυμένους τοὺς ὤμους καὶ τῶν βραχίονα, καὶ τῶν ἀγρηπούς τῆ χειρέων, καὶ τὰ σήθεα, ἰσχία, καὶ πλὸ ὀσφῦν, διὰ ἀλ' οὐδὲν, ἢ διὰ πλὸ ὑγρότητα τῆς φύσιος καὶ πλὸ μαλακίῃ. οὐ γὰρ δύνανται οὔτε τοῖς τόξοις ξυτείνειν, οὔτε τῷ ἀκοντίῃ ἐμπίπτειν τῷ ὤμῳ σὺν ὑγρότητος καὶ ἀτονίης. ὁκόταν δὲ καυθῶσιν, ἀνέξηραίνεται ἐκ τῆ αὐχένων ὁ πολὺ τὸ ὑγροῦ. καὶ σὺν τονώτερα μᾶλλον γίνεται καὶ εὐφορμώτερα καὶ ἠρθρωμένα τὰ σώματα μᾶλλον. ἑρῶμαι δὲ γίνεται καὶ ταλαιπωρέειν. πρῶτον μὲν ὅτι οὐ ἀσαρκανοῶνται, ὥσπερ οἱ Αἰγύπτιοι, οὐδὲ νομίζουσιν διὰ πλὸ ἱπποσίῳ ὅκως ἂν εὔσαρκοι ἔωσιν. ἔπειτα δὲ διὰ πλὸ ἔσρῳ. τά τε γὰρ αὐχένια ἕως ἂν οὐκ ἰσά τε ἐφ' ἵππου ὀχέεσθαι, ὁ πολὺ τὸ χρόνου καθῆνται σὺν τῇ ἀμάξῃ καὶ βραχὺ τῇ βαδίσει χρέονται, διὰ τὰς μεταναστάσιος καὶ τοῦδε μελαγχολάσιος. τὰ δὲ θήλεα θαυμαστὸν ὅσον ἐστὶν τὰ ἔθνεα. πυρρὸν δὲ ὁ γένος ἐστὶν ὁ Σκυθικὸν διὰ ὁ ψύχος, οὐκ ἐπιχνεομένου ἐξέως τὸ ἡλίου. ἔστω δὲ τὸ ψύχος, ἢ λευκότης ἐπικαίεται, καὶ γίνεται πυρρή. πολύγονον δὲ οὐκ οἷόν τε εἶναι φύσιν τοιαύτην. οὔτε γὰρ τῷ ἀνδρὶ ἡ ἐπιθυμίη τῆς μίξιος γίνεται πολλὴ, διὰ πλὸ ὑγρότητα τῆς φύσιος, καὶ τῆς κοιλίης πλὸ μαλθακότητά τε καὶ πλὸ ψυχρότητα. ἀφὸ τῆ, ἥκιστα εἰκὸς εἶναι, ἄνδρα οἷόν τε λαγνεύειν. καὶ ἔτι ἔστω τῆ ἵππων ἀεὶ κοπτόμενοι, ἀδενέες γίγνονται εἰς πλὸ μέξιν. τοῖσι μὲν ἀνδράσιν αὐτοῖσι αἱ προφάσιες γίγνονται. τῆσι δὲ γυναιξὶν, ἥτε πότης τῆς σαρκὸς καὶ ὑγρότης. οὐ γὰρ δυνάμενοι ἔτι ξυναρπάζειν αἱ μῆτραι ἐν γόνον. οὔτε γὰρ ἐπιμιλίους καθάρσιος αὐτέῃσι γίγνεται ὡς χρεών ἐστιν, ἀλλ' ὀλίγον καὶ ὀλίγου χρόνου. τότε τοῦ μητρέων ἔστω πιμελὴς ξυγκλείεται, καὶ οὐκ ὑποδέχεται ἐν γόνον. αὗται τε ἀταλαίπωροι καὶ πίδραι. καὶ αἱ κοιλίαι ψυχραὶ καὶ μαλακαὶ. καὶ ἔστω τουτέων τὴν ἀνακμαίων οὐ πολύγονόν ἐστιν ὁ γένος ὁ Σκυθικόν. μέγα δὲ, τεκμήριον αἱ οἰκέτιδες ποιέουσιν. οὐ γὰρ φαίνουσι παρὰ ἄνδρα ἀφικνεύμεναι. καὶ σὺν χρῷ ἰσχουσιν διὰ πλὸ ταλαιπωρείῃ καὶ ἰσχύτητα τῆς σαρκὸς. ἔτι τε πρὸς τουτέοισιν δύνουχίαι γίνονται οἱ πλείστοι σὺν Σκύθῃσιν. καὶ γυναικεῖα δρήσσοντες. καὶ ὡς αἱ γυναῖκες διαλέγονταί τε ὁμοίως. καὶ λεύνται τὸ οἱ τοιοῦτοι ἀσρίες. οἱ μὲν ἐπιχώριοι πλὸ αἰτίλω προσιθέασι θεῶ, καὶ σβίνοντες τουτέους τὸν ἀνδρώπους, καὶ προσκυνέουσι. ἀδδιότες πρί τε ἑωυτέων ἕκαστοι. ἐμοὶ δὲ καὶ αὐτέῳ δοκεῖ, ταῦτα τὰ παθέα θέα εἶναι καὶ τἄλλα πάντα. καὶ οὐδὲν ἔτερον ἕτερου θειότερον, οὐδὲ ἀνθρωπινώτερον, ἀλλὰ πάντα θέα. ἕκαστον δὲ ἔχει φύσιν τὴν τοιουτέων, καὶ οὐδὲν ἄνευ φύσιος γίνεται. καὶ τῶτο ὁ πάθος ὡς μοι δοκέει γίνεσθαι, φράσω. ἔστω τῆς ἱππασίης αὐτέης κέλματα λαμβάνει, ἄτε ἀεὶ κρεμαμένων ἀφὸ τὴν ἵππων τοῖς πόσιν. ἔπειτα ἀποχωλοῦται καὶ ἕλκουσι τὰ ἰσχία οἱ αὖ σφόδρα νοσέουσιν. ἰῶντε δὲ σφᾶς αὐτοὺς ὁπόταν ἄρχηται ἡ νοῦσος, ὁπόθεν τὸ ὦρς ἐκάστοισι φλέβα τάμνουσιν. ὅταν δὲ ἀποῤῥυῇ ὁ αἷμα, ὕπνος ὑπολαμβάνει ἔστω ἀδενέα, καὶ ἠμβλύνθυσιν. ἔπειτα αὖτε γείρονται. οἱ μὲν τινες, ὑγιεῖς ἐόντες. οἱ δ' οὔ. ἐμοὶ μὲν οὖν δοκέει σὺ ταύτῃ τῇ νούσει διαφθείρεσθαι. ἐσὶ γὰρ παρὰ τὰ ὦτα φλέβες, ἃς ἑαυτὶς ἐπιτάμνοντες οἱ ἐπιτήμιοι γίνονται οἱ ἐπιτμηθέντες ταύτας. τοιγαροῦν μοι δοκέουσι τὰς φλέβας ἐπιτάμνειν. οἱ δὲ μεῖζω ταύτας, ἐπεὶ δ' ἂν ἀφίκωνται παρὰ γυναῖκα, καὶ μὴ οἷοί τε ὦσι χρῆσθαι σφῆσιν αὐτοῖς. ἐν πρώτον οὐκ εἰθυμοῦνται, ἀλλ' ἡσυχίω ἔχουσιν. ὁκόταν

δὲ δὶς καὶ τρὶς πλεονάκις αὐτοῖσι πειρωμένοισιν, μηδὲν ἀλλοιότερον ἀποβαίνει, νομίσαντές τι ἢ μαρτηκέναι τῷ θεῷ ὧν ἐπαυομένων, κατιλύοντας κολλῶ γυναικείῳ κατηγνότες ἑαυτέων ἀνανοσείλη. γυναικίζουσί τε καὶ βράζοντες μετὰ τὴν γυναικῶν, ἃ καὶ ἐκεῖναι. τὸ δὲ πάχουσιν, Σκυθέων οἱ πλούσιοι οὐχ οἱ κάκιστοι, ἀλλ' οἱ βωμολύτατοι καὶ ἰσχνὸ πλείστην κεκτημένοι ὀλίγῃ πλὴ ἵππαισίλω. οἱ δὲ πένητες, ἥσσον. οὐ γὰρ ἱππάζονται. καί τοι ἐχρῶ, ἐπεὶ θειότερον τοῦτο ἢ νόσημα τὴν λοιπῶν βδιν, οὐ τοῖς χρυσοπάστοις τὴν Σκυθέων καὶ τοῖς πλουσιωτάτοις προσαπτέειν μούνοις, ἀλλὰ τοῖς ἄπασιν ὁμοίως. καὶ μᾶλλον τοῖσιν ὀλίγα κεκτημένοισιν, οὐ, τιμωμένοισιν ἥδη, εἰ χαίρουσιν οἱ θεοὶ καὶ θαυμαζόμενοι ὑπ' ἀνθρώπων. καὶ αὖτε τουτέων, χρείτασσ ἀποδιδοῦσιν. εἰκὸς γὰρ τῶν μὲν πλουσίους, θύειν πολλὰ τοῖς θεοῖς, καὶ ἀναθήματα ὄντων χρημάτων, καὶ τιμᾶν. τῶν δὲ πένητας, ἥσσον, ὀλίγ' ἢ μὴ ἔχειν. ἔπειτα καὶ ἐπιμεμφόμενους, ὅτι οὐ διδόασιν χρήματα αὐτοῖσιν. ὡς τε τὴν τοιουτέων ἁμαρτιῶν τοὺς ζημιᾶσ, τῶν ὀλίγα κεκτημένους φθεῖραι μᾶλλον, ἢ τῶν πλουσίους. ἀλλὰ γὰρ ὥσπερ καὶ πρότερον ἔλεξα. θεῖα μὲν καὶ ταῦτα βδιν ὁμοίως τοῖς ἄλλοις. γίγνεται δὲ κατὰ φύσιν ἑκάστη. καὶ ἡ τοιαύτη νοῦσος ἀπὸ τοιαύτης προφάσιος τοῖς Σκύθαις γίνεται, οἷσιν εἰρηται. ἔχει δὲ καὶ κατὰ τὸν λοιποὺς ἀνθρώπους ὁμοίως. ὅκου γὰρ ἱππάζονται μάλιστα καὶ πυκνότατα, ἐκεῖ πλεῖστοι ἀπὸ κεφαλάτων καὶ ἰσχιάδων καὶ ποδαγρικῶν ἁλίσκονται, καὶ λαγωβόλοι κάκιστοι εἰσί. τούτων δὲ τοῖσι σκύθῃσι πρόσεστι, καὶ βύνου χρεώδεστος ἐόντων ἀνθρώπων ὀλὲ τὰς προφάσιας, καὶ ὅτι ἀνοξυρίδας ἔχουσιν ἀεί, καὶ εἰσὶν ἐπὶ τὴν ἵππων ἀπὸ πλείστου τοῦ χρόνου. ὡς τε μήτε χειρὶ ἅπτεσθαι τοῦ αἰδοίου, ἀπό τε τοῦ ἡμέχους, καὶ τοῦ κόπου ἐπιλαφέσθαι τοῦ ἱμάτου καὶ τῆς μείξιος, καὶ μηδὲν παρακινεῖν πρότερον, ἢ ἀνδρωθῆναι. τοῦδε μὲν οὕτω τὴν Σκυθέων οὕτως ἔχει τοῦ γένεος. ἀπὸ δὲ λοιπὸν γένος ἀπὸ τῆ Εὐρώπη διάφορον αὐτὸ ἑωυτῷ βδι, καὶ κατὰ τὸ μέγεθος, καὶ κατὰ τὰς μορφὰς ὀλὲ τὰς μεταλλαγὰς τὴν ὡρέων, ὅτι μεγάλαι γίνονται καὶ πυκναί. καὶ θάλπη τε ἰσχυρὰ, καὶ χειμῶνες κατρτεροί. καὶ ὄμβροι πολλοί. καὶ αὖθις, αὐχμοὶ πολυχρόνιοι, καὶ πνεύματα, ὀλ' ὧν μεταβλαὶ πολλαὶ καὶ παντοδαπαί. ἀπὸ τουτέων εἰκὸς αὐθαίνεσθαι καὶ πλὴ γένεσιν τῆ συμπήξει τοῦ τόνου ἄλλω καὶ μὴ τῷ αὐτῷ αὐτέλω γίγνεσθαι, οὔτε τῷ θρέι, καὶ τῷ χειμῶνι. μηδὲν δὲ ἐπομβρῆ καὶ αὐχμῷ, διότι τὰ εἴδεα διαλλάσσει νομίζω τὴν Εὐρωπαίων μᾶλλον, ἢ τὴν Ἀσιλῶν. καὶ τὰ μεγέθη διαφορώτατα αὐτὰ ἑωυτοῖσι εἶναι κατὰ πόλιν ἑκάστην. αἱ γὰρ φοβαὶ πολέμιες ἐπιγίνονται τοῦ τόνου τῇ ξυμπήξει οὐ τοῖς μεταλλαγαῖς τὴν ὡρέων πυκναῖς ἐούσιος, ἢ τῇσι παρασπλησίοισι καὶ ὁμοίοισι. περὶ τε τὴν ἠθέων ὁ αὐτὸς λόγος. τότε ἄγριον, καὶ ἀμάκαντον, καὶ θυμοειδὲς τῇ τοιαύτῃ φύσει ἐπίγνεται. αἱ γὰρ ἐκπλήξιες πυκναὶ γιγνόμεναι τῆς γνώμης πλὴ ἀγριότητα ἐντιθέασιν. ἀπὸ δὲ ἥμερόν τε καὶ ἥπιον, ἀμαυροῦσιν. καὶ ὅτι θυμοκοτρόους νομίζω τοὺς πλὴ Εὐρώπην οἰκοῦντας εἶναι, ἢ τοὺς πλὴ Ἀσίλω. τὸ μὲν γὰρ τῷ αἰεὶ παρατασπλησίως αἱ ῥαθυμίαι ἐνεισιν. τὸ δὲ τῷ κατὰ βαλλομένων, αἱ ταλαιπωρίαι τῷ σώματι καὶ τῇ ψυχῇ. καὶ ἀπὸ μὲν ἡσυχίης καὶ ῥαθυμίης, ἥ δειλίη αὔξεται. ἀπὸ δὲ τῆς ταλαιπωρίης καὶ τὴν πόνων, αἱ ἀνδρεῖαι. ὀλὲ τοῦτο εἰσὶ μαχιμώτεροι οἱ πλὴ Εὐρώπην οἰκοῦντες. καὶ ὀλὲ τοὺ νόμους, ὅτι οὐ βασιλεύονται, ὥσπερ οἱ Ἀσιλῶοι. ὅκου γὰρ βασιλεύονται, ἐκεῖ ἀνάγκη δειλοτάτους εἶναι. εἰρηται δέ μοι καὶ πρότερον. αἱ γὰρ ψυχαὶ δεδούλωνται, καὶ οὐ βούλονται παρκινδυνεύειν ὑπὲρ ἄλλοτείης δυνάμιος. οὗτοι δὲ αὐτόνομοι. ὑπὲρ αὐτῆ γὰρ τοὺ κινδύνους αἱρέονται, καὶ οὐκ ἄλλων. προθυμοῦνται ἐκόντες, καὶ ἐς τὸ δεινὸν ὁρμέονται. τὰ γὰρ αἰσχρὰ τῆς νίκης αὐτοῖ φόρεντται. οὕτως οἱ νόμοι οὐκ ἤκιστα πλὴ ὀλψυχίλω ὁρμάζονται. τὸ μὲν οὖν ὅλον καὶ τὸ ἄπαν, οὕτως ἔχει. πρὸς δὲ τὴν Εὐρώπης καὶ τῆς Ἀσίης. ἔνεισι δὲ καὶ ἐν τῇ Εὐρώπῃ φύλα διάφορα ἑτέρα ἑτέροις, καὶ τὰ μεγέθεα, καὶ τὰς μορφὰς, καὶ τὰς ἀνδρείας. τὰ δὲ διαλλάσσοντα ταῦτα ἔστι, ἃ καὶ ἐπὶ τῶν πρότερον εἰρηται. ἔτι δὲ σαφέστερον φράζω. ὁκόσοι μὲν χώρῃσι ὀρεινοῖ τε οἰκοῦσι ξυηχείλω καὶ ὑψηλῷ καὶ ἄνυσσον, καὶ αἱ μεταβολαὶ αὐτέοισι γίνονται τῶν ὡρέων μέγα διάφοροι, ἔνθαῦθα εἰκὸς εἶδεα μεγάλα εἶναι, καὶ πρὸς τὸ ταλαίπωρον, καὶ τὸ ἀνδρεῖον ξὺ πεφυκότα. καὶ τὸ τε ἄγριον καὶ τὸ θηριώδες αἱ τοιαῦται φύσιες οὐκ ἤκιστα ἔχουσιν. ὁκόσοι δὲ κοῖλα χωρία, καὶ λειμακώδεα, καὶ πυιγηρὰ, καὶ τῶν θρεμμάτων πνευμάτων πολέον μέρος μετέχουσι τῶν ψυχρῶν, ὑδάσι τε χρῶνται θρεμμοῖς, οὗτοι δὲ μεγάλοι μὲν οὐκ ἂν εἴησαν, οὐδὲ κατυνοί αἱ. ἐς ὕδρες δὲ πεφυκότες καὶ σαρκώδεες καὶ μελανόχροες. καὶ αὐτοὶ μέλανες μᾶλλον ἢ λευκότεροι. φλεγματίαι δέ σφισιν ἢ χολώδεες. τότε ἀνδρεῖον κὴ ταλαίπωρον τὴ ψυχῇ, φύσει μὲν οὐκ ἂν ὁμοίως εἶεν. νόμος δὲ προσχνόμενος, ἀπερχάσοιτ' ἄν. κὴ εἰ μὴ ποτα μοι εἶεισαν τὴ χώρη, οἱ τινες ἐκ τῆ χώρης ὀχετεύουσιν τότε στάσιμον κὴ ὁμοῖσιν, οὗτοι ἂν ὑγιηροὶ τὲ εἶησαν κὴ λαμπροὶ. εἰμὴ τοι ποτα μοι μὴ εἶησαν. τὰ δὲ ὕδατα κρηνααίκα τε κὴ στάσιμα πίνοιν κὴ ἐσώδεα, ἀνάγκη τὰ τοιαῦτα πρὸς γαστρὸς ἄτια ἦ κὴ πλίωα. ὁκόσοι δὲ

σοι δὲ ὑψηλῷ τὸ οἰκέουσι χώρῃσι, καὶ λείῳ, καὶ ἀνειμώδεα, καὶ οὖσορον, ἔνθ' ἂν εἶδεα μεγάλα, καὶ ἑωυτοῖς παρασπλήσια, καὶ ἀνερρότερα. καὶ ἡ πίστερα δὲ γώμαι. ὁκόσοι λεπτά τε καὶ ἄνυσσορα καὶ ψελά, τοῖς δὲ μεταβολαὶς τὴν ὡρέων οὐ κέκριωται, οὐ ταύτῃ τῇ χώρῃ τὰ εἴδεα ἐκάς τε σκληρά τε εἶναι καὶ σύτονα. καὶ ξανθότερα, ἢ μελανότερα. καὶ τὰ ἤθη καὶ τὰς ὀργὰς αὐθάλεις τε καὶ ἀδιαγώμονας. ὅκου γὰρ μεταβολαὶ εἰσὶ πυκνόταται τὴν ὡρέων. καὶ πλέϊστον διάφοροι αὐτοῖσιν, ἐκεῖ καὶ τὰ εἴδεα καὶ τὰ ἤθεα καὶ τὰς φύσιος δύρησεις, πλείστην διαφθρούσας. μέγιστα μὲν οὖν εἶσιν αὐτοῖς τῆς φύσιος διαλλαγαὶ. ἔπειτα δὲ καὶ ἡ χώρη σὶ ἡ αὐτὴ τρέφεται. καὶ τὰ ὕδατα. δύρησεις γὰρ ἐπὶ τὸ πλῆθος τῆς χώρης τῇ φύσει ἀκολουθοῦντα καὶ εἴδεα τὴν ἀνθρώπων καὶ τὸν τρόπους. ὅκου μὲν γὰρ ἡ πιθηκὸ καὶ μαλθακὴ καὶ εὐσορος καὶ τὰ ὕδατα ἁφθρὰ μετέωρα, ὡς τε θρμὰ εἶναι τὸ θρέος, καὶ χειμῶνος ψυχρὰ, καὶ τὴν ὡρέων κατὰ κέκραται, σύτονόν τε καὶ οἱ ἀνθρωποι σαρκώδεες εἰσὶ καὶ ἀναιρροι καὶ ὑγροὶ καὶ ἀπαλαίπωροι. καὶ πλὴ ψυχλῶ κατοικοι ὡς ἐπὶ τόπου. τότε ῥᾴθυμον καὶ ὑπνηρὸν βδιν σὶ αὐτοῖσιν. ἐς τε τὰς τέχνας παρέχεις, οὐ λεπτοὶ, οὐδ' ὀξέες. ὅκου δ' ὄβδιν ἡ χώρη ψιλὴ τε καὶ ἀνώχυρος καὶ ῥηχείη, καὶ ἀπὸ τὸ χειμῶνος πιεζομένη, καὶ ἀπὸ τὸ ἡλίου κεκαυμένη. σύτονόν τε καὶ ἰσχνοὺς καὶ σκληροὺς καὶ ἐγρηγορόσιος, καὶ σύτονους καὶ θαρσέας. τότε ὀργατικὴν ὀξύ σύνεσιν σὶ τῇ φύσει τῇ τοιαύτῃ, καὶ ἀγρυπνον. τότε ἤθη καὶ τὰς ὀργὰς, αὐθαδίαος, καὶ ἀδιαγώμονας. τότε ἀγρίου μᾶλλον μετέχοντας, ἢ τὸ ἡμέρου. ἐς τε τὰς τέχνας, ὀξυτόρους τε καὶ συνετωτόρους. καὶ τὰ πολέμια ἀμείνους δύρησεις καὶ ταλαπαθέας σὶ τῇ γῇ φυόμενα πάντα, ἀκόλουθα ὄντα τῇ γῇ. αἱ μὲν σαντιώτατα φύσιές τε καὶ ἰδέαι, ἔχουσιν οὕτως. ἀπὸ δὲ τουτέων τεκμαιρόμενος, τὰ λοιπὰ σθυμέεσθαι, καὶ οὐκ ἁμαρτήσει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΤΟΥ ΠΡΩΤΟΝ.

Ἰατρὸ μοι τὶς ἐδόκεε τὴν πρότοδον ξυνπραφτῶν τοδὲ διαίτης ἀνθρωπίνης τῆς πρὸς ὑγείαν, ὀρθῶς ἐγνωκὼς ξυπεγραφσέναι πάντα ὀλὲ παντὸς, ὁκόσα δίωα ἐν ἀνθρώπινη γνώμη τοδελιπφθιῶσαι ἐπιστέως ἂν ἔχοι μοι ἄλλων ἐκπονησάντων, γνόντα ὀρθῶς ἔχοντα, τούτοισι χρέεσθαι, καθότι ἑκάστου αὐτὴν ἐδόκεε χρήσιμόν εἶναι. νῦν δὲ πολλοὶ μὲν, ἤδη ξυνέγραψαν. οὐδεὶς δὲ, ἐγὼ ὀρθῶς, καθότι ἂν αὐτοῖς ξυπεγράπτεον. ἄλλοι δὲ ἄλλο ἐπέτυχον. ἐμὲ δὲ ὅλον, οὐδεὶς πω τὴν πρότερον. μεμφθιῶσαι μὲν οὕτω οὐδενὶ αὐτὴν ἀξιέν βδιν, εἰ μὴ ἐδυνήθησαν ὀβ ὑρεῖν. ἐπαινέσαι δὲ μᾶλλον πάντας, ὅτι ἀλλ' ἐπεχείρησαν τὸ ζητῆσαι. ἐλέγχειν μὲν οὕτω τὰ μὴ ὀρθῶς εἰρημένα, οὐ παρεσκεύκομαι. προσομολογέειν δὲ τοῖς ἐκνωκόσι ἐγνωσμένοισι, διανοέομαι. ὁκόσα μὲν οὕτω ὀρθῶς κατὰ τὴν πρότερον εἴρηται, οὐκ οἷόν τε ἄλλως ὅκως ἐμὲ ξυγράψαντα, ὀρθῶς συγράψαι. ὁκόσα δὲ μὴ ὀρθῶς εἰρήκασιν, ἐλέγχων μὲν ταῦτα διότι οὐκ οὕτως ἔχει, οὐδὲν πδρανῶ. ὀβηνούμενος δὲ κατὰ τὸ αὐτὴν μοι δοκέει ἑκάστου ὀρθῶς ἔχειν, διηλώσαι βούλομαι. ὀλὲ τοῦτο δὲ ἐν λόγον τῶτον προκατατίθεμαι, ὅτι πολλοὶ τὴν ἀνθρώπων, ὁκότάν τινες προτρόπου ἀκούσωσι τοδὲ τινος ὀβηνθμένου, οὐκ ἀποδέχονται ἐν ὕσδρον τοδὲ τούτων διαλεγόμενον, οὐ γνώσκοντες ὅτι τῆς αὐτῆς διανοίας ὄβδι γώναι, τὰ ὀρθῶς εἰρημένα. ἐτὼ γοῦν ὥσπδρ ἕπομαι τοῖσι μὲν ὀρθῶς εἰρημένοισι, προσομολογέω. τὰ δὲ μὴ ὀρθῶς ἐγνωσμένα, διηλώσω ὁκοίκα τινά ὄβδιν. ὁκόσα δὲ μὴ δὲ ἐπεχείρησε μηδεὶς τὴν πρότερον διηλῶσαι, ἐτὼ ἐπιλείξω καὶ ταῦτα ὁκοῖα ὄβδι. φημὶ δὲ δεῖν ἐν μέλλοντα ὀρθῶς ξυπράφειν τοδὲ διαίτης ἀνθρωπίνης, πρῶτον μὲν, πάντ' ἐς φύσιν ἀνθρώπου γνῶναι καὶ διαγνῶναι. γνῶναι μὲν, ἀπὸ τίνων συνέστηκεν ὀβ ἀρχῆς. διαγνῶναι δὲ, τοδὲ τίνων μερῶν κεκράτηται. εἰ μὴ γὰρ πῶ ὀβ ἀρχῆς σύστασιν ἐπιγνώσεται, ἀδ ἐπικρατέον σὶ τῷ σώματι, οὐκ οἷός τε ἔσ τὰ ξυμφέροντα τῷ ἀνθρώπῳ προσενεγκεῖν. τοῦτα μὲν οὖν χρὴ γνώσκειν ἐν ξυπεγράφοντα. μετὰ δὲ τοῦτα, σίτων καὶ ποτῆν ἁπάντων, οἷσι διαιτόμεθα, δύναμιν ἑκάστου ἔχει, καὶ πῶ κατὰ πῶ φύσιν, καὶ πῶ δ' ἀνάγκεω, καὶ τύχεω ἀνθρωπήϊω. δεῖ γὰρ ἐπίστασθαι τὴν τε ἰσχυρὴν φύσιν, ὡς χρὴ πῶ δύναμιν ἀφαιρέεσθαι. τοῖσι δὲ ἀσθενέσιν, ὁκοῦ χρὴ ἰσχὺν προσιθέναι ὀβ τέχνης, ὁκοῦ καιρὸς ἑκάστων παρεχέτω. γνόντας δὲ τὰ εἰρημένα, οὕτω αὐτάρκης ἡ θρᾳπείη τῷ ἀνθρώπου. διότι οὐ δύνατον ἐνθρωπος ὑγιαίνειν, εἰ μὴ καὶ πονέει. ὑπεναντίω μὲν γὰρ ἀλλήλοισιν ἔχει τὰς δυνάμεις, σῖτα καὶ πόνοι. ξυμφέροντα δὲ πρὸς ἄλληλα πρὸς ὑγείην. πόνοι μὲν γὰρ, πιφύκασιν ἀναλοῦν τὰ ὑπάρχοντα. σῖτα δὲ καὶ ποτὰ, ἐκπληροῦσι τὰ κενωθέντα. λέγω δὲ, ὡς ἔοικε, τὴν πόνων διαγνώσκειν πῶ δύναμιν, καὶ τὴν κατὰ φύσιν, καὶ τὴν ὀβ βίης γινομένων. καὶ τίνες αὖτὴν ἐς αὔξησιν παρέχονται σύμφορας, καὶ τίνες ἐς ἔλλειψιν. καὶ οὐ μόνον ταῦτα,

ἀλλὰ καὶ τὰς ξυμμετρίας τὰς ἡμετέρας τῶν πόνων, πρὸς τὸ πλῆθος τῶν σιτίων, καὶ τὴν φύσιν τοῦ ἀνθρώπου, καὶ τὰς ἡλικίας τῶν σωμάτων, καὶ πρὸς τὰς ὥρας τοῦ ἐνιαυτοῦ. καὶ πρὸς τὰς μεταβολὰς τῶν πνευμάτων. πρὸς τὰς θέσεις τῶν χωρίων ἐν ᾗσι διαιτέονται. πρός τε τὴν κατάστασιν τοῦ ἐνιαυτοῦ. ἄστρων τε ἐπιτολὰς καὶ δύσιας γινώσκειν δεῖ, ὅκως ἐπίσηται τὰς μεταβολὰς καὶ ὑπερβολὰς φυλάσσειν καὶ σίτων, καὶ ποτῶν, καὶ πνευμάτων, καὶ τοῦ ὅλου κόσμου, ἐξ ὧν περ αἱ νοῦσοι τοῖσιν ἀνθρώποισι φύονται. ταῦτα δὲ πάντα διαγνόντι, οὔπω αὐταρκὲς τὸ εὕρημά ἐστιν. ἦν μὲν γὰρ ἦν εὑρετὸν ἐπὶ τούτοις πρὸς ἑκάστην φύσιν, σίτου μέτρον, καὶ πόνων ἀριθμὸν, μὴ ἔχον ὑπερβολὴν, μήτε ἐπὶ τὸ πλέον μήτε ἐπὶ τὸ ἔλασσον, εὕρητο ἂν ὑγεία τοῖσι ἀνθρώποισιν ἀκριβῶς. νῦν δὲ τὰ μὲν προειρημένα πάντα εὕρηται, ὁκοῖόν ἐστι. τοῦτο δὲ, ἀδύνατον εὑρεῖν. εἰ μὲν οὖν παρείη τις καὶ ὁρώη, γινώσκοι ἂν τὸν ἄνθρωπον, ἐκδύνοντά τε καὶ ἐν τοῖσι γυμνασίοισι γυμναζόμενον, ὥς τε φυλάσσειν ὑγιαίνοντα. τῶν μὲν, ἀφαιρέων, τοῖσι δὲ, προστιθείς. μὴ παρεόντι δὲ, ἀδύνατον ὑποθέσθαι ἐς ἀκρίβειαν σῖτα καὶ πόνους. ἐπεὶ ὁκόσον γε δυνατὸν εὑρεῖν, ἐμοὶ ἤδη εἴρηται. ἀλλὰ γὰρ εἰ καὶ πάνυ σμικρὸν ἐνδεέστερα τῶν ἑτέρων γίνοιτο ἂν, ἐν πολλῷ χρόνῳ ἀνάγκη κρατηθῆναι τὸ σῶμα ὑπὸ τῆς ὑπερβολῆς, καὶ ἐς νοῦσον ἀφικέσθαι. τοῖσι μὲν οὖν ἄλλοισι, μέχρι τούτου ἐπικεχείρηται ζητηθῆναι. εἴρηται δὲ, οὐδὲ ταῦτα. ἐμοὶ δὲ ταῦτα ἐξεύρηται πρὸ τοῦ κάμνειν τὸν ἄνθρωπον, ἀπὸ τῆς ὑπερβολῆς ἐφ' ὁκότερον ἂν γίνηται προδιάγνωσις. οὐ γὰρ εὐθέως αἱ νοῦσοι τοῖσι ἀνθρώποισι προσγίνονται, ἀλλὰ κατὰ μικρὸν συλλεγόμεναι, ἀθρόως ἐκφαίνονται. πρὶν οὖν κρατέεσθαι ἐν τῷ ἀνθρώπῳ τὸ ὑγιὲς ὑπὸ τοῦ νοσεροῦ, ἃ πάσχουσιν ἐξεύρηταί μοι. καὶ ὅκως χρὴ ταῦτα καθιστάναι ἐς τὴν ὑγείαν. τούτου δὲ προσγεγενημένου πρὸς τοῖσι γεγραμμένοισι τελέεται τὸ ἐπιχείρημα τῶν διανοημάτων. ξυνίσταται μὲν οὖν τὰ ζῶα τά τε ἄλλα πάντα καὶ ὁ ἄνθρωπος, ἀπὸ δυοῖν. διαφόροις μὲν, τὴν δύναμιν. συμφόροις δὲ, τὴν χρῆσιν, πυρὸς λέγω καὶ ὕδατος. ταῦτα δὲ ξυναμφότερα αὐτάρκεά ἐστι, τοῖσί τε ἄλλοισι πᾶσι, καὶ ἀλλήλοισιν. ἑκάτερον δὲ χωρὶς, οὔτε αὐτῷ ἑωυτῷ, οὔτε ἄλλῳ οὐδενί. τὴν μὲν οὖν δύναμιν αὐτῶν, ἑκάτερον ἔχει τοιήνδε. τὸ μὲν γὰρ πῦρ, δύναται πάντα διὰ παντὸς κινῆσαι. τὸ δὲ ὕδωρ, πάντα διὰ παντὸς θρέψαι. ἐν μέρει δὲ ἑκάτερον κρατέει καὶ κρατέεται, ἐς τὸ μήκιστον καὶ τὸ ἐλάχιστον, ὡς ἀνυστόν. οὐδέτερον γὰρ κρατῆσαι παντελῶς δύναται, διὰ τόδε. τὸ μὲν πῦρ ἐπεξιὸν ἐπὶ τὸ ἔσχατον τοῦ ὕδατος, ἐπιλείπει τῇ τροφῇ. ἀποτρέπεται οὖν ὁκόθεν μέλλει τρέφεσθαι. τὸ δὲ ὕδωρ ἐπεξιὸν ἐπὶ τὸ ἔσχατον τοῦ πυρὸς, ἐπιλείπει ἡ κίνησις. ἵσταται οὖν ἐν τούτῳ. ὁκόταν δὲ στῇ, οὐκ ἔτι ἐγκρατές ἐστιν, ἀλλὰ ἤδη τῷ ἐμπίπτοντι πυρὶ ἐς τὴν τροφὴν καταναλίσκεται. οὐδέτερον δὲ διὰ ταῦτα, δύναται κρατῆσαι παντελῶς. εἰ δέ κοτε κρατηθείη, καὶ ὁκότερον, οὐδὲν ἂν εἴη τῶν νῦν ἐόντων ὥσπερ ἔχει νῦν. οὕτω δὲ ἐχόντων αἰεὶ, ἔσται τὰ αὐτὰ, καὶ οὐδέτερα, καὶ οὐδὲ ἅμα ἐπιλείψει. τὸ μὲν οὖν πῦρ καὶ τὸ ὕδωρ ὥσπερ εἴρηταί μοι, αὐτάρκεά ἐστι πᾶσι διὰ παντὸς ἐς τὸ μήκιστον, καὶ τοὐλάχιστον ὡσαύτως. τούτων δὲ προσκέεται ἑκατέρῳ τάδε. τῷ μὲν πυρὶ, τὸ θερμὸν καὶ τὸ ξηρόν. τῷ δὲ ὕδατι, τὸ ψυχρὸν καὶ τὸ ὑγρόν. ἔχει δὲ ἀπ' ἀλλήλων. τὸ μὲν πῦρ, ἀπὸ τοῦ ὕδατος τὸ ὑγρόν. ἔνι γὰρ ἀπὸ τοῦ ὕδατος ὑγρότης. τὸ δὲ ὕδωρ, ἀπὸ τοῦ πυρὸς, τὸ ξηρόν. ἔνι γὰρ ἐν ὕδατι ξηρόν. οὕτω δὲ τούτων ἐχόντων, πουλλὰς καὶ παντοδαπὰς ἰδέας ἀποκρίνονται ἀπ' ἀλλήλων καὶ σπερμάτων καὶ ζώων, οὐδὲν ὅμοιον ἀλλήλοισιν, οὔτε τὴν ὄψιν, οὔτε τὴν δύναμιν. ἅτε γὰρ οὔποτε κατὰ τὸ αὐτὸ ἱσταμένων, ἀλλ' αἰεὶ ἀλλοιουμένων, ἔπειτα καὶ ἔπειτα ἀνόμοια ἐξ ἀνάγκης γίνεσθαι, καὶ τὰ ἀπὸ τούτων ἀποκρινόμενα. ἀπόλλυται μὲν, οὐδὲν ἁπάντων χρημάτων. οὐδὲ γίνεται ὅ, τι μὴ καὶ πρόσθεν ἦν. ξυμμισγόμενα δὲ καὶ διακρινόμενα, ἀλλοιοῦται. νομίζεται δὲ παρὰ τῶν ἀνθρώπων, τὸ μὲν ἐξ ἅδου ἐς φάος αὐξηθὲν, γενέσθαι. τὸ δὲ ἐκ τοῦ φάεος εἰς ἅδην μειωθὲν, ἀπολέσθαι. ὀφθαλμοῖσι δὲ δεῖ πιστεύεσθαι μᾶλλον, ἢ γνώμῃσιν. ἐγὼ δὲ τάδε γνώμῃ ἐξηγέομαι. ζῶα γὰρ κἀκεῖνα, καὶ τάδε. καὶ οὔτε τὸ ζῶον ἀποθανεῖν οἷόν τε μὴ μετὰ πάντων, καὶ γὰρ ἀποθανεῖται, οὔτε τὸ μὴ ὂν γενέσθαι τε καὶ ὅθεν παραγενήσεται. ἀλλ' αὔξεται πάντα καὶ μειοῦται ἐς τὸ μήκιστον καὶ ἐς τὸ ἐλάχιστον, τῶν γε δυνατῶν. ὅτι δ' ἂν διαλέγωμαι γενέσθαι, καὶ τὸ ἀπολέσθαι τῶν πολλῶν εἵνεκεν ἑρμηνεύω. ταῦτα δὲ καὶ ξυμμίσγεσθαι καὶ διακρίνεσθαι δηλῶ. ἔχει δὲ ὧδε. γενέσθαι καὶ ἀπολέσθαι τωυτό. ξυμμιγῆναι καὶ διακριθῆναι τωυτό. γενέσθαι ξυμμιγῆναι τωυτό. ἀπολέσθαι. μειωθῆναι διακριθῆναι τωυτό, ἕκαστον πρὸς πάντα, καὶ πάντα, πρὸς ἕκαστον τωυτό. ὁ νόμος γὰρ τῇ φύσει περὶ τούτων ἐναντίος. χωρὶς δὲ πάντα καὶ θεῖα καὶ ἀνθρώπινα ἄνω καὶ κάτω ἀμειβόμενος. ἡμέρη καὶ εὐφρόνη ἐπὶ τὸ μήκιστον καὶ ἐλάχιστον. ὡς καὶ τῇ σελήνῃ, τὸ μήκιστον καὶ τὸ ἐλάχιστον. πυρὸς ἔφοδος καὶ ὕδατος. ἥλιος ἐπὶ τὸ μακρότατον καὶ βραχύτατον. πάλιν ταῦτα, καὶ οὐ ταῦτα. φάος ζηνί. σκότος ἀΐδῃ. φάος ἀΐδῃ. σκότος ζηνί. φοιτᾷ καὶ μετακινεῖται. κεῖνα ὧδε. καὶ τάδε κεῖσε πᾶσαν ὥρην διαπρησσόμενα. κεῖνά τε τὰ, τῶν δέ. τὰ δὲ ταῦτα], κείνων. καὶ θ' ἃ μὲν πρήσσουσιν, οὐκ οἴδασιν. ἃ δὲ πρήσσουσι, δοκέουσιν εἰδέναι. καὶ θ' ἃ μὲν ὁρῶσι, οὐ γινώσκουσιν. ἀλλ' ὅκως αὐτοῖσι πάντα γίνεται.

γίνεται, δι' ἀνάγκην θείην, καὶ ἃ βούλονται, καὶ μὴ βούλονται. φοιτεόντων δ' ἐκείνων ὧδε. τῶν δέ τε κεῖσε. συμμισγομένων πρὸς ἄλληλα τὴν πεπρωμένην μοίρην ἕκαστον ἐκπληροῖ. καὶ ἐπὶ τὸ μέζον, καὶ ἐπὶ τὸ μεῖον. φθορὴ δὲ πᾶσιν ἀπ' ἀλλήλων, τῷ μέζονι ἀπὸ τοῦ μείονος, καὶ τῷ μείονι, ἀπὸ τοῦ μέζονος. αὔξεται καὶ τὸ μέζον, ἀπὸ τοῦ ἐλάσσονος. τὰ δ' ἄλλα πάντα καὶ ψυχὴ ἀνθρώπου καὶ σῶμα, ὁκοίη ἡ ψυχὴ διακοσμέεται. ἐσέρπει δὲ ἐς ἄνθρωπον, μέρεα μερέων, ὅλα ὅλων ἔχοντα σύγκρησιν, πυρὸς καὶ ὕδατος. τὰ μὲν, ληψόμενα. τὰ δὲ, δώσοντα. καὶ τὰ μὲν λαμβάνοντα, πλεῖον ποιέει. τὰ δὲ διδόντα, μεῖον. πρίουσιν ἄνθρωποι ξύλον. ὁ μὲν, ἕλκει, ὁ δὲ, ὠθέει. τὸ δ' αὐτὸ τοῦτο ποιεῦσι. μεῖον δὲ ποιέοντες, πλεῖον ποιέουσι. τὸ δ' αὐτὸ καὶ φύσις ἀνθρώπων. τὸ μὲν, ὠθέει. τὸ δὲ, ἕλκει. τὸ μὲν, δίδωσι. τὸ δὲ, λαμβάνει καὶ τῷ μὲν, δίδωσι. τοῦδε, λαμβάνει. καὶ τῷ μὲν δίδωσι τοσούτῳ πλεῖον, οὐδὲν λαμβάνει τοσούτῳ μεῖον. χώρην δὲ ἕκαστον φυλάσσει τὴν ἑωυτοῦ. καὶ τὰ μὲν ἐπὶ τὸ μεῖον ἐόντα, διακρίνεται εἰς τὴν ἐλάσσονα χώρην. τὰ δὲ ἐπὶ τὸ μέζον πορευόμενα, ξυμμισγόμενα ἐξαλλάσσει ἐς τὴν μέζω τάξιν. τὰ δὲ ξεῖνα μὴ ὁμότροπα, ὠθέεται ἐκ χώρης ἀλλοτρίης. ἑκάστη δὲ, ψυχὴ μέζω καὶ ἐλάσσω ἔχουσα περιφοιτᾷ τὰ μόρια τὰ ἑωυτῆς, οὐ προσθέσιος οὐδὲ ἀφαιρέσιος δεομένη τῶν μερέων. κατὰ δὲ αὔξησιν καὶ μείωσιν τῶν ὑπαρχόντων δεομένη. χώρην δὲ ἕκαστα διαπρήσσεται ἐς ἥν τινα ἐσέλθῃ καὶ δέχηται τὰ προσπίπτοντα. οὐ γὰρ δύναται τὸ μὴ ὁμότροπον ἐν τοῖσιν ἀσυμφόροισι χωρίοισιν ἐμμένειν. πλανᾶται μὲν γὰρ ἀγνοούμενα. ξυμμισγόμενα δὲ ἀλλήλοισι, συγγινώσκεται. προσίζει γὰρ τὸ σύμφορον τῷ συμφόρῳ. τὸ δὲ ἀσύμφορον, πολεμεῖ καὶ μάχεται καὶ διαλλάσσει ἀπ' ἀλλήλων. διὰ τοῦτο ἀνθρώπου ψυχὴ, ἐν ἀνθρώπῳ αὔξεται. ἐν ἄλλῳ δὲ οὐδενί. καὶ τῶν ἄλλων ζώων τῶν μεγάλων ὡσαύτως. ὁκόσα δὲ ἄλλως ἀπ' ἄλλων, ὑπὸ βίης ἀποκρίνεται. περὶ μὲν οὖν τῶν ἄλλων ζώων, ἐάσω. περὶ δὲ ἀνθρώπου, δηλώσω. ἐσέρπει δὲ ἐς ἄνθρωπον, ψυχή. πυρὸς καὶ ὕδατος ξύγκρησιν ἔχουσα. μοίρην σώματος ἀνθρώπου. ταῦτα δὲ τὰ θήλεα καὶ ἄρσενα καὶ πολλὰ καὶ παντοῖα τρέφεται. τρέφεται δὲ καὶ αὔξεται διαίτῃ τῇ περὶ τὸν ἄνθρωπον. ἀνάγκη δὲ τὰ μέρεα ἔχειν πάντα τὰ ἐσιόντα. οὗτινος γὰρ μὴ ἐνείη μοῖρα ἐξ ἀρχῆς, οὐκ ἂν αὐξηθείη, οὔτε πουλλῆς ἐπιούσης τροφῆς, οὔτε ὀλίγης. οὐ γὰρ ἔχει τὸ προσαυξόμενον. ἔχον δὲ πάντα, αὔξεται ἐν χώρῃ τῇ ἑωυτοῦ ἕκαστον. τροφῆς ἐπιούσης ἀπὸ ὕδατος ξηροῦ, καὶ πυρὸς ὑγροῦ. τὰ μὲν, ἔσω βιαζόμενα, τὰ δὲ, ἔξω. ὥσπερ οἱ τέκτονες τὸ ξύλον πρίουσι. καὶ ὁ μὲν, ἕλκει. ὁ δὲ, ὠθέει, τὸ αὐτὸ ποιέοντες. κάτω δὲ πιεζόντων, τὸ ἄνω ἕρπει. οὐ γὰρ ἂν παραδέχοιτο, κάτω ἰέναι. ἢν δὲ βιάζωνται, παντὸς ἁμαρτήσονται. τοιοῦτον τροφὴ ἀνθρώπου. τὸ μὲν, ἕλκει τὸ δὲ, ὠθέει. ἔσω δὲ βιαζόμενον, ἔξω ἕρπει. ἢν δὲ βιῆται παρὰ καιρὸν, παντὸς ἀποτεύξεται. χρόνον δὲ τοσοῦτον ἕκαστα τὴν αὐτὴν ἔχει τάξιν, ἄχρι μηκέτι δέχηται ἡ χώρη, μὴ δὲ τροφὴν ἱκανὴν ἔχῃ ἐς τὸ μήκιστον τῶν ὑδάτων. ἔπειτ' ἐναμείβει ἐς τὴν ἔξω χώρην, θήλεα καὶ ἄρσενα, τὸν ἑωυτὸν τρόπον ὑπὸ βίης καὶ ἀνάγκης διωκόμενα. ὁκότερα δ' ἂν ἐμπλήσῃ τὴν πεπρωμένην μοίρην, ταῦτα διακρίνεται πρῶτα, καὶ ἅμα συμμίσγεται. ἕκαστον μὲν γὰρ, διακρίνεται. πάντα δὲ ταῦτα, ξυμμίσγεται. χώρην δὲ ἀμείψαντα καὶ τυχόντα ἁρμονίης ὀρθῶς ἐχούσης συμφωνίας τρεῖς, ξυλλήβδην διεξιὼν διὰ πασέων, ζώει καὶ αὔξεται τοῖσιν αὐτοῖσιν, οἷσι καὶ πρόσθεν. ἢν δὲ μὴ τύχῃ τῆς ἁρμονίης, μὴ δὲ ξύμφωνα, βαρέα τοῖσιν ὀξέσι γένηται ἡ πρώτη συμφωνίη. ἢν δὲ δευτέρη γένεσις ἢ, τὸ διὰ παντὸς ἑνὸς ἀπογινομένου, πᾶς ὁ τόνος μάταιος. οὐ γὰρ ἂν προσαείσειεν. ἀλλ' ἀμείβει ἐκ τοῦ μέζονος εἰς τὸ μεῖον, πρὸ μοίρης. διότι οὐ γινώσκουσιν ὅ, τι ποιέουσιν. ἀρσένων μὲν οὖν καὶ θηλείων διότι ἑκάτερα γίνεται, προϊόντι τῷ λόγῳ δηλώσω. τούτων δὲ ὁκότερον ἢν τύχῃ τῆς ἁρμονίης ὑγρὸν ἐὸν, κινέεται ὑπὸ τοῦ πυρός. κινεόμενον δὲ, ζωπυρέεται, καὶ προσάγεται τὴν τροφὴν ἀπὸ τῶν ἐσιόντων ἐς τὴν γυναῖκα σιτίων, καὶ πνεύματος. τὰ μὲν πρῶτα, πάντη ὁμοίως ἕως ἔτι ἀραιόν ἐστιν. ὑπὸ δὲ τῆς κινήσιος καὶ τοῦ πυρὸς, ξηραίνεται καὶ στερεοῦται. στερεούμενον δὲ, πυκνοῦται πέριξ. καὶ τὸ πῦρ ἐγκλειόμενον, οὐκ ἔτι τὴν τροφὴν ἱκανὴν ἔχει ἐπάγεσθαι. οὐδὲ τὸ πνεῦμα ἐξωθέει, διὰ τὴν πυκνότητα τοῦ ὑπερέχοντος. ἀναλίσκει γὰρ τὸ ὑπάρχον ὑγρὸν ἔσω. τὰ μὲν οὖν στερεὰ τὴν φύσιν ἐν τῷ ξυνεστηκότι καὶ ξηρῷ, οὐκ ἀναλίσκεται τῷ πυρὶ ἐς τὴν τροφήν. ἀλλ' ἐγκρατέα γίνεται, καὶ ξυνίσταται τοῦ ὑγροῦ ἐκλείποντος, ἅπερ ὀστέα καὶ νεῦρα ἐπονομάζεται. τὸ δὲ πῦρ ἐκ τοῦ συμμιγέντος κινουμένου τοῦ ὑγροῦ, διακοσμέεται τὸ σῶμα κατὰ φύσιν, διὰ τοιήνδε ἀνάγκην. διὰ μὲν τὸ στερεὸν καὶ ξηρὸν, οὐ δύναται τὰς διεξόδους χρονίας ποιέεσθαι, διότι οὐκ ἔχει τροφήν. διὰ δὲ τῶν ὑγρῶν καὶ μαλακῶν, δύναται. ταῦτα γὰρ ἐστὶν αὐτῷ τροφή. ἔνι δὲ καὶ ἐν τούτοισι, ξηρότης οὐκ ἀναλισκομένη ὑπὸ τοῦ πυρός. ταῦτα δὲ ξυνίσταται πρὸς ἄλληλα. τὸ μὲν οὖν ἐσωτάτω καταφραχθὲν πῦρ, καὶ πλεῖστον ἐστι, καὶ μεγίστην τὴν ἔξοδον ἐποιήσατο. πλεῖστον γὰρ τὸ ὑγρὸν ἐνταῦθα ἐνῆν, ὅπερ κοιλίη καλέεται. καὶ ἐξέπεσεν ἐντεῦθεν, ἐπεὶ οὐκ ἔχει τροφὴν ἔξω, καὶ ἐποιήσατο, πλεῖστον γὰρ τὸ ὑγρὸν ἐνταῦθα ἐνῆν, καὶ τροφῆς ἐπαγωγὴν καὶ διάπεμψιν. τὸ δὲ ἀποκλεισθὲν εἰς ἄλλο σῶμα, περιόδους ἐποιήσατο τρισσάς. ὅπερ ἦν ὑγρότατον τοῦ πυρός. ἐν τούτοισι τοῖσι χωρίοισιν, αἵ τινες φλέβες καλέονται κοῖλαι.

ἐς δὲ τὰ μέσα τούτων, τὸ ὑπολειπόμενον τοῦ ὕδατος ξυνιστάμενον πήγνυται, ὃ περὶ καλέεται σάρκες. ἐν δὲ λόγῳ πάντα διεκοσμήσατο κατὰ τρόπον αὐτὸ ἑωυτὸ, τὰ ἐν σώματι τὸ πῦρ, ἀπομίμησιν τοῦ ὅλου, μικρὰ πρὸς μεγάλα, καὶ μεγάλα πρὸς μικρά. κοιλίην μὲν τὴν μεγίστην, ξηρῷ καὶ ὑγρῷ, ταμεῖον δοῦναι πᾶσι, καὶ λαβεῖν παρὰ πάντων, θαλάσσης δύναμιν, ζώων συντρόφων, τροφήν. ἀσυμφόρων δὲ, φθορόν. περὶ δὲ ταύτην ὕδατος ψυχροῦ καὶ ὑγροῦ, σύστασις. διέξοδος, πνεύματος ψυχροῦ καὶ θερμοῦ, ἀπομίμησιν τῆς γῆς, τὰ ἐπεισπίπτοντα πάντα ἀλλοιούσης. καταναλίσκοντα δὲ, αὔξον, σκέδασιν ὕδατος λεπτοῦ καὶ πυρὸς ἐποιήσατο, περὶ οὐ ἀφανέος καὶ φανεροῦ, ἀπὸ τοῦ ξυνεστηκότος ἀπόκρισιν. ἐν ᾧ φερόμενα πάντα ἐς τὸ φανερὸν, ἀφικνέεται ἕκαστα μοίρῃ πεπρωμένῃ. ἐν δὲ τούτῳ ἐποιήσατο, πυρὸς περιόδους τρισσὰς, περαινούσας πρὸς ἀλλήλας καὶ ἔσω καὶ ἔξω. αἱ μὲν πρὸς τὰ κοῖλα τῶν ὑγρῶν, σελήνης δύναμιν. αἱ δὲ ἐς τὴν ἔξω περιφορὰν, πρὸς τὸν περιέχοντα πάγον, ἄστρων δύναμιν. αἱ δὲ μέσαι καὶ ἔσω καὶ ἔξω περαίνουσαι, τὸ θερμότατον καὶ ἰσχυρότατον πῦρ, ὃ περὶ πάντων ἐπικρατέεται, διέπον ἅπαντα κατὰ φύσιν. ἄψοφον καὶ ὄψει καὶ ψαύσει. ἐν τούτῳ, ψυχὴ νόος. φρόνησις. αὔξησις. κίνησις. μείωσις. διάλλαξις. ὕπνος. ἐγρήγορσις. τοῦτο πάντα διὰ παντὸς κυβερνᾷ, καὶ τάδε καὶ ἐκεῖνα, οὐδέκοτε ἀτρεμίζων. οἱ δὲ ἄνθρωποι ἐκ τῶν φανερῶν, τὰ ἀφανέα σκέπτεσθαι οὐκ ἐπίστανται. τέχνῃσιν γὰρ χρεόμενοι, ὁμοίῃσιν ἀνθρωπίνῃ φύσει, οὐ γινώσκουσι. θεῶν γὰρ νόος ἐδίδαξε μιμέεσθαι τὰ ἑωυτῶν, γινώσκοντας ἃ ποιέουσι. καὶ οὐ γινώσκοντας ἃ μιμέονται. πάντα γὰρ ὅμοια, ἀνόμοια ἐόντα. καὶ σύμφορα πάντα, καὶ διάφορα ἐόντα, διαλεγόμενα, οὐ διαλεγόμενα. γνώμην ἔχοντα, ἀγνώμονα. ὑπεναντίον ὁ τρόπος ἑκάστων ὁμολογούμενος. νόμος γὰρ καὶ φύσις, οἷσι πάντα διαπρησσόμεθα, οὐχ ὁμολογέεται ὁμολογεόμενα. νόμον γὰρ ἔθεσαν ἄνθρωποι αὐτοὶ ἑωυτοῖσιν, οὐ γινώσκοντες περὶ ὧν ἔθεσαν. φύσιν δὴ πάντες θεοὶ διεκόσμησαν. τὰ μὲν οὖν ἄνθρωποι ἔθεσαν, οὐδέποτε κατὰ τὸ αὐτὸ ἔχει, οὔτε ὀρθῶς, οὔτε μὴ ὀρθῶς. ὁκόσα θεοὶ δὲ ἔθεσαν, ἀεὶ ὀρθῶς ἔχει. καὶ τὰ ὀρθὰ καὶ τὰ μὴ ὀρθὰ, τοσοῦτον διαφέρει. ἐγὼ δηλώσω τέχνας φανερὰς ἀνθρώπου, παθήμασιν ὁμοίας ἐούσας καὶ φανεροῖσι καὶ ἀφανέσι. μαντικὴ τοιόνδε. τοῖσι φανεροῖσι μὲν, τὰ ἀφανέα γινώσκειν. τοῖσι ἀφανέσι, τὰ φανερά. καὶ τοῖσι ἐοῦσι, τὰ μέλλοντα. τοῖσι ἀποθανοῦσι, τὰ ζῶντα. καὶ τῶν ἀσυνέτων συνίασιν. ὁ μὲν, εἰδὼς, ἀεὶ ὀρθῶς. ὁ δὲ, μὴ εἰδὼς ἄλλοτε ἄλλως φύσιν ἀνθρώπου, καὶ δὴ ταῦτα μιμέεται. ἀνὴρ γυναικὶ ξυγγενόμενος, παιδίον ἐποίησε τῷ φανερῷ τὸ ἄδηλον γινώσκειν, ὅτι οὕτως ἔσται. γνώμη ἀνθρώπου ἀφανὴς, γινώσκουσα τὰ φανερὰ, ἐκ παιδὸς εἰς ἄνδρα μεθίσταται. τῷ ἐόντι, τὸ μέλλον γινώσκει. οὐχ ὅμοιον ἀπὸ θανάτου ζῶντι τῷ τεθνηκότι τὸ ζῶον οἶδε ἀσύνετον. γαστὴρ ταύτῃ συνίεμεν, ὅτι διψῇ ἢ πεινῇ. ταῦτα μαντικῆς τέχνης καὶ φύσιος ἀνθρωπίνης πάθεα. τοῖσι μὲν γινώσκουσιν ἀεὶ, ὀρθῶς. τοῖσι δὲ μὴ γινώσκουσιν αἰεὶ, ἄλλοτε ἄλλως. σιδήρου ὄργανα τέχνης. τὸν σίδηρον περιτήκουσι, πνεύματι ἀναγκάζοντες τὸ πῦρ, τὴν ὑπάρχουσαν τροφὴν ἀφαιρέοντες, ἀραιὸν δὲ ποιήσαντες, παίουσι καὶ συνελαύνουσιν. ὕδατος δὲ ἄλλου τροφῇ ἰσχυρὸν γίνεται. ταῦτα πάσχει ἄνθρωπος ὑπὸ παιδοτρίβου. τὴν ὑπάρχουσαν τροφὴν, πυρὶ ἀφαιρέεται, ὑπὸ πνεύματος ἀναγκαζόμενος. ἀραιούμενος δὲ, κόπτεται. τρίβεται. καθαιρέεται. ὑδάτων δὲ ὑπαγωγῇ ἄλλοθεν ἰσχυρὸς γίνεται. καὶ οἱ γναφέες, τὸ αὐτὸ διαπρήσσονται. λακτίζουσι. παίουσι. λυμαινόμενοι, κόπτουσιν. ἕλκουσι. λυμαινόμενοι, ἰσχυρότερα ποιέουσι. κείροντες τὰ ὑπερέχοντα. καὶ παραπλέκοντες καλλίω ποιοῦσι. ταῦτα πάσχει ὁ ἄνθρωπος. σκυτέες τὰ ὅλα κατὰ μέρεα διαιρέοντες. τάμνοντες δὲ καὶ κεντέοντες, τὰ σαθρὰ ὑγιέα ποιέουσιν. καὶ ἄνθρωπος δὲ, τὸ αὐτὸ πάσχει. ἐκ τῶν ὅλων, μέρεα διαιρέεται. καὶ ἐκ τῶν μερέων συντιθεμένων, ὅλα γίνεται. κεντεόμενοί τε καὶ τεμνόμενοι, τὰ σαθρὰ ὑπὸ τῶν ἰητρῶν ὑγιαίνονται καὶ ζῶσι. ἰητρικὴ τὸ λυπέον ἀπαλλάσσει. καὶ ὑφ᾽ οὗ πονέει ἀφαιρέοντα, ὑγιέα ποιεῖν, ἡ φύσις αὐτομάτη ταῦτα ἐπίσταται. καθήμενος, πονέει ἀναστῆναι. κινεύμενος, πονέει ἀναπαύσασθαι. καὶ ἄλλα τοιαῦτα ἔχει ἡ φύσις ἰητρικῆς. τέκτονες πρίοντες, ὁ μὲν, ὠθέει. ὁ δὲ, ἕλκει. τὸ αὐτὸ ποιέειν ἀμφοτέρως φέρει, τρυπῶσι. ὁ μὲν, ἕλκει. ὁ δὲ, ὠθέει. πιεζόντων ἄνω ἕρπει. τὸ δὲ κάτω, μεῖον. οἷοι ἐόντες, πλείω ποιέουσι, φύσιν τε ἀνθρώπου μιμέονται. πνεῦμα τὸ μὲν, ἕλκει. τὸ δὲ, ὠθέει. τὸ δ᾽ αὐτὸ ποιέειν ἀμφοτέρως φέρει. σίτων, τὰ μὲν, κάτω πιέζεται. τὰ δὲ, ἄνω ἕρπει. ἀπὸ μιῆς ψυχῆς διαιρεομένης, πλείους καὶ μείους, καὶ μέζονες καὶ ἐλάσσονες. οἰκοδόμοι ἐκ διαφόρων σύμφορον ἐργάζονται, τὰ μὲν ξηρὰ, ὑγραίνοντες. τὰ δὲ ὑγρὰ, ξηραίνοντες. τὰ μὲν ὅλα, διαιρέοντες. τὰ δὲ διῃρημένα, συντιθέντες. μὴ οὕτω δὲ ἐχόντων, οὐκ ἂν ἔχοι ἰδίως. δίαιταν ἀνθρωπίνην μιμέεται, τὰ μὲν ξηρὰ, ὑγραίνοντες. τὰ δὲ ὑγρὰ, ξηραίνοντες. τὰ μὲν ὅλα, διαιρέουσι. τὰ δὲ διῃρημένα, συντιθέασι. ταῦτα πάντα διάφορα ἐόντα, ξυμφέρει τῇ φύσει. μουσικῆς ὄργανον, ὑπάρξαι δεῖ πρῶτον ἐν ᾧ δηλώσει ἃ βούλεται, ἁρμονίη. συντάξιες ἐκ τῶν αὐτῶν, οὐχ αἱ αὐταί. ἐκ τοῦ ὀξέος. ἐκ τοῦ βαρέος. ὀνόματι μὲν, ὁμοίων. φθόγγῳ δὲ, οὐχ ὁμοίων. τὰ πλεῖστα διάφορα, μάλιστα ξυμφέρει. καὶ τὰ ἐλάχιστα διάφορα, ἥκιστα ξυμφέρει. εἰ δὲ ὅμοια πάντα ποιήσει τις, οὐκ ἔτι τέρψις. αἱ πλεῖσται μεταβολαὶ καὶ πολυειδέσταται, μά-

λιστα τέρπουσι. μάγειροι ὄψα σκευάζουσιν ἀνθρώποισι, διαφόρων παντοδαπῶν ξυγκρίνοντες, ἐκ τῶν αὐτῶν οὐ τὰ αὐτὰ, βρῶσιν καὶ πόσιν ἀνθρώπων. ἢν δὲ πάντα ὅμοια ποιήσῃ, οὐκ ἔχει τέρψιν. οὐδ᾽ εἰ ἐν αὐτῷ πάντα ξυντάξειεν, οὐκ ἂν ἔχοι ὀρθῶς. κρούεται τὰ κρούματα ἐν μουσικῇ, τὰ μὲν, ἄνω. τὰ δὲ, κάτω. γλῶσσα μουσικὴν μιμέεται, διαγινώσκουσα μὲν, τὸ γλυκὺ καὶ τὸ ὀξὺ τῶν προσπιπτόντων, καὶ διάφωνα. κρούεται δὲ τοὺς φθόγγους, ἄνω καὶ κάτω. καὶ οὔτε τὰ ἄνω κάτω κρουόμενα, ὀρθῶς ἔχει. οὔτε τὰ κάτω, ἄνω. καλῶς δὲ ἡρμοσμένης γλώσσης, τῇ συμφωνίῃ τέρψις. ἀναρμόστου δὲ, λύπη. σκυτοδέψαι, τείνουσι. τρίβουσι. κτενίζουσι. πλύνουσι. ταῦτα παιδίων θεραπείη. πλοκέες ἄγοντες, κύκλῳ πλέκουσιν, ἀπὸ τῆς ἀρχῆς εἰς τὴν ἀρχὴν τελευτῶσι. τοῦτο περίοδος ἐν τῷ σώματι, ὁκόθεν ἄρχεται, ἐπὶ τοῦτο τελευτᾷ. χρυσίον ἐργάζονται. κόπτουσι. πλύνουσι. τήκουσι πυρὶ μαλακῷ, ἰσχυρῷ δὲ, οὐ συνίσταται. ἀπεργασάμενοι, πρὸς πάντα χρῶνται. ἄνθρωπος σῖτον κόπτει. πλύνει. ἀλήθει. πυρώσας, χρῆται. ἰσχυρῷ μὲν πυρὶ, ἐν τῷ σώματι οὐ συνίσταται. μαλθακῷ δὲ, ἀνδριαντοποιοὶ, μίμησιν σώματος ποιέουσιν, πλὴν ψυχῆς. γνώμην δὲ ἔχοντα, οὐ ποιέουσιν. ἐξ ὕδατος καὶ γῆς τὰ ὑγρὰ ξηραίνοντες, ἀφαιρέονται ἀπὸ τῶν ὑπερεχόντων, καὶ προστιθέασι πρὸς τὰ ἐλλείποντα, ἐκ τοῦ ἐλαχίστου πρὸς τὸ μέγιστον αὔξοντες. ταῦτα πάσχει ὁ ἄνθρωπος. αὔξεται ἀπὸ τοῦ ἐλαχίστου ἐς τὸ μέγιστον. ἐκ τῶν ὑπερεχόντων ἀφαιρούμενος, τοῖσιν ἐλλείπουσι προστιθείς. τὰ ξηρὰ ὑγραίνων, καὶ τὰ ὑγρὰ ξηραίνων. κεραμέες τροχὸν δινέουσι, καὶ οὔτε ὀπίσω, οὔτε πρόσω χωρεῖ, καὶ ἀμφοτέρωσε ἅμα τοῦ ὅλου μίμησις τῆς περιφορῆς. ἐν δὲ τῷ αὐτῷ ἐργάζονται, ἤδη περιφερομένων παντοδαπῶν, οὐδὲν ὅμοιον τὸ ἕτερον τῷ ἑτέρῳ. ἐκ τῶν αὐτῶν ἄνθρωποι ταῦτα πάσχουσι, καὶ τἄλλα ζῶα ἐν τῇ αὐτῇ περιφορῇ πάντα ἐργάζονται. ἐκ τῶν αὐτῶν ὅμοιον οὐδὲν, τοῖσι αὐτοῖσι ὀργάνοισιν. ἐξ ὑγρῶν, ξηρὰ ποιέοντες, καὶ ἐκ τῶν ξηρῶν, ὑγρά. γραμματικὴ, τοιόνδε. σχημάτων σύνθεσις. σημήϊα φωνῆς ἀνθρωπίνης. δύναμις, τὰ παροιχόμενα μνημονεῦσαι. τὰ ποιητέα, δηλῶσαι. δι᾽ ἑπτὰ σχημάτων ἡ γνῶσις. ταῦτα πάντα ἄνθρωπος διαπρήσσεται, καὶ ὁ ἐπιστάμενος γράμματα, καὶ ὁ μὴ ἐπιστάμενος. δι᾽ ἑπτὰ σχημάτων, καὶ ἡ αἴσθησις ἡ ἀνθρώπων. ἀκοὴ, ψόφου. ὄψις, φανερῶν. ῥὶν, ὀδμῆς. γλῶσσα, ἡδονῆς καὶ ἀηδίης. στόμα, διαλέκτου. σῶμα, ψαύσιος θερμοῦ ἢ ψυχροῦ. πνεύματος διέξοδοι, ἔσω καὶ ἔξω διὰ τούτων. γνῶσις ἀνθρώποισιν, ἀγωνίη. παιδοτρίβαι, τοιόνδε διδάσκουσι. παρανομέειν κατὰ νόμον. ἀδικέειν δικαίως. ἐξαπατέειν. κλέπτειν. ἁρπάζειν. βιάζεσθαι τὰ κάλλιστα καὶ αἴσχιστα. ὁ μὴ ταῦτα ποιέων, κακός. ὁ δὲ ταῦτα ποιέων, ἀγαθός. ἐπίδειξις τῶν πολλῶν ἀφροσύνης. θεῶνται ταῦτα. καὶ κρίνουσιν ἕνα ἐξ ἁπάντων ἀγαθόν. τοὺς δὲ ἄλλους κακούς, πουλλοὶ θαυμάζουσιν. ὀλίγοι γινώσκουσιν. ἐς ἀγορὴν ἐλθόντες ἄνθρωποι, ταῦτα διαπρήσσονται. ἐξαπατῶσι πωλέοντες καὶ ὠνεόμενοι. ὁ πλεῖστα ἐξαπατήσας, οὗτος θαυμάζεται. πίνοντες καὶ μαινόμενοι, ταῦτα διαπρήσσονται. τρέχουσι. παλαίουσι. μάχονται. κλέπτουσιν. ἐξαπατῶσιν. εἷς ἐκ πάντων κρίνεται. ὑποκρίνονται, καὶ ἐξαπατῶσι. πρὸς εἰδότας λέγουσιν ἄλλα, καὶ φρονέουσιν ἕτερα. οἱ αὐτοὶ ἐξέρπουσι καὶ εἰσέρπουσιν, οὐχ οἱ αὐτοί. ἐν δὲ ἀνθρώπῳ, ἄλλα μὲν, λέγειν. ἄλλα δὲ, ποιέειν. καὶ τὸν αὐτὸν, μὴ εἶναι τὸν αὐτόν. καὶ ποτὲ μὲν, ἄλλην ἔχειν γνώμην. ὁτὲ δὲ, ἄλλην. οὕτω μὲν αἱ τέχναι πᾶσαι τῇ ἀνθρωπίνῃ φύσει ἐπικοινωνέουσιν. ἡ δὲ ψυχὴ τοῦ ἀνθρώπου, ὥσπερ μοι καὶ προείρηται, σύγκρησιν ἔχουσα πυρὸς καὶ ὕδατος, μέρεα δὲ ἀνθρώπου ἐσέρπει ἐς ἅπαν ζῶον, ὅ, τι περ ἀναπνέει. καὶ δὴ καὶ ἐς ἄνθρωπον πάντα, καὶ νεώτερον καὶ πρεσβύτερον. αὔξεται δὲ οὐκ ἐν πᾶσιν ὁμοίως. ἀλλ᾽ ἐν μὲν τοῖσι νέοισι τῶν σωμάτων, ἅτε ταχείης ἐούσης τῆς περιφορῆς καὶ τοῦ σώματος ὄντος αὐξήμου ἐκπυρούμενα καὶ λεπτυνόμενα καταναλίσκεται ἐς τὴν αὔξησιν τοῦ σώματος. ἐν δὲ τοῖσι πρεσβυτέροισιν, ἅτε βραδείης ἐούσης τῆς κινήσιος, καὶ δὴ ψυχροῦ τοῦ σώματος, καταναλίσκεται ἐς τὴν μείωσιν τοῦ ἀνθρώπου. ὁκόσα δὲ τῶν σωμάτων ἀκμάζοντά ἐστι, καὶ ἐν τῇσιν ἡλικίῃσι τῇσι γονίμῃσι, δύναται τρέφειν καὶ αὔξειν. δύνασται δὲ ἄνθρωποι. ὅς τις δύναται πλείστους ἀνθρώπους τρέφειν, οὗτος ἰσχυρός. ἀπολειπόντων δὲ τῶν παρ᾽ αὐτοῦ τρεφομένων, οὗτος ἀσθενέστερος. τοιοῦτον καὶ ἕκαστα τῶν σωμάτων πλεῖστα, ὁκοῖα πλεῖστα δύναται ψυχὰς τρέφειν, ταῦτα ἰσχυρότερα. ἀπελθόντων δὲ τούτων, ἀσθενέστερα. ὅ, τι μὲν οὖν καὶ ἄλλος ἐσέλθῃ, οὐκ αὔξεται. ὅ, τι δὲ ἐς τὴν γυναῖκα, αὔξεται ἢν τύχῃ τῶν προσηκόντων. διακρίνεται δὲ τὰ μέλεα, ἅμα πάντα καὶ αὔξεται. καὶ οὔτε πρότερον οὐδὲν ἕτερον ἑτέρου, οὐδ᾽ ὕστερον. τὰ δὲ μέζω φύσει, πρότερα φαίνεται τῶν ἐλασσόνων, οὐδὲν πρότερα γινόμενα. οὐκ ἐν ἴσῳ δὲ χρόνῳ πάντα διακοσμέεται. ἀλλὰ τὰ μὲν, θᾶσσον, τὰ δὲ, βραδύτερον, ὅκως ἂν καὶ τοῦ πυρὸς ἕκαστα τύχῃ, καὶ τῆς τροφῆς. τὰ μὲν οὖν, ἐν τεσσαράκοντα καὶ τρισὶν ἡμέρῃσιν ἴσχει. τὰ δ᾽ ἐν τετραμήνῳ. ὡσαύτως καὶ γόνιμα γίνεται. τὰ μὲν, θᾶσσον, ἑπτάμηνα τελείως. τὰ δὲ βραδύτερον, ἐννεάμηνα τελείως ἐς φάος ἀναδείκνυται ἔχοντα τὴν σύγκρισιν, ἣν περ καὶ διὰ παντὸς ἕξει. ἄῤῥενα μὲν οὖν καὶ θήλεα ἐν τῷ δὲ τῷ τρόπῳ γίνοιτ᾽ ἂν ὡς ἀνυστόν. τὰ δὲ θήλεα, πρὸς ὕδατος μᾶλλον, ἀπὸ τῶν ψυχρῶν καὶ ὑγρῶν καὶ μαλθακῶν αὔξεται, καὶ σίτων, καὶ ποτῶν, καὶ ἐπιτηδευμάτων. τὰ δὲ ἄρσενα, πρὸς πυρὸς μᾶλλον, ἀπὸ τῶν ξηρῶν δηλαδὴ καὶ θερμῶν, σίτων τε

καὶ λοιπῆς διαίτης. ἢν οὖν θῆλυ τε κὴν βούλοιτο, τῇ πρὸς ὕδατος διαιτήσει χρηστέον. ἢν δὲ ἄρσενα, τῇ πρὸς πυρὸς ἐπιτηδεύσει διαιτητέον. καὶ οὐ μόνον δὲ τὸν ἄνδρα δεῖ τοῦτο διαπρήσσεσθαι, ἀλλὰ καὶ τὴν γυναῖκα. οὐ γὰρ τὸ ἀπὸ τοῦ ἀνδρὸς μοῦνον αὔξιμόν ἐστιν ἀποκριθὲν, ἀλλὰ καὶ τὸ ἀπὸ τῆς γυναικὸς, διὰ τόδε. ἑκάτερον μὲν τὸ μέρος, οὐκ ἔχει ἱκανὴν τὴν κίνησιν, τῷ πλήθει τοῦ ὑγροῦ, ὥστε καταναλίσκειν τὸ ἐπερρέον. καὶ ξυνίσταται δι' ἀσθενείην τοῦ πυρός. ὁκόταν δὲ κατὰ τοῦτο ἀμφότερα συνεμπεσόντα τύχῃ, περιπίπτει πρὸς ἄλληλα. τὸ πῦρ τε πρὸς τὸ πῦρ, καὶ τὸ ὕδωρ ὡσαύτως. ἢν μὲν νῦν ἐν ξηρῇ τῇ χώρῃ περικινέεται, κρατέει τοῦ ξυνεμπεσόντος ὕδατος. καὶ ἀπὸ τούτου αὔξεται τὸ πῦρ, ὥστε μὴ κατασβέννυσθαι ὑπὸ τοῦ ἐμπίπτοντος κλύδωνος. ἄλλο τε ἐπιὸν δέχεσθαι καὶ συνιστάναι ὑπάρχον. ἢν δὲ ἐς τὸ ὑγρὸν πέσῃ, εὐθέως ἀπ' ἀρχῆς κατασβέννυταί τε ὑπὸ τοῦ ἐμπίπτοντος κλύδωνος. καὶ διαλύεται ἐς τὴν μείω τάξιν. ἐν μιῇ δὲ ἡμέρῃ τοῦ μηνὸς ἑκάστου, δύναται συστῆναι καὶ κρατῆσαι τῶν ἐπιόντων, καὶ ταῦτ' ἢν τύχῃ ξυνεμπεσόντα παρ' ἀμφοτέρων κατὰ τόπον. ξυνίστασθαι δὲ δύναται καὶ τὸ θῆλυ καὶ τὸ ἄρσεν πρὸς ἄλληλα. διότι ἡ μὲν ψυχὴ, τὸ αὐτὸ πᾶσι τοῖσιν ἐμψύχοισι. τὸ δὲ σῶμα, διαφέρει ἑκάστου. ψυχὴ μὲν οὖν αἰεὶ ὁμοίη, καὶ ἐν μείζονι καὶ ἐλάσσονι. οὐ γὰρ ἀλλοιοῦται οὔτε διὰ φύσιν, οὔτε δι' ἀνάγκην. σῶμα δὲ, οὐδέποτε τὠυτὸ οὐδενὸς οὔτε κατὰ φύσιν, οὔθ' ὑπ' ἀνάγκης. τὸ μὲν, διακρίνεσθαι ἐς πάντα. τὸ δὲ, ξυμμίσγεσθαι πρὸς ἅπαντα. ἢν μὲν οὖν ἄρσενα τὰ σώματα ἀποκριθέντα ἀμφοτέρων τύχῃ, αὔξεται κατὰ τὸ ὑπάρχον, καὶ γίνονται οὗτοι ἄνδρες λαμπροὶ τὰς ψυχὰς, καὶ τὸ σῶμα ἰσχυροὶ, ἢν μὴ ἀπὸ διαίτης βλαβῶσι τῆς ἔπειτα. ἢν δὲ τὸ μὲν ἀπὸ τοῦ ἀνδρὸς, ἄρσεν ἀποκριθῇ. τὸ δὲ ἀπὸ τῆς γυναικὸς, θῆλυ. καὶ ἐπικρατήσῃ τὸ ἄρσεν. ἢν μὲν τύχῃ, προσμίσγεται πρὸς τὴν ἰσχυροτέρην ἡ ἀσθενεστέρην, οὐ γὰρ ἔχει πρός τι ὁμοφορώτερον ἀποχωρήσει τῶν παρεόντων. προσδέχεται γὰρ ἡ μικρὴ τὴν μείζω, καὶ ἡ μείζων τὴν ἐλάσσονα. κοινῇ δὲ τῶν ὑπαρχόντων κρατέουσι. τὸ δὲ σῶμα, τὸ μὲν ἄρσεν, αὔξεται. τὸ δὲ θῆλυ, μειοῦται, καὶ διακρίνεται ἐς ἄλλην μοίρην. καὶ οὗτοι μὲν ἧσσον τῶν πρότερον λαμπροὶ, ὅμως δὲ διότι ἀπὸ τοῦ ἀνδρὸς τὸ ἄρσεν ἐκράτησεν, ἀνδρεῖοι γίνονται. καὶ τοὔνομα τοῦτο δικαίως ἔχουσιν. ἢν δὲ ἀπὸ μὲν τῆς γυναικὸς, ἄρσεν ἀποκριθῇ, ἀπὸ δὲ τοῦ ἀνδρὸς, θῆλυ, κρατήσῃ δὲ τὸ ἄρσεν, αὔξεται τὸν αὐτὸν τρόπον τῷ προτέρῳ. τὸ δὲ μειοῦται. γίνονται δὲ οὗτοι ἀνδρόγυνοι καὶ καλέονται τοῦτο ὀρθῶς. τρεῖς μὲν οὖν αὗται γενέσιες τῶν ἀνθρώπων. διάφοροι δὲ, πρὸς τὸ μᾶλλον καὶ ἧσσον τὸ τοιοῦτον εἶναι διὰ τὴν σύγκρησιν τοῦ ὕδατος τῶν μερέων, καὶ τροφὰς, καὶ παιδεύσιας, καὶ συνηθείας. δηλώσω δὲ προϊόντι τῷ λόγῳ, καὶ περὶ τούτων. τὸ δὲ θῆλυ, γίνεται κατὰ τὸν αὐτὸν τρόπον. ἢν μὲν ἀπ' ἀμφοτέρων θῆλυ ἀποκριθῇ, θηλυκώτατα καὶ εὐφυέστατα γίνονται. ἢν δὲ, τὸ μὲν ἀπὸ τῆς γυναικὸς, θῆλυ, τὸ δὲ ἀπὸ τοῦ ἀνδρὸς, ἄρσεν, κρατήσῃ δὲ τὸ θῆλυ, θρασύτεραι μὲν, τῶν πρόσθεν. ὅμως δὲ, κοσμίαι καὶ αὗται. ἢν δ' ᾖ τὸ μὲν ἀπὸ τοῦ ἀνδρὸς, θῆλυ, τὸ δ' ἀπὸ τῆς γυναικὸς, ἄρρεν, κρατήσῃ δὲ τὸ θῆλυ, αὔξεται τὸν αὐτὸν τρόπον, καὶ γίνονται τολμηρότεραι τῶν προτέρων, καὶ ἀνδρεῖαι ὀνομάζονται. εἰ δέ τις ἀπιστέει, ψυχὴν μὴ προσμίσγεσθαι ψυχῇ, ἄφρων ἐστίν. ἀνθρακιὰς κεκαυμένους πρὸς κεκαυμένους προσβάλλων, ἰσχυροὺς πρὸς ἀσθενέας, τροφὴν αὐτοῖσι διδοὺς, ὅμοιον τὸ σῶμα πάντες παρασχήσονται, καὶ οὐ διάδηλος ἕτερος τοῦ ἑτέρου, ἀλλ' ἐν ὁκοίῳ σώματι ζωπυρέονται, τοιοῦτον ἀπὸ πάντων ἔσται. ὁκόταν δ' ἀναλώσωσι τὴν ὑπάρχουσαν τροφὴν διακρίνονται ἐς τὸ ἄδηλον. τοῦτο καὶ ἀνθρωπίνη ψυχὴ πάσχει. περὶ δὲ τῶν διδύμων γινομένων, ὁ λόγος ὧδε δηλώσει. τὸ μὲν πλεῖστον τῆς γυναικὸς ἡ φύσις αἰτίη τῶν μητρέων. ἢν γὰρ ὁμοίως ἀμφοτέρωσε πεφύκασι κατὰ τὸ στόμα, καὶ ἢν ἀνάσχωσιν ὁμοίως, καὶ ξηραίνονται ἀπὸ τῆς καθάρσιος, δύνανται τρέφειν, ἢν τὰ τοῦ ἀνδρὸς ξυλλαμβάνῃ, ὥστε εὐθὺς ἀποσχίζεσθαι. οὕτω γὰρ ἀνάγκη σκίδνασθαι ἐπ' ἀμφοτέρας τὰς μήτρας ὁμοίως. ἢν μὲν οὖν πολὺ ἐπ' ἀμφοτέρων τὸ σπέρμα καὶ ἰσχυρὸν ἀποκριθῇ, δύναται ἐν ἀμφοτέρῃσι τῇσι χώρῃσιν αὔξεσθαι. κρατέει γὰρ τῆς τροφῆς τῆς ἐπιούσης. ἢν δέ κως ἄλλως γένηται, γίνονται δίδυμα. ὁκόταν μὲν οὖν ἄρσεν ἀπ' ἀμφοτέρων ἀποκριθῇ, ἐξ ἀνάγκης ἐν ἀμφοτέροισιν ἄρσενα γίνεσθαι. ὁκόταν δὲ θήλεα ἀπ' ἀμφοτέρων, θήλεα γίνεται. ὁκόταν δὲ, τὸ μὲν, θῆλυ. τὸ δὲ, ἄρσεν, ὁκότερον ἂν ἑκατέρου κρατήσῃ, τοιοῦτον ἐπαύξει. ὅμοια δὲ ἀλλήλοισι τὰ δίδυμα, διὰ τόδε γίνεται. ὅτι πρῶτον μὲν ἴσα τὰ χωρία ἐν οἷς αὔξεται. ἔπειτα ὅτι καὶ ἅμα ἀπεκρίθη. ἔπειτα τῇσιν αὐτῇσι τροφῇσιν αὔξεται. γόνιμά τε ἅμα γίνεται ἐς φάος. ἐπίγονα δὲ, τῷδε τῷ τρόπῳ γίνεται. ὁκόταν αἵ τε μῆτραι θερμαὶ καὶ ξηραὶ φύσει ἔωσιν. ἥ τε γυνὴ τοιαύτη, τό τε σπέρμα ξηρὸν καὶ θερμὸν ἐμπέσῃ, οὐκ ἔτι γίνεται ἐν τῇσι μήτρῃσιν ὑγρασίη οὐδεμίη, ἥτις τὸ ἐπεισπῖπτον σπέρμα κρατήσῃ. διὰ τοῦτο ξυνίσταται ἐξ ἀρχῆς καὶ ζώει. διατελέειν δὲ οὐ δύναται ἀλλὰ καὶ τὸ ὑπάρχον προσδιαφθείρει. διότι οὐ ταὐτὰ ξυμφέρει ἀμφοῖν. ὕδατός τε λεπτότατον, καὶ πυρὸς τὸ ἀραιότατον σύγκρησιν λαβόντα ἐν ἀνθρώπου σώματι, ὑγιεινοτάτην ἕξιν ἀποδεικνύει, διὰ τάδε, ὅτι ἐν τῇσι μεταβολῇσι τοῦ αὐτοῦ τῶν ὡρέων τῇσι μεγίστῃσιν, οὔτε τὸ ὕδωρ ἐς τὸ πυκνότατόν ἐστι τῇσι τοῦ ὕδατος ἐφόδοισιν. οὔτε τὸ πῦρ, ἐν τοῖς τοῦ πυρός. οὔτε τῶν ἡλικιέων, ἐν τῇσι μεταστάσεσιν, οὔτε τῶν σιτίων καὶ ποτῶν, ἐν

τοῖσι διαιτήμασι. δύνανται γὰρ γένεσίν τε πλείστην δέξασθαι ἀμφότερα, καὶ πλησμονήν. χαλκὸς ὁ μαλακώτατός τε καὶ ἀραιότατος, πλείστην κρῆσιν δέχεται, καὶ γίνεται κάλλιστος. καὶ ὕδατος τὸ λεπτότατον, καὶ πυρὸς τὸ ἀραιότατον, σύγκρησιν λαμβάνοντα ὡσαύτως. οἱ μὲν οὖν ταύτην ἔχοντες τὴν φύσιν, ὑγιαίνοντες διατελέουσι τὸν πάντα χρόνον, μέχρι τεσσαράκοντα ἐτέων. οἱ δὲ καὶ μέχρι γήρως τοῦ ἐσχάτου. ὁκόσοι δ' ἂν ληφθῶσιν ὑπὸ νουσήματός τινος, ὑπὲρ τεσσαράκοντα ἔτεα, οὐ μάλα διαφυγγάνουσιν. ὁκόσα δὲ τῶν σωμάτων σύγκρησιν λαμβάνει πυρὸς τοῦ ἰσχυροτάτου, καὶ ὕδατος τοῦ πυκνοτάτου, ἰσχυρὰ μὲν καὶ ἐρρωμένα τὰ σώματα γίνεται. φυλακῆς δὲ, πολλῆς δεόμενα. μεγάλας γὰρ τὰς μεταβολὰς ἔχει ἐπ' ἀμφότερα. καὶ ἐν τῇσι τοῦ ὕδατος ἐφόδοισιν, ἐς νουσήματα πίπτουσι. καὶ ἐν τῇσι τοῦ πυρὸς, ὡσαύτως. τοῖσιν οὖν διαιτήμασι ξυμφέρει χρέεσθαι τὸν τοιοῦτον πρὸς τὰς ὥρας τοῦ ἔτεος, ἐναντιούμενον. ὕδατος μὲν ἐφόδου γινομένης, τοῖσι πρὸς ὕδατος χρέεσθαι κατὰ μικρὸν μεθιστάντα. τὰ μὲν, τὰ ἀπὸ τῆς ὥρης ὕδατός τε τοῦ παχυτάτου καὶ πυρὸς τοῦ λεπτοτάτου ξυγκρηθέντων ἐν τῷ σώματι, τοιαῦτα ξυμβαίνει. ἐξ ὧν διαγινώσκειν χρὴ, ψυχρὴν φύσιν καὶ ὑγρήν. ταῦτα τὰ σώματα ἐν τῷ χειμῶνι, νοσώτερα ἢ ἐν τῷ θέρει. καὶ ἐν τῷ ἦρι, ἢ ἐν τῷ φθινοπώρῳ. τῶν ἡλικιέων ὑγιηρότατοι τῶν τοιούτων οἱ παῖδες, δεύτεροι νεανίσκοι. νοσερώτατοι δὲ, οἱ πρεσβύτατοι καὶ οἱ ἔγγιστα. καὶ ταχέως γηράσκουσιν αἱ φύσιες αὗται. διαιτᾶσθαι δὲ ξυμφέρει τοῖσι τοιούτοισιν, ὁκόσα θερμαίνει καὶ ξηραίνει, καὶ πόνοισι καὶ σιτίοισι. καὶ πρὸς τὰ ἔξω τοῦ σώματος μᾶλλον τοὺς πόνους ποιέεσθαι, ἢ πρὸς τὰ εἴσω. ἢν δὲ λάβῃ πυρός τε τὸ ὑγρότατον καὶ ὕδατος τὸ πυκνότατον, ξύγκρησιν ἐν τῷ σώματι, τοῖσι δὲ γινώσκειν ὑγρὴν καὶ θερμὴν φύσιν, κάμνουσι μὲν μάλιστα οἱ τοιοῦτοι, ἐν τῷ ἦρι. ἥκιστα δὲ, ἐν τῷ φθινοπώρῳ. ὅτι ἐν μὲν τῷ ἦρι, ὑπερβολὴ τῆς ὑγρασίης. ἐν δὲ τῷ φθινοπώρῳ, συμμετρίη τῆς ξηρασίης. τῶν δὲ ἡλικιέων, νοσερώταται ὁκόσαι νεώτεραι εἰσιν. αὔξεται δὲ τὰ σώματα ταχέως. καταῤῥοώδεές τε οἱ τοιοῦτοι γίνονται. διαιτᾶσθαι δὲ ξυμφέρει, ὁκόσα ξηραίνοντα ψύχει, καὶ σίτων, καὶ ποτῶν, καὶ πόνων. τοὺς δὲ πόνους τοῖσι τοιούτοισιν εἴσω τοῦ σώματος ποιέεσθαι ξυμφέρει μάλιστα. εἰ δὲ σύγκρησιν λάβοι πυρὸς, τό, τε ἰσχυρότατον καὶ ὕδατος τὸ λεπτότατον, καὶ ξηρὴ ἡ φύσις καὶ θερμὴ, νόσος μὲν τοῖσι τοιούτοισιν, ἐν τῇσι τοῦ πυρὸς ἐφόδοισιν. ὑγιείη δὲ ἐν τῇσι τοῦ ὕδατος. ἡλικίῃσιν, ἀκμαζούσῃσι πρὸς σαρκὸς ἕξιν, νοσερώτατοι. ὑγιηρότατοι δὲ οἱ πρεσβύτατοι, καὶ τὰ ἔγγιστα ἑκατέρων. διαιτᾶσθαι ὁκόσα ψύχουσι καὶ ὑγραίνουσι. καὶ τῶν πόνων, ὁκόσοι ἥκιστα ἐκθερμαίνοντες καὶ συντήκοντες, πλείστην ψύξιν παρασχήσουσι. αἱ τοιαῦται φύσιες, μακροβιώτατοι καὶ ὑγιηρότατοι γίνονται. ἢν δὲ σύγκρησιν λάβῃ πυρὸς τοῦ ἀραιοτάτου καὶ ὕδατος τοῦ ξηροτάτου, ξηρὴ καὶ ψυχρὴ ἡ τοιαύτη φύσις. νοσερὴ μὲν, ἐν τῷ φθινοπώρῳ, ὑγιηρὴ δὲ, ἐν τῷ ἦρι καὶ τοῖσιν ἔγγιστα. ὡσαύτως ἡλικίαι πρὸς ἔτεα τεσσαράκοντα, νοσεραί. παῖδες ὑγιηρότατοι, καὶ τὰ προσέχοντα ἑκατέροισι. διαιτᾶσθαι ὁκόσαι θερμαὶ ἐοῦσαι, ὑγραίνουσι. καὶ πόνοι ἐξ ὀλίγου προσαγόμενοι ἡσυχῇ διαθερμαίνοντες, μὴ πουλὺ ἀπὸ τῶν ὑπαρχόντων φέροντες. περὶ μὲν οὖν φύσιος διαγνώσιος, οὕτω χρὴ διαγινώσκειν τῆς ἐξ ἀρχῆς ξυστάσιος. αἱ δὲ ἡλικίαι αὐταὶ πρὸς ἑωυτὰς, ὧδε ἔχουσι. παῖς μὲν οὖν κέκρηται ὑγροῖσι καὶ θερμοῖσι, διότι ἐκ τούτων ξυνέστηκε, καὶ ἐν τούτοισιν ηὐξήθη. ὑγρότατα μὲν οὖν καὶ θερμότατα ὁκόσα ἔγγιστα γενέσιος, καὶ αὔξεται ὡς πλεῖστον. καὶ ἐχόμενα ὡσαύτως. νεηνίσκος δὲ, θερμὸς μὲν, ὅτι τοῦ πυρὸς ἐπικρατέει ἡ ἔφοδος τοῦ ὕδατος. ξηρὸς δὲ, ὅτι τὸ ὑγρὸν ἤδη καταναλωται τὸ ἐκ τοῦ παιδὸς. τὸ μὲν, ἐς τὴν αὔξησιν τοῦ σώματος. τὸ δὲ, ἐς τὴν κίνησιν τοῦ πυρὸς. τὸ δὲ, ὑπὸ τῶν πόνων. ἀνὴρ, ὁκόταν στῇ τὸ σῶμα, ξηρὸς καὶ ψυχρός. διότι τοῦ μὲν θερμοῦ, ἡ ἔφοδος οὐκ ἔτι ἐπικρατέει, ἀλλ' ἕστηκεν ἀτρεμίζον τὸ σῶμα τῆς αὐξήσιος, καὶ κατέψυκται. ἐκ δὲ τῆς νεωτέρης ἡλικίης, τὸ ξηρὸν ἔνι. ἀπὸ δὲ τῆς ἐπιούσης ἡλικίης καὶ τοῦ ὕδατος τῆς ἐφόδου, οὐχ ὁ ἔχων τὴν ὑγρασίην, διὰ ταῦτα ξηροῖσι καὶ ὑγροῖσι κρατέεται. οἱ δὲ πρεσβῦται, ψυχροὶ καὶ ὑγροί. διότι πυρὸς μὲν ἀποχώρησις. ὕδατος δὲ, ἔφοδος. καὶ ξηρῶν μὲν, ἀπάλλαξις. ὑγρῶν δὲ, κατάστασις. τῶν δὲ πάντων, τὰ μὲν ἄρσενα, θερμότερα καὶ ξηρότερα. τὰ δὲ θήλεα, ὑγρότερα καὶ ψυχρότερα διὰ τόδε. ὅτι τε ἀπ' ἀρχῆς ἐν τοιούτοισιν ἑκάτερα ἐγένετο. καὶ ὑπὸ τοιούτων αὔξεται. γινόμενά τε τῇσι διαίτῃσιν ἐπιπονωτέρῃσι χρέεται, ὥστε ἐκθερμαίνεσθαι καὶ ἀποξηραίνεσθαι. τὰ δὲ θήλεα ὑγροτέρῃσι καὶ ῥᾳθυμοτέρῃσι τῇσι διαίτῃσι χρέονται. καὶ κάθαρσιν τοῦ θερμοῦ ἐκ τοῦ σώματος ἑκάστου μηνὸς ποιέονται. περὶ δὲ φρονήσιος ψυχῆς καὶ ἀφροσύνης ὀνομαζομένης, ὧδε ἔχει. πυρὸς τὸ ὑγρότατον καὶ ὕδατος τὸ ξηρότατον, κρῆσιν λαβόντα ἐν τῷ σώματι, φρονιμώτατα. διότι τὸ μὲν πῦρ ἔχει, ἀπὸ τοῦ ὕδατος τὸ ὑγρόν. τὸ δὲ ὕδωρ, ἀπὸ τοῦ πυρὸς τὸ ξηρόν. ἑκάτερον δὲ, οὕτως αὐταρκέστατον. οὔτε τὸ πῦρ, τῆς τροφῆς ἐνδεέστερον ἐπὶ πουλὺ φοιτᾷ. οὔτε τὸ ὕδωρ, τῆς κινήσιος ἐπὶ πουλὺ δεόμενον κουφοῦται. αὐτό τε οὖν ἑκάτερον, οὕτως αὐταρκέστατόν ἐστι πρὸς ἄλληλά τε κρηθέντα. ὅτι γὰρ ἐλάχιστα τῶν πέλας δέεται, τοῦτο μάλιστα τοῖσι παρεοῦσι προσέχει. πυρός τε τὸ ἥκιστα κινεύμενον, μὴ ὑπ' ἀνάγκης. καὶ ὕδατος, τὸ μάλιστα μὴ ὑπὸ βίης. ἐκ τούτων δὲ ἡ ψυχὴ συγκρηθεῖσα, φρονιμωτάτη καὶ μνημονικωτάτη. εἰ δέ τινι ἐπακτῷ γε χρεομένη τούτων ἀ-

κὼτερον ἂν αὔξηθείη μᾶράνοι, ἀφρονέστατον ἂν γένοιτο. διότι οὕτως ἔχοντα αὐτὰ ῥηϊστάτα. εἰ δὲ πυρὸς τῷ ἐλικοειδεστάτου καὶ ὕδατος σύμμετρον λάβοι, ὑδρεύσαιτο δὲ ἐκ πὺρ ἔσω τῷ ὕδατος ὀλίγον, φρονιμώτατα μὲν καὶ οὗτοι. ὑδρεύσονται δὲ, τῆς προτέρης. διότι κρατεόμενον ἐκ πῦρ ἔσω τῷ ὕδατος, ἧσσον βραδίως κινήσιν ποιεύμενον, ταχυτέρην προσπίπτει πρὸς τὰς αἰσθήσιος. παραμόνιμοι δ' εἰσὶν ἐπεικέως αἱ τοιαῦται ψυχαὶ, πρὸς ὅ, τι ἂν προσέχωσιν. εἰ δὲ ὀρθῶς διαπονῶντο καὶ φρονιμώτεροι καὶ ἐξυτέρωι γένοιντο παρὰ πὺ φύσιν. ξυμφέρει δὲ τοῖσι τοιούτοισι, τοῖσι πρὸς πυρὸς διατήμασι μᾶλλον χρέεσθαι, καὶ μὴ πολυσιτοσύνῃσι, μήτε σιτίων, μήτε πομάτων. ὁμοίωσιν οὖν χρέεσθαι ὀξέσιν, οἷσιν τὸ ὑγρὸν κενοῦται ἐκ τὸ σῶμα, καὶ ἐκ ὑγρὸν ἐπίσατον θᾶσσον. πάλιν δὲ, καὶ τελέοισι, καὶ τοῖσι τοιούτοισι γυμνασίοισιν, οὐ ξυμφέρει χρέεσθαι, ὅκως μὴ κοιλοτέρων τῶν πόρων γινομένων, πολυσαρκίης πολυρρώτατα. βαρυώτερος γὰρ ἀνάγκη τῆς ψυχῆς πὺ κίνησιν ποιέεσθαι ἐκ τῶν τοιούτων. τοῖσι περὶ πάντοισι ξυμφέρει χρέεσθαι, καὶ ἀπὸ λειπνου καὶ ὀρθρίοισι, καὶ ἀπὸ τῶν ὁρόμων. ἀπὸ λειπνου μὲν, ὅκως ῥοφέῃ ἐνεκτέρῃ ἡ ψυχὴ δέχηται ἀπὸ τῶν ἐσιόντων. ὀρθρου δὲ, ὅκως αἱ διέξοδοι κενῶνται τὸ ὑγροῦ, μὴ μὴ φρέατα ται οἱ πόροι τῆς ψυχῆς. ἀπὸ δὲ τῶν γυμνασίων, ὅκως μὴ ἐγκατα λείπηται ἐν τῷ σώματι ἡ ἀποκριθὲν ἀπὸ τὸ ὁρόμα, μὴ δὲ ξυμμίσγηται τῇ ψυχῇ, μὴ δὲ ἐμφράσσῃ τοὺς διεξόδους, μὴ δὲ συνταράξῃ πὺ ῥοφέῃ. ξυμφέρει δὲ καὶ ἐμέτοισι χρέεσθαι, ὅκως ἀποκαθαίρηται ἡ σῶμα, εἴ τι ὑδρέσδον οἱ πόνοι διαρύσαντες. προσάγειν δὲ ἀπὸ τῶν ἐμέτων, καπὶ μικρὸν προστιθέντα ἡ σιτίον, ἐς ἡμέρας πέντε μάλιστα τοὺς ἐλαχίστους. χρέεσθαι δὲ ξυμφορώτερον ἢ λουέσθαι. λαγνιδνέων δὲ, ὕδατος ἐφόδων γινομένων, πολύσιτα. ὧν δὲ τῆσι τῶν πυρὸς ἐπιφορῆσι, μείονα. εἰ δέ τινι σιδηρίτιδι πὺ διώκαμεν ἡ πῦρ λάβοι τὸ ὕδατος, βραχυτέρῃ ἀνάγκη τούτῃ εἶναι. κὴ πολύσιτος οἱ τοιοῦτοι ἢ λίθιοι. ἅτε γὰρ βραδείης ἐούσης τῆς ἀποδόσιος, καπὶ βραχὺ πρόσεισι πίονσιν αἱ αἰσθήσιες. κὴ ὀξέσι ἐοῦσαι, ἐπ' ὀλίγον ξυμμίσγονται τε ἁθρόως βραδύτητι τῆς ἀποδόσιος. αἱ γὰρ αἰσθήσιες τῆς ψυχῆς ὁκόσαι μὲν ὄψιος κὴ ἀκοῆς εἰσὶν, ὀξέσι ὁκόσαι δὲ ὀσφρήσιος, βραδύτεραι κὴ διαιθητότεραι. τούτων μὲν ἕνεκα ἀποδώσω. κὴ οἱ τοιοῦτοι οὐδὲν ἧσσον, οἱ τ' ψυχρῶν κὴ θερμῶν κὴ τ' τοιούτων, ὁκόσα δὲ σ' ὄψιος ἢ ἀκοῆς αἰσθέσθαι δεῖ, ἃ μὴ πρότερον ἐπίσαντο, οὐ δύνανται αἰσθάνεσθαι. διὰ γὰρ μὴ σεσωθῆναι ἡ ψυχὴ τῷ πυρὸς πεσόντος οὐκ ἂν αἰσθοιτο ὁκοίον τί ἐστιν. αἰ οὖν τοιαῦται ψυχαὶ οὐ πάσχουσι τὸ σῶμα τοιαῦτα. εἰ δὲ ὀρθῶς διαπῶτο, βέλτιον γένοιτο ἂν κὴ ὁ τοιοῦτος. ξυμφέρει δὲ ταδιατήματα τῷ προτέρῳ. ξηροτέροισι δὲ χρῆσθαι κὴ ἐλάσσοσι τοῖσι σιτίοισι. τοῖσι δὲ πόνοισι, πολλοῖσι κὴ ξυτοτέροισι. συμφέρει δὲ κὴ πυρηνῶδι. κὴ ἐμέτοισι χρέεσθαι ἐκ τῆ πυρησίων. κὴ προσαπωγήσιν ἐκ τῆ ἐμέτων ἐκ πολλοὺς χρόνους, ἵνα ποιέῃ ἐμέτον, κὴ ταῦτα ποιέων, ὑγιεινότερος ἂν κὴ φρονιμώτερος εἴη. ἵνα δὲ κρατηθείη ἐπὶ πολλὸν ἡ πῦρ ἔσω τῷ ἑόντος ὕδατος, τούτους ἤδη οἱ μὲν, ἀφρονεστάτους ὀνομάζουσιν. οἱ δὲ, ἐμβροντήτους. ἔστι δ' ἡ μανίη τοιοῦτον ἐπὶ ἡ βραδύτερον. οὗτοι κλαίουσί τε, οὐδενὸς λυπωῦντος, ἢ τύπτοντος. δεδίασί τε τὰ μὴ φοβερὰ λυπέον ἐπὶ τοῖς μὴ προσήκον. καὶ αἰσθάνονται, οἷσιν οὐ προσήκει τοῖς φρονέουσι. ξυμφέρει τοιγαροῦν τούτοισι πυρὴ ἔζ, καὶ ἐλλεβόροισι ἐκκαθαίρεσθαι ἐκ τῆ πυρησίων. κὴ διαίτη χρέεσθαι ἧ ἔπον πρότερον. ἰσχνασίης δὲ πυθμένος οὗτος δέεται, καὶ ξηρασίης. εἰ δὲ ἡ ὕδωρ ἔνδεες ἐόλω πὺ διώκαμεν λάβοι, τῷ πυρὸς ἐλικρινῆ πὺ σύμμετρον ἐ χόντων, ὑγιαίνουσι σώμασι φρονίμοις. ἡ δὲ τοιαύτη ψυχὴ ταχέως αἰσθανομένη τῆ προσπιπτόντων, καὶ οὐ μεταπίπτουσα πολλάκις. ὅτι φύσις μὲν, οἷον ἡ τοιαυτὴ ψυχὴς ἀγαθῆς. βελτίων δὲ γένοιτο, ὀρθῶς διαπεύμενος. καὶ κακίων μὴ ὀρθῶς. συμφέρει δὲ τῷ τοιούτῳ, τῇ διαίτῃ χρέεσθαι τῇ πρὸς ὕδατος μᾶλλον, ὑπὲρ βολὰς φυλασσόμενον καὶ σιτίων, καὶ πομάτων, καὶ ποτῶν. καὶ ὁρομοιομπόσι, καὶ τοῖσι ἄλλοισι γυμνασίοισιν, ὑπὲρ βολὴν οὐδενὸς ποιεύμενον. διὰ γὰρ ἔχη ὑγιηρῶς ἡ σῶμα κὴ μὴ ὑπ' ἄλλοτινος ἔωται ῥάσσηται, τῆς ψυχῆς φρονίμως ξυμμίσγηται. εἰ δ' ἐπὶ πολλὸν κρατηθείη ἡ τὸ ὕδατος δυνάμις ὑπὸ τὸ πυρὸς, ὀξυτέρην μὲν, τοσούτῳ ἀνάγκη εἶναι πὺ ψυχὴν, ὅσῳ θᾶσσον κινέεται, καὶ πρὸς τὰς αἰσθήσιος θᾶσσον προσπίπτειν. ἧσσον δὲ μόνιμον τῆ πρότερον, διότι κινέεται τὰ παρεγινόμενα, καὶ ἐπὶ πυρὸς ἑρμᾶται ὀλίγ' ταχυτῆτα. συμφέρει δὲ τῷ τοιούτῳ διαιτᾶσθαι, τῇ πρὸς ὕδατος διαίτῃ μᾶλλον, ἢ τῇ προτέρῃ. καὶ μάζῃ μᾶλλον, ἢ τῷ ἀρτῷ. καὶ ἰχθύσιν, ἢ κρέασι. τῷ ποτῷ, ὑδαρεστέρῳ. κὴ λαγνεύσιν ἐλασσόνως χρέεσθαι. καὶ τῆ πόνων τοῖσι κατὰ φύσιν, μᾶλισα καὶ τελείοισι. τοῖσι δ' οὐ βίης χρέεσθαι μὲν ἀνάγκη. ἐλάττοσι δὲ καὶ ἐμέτοισιν ἐκ τῆ αὐτῆ τελησμονῶν. ὅκως κενοῦ-

ται μὲν, ἡ σῶμα. θᾶσσον δὲ μαίνηται δὲ, ὡς ἥκιστα. συμφέρει δὲ κὴ ἀσαρκέειν τοῖσι τοιούτοισι, πρὸς ἡ φρενίμους εἶναι. πρὸς γὰρ σαρκὸς εὐξείλω, καὶ ματος φλεγμαινῶ ἀνάγκη γίνεσθαι. ὁκόταν δὲ τοιοῦτον πάθη ἡ τοιαύτη ψυχὴ, ἐς μανίω κεθίσταται, κρατηθεῖσα τῷ ὕδατος καὶ ἐπισασθεῖσα. ξυμφέρει δὲ τοῖσι τοιούτοισι καὶ τὰς πρήξιας πρήσσειν, βεβρωκόσι μᾶλλον ἢ ἀσίτοισι. σασιμωτέρη γὰρ ἡ ψυχὴ τῇ σοφῇ. καὶ τε μισγομένη συμφορᾶ μᾶλλον, ἡ σὺν ἧς οὖσα σοφῆς. εἰ δέ τι πλέον ἐπικρατηθείη ἡ ὕδωρ ἔσω τῷ πυρὸς, ὀξείη ἡ τοιαύτη ψυχὴ ἄκαν, καὶ τούτους ὀνειρώσσειν. κὴ λεύουσι δὲ αὐτῶν ὑπομανομένους. ἔστι γὰρ ἐπίσα μανίης ἡ τοιοῦτον. καὶ γὰρ ἀπὸ βραχείης φλεγμονῆς καὶ ἀσυμφόρου μαίνονται, καὶ σὺν τῇσι μέθῃσι καὶ σὺν τῇσιν ὀξείῃσι τῆς σαρκὸς, καὶ ἔσω τῶν κρεηφαγίων. ἀλλὰ χρὴ ἐν τοιοῦτον, τούτων μὲν πάντων ἀπέχεσθαι, καὶ τῆς ἄλλης πολυσιτοσύνης, καὶ γυμνασίων ἀπὸ βίης γνωμέων. μάζῃ δὲ ἀτεπῶς διαπᾶσθαι, καὶ λαχάνοισιν ἑφθοῖσι, πολλῷ τῷ κωθαρτικῶν. καὶ ἰχθυδίοισιν σμάλμι. καὶ ὑσροποτέειν βέλτιον, ἢ ὕδωρ αὐτο. εἰ δὲ μή, ὅ, τι ἐπίσω τατα τούτου, ἀπὸ μαλακοῦ οἴνου καὶ λευκοῦ. καὶ τοῖσι τοιούτοισιν ὀρθρίοισι πουλλοῖσι. ἀπὸ λείπνου δὲ, ὁκόσον ἰξαναφῆναι, ὅκως τὸ μὲν σίτα, μὴ ἐγκαταλείωνται ἀπὸ τῶν ἀπὸ λείπνου τοιούτων. ἡ δὲ σῶμα, κενοῦται ἔσω τῷ ὀρθρίου, λούεσθαι δὲ, χλιαρῷ ὕδατι τοιούτῳ μᾶλλον ἢ χείεσθαι. ξυμφέρει δὲ καὶ τῷ θώρηκα τοὺς ἡμόβιους, ὑπνοισι χρέεσθαι βραχίσιν ἢ πολλοῖσιν, ὅκως μὴ ἀποξηραίνηται ἡ σῶμα ἔσω τῆς ὥρης. ἐπιπλέιον δὲ τῆ ἥρος, καὶ ἐλλεβόροισι κεθαίρειν, προπυευθόντας. εἶτα ἐπάγειν πρὸς πὺ διαίτην ἡ συχὴ, καὶ μὴ ἄσιτον τοὺς πρήξιας. μὴ δὲ τῷ τον ποιέεσθαι. ἐκ ταύτης τῆς ἐπιμελείης ἡ τοιαύτη ψυχὴ, φρονιμωτάτη ἂν εἴη. τοῦτο μὲν οὖν φρονίμου καὶ ἄφρονος ψυχῆς ἡ σύμμετρος αὕτη αὐτὴ ἐστὶν, ὡς πᾷ μοι καὶ γέγραπται. καὶ διώκατε ἐκ τῆς διαίτης καὶ βελτίων καὶ χείρων γίνεσθαι. ὁρομοίσι δὲ πυρὸς ἐπικρατέοντος τῷ ὕδατι προσιθέντα, ἀδιώκατον ἂν ἴσως κὴ τῷ ὕδατος ἐπικρατέοντος, σὺν τῇ συμμέτρῳ πὺρ αὐξήσει. ἐκ τούτων δὲ φρονιμώτερα κὴ ἀφρενέσδρα γίνεται. τῶν δὲ τοιούτων, οὐκ ἔστιν ἡ σύμμετρος ἔτι. οἱ ὀξύθυμος. ὀξύθυμος. ἀπολοὺς. δυσμενής. δύνους. τῶν τοιούτων ἀπάντων ἡ φύσις τῶν πόρων δι' ὧν ἡ ψυχὴ πορεύεται, αὐτίη ἐστὶ. δι' ὁκοίων γὰρ ἁπλείων ἀποχωρέῃ, καὶ πρὸς ὁκοιά τινα προσπίπτει, καὶ ὁκοίοις τισὶ κὼτα μίσγεται, τοιαῦτα φρενέουσι. διὰ τοῦτο γοῦν διώκαν τὸ τοιαῦτα ἐκ διαίτης μεθιστάναι. φύσιν γὰρ μεταπλάσαι ἀφανέα οὐκ οἷόν τε. ὡσαύτως δὲ καὶ τῆς φωνῆς ὁκοίη τὶς ἂν εἴη, οἱ πόροι αἴτιοι τὸ πνεύματος, δι' ὁκοίων ἂν πίνων κινέηται ὁ ἀὴρ, καὶ πρὸς ὁκοίους τινὰς προσπίπτει, τοιαύτην γὰρ ἀνάγκη πὺ φωνὴν εἶναι. καὶ ταῦτα μὲν διώκαν καὶ χείρω καὶ βελτίω ποιέειν, διότι λειοτέρους καὶ βραχυτέρους τοὺς πόρους τῷ πνεύματι διώκαν ποιῆσαι. κενὸν δὲ ἀδιώκατον ἐκ διαίτης ἀλλοιώσαι.

ἱπποκράτους περὶ διαίτης τὸ δεύτερον.

Ωρείων δὲ θέσιν καὶ φύσιν ἐκάστων, ὧδε χρὴ διαγινώσκειν. κατὰ πανὸς μὲν εἰ πεῖν, ὧδε ἔχει. ἡ πρὸς μεσημβρίαν κειμένη, θερμοτέρη καὶ ξηροτέρη τῆς πρὸς τοὺς αὐχτους κειμένης, διότι ἐπυτέρω τῷ ἡλίου δέεν. σὺν δὲ ταύτῃσι τῇσι χώρῃσιν, ἀνάγκη καὶ τὰ ἔθνεα τῶν ἀνθρώπων, καὶ τὰ φυόμενα ἐκ τῆς γῆς, ξηρότερα καὶ θερμότερα καὶ ἐχυρότερα εἶναι, ἢ σὺν τῇσιν ἐναντίῃσιν. οἷ ἡ Λιβυκὴν ἔθνος πρὸς ἡ νοτικὴν, καὶ τὰ ἐπίσα ἐκείνων. αὖται δὲ κὼθ' ἑαυτὰς αἱ χῶραι, ὧδε ἔχουσι. τὰ μὲν ὕψηλὰ καὶ αὐχμηρὰ καὶ πρὸς μεσημβρίαν κείμενα, ξηρότερα τῶν πεδίων τῶν ὁμοίως κειμένων, διότι ἐλάσσω ἰκμάδας ἔχει. τὰ μὲν γὰρ, οὐκ ἔχει τὰσον, τῷ ὁμβρίῳ ὕδατι. τὰ δὲ, ἔχει. τὰ δὲ λιμναῖα καὶ ἑλώδεα, ὑγραίνει μὲν κὴ θερμαίνει. θερμαίνει μὲν, διότι κοῖλα καὶ πολλὰ χόμενα, κὴ οὐ διαπνέεται. ὑγραίνει δὲ, διότι τὰ φυόμενα ἐκ τῆς γῆς, ὑγρότερα, οἷσιν ἐκτρέφονται ἄνθρωποι. τό, τε πνεῦμα ὃ ἀναφέρομεν, παχύτερον διὰ ἡ ὕδωρ ἡ ἀπὸ τῆς ἀναπνοῆς. τὰ δὲ κοῖλα καὶ μὴ αὔυδρα, ξηραίνει καὶ θερμαίνει. θερμαίνει μὲν, ὅτι κοῖλα κὴ πνεύματος ἐνέχεται. ξηραίνει δὲ, διά τε τῆς τροφῆς πὺ ξηρότητα, καὶ διότι ἡ πνεῦμα ὃ ἀναπνέομεν ξηρὸν ἐόν, ἕλκει ἐκ τῶν σωμάτων ἡ ὑγρὸν, ἐς τροφὴν ἑωυτῷ, οὐκ ἔλαττον πρὸς ὃ, τι ἂν ὑγρὸν προσπίπτον δέφηται. ὁκοῦ δὲ τοῖσι χωρίοισιν ὄρη προσκέεται πρὸς νότου, σὺν τούτοισιν αὐχμώδεες οἱ νότοι καὶ νοσεροὶ προσπνέουσιν. ὁκοῦ δὲ βορέαθεν ὄρη πρόσκειται, σὺν τουτέοισιν αἱ βορέαι ταράσσουσι καὶ νόσους ποιεύουσιν. ὁκοῦ δὲ βορέαθεν κοῖλα χωρία τοῖσιν ἄσεσι προσκέεται, πρὸς τὴν θρινῶν πνευμάτων, θερμὸν καὶ νοσερὸν τοῦτο ἡ χωρίον. διότι οὔτε βορέας διαπνέων καθαρὸν πὺ ἐπαιωρεῖται τῷ πνεύματος παρέχει, οὔτε ἔσω τῶν θρινῶν πνευμάτων διαψύχεται. τῶν δὲ νήσων, αἱ μὲν ἐπὶ τῆ Ἠπείρων, δυσχειμοτέρῃ εἰσὶν. αἱ δὲ πόντιαι, ἀλεεινότεραι ἡ χειμῶνα. διότι αἱ χόνες καὶ πάγοι, σὺν μὲν τῆσιν Ἠπείροισιν ἔχουσι τάσιν, καὶ τὰ πνεύματα ψυχρὰ πέμπουσιν ἐς τοὺς ἐπὶ νήσους. τὰ δὲ πελάγια, οὐκ ἔχει τάσιν σὺν χειμῶνι. περὶ δὲ πνευμάτων ὧν τινα φύσιν ἔχει κὴ διώκαμεν ἐκφαστέον, ὧδε χρὴ διαγινώσκειν. φύσιν μὲν, ἔχει τὰ πνεύματα πάντα, ὑγραίνειν καὶ ψύχειν τάτε σώμα-

τα τῶν ζώων, καὶ τὰ φυόμενα ἐκ τῆς γῆς, διὰ τάδε, ἀνάγκη ἐστὶ τὰ πνεύματα ταῦτα πάντα πνέειν, ἀπὸ χιόνος. καὶ κρυστάλλου. καὶ πάγων ἰσχυρῶν. καὶ ποταμῶν. καὶ λιμνέων. καὶ γῆς ὑγρανθείσης, καὶ ψυχρανθείσης. καὶ τὰ μὲν ἰσχυρότερα τῶν πνευμάτων, ἀπὸ μεζόνων καὶ ἰσχυροτέρων. τὰ δὲ ἀσθενέστερα, ἀπὸ μειόνων καὶ ἀσθενεστέρων. ὥσπερ γὰρ καὶ τοῖσι ζώοισι πνεῦμα ἔνεστιν, οὕτως καὶ τοῖσιν ἄλλοισι πᾶσι. τοῖσι μὲν, ἔλασσον πνεῦμα. τοῖσι δὲ, κατὰ μέγεθος. φύσιν μὲν οὖν ἔχει ψύχειν καὶ ὑγραίνειν τὰ πνεύματα πάντα. διὰ θέσιν δὲ χωρίων καὶ τόπων, δι' ὧν παραγίνεται τὰ πνεύματα ἐς τὰς χώρας ἑκάστας, διάφορα γίνεται ἀλλήλων. ψυχρότερα. θερμότερα. ὑγρότερα. ξηρότερα, νοσερώτερα. ὑγιεινότερα. τὴν δὲ αἰτίην ἑκάστων, ὧδε χρὴ γινώσκειν. Ὁ μὲν βορέας, ψυχρὸς πνέει καὶ ὑγρὸς, ὅτι ὁρμᾶται ἀπὸ τοιουτέων χωρίων, πορεύεταί τε διὰ τοιούτων τόπων, ὥστινας ὁ ἥλιος οὐχ ἑρπεῖ, οὐδ' ἀποξηραίνων τὸν ἀέρα, ἐκπίνει τὴν ἰκμάδα. ὥστε παραγίνεται ἐπὶ τὴν οἰκουμένην, τὴν ἑωυτοῦ δύναμιν ἔχων. ὅκου μὴ διὰ τὴν θέσιν τῆς χώρης διαφθείρεται. καὶ τοῖσι μὲν οἰκέουσιν ἔλιστα, ψυχρότατος. τοῖσι δὲ προσωτάτω, ἥκιστα. Ὁ δὲ νότος, πνέει μὲν ἀπὸ τῶν ὁμοίων τὴν φύσιν, τῷ βορέα. ἀπὸ γὰρ τοῦ νοτίου πόλου πνέων, ἀπὸ χιόνος πουλλῆς, καὶ κρυστάλλου, καὶ πάγων ἰσχυρῶν ὁρμώμενος, τοῖσι μὲν ἐκεῖσε πλησίον αὐτοῦ οἰκοῦσιν, ἀνάγκη τοῖον πνέειν, ὁκοῖον ἐν ἡμῶν ὁ βορέας. ὑπὸ δὲ πᾶσαν τὴν χώρην, οὐκ ἔτι ὅμοιος παραγίνεται. διὰ γὰρ τῶν ἐφόδων τοῦ ἡλίου καὶ ὑπὸ τὴν μεσημβρίην πνέων, ἐκπίνεται τὸν ὑγρὸν ὑπὸ τοῦ ἡλίου. ἀποξηραινόμενος γὰρ, αὐαίνεται. διὸ ἀνάγκη θερμὸν αὐτὸν καὶ ξηρὸν ἐνθάδε παραγίνεσθαι. ἐν μὲν οὖν τοῖσιν ἔλιστα χωρίοισιν, ἀνάγκη τοιαύτην δύναμιν ἀποδιδόναι θερμὴν καὶ ξηρὴν. καὶ ποιέει τοῦτο ἐν τῇ Λιβύῃ. τάτε φυόμενα ἐξαναίνεται. καὶ τοὺς ἀνθρώπους λανθάνει ἀποξηραίνων. ἅτε γὰρ οὐκ ἔχων, οὔτε ἐκ θαλάσσης ἰκμάδα λαβεῖν, οὔτε ἐκ ποταμοῦ, καὶ ἐκ τῶν ζώων καὶ τῶν φυομένων, ἐκπόνεῖ τὸν ὑγρὸν. ὁκόταν δὲ τὸν πέλαγος παρεώσῃ, ἅτε θερμὸς ὢν καὶ αὐαρὸς, πουλλῆς ὑγρασίης ἐμπίπλησι τὴν χώρην ἐμπίπτων. ἀνάγκη δὲ τὸν νότον, θερμόν τε καὶ ὑγρὸν εἶναι, ὅκου μὴ τῶν χωρίων αἱ θέσιες αἰτίαι εἰσιν. ὡσαύτως δὲ καὶ τῶν ἄλλων πνευμάτων αἱ δυνάμεις ἔχουσιν. κατὰ δὲ χώρας ἑκάστας, τὰ πνεύματα ὧδε ἔχει. τὰ μὲν ἐκ θαλάσσης πνεύματα ἐς τὰς χώρας ἐμπίπτοντα, ξηρότερά πως ἐστὶ. τὰ δὲ ἀπὸ χιόνος ἢ πάγων, ἢ λιμνέων, ἢ ποταμῶν, ἅπαντα ὑγραίνει καὶ ψύχει, καὶ τὰ φυτὰ καὶ τὰ ζῶα. καὶ ὑγείην τοῖς σώμασι παρέχει, ὁκόσα μὴ ὑπερβάλλῃ ψυχρότητι. ταῦτα δὲ, βλάπτει, διότι μεγάλας τὰς μετα βολὰς ἐν τοῖσι σώμασι ἐμποιέει τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ. ταῦτα δὲ πάσχουσιν ὅσοι ἐν χωρίοις οἰκέουσιν ἑλώδεσι καὶ θερμοῖς, ἐλῦς ποταμῶν ἰσχυρῶν. τὰ δ' ἄλλα τῶν πνευμάτων ὁκόσα πνέει ἀπὸ τῶν προειρημένων, ὠφελέει, τόν τε ἠέρα καθαρὸν καὶ εἰλικρινέα παρέχοντα, καὶ τῷ τῆς ψυχῆς θερμῷ, ἰκμάδα διδόντα. ὁκόσα δὲ τῶν πνευμάτων κατὰ γῆν παραγίνεται, ξηρότερα ἀνάγκη εἶναι, ἀπό τε τοῦ ἡλίου ἀποξηραινόμενα, καὶ ἀπό τε τῆς γῆς. οὐκ ἔχοντα δὲ τροφὴν ὁκόθεν σπάσηται, τὰ πνεύματα ἀπὸ τῶν ζώντων ἕλκοντα τὸν ὑγρὸν, βλάπτει καὶ τὰ φυτὰ, καὶ τὰ ζῶα πάντα. καὶ ὁκόσα περ τὰ ὄρεα κατὰ λιπόντα παραγίνεται ἐς τὰς πόλιας, οὐ μόνον ξηραίνει, ἀλλὰ καὶ ταράσσει τὸν πνεῦμα, ὃ ἀναπνέομεν. καὶ τὰ σώματα τῶν ἀνθρώπων, ἐπίνοσα ἐμποιέει. φύσιν μὲν οὖν καὶ δύναμιν ἑκάστων, οὕτω χρὴ γινώσκειν. ὅκως δὲ χρὴ πρὸς ἕκαστα παρασκευάζεσθαι, προϊόντι τῷ λόγῳ δηλώσω. σιτίων δὲ καὶ πομάτων δύναμιν ἑκάστων, καὶ τὴν κατὰ φύσιν, καὶ τὴν διὰ τέχνης, ὧδε χρὴ γινώσκειν. ὁκόσοι μὲν οὖν κατὰ πανὸς ἐπεχείρησαν εἰπεῖν, ἢ περὶ τῶν γλυκέων, ἢ λιπαρῶν, ἢ ἁλικῶν, ἢ περὶ ἄλλου τινὸς τῶν τοιούτων τῆς δυνάμεως, οὐκ ὀρθῶς γινώσκουσιν. οὐ γὰρ τὴν αὐτὴν δύναμιν ἔχουσιν, οὔτε τὰ γλυκέα ἀλλήλοισιν, οὔτε τὰ πικρὰ, οὔτε τῶν ἄλλων τῶν τοιούτων οὐδὲν. πολλὰ γὰρ τῶν τοιούτων, ἃ καὶ διαχωρέει, καὶ ἴστησι. καὶ ξηραίνει. καὶ ὑγραίνει. ὡσαύτως δὲ καὶ τῶν ἄλλων ἁπάντων. ἔστι δὲ ὅσα στύφει καὶ διαχωρέεται καὶ οὐρέεται. τὰ δὲ οὐθ' ἕτερα τούτων. ὡσαύτως δὲ καὶ τῶν θερμαντικῶν, καὶ τῶν ἄλλων ἁπάντων, ἄλλην ἄλλα δύναμιν ἔχει. περὶ μὲν οὖν ἁπάντων, οὐχ οἷόν τε δηλωθῆναι, ὁκοῖα τινά ἐστι. καθ' ἕκαστα δὲ ἤν τινα δύναμιν ἔχει, διδάξω. Κριθαὶ. φύσει μὲν, ὑγρὸν καὶ ξηρὸν. ἐνὶ δὲ καὶ καθαρτικόν τι, ἀπὸ τοῦ χυλοῦ τοῦ ἀχύρου. τεκμήριον δὲ, ἢν μὲν θέλῃς κριθὰς ἀπτίστους ἑψῆσαι, καθαίρει ὁ χυλὸς, ἰσχυρῶς. εἰ δὲ ἐπτισμένους, ψύξει μᾶλλον καὶ συστήσει. ὁκόταν δὲ πυρωθῶσι τὸν μὲν ὑγρὸν, καθαρτικὸν ὑπὸ τοῦ πυρὸς οἴχεται. τὸν δὲ ψυχρὸν καὶ ξηρὸν, κατα λείπεται. ὁκόσα δὲ δεῖ ψύξαι καὶ ξηρᾶναι, ἄλφιτα διαπρήσσει. Ὧδε χρώμεθα μάζῃ παντοδαπεῖ, δύναμιν δὲ ἔχει ἡ μάζα αὕτη, τοιήνδε. τὰ συγκομιστὰ ἄλευρα, τροφὴν μὲν ἔχει ἐλάσσω. διαχωρέει δὲ, μᾶλλον. τὰ δὲ καθαρὰ, τροφιμώτερα. ἧσσον δὲ διαχωρέει. μάζα προσφυρηθεῖσα, ῥαντὴ. ἄτριπτος, κούφη. καὶ διαχωρέει, καὶ ψύχει μὲν, ὅτι ψυχρῶ ὕδατι ὑγρὴ ἐγένετο. διαχωρέει δὲ, ὅτι ταχέως πέσσεται. κούφη δὲ, ὅτι πολλῆς τροφῆς μετὰ τοῦ πνεύματος ἔξω ἀποκρίνει. στενοτοπώτεροι γὰρ ἂν διέξοδοι τῆς τροφῆς οὖσαι, ἄλλην ἐπιοῦσαν οὐ δέχονται. καὶ τὸν μὲν ξὺν τῷ πνεύματι λεπτυνόμενον, ἀποκρίνεται ἔξω. τὸν δ' αὐτοῦ ἐμμένον, φύσαν ἐμποιέει. καὶ τὸν μὲν, ἄνω ἐρυγγάνεται. τὸν δὲ, κάτω ὑποχωρέει. πολλὴ οὖν τῆς τροφῆς ἀπὸ τοῦ σώμα-

τος ἀποπνέεται. ἢν δὲ θέλῃς τὴν μάζαν εὐθέως φυρήσας διδόναι, ἡ τοιαύτη ξηραντικὴ. ἅτε γὰρ τὸν ἄλφιτον ξηρὸν ἐὸν καὶ ὑπὸ τοῦ ὕδατος διάβροχον οὕτω γεγενημένον ἐς πεσὸν ἐς τὴν κοιλίην, ἕλκει ἐξ αὐτοῖς τὸν ὑγρὸν, θερμὸν ἐόν. πέφυκε γὰρ τὸν μὲν θερμὸν, ψυχρὸν ἕλκειν. τὸν δὲ ψυχρὸν, θερμὸν. ἀναλισκομένου δὲ τοῦ ὑγροῦ ἐκ τῆς κοιλίης, ἀνάγκη ξηραίνεσθαι. τοῦ δὲ ὕδατος, τοῦ ζὺν τῇ μάζῃ ἐσελθόντος, ψύχει ἐπαγόμενον. ὅσα οὖν δεῖ ξηρῆναι ἢ ψύξαι, ἢ διαῤῥοίη χρόμενον, ἢ ἄλλη τινὶ θερμασίη τοιαύτη, μάζα διαπρήσσεται. ἢν δὲ ξηρὴ τριπτὴ, ξηραίνει μὲν οὐχ ὁμοίως, διὰ τὸν πεπιλῆσθαι ἰσχυρῶς. τροφὴν δὲ, τῷ σώματι πλείστην δίδωσιν, ἅτε δὴ ἡ συχῆ τηκομένης δέχονται τροφὴν αἱ δίοδοι. διαχωρεῖ μὲν οὖν, βραδέως. φύσαν δὲ, οὐκ ἐμποιέει, οὐδὲ ἐρυγγάνεται. ἡ δὲ προσφυρηθεῖσα τριπτὴ, τρέφει μὲν ἧσσον. διαχωρέει δὲ, καὶ ἐμποιέει μᾶλλον φύσαν. Κυκεὼν δὲ μόνον, ἐφ' ὕδατι μὲν, ψύχει καὶ τρέφει. ἐπ' οἴνῳ δὲ, θερμαίνει, καὶ τρέφει, καὶ ἴστησιν. ἐπὶ μέλιτι δὲ, θερμαίνει μὲν, ἧσσον, καὶ τρέφει. διαχωρέει δὲ μᾶλλον, ἢν μὴ ἄκρητον ἢ τὸν μέλι. ἢν δὲ μὴ, οὐ διαχωρέει, ἀλλ' ἴστησιν. Ἐπὶ δὲ γάλακτος, τρόφιμοι μὲν πάντες, πλὴν ἀλλὰ τὸν μὲν ὄϊον, ἴστησι. τὸν δὲ αἴγειον μᾶλλον διαχωρέει. τὸν δὲ βόειον, ἧσσον. τὸν δὲ ἵππειον καὶ τὸν ὄνειον, μᾶλλον διαχωρέει. Γυροὶ, ἰσχυρότεροι κριθῶν καὶ τροφιμώτεροι. διαχωρέουσι δὲ ἧσσον, καὶ αὐτοὶ καὶ ὁ χυλὸς. Ἄρτος δὲ ὁ μὲν συγκομιστὸς ξηραίνει καὶ διαχωρέει. ὁ δὲ καθαρὸς, τρέφει μὲν μᾶλλον. διαχωρέει δὲ, ἧσσον. αὐτῶν δὲ τῶν ἄρτων ὁ μὲν ζημίτης, κοῦφος καὶ διαχωρέει. καὶ κοῦφος μέν ἐστιν, ὅτι ἀπὸ τῆς ζύμης τοῦ ὀξέος, τὸν ὑγρὸν προσανάλωται, ὅπερ ἐστὶν ἡ τροφὴ. διαχωρέει δὲ, ὅτι ταχέως πέσσεται. ὁ δὲ ἄζυμος, διαχωρέει μὲν, ἧσσον. τρέφει δὲ, μᾶλλον. ὁ δὲ τῷ χυλῷ πεφυρημένος, κουφότερος, καὶ τρέφει ἱκανῶς, καὶ διαχωρέει. τρέφει μὲν, ὅτι καθαρὸς. κοῦφος δέ ἐστιν, ὅτι τῷ κουφοτάτῳ πεφύρηται καὶ ἐζήμωται ὑπὸ τούτου καὶ πεπύρωται. διαχωρέει δὲ, ὅτι τῷ γλυκεῖ καὶ διαχωρητικῷ τοῦ πυρὸς συμμέμικται. αὐτῶν δὲ τῶν ἄρτων οἱ μέγιστοι, τροφιμώτατοι. διότι ἥκιστα ἐκκαίονται ὑπὸ τοῦ πυρὸς, τὸν ὑγρὸν. καὶ οἱ ἰπνίται ἄρτοι, τροφιμώτεροι τῶν ἐσχαριτῶν καὶ ὀβελιέων, διότι ἧσσον ἐκκαίονται ὑπὸ τοῦ πυρὸς. οἱ δὲ κλιβανῖται καὶ οἱ ἐγκρυφίαι, ξηρότατοι. οἱ μὲν, διὰ τὴν σποδὸν. οἱ δὲ, διὰ τὸν ὄστρακον, ἐκπινόμενοι τὸν ὑγρὸν. οἱ δὲ σεμιδαλῖται, ἰσχυρότατοι πάντων τούτων. ἔτι δὲ μᾶλλον καὶ οἱ ἐκ τοῦ χόνδρου, καὶ τρόφιμοι σφόδρα, πλὴν οὐ διαχωρέουσιν ὁμοίως. Ἄλητον καθαρὸν πινόμενον ἐν ὕδατι, ψύχει. καὶ πλύμασται τὸν ὑπὸ πυρὶ. πιτύρων χυμὸς ἑφθὸς, κοῦφος διαχωρέει. τὰ δὲ ἐν γάλακτι διδόμενα ἄλητα, διαχωρέει μᾶλλον ἢ ἐν τῷ ὕδατι, διὰ τοῦ ὀῤῥοῦς. καὶ μάλιστα ἐν τῇσι διαχωρητικοῖσιν. ὁκόσα δὲ ξὺν μέλιτι καὶ ἐλαίῳ ἕψηται ἢ ὀπτῆται ἐξ ἀλήτων, πάντα καυσώδεα, καὶ ἐρευγμώδεα. ἐρευγμώδεα μὲν, ὅτι τρόφιμα ἐόντα, οὐ διαχωρητικά ἐστι. καυσώδεα δὲ, διότι λιπαρὰ ἐόντα, καὶ γλυκέα, καὶ ξύμφορα ἀλλήλοις, οὐ τῆς αὐτῆς καθεψήσιος δεόμενα ἐν τῷ αὐτῷ ἐστι. σεμίδαλις καὶ χόνδρος ἑφθὸς, ἰσχυρὰ καὶ τρόφιμα, οὐ μέντοι διαχωρέει. Ἡ τρύγις, κουφοτέρα πυρῶν. καὶ τὰ ἐξ αὐτῆς γενόμενα ὁμοίως, ἐκ τῶν πυρῶν, καὶ διαχωρητικὰ μᾶλλον. Ὁ βρόμος, ὑγραίνει καὶ ψύχει ἐσθιόμενος, καὶ ῥόφημα γενόμενος. τὰ πρόσφατα ἄλφητα καὶ ἄλητα, ξηρότερα τῶν παλαιῶν. ὅτι ἔλυον τοῦ πυρὸς καὶ τῆς ἐργασίης εἰσὶ. παλαιούμενα δὲ, τὸν μὲν θερμὸν ἐκπνέει. τὸν δὲ ψυχρὸν ἐπάγεται. ἄρτοι θερμοὶ μὲν, ξηραίνουσι. ψυχροὶ δὲ, ἧσσον. ἰσχνασίην δέ τινα παρέχουσιν. Κύαμοι, τρόφιμόν τι, καὶ στατικὸν, καὶ φυσῶδες. φυσῶδες μὲν, ὅτι οὐ δέχονται οἱ πόροι τὴν τροφὴν ἄλλην ἐπιοῦσαν. στάσιμον δὲ, ὅτι ὅλην ἔχει τὴν ὑποστάθμην τῆς τροφῆς. Οἱ πισσοὶ, φυσῶσι μὲν, ἧσσον. διαχωρέουσι δὲ, μᾶλλον. ὠχροὶ δὲ καὶ δολιχοὶ, διαχωρητικώτεροι τουτέων. ἧσσον δὲ, φυσώδεα. τρόφιμα δὲ. Ἐρέβινθοι λευκοὶ, διαχωρέουσι, καὶ οὐρέονται, καὶ τρέφουσι. τρέφει μὲν, τὸν σαρκῶδες. οὐρέεται δὲ, τὸν γλυκὺ. διαχωρέεται δὲ, τὸν ἁλμυρὸν. Κέγχρων χόνδροι, κυβήρια, ξηρὰ καὶ στάσιμα μετὰ σύκων ἰσχυρῶν τοῖσι πόνοισιν. αὐτοὶ δὲ οἱ κέγχροι ἑφθοὶ τρόφιμοι, οὐ μέντοι διαχωρέουσιν. Φακοὶ δὲ καυσώδεες καὶ καταῤῥηκτικοὶ. καὶ οὔτε διαχωρέει, οὔθ' ἴστησιν. Ὄροβοι, στάσιμον καὶ ἰσχυρὸν. καὶ παχύνει. καὶ πληροῖ. καὶ εὐχρουν ποιέει τὸν ἄνθρωπον. Λίνου καρπὸς ἐσθιόμενος, στάσιμον. ἔχει δέ τι καὶ ψυκτικὸν. Ὁρμίνου καρπὸς, παραπλήσια τῷ λίνῳ διαπρήσσεται. Θέρμοι, φύσει μὲν ἰσχυρὸν καὶ θερμὸν. διὰ δὲ τὴν ἐργασίην, κουφότερον καὶ ψυκτικώτερόν ἐστι καὶ διαχωρέει. Ἐρύσιμον ὑγραίνει καὶ διαχωρέει. Σικύου σπέρμα, διουρέεται μᾶλλον, ἢ διαχωρέει. πληροῖ δὲ καὶ παχύνει διαχωρέει μὲν, διὰ τὸν ἄχυρον τὸν ἔξω. παχύνει δὲ, διὰ τὴν σάρκα. πεπλυμένον δὲ διαχωρέει μὲν. ἧσσον δὲ. παχύνει δὲ καὶ πληροῖ μᾶλλον. ὑγραίνει δὲ καὶ καίει διὰ τὸν λιπαρὸν καὶ πῖον. Κνίκος διαχωρέει. Μήκων, στάσιμον. μᾶλλον δὲ ἡ μέλαινα μήκων. ἀτὰρ καὶ ἡ λευκὴ. τρόφιμον δὲ καὶ ἰσχυρὸν. Τουτέων δὲ ἁπάντων, οἱ χυμοὶ τῆς σαρκὸς διαχωρητικοὶ. δεῖ οὖν τῇ ἐργασίῃ φυλάσσειν ὁκόσα μὲν βούλει ξηραίνειν, τοῦ χυμοὺς ἀφαιροῦντα, τῇ σαρκὶ χρῆσθαι. ὁκόσα δὲ διαχωρέειν, τῷ μὲν χυμῷ, πλείονι. τῇ δὲ σαρκὶ, ἐλάσσονι, καὶ εὐχυμοτέρα. Περὶ δὲ ζώων τῶν ἐσθιομένων, ὧδε χρὴ γινώσκειν. βόεια κρέα. ἰσχυρὰ καὶ στάσιμα. καὶ δύσπεπτα τῆσι κοιλίῃσι. διότι παχύαιμον, καὶ πουλύαιμόν ἐστι τοῦτο τὸν ζῶον. καὶ τὰ κρέα βαρέα ἐς τὸν στόμα. καὶ αὐταὶ αἱ σάρκες. καὶ τὸν αἷμα. καὶ τὸν γάλα. ὁκόσων δὲ τὸν γάλα λεπτὸν, καὶ τὸν αἷμα

ὅμοιον, καὶ αἱ σάρκες παραπλήσιοι. Τὰ δὲ αἴγεια κρέα, κουφότερα τουτέων, καὶ διαχωρέει μᾶλλον. Τὰ δὲ ὕεια, ἰσχὺν μὲν τῷ σώματι ἐμποιέει μᾶλλον τουτέων. διαχωρέει δὲ, ἱκανῶς, διότι λεπτὰς τὰς φλέβας ἔχει καὶ ὀλιγαίμους. σάρκας δὲ πολλάς. Τὰ δὲ ἄρνεια, κουφότερα τῶν οἴων, καὶ τὰ ἐρίφεια τῶν αἰγείων, διότι ἀναιμότερα καὶ ὑγρότερα. ξηρὰ γὰρ καὶ ἰσχυρὰ φύσει ὄντα τὰ ζῶα. ὁκόταν μὲν ἁπαλὰ ᾖ, διαχωρέει. ὁκόταν δὲ αὐξηθῇ, οὐχ ὁμοίως. καὶ τὰ μόσχεια τῶν βοείων ὡσαύτως. Τὰ δὲ χοίρεια τῶν συείων, βαρύτερα. φύσει γὰρ εὔσαρκον ὂν τὸ ζῶον, καὶ ἄναιμον, ὑπερβολὴν ὑγρασίης ἔχει τέως ἂν νέον ᾖ. ὁκόταν οὖν πόροι μὴ δέχωνται τὴν τροφὴν ἐπιοῦσαν, ἐμμένον θερμαίνει, καὶ ταράσσει τὴν κοιλίην. Τὰ δὲ ὄνεια, διαχωρέει. καὶ τῶν πώλων ἔτι μᾶλλον. καὶ τὰ ἵππεια κουφότερα. Κύνεια δὲ, θερμαίνει, καὶ ξηραίνει, καὶ ἰσχὺν ἐμποιέει. οὐ μέντοι διαχωρέει. σκυλάκια δὲ ὑγραίνει καὶ διαχωρέει. Συὸς ἀγρίου, ξηραίνει καὶ ἰσχὺν παρέχει, καὶ διαχωρέει. Ἐλάφου δὲ ξηραίνει ἧσσον δὲ, διαχωρέει. οὐρέεται δὲ μᾶλλον. Λαγῶα, ξηρὰ καὶ στάσιμα. οὔρησιν δέ τινα παρέχει. Ἀλωπέκων δὲ ὑγρότερα. οὐρέεται δὲ, καὶ ἐχίνων χερσαίων, οὐρητικά. ὑγραίνει δέ. Περὶ δὲ ὀρνίθων, ὧδε ἔχει. σχεδόντι πάντα τὰ ὀρνίθια, ξηρότερα ἢ τὰ τετράποδα. ὁκόσα γὰρ κύστιν οὐκ ἔχει, οὔτε οὐρέει, οὔτε σιαλοχέει, πάντως ξηρά. διὰ γὰρ θερμότητα τῆς κοιλίης, ἀναλίσκεται τὸ ὑγρὸν ἐκ τοῦ σώματος ἐς τὴν τροφὴν τῷ θερμῷ, ὥστε οὔτε οὐρέεται, οὔτε σιαλοχέει. ὅτῳ δὲ μὴ ἔνεισι τοιαῦται ὑγρασίαι, ξηραίνει ἀνάγκη. ξηρότερον μὲν οὖν κρέας, φάσσης. δεύτερον, περιστερᾶς. τρίτον, πέρδικος, καὶ ἀλεκτρυόνος, καὶ τρυγόνος. ὑγρότατον δὲ, χηνός. ὅσα δὲ σπερμολογέει, ξηρότερα τῶν προτέρων. νήσσης δὲ καὶ τῶν ἄλλων. ὁκόσα ἐν ἕλεσι διαιτῆται, ἢ ἐν ὕδασι, πάντα ὑγρά. Τῶν δὲ ἰχθύων, ξηρότατοι μὲν οὗτοι. σκορπίος. δράκων. καλλιώνυμος. κόκκυξ. γλαῦκος. πέρκη. θρίσσα. κοῦφοι δὲ οἱ πετραῖοι σχεδόντι πάντες. οἷον κίχλη. φυκίς. ἐλεφιτίς. κωβιός. οἱ τοιοῦτοι δὲ καὶ οἱ προειρηθέντες, κουφότεροι τῶν πλανήτων. ἅτε γὰρ ἀτρεμίζοντες οὗτοι, ἀραιὴν τὴν σάρκα καὶ κούφην ἔχουσιν. οἱ δὲ πλανῆται καὶ κυματόπληγες τεθρυμμένοι τῷ πόνῳ, στερεωτέρην τὴν σάρκα ἔχουσιν. νάρκαι δὲ καὶ ῥῖναι, καὶ ψῆσσαι, καὶ τὰ τοιαῦτα ὡς ἐλαφρότερα. ὁκόσοι δὲ τῶν ἰχθύων ἐν τοῖσι πηλώδεσι καὶ ὑδρηλοῖσι χωρίοισι τὰς τροφὰς ἔχουσιν. οἷον κέφαλοι. κεστρέες. ἐγχέλυες. καὶ οἱ λοιποὶ τοιοῦτοι, βαρύτεροι, διότι ἀπὸ τοῦ ὕδατος, καὶ τοῦ πηλοῦ, καὶ τῶν ἐν τουτέοισι φυομένων, τὰς τροφὰς ἔχουσιν. ἀφ' ὧν καὶ τὸ πνεῦμα εἰσιὸν ἐς τὸν ἄνθρωπον, βλάπτει καὶ βαρύνει. οἱ δὲ ποτάμιοι καὶ λιμναῖοι, ἔτι βαρύτεροι τουτέων. πολύποδες δὲ καὶ σηπίαι καὶ τὰ τοιαῦτα, οὔτε κοῦφα ὡς δοκέει ἐστὶν, οὔτε διαχωρητικά, διὸ καὶ τοὺς ὀφθαλμοὺς βαρύνουσιν ἐσθιόμενοι, πλὴν οἱ ζωμοὶ τουτέων, διαχωρέουσι. τὰ δὲ κογχύλια οἷον πίνναι. πορφύραι. λεπάδες. κήρυκες. ὄστρεα. αὐτὰ μὲν, ξηρά. οἱ δὲ χυμοὶ τούτων, διαχωρητικοί. μύες δὲ καὶ κτένες, καὶ τελλῖναι, τουτέων μᾶλλον διαχωρέουσιν. αἱ δὲ κνίδαι μάλιστα καὶ τὰ σελάχια, ὑγραίνει καὶ διαχωρέει. τῶν δὲ ἐχίνων τὰ ᾠὰ, καὶ τὸ ὑγρὸν καράβου. μύες. καὶ ἄρκοι. καὶ καρκῖνοι, μᾶλλον μὲν οἱ ποτάμιοι, ἀτὰρ καὶ οἱ θαλάσσιοι. διαχωρέει, καὶ οὐρέεται. Οἱ τάριχοι, ξηραίνουσι καὶ ἰσχναίνουσι. τὰ δὲ πλείονα, καὶ διαχωρέει ἐπιεικῶς. ξηρότατοι μὲν τῶν ταρίχων. οἱ θαλάσσιοι. δεύτεροι, οἱ ποτάμιοι. ὑγρότατοι δὲ, οἱ λιμναῖοι. αὐτέων δὲ τῶν ταρίχων, οἱ λεγόμενοι πέρκαι ἰχθύες, ἰσχυρῶς ξηρότεροι.

Τῶν δὲ ζώων τῶν τιθασσῶν, τὰ ἑλόνομα καὶ ἀγρόνομα τῶν ἔνδον φερομένων ξηρότερα. ὅτι πονοῦνται ξηραίνεται, καὶ ὑπὸ τοῦ ἡλίου, καὶ ὑπὸ τοῦ ψύχεος. καὶ τῷ πνεύματι ξηροτέρῳ τρέφεται. τὰ δὲ ἄγρια τῶν ἡμέρων, ξηρότερα. καὶ τὰ ὠμοφάγα, καὶ τὰ ὑλοφάγα. καὶ τὰ ὀλιγοφάγα τῶν πολυφάγων. καὶ τὰ καρποφάγα, τῶν ποηφάγων. καὶ τὰ καρποφάγα, τῶν μὴ καρποφάγων. καὶ τὰ ὀλιγόποτα, τῶν πολυπότων. καὶ τὰ πολύαιμα, τῶν ἀναίμων, καὶ ὀλιγαίμων. καὶ τὰ ἀκμάζοντα μᾶλλον, ἢ τὰ λίην παλαιὰ καὶ τὰ νέα. καὶ τὰ ἄρρενα, τῶν θηλείων. καὶ τὰ ἄνορχα, τῶν ἐνόρχων. καὶ τὰ μέλανα, τῶν λευκῶν. καὶ τὰ δασέα, τῶν ψιλῶν. τὰ δὲ ἐναντία, ὑγρότερα. αὐτῶν δὲ τῶν ζώων, ἰσχυρότεραι μὲν αἱ σάρκες αἱ μάλιστα πονοῦσαι καὶ ἐναιμόταται, ἐν οἷσι κατακλίνεται. κουφόταται δὲ τῶν σαρκῶν, καὶ ἥκιστα πονοῦσαι, καὶ ἐκ τῆς σκιῆς, καὶ ὅσαι ἔσω ταῦ τοῦ ζώου. τῶν δὲ ἀναίμων, ἐγκέφαλος καὶ μυελὸς, ἰσχυρότατα. κουφότατα δὲ τῶν σαρκῶν, καὶ τὰ ὑπογάστρια. μύες. κτένες. πόδες. τῶν δὲ ἰχθύων, ξηρότατα, ἐστὶ τὰ ἄνω. κουφότατα δὲ, τὰ ὑπογάστρια. καὶ κεφαλαὶ ὑγρότεραι, διὰ τὴν πιμελὴν καὶ τὸν ἐγκέφαλον. Τὰ δὲ ὀρνίθων, ἰσχυρὸν μέν τι ἔχουσι καὶ τρόφιμον. καὶ φυσῶδες. ἰσχυρὸν μὲν, ὅτι γένεσίς ἐστι ζώου. τρόφιμον, ὅτι γάλα ἐστὶ τοῦτο τῷ νεοττῷ. φυσῶδες δὲ, ὅτι ἐκ μικροῦ ὄγκου, ἐς πολὺ διαχέεται. Ὁ τυρὸς, ἰσχυρὸν καὶ καυσῶδες. καὶ τρόφιμον. ἰσχυρὸν μὲν, ὅτι ἔγγιστα γενέσιος. τρόφιμον δὲ, ὅτι τοῦ γάλακτος τὸ σαρκῶδές ἐστιν ὑπόλοιπον. καυσῶδες δὲ, ὅτι λιπαρὸν. στάσιμον δὲ, ὅτι ὀπῷ καὶ πιτύᾳ ξυνέστηκεν. Ὕδωρ, ψυκτικόν. Οἶνος, θερμὸν καὶ ξηρόν. ἔχει δέ τι καὶ καθαρτικὸν ἀπὸ τῆς ὕλης. τῶν δὲ οἴνων οἱ μέλανες καὶ αὐστηροὶ, ξηρότεροι, καὶ οὐ διαχωρέονται, οὔτε οὐρέονται. οὔτε πτύουσι. ξηραίνουσι δὲ τῇ θερμασίῃ, τὸ ὑγρὸν ἐκ τοῦ σώματος καταναλίσκοντες. οἱ δὲ μαλακοὶ μέλανες, ὑγρότεροι, καὶ φυσῶσι, καὶ διαχωρέουσι μᾶλλον. οἱ δὲ γλυκέες μέλανες, ὑγρότεροι. θερμαίνουσι δὲ καὶ φυσῶσιν, ὑγρασίην ἐμποιοῦντες. οἱ δὲ λευκοὶ καὶ αὐστηροὶ, θερμαίνουσιν, οὐρέονται δὲ μᾶλλον, ἢ διαχωρέουσι. οἱ νέοι μᾶλλον τῶν οἴνων διαχωρέουσι, διότι ἐγγυτέρω τοῦ

γλυκέος

γλυκέος εἰσὶ καὶ τρόφιμοι. καὶ οἱ ὄζοντες, τῶν ἀνόσμων τῆς αὐτῆς ἡλικίης, διότι πεπειρότεροι εἰσί. καὶ οἱ παχέες τῶν λεπτῶν. Οἱ δὲ λεπτοὶ γλυκέες, οὐρέονται μᾶλλον. καὶ διαχωρέουσι. καὶ ὑγραίνουσι τὸ σῶμα. καὶ τὸ αἷμα ἀσθενὲς ποιέουσιν. αὔξοντες δὲ τὸ ἀντίπαλον τοῦ σώματος αἷμα ἐν τῷ σώματι. Γλεῦκος. φυσᾷ, καὶ ὑπάγει, καὶ ἐκταράσσεται ζέον ἐν τῇ κοιλίῃ, καὶ διαχωρέει. φυσᾷ μὲν, ὅτι θερμαίνει. ὑπάγει δὲ ἐκ τοῦ σώματος, ὅτι καθαίρει. ταράσσει δὲ, ζέον ἐν τῇ κοιλίῃ καὶ διαχωρέει. Οἱ ὀξυναῖοι οἶνοι, ψύχουσι, καὶ ἰσχναίνουσι, καὶ ὑγραίνουσι. ψύχουσι μὲν καὶ ἰσχναίνουσι, κένωσιν τοῦ ὑγροῦ ἀπὸ τοῦ σώματος ποιεύμενοι. ὑγραίνουσι δὲ, ἀπὸ τοῦ ἐσιόντος ὕδατος σὺν τῷ οἴνῳ. Ὄξος, ψυκτικόν. διότι τήκον τὸ ὑγρὸν ἐν τῷ σώματι καταναλίσκει. ἵστησι δὲ μᾶλλον ἢ διαχωρέει. διότι οὐ τρόφιμον καὶ δριμύ. Ἕψημα, θερμαίνει, καὶ ὑγραίνει, καὶ ὑπάγει. θερμαίνει μὲν, ὅτι οἰνῶδες. ὑγραίνει δὲ, ὅτι τρόφιμον. ὑπάγει δὲ, ὅτι γλυκύ. Αἱ τρύγες στεμφυλίτιδες, ὑγραίνουσι καὶ ὑπάγουσι καὶ φυσῶσι. διότι καὶ τὸ γλεῦκος τὸ αὐτὸ ποιέει. Μέλι θερμὸν καὶ ξηρὸν, ἄκρητον. σὺν ὕδατι δὲ, ὑγραίνει. καὶ διαχωρέει τοῖσι χολώδεσι, τοῖσι δὲ φλεγματώδεσιν, ἵστησιν. Ὁ δὲ γλυκὺς οἶνος, διαχωρέει μᾶλλον τοῖσι φλεγματώδεσιν. Περὶ δὲ λαχάνων ὧδε ἔχει. σκόροδον, θερμὸν, καὶ διαχωρέει καὶ οὐρέεται τῷ σώματι. καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐκ ἀγαθόν. κάθαρσιν γὰρ τοῦ σώματος πολλὴν ποιεύμενον, τὴν ὄψιν ἀπαμβλύνει. διαχωρέει δὲ καὶ οὐρέεται, διὰ τὸ καθαρτικόν. ἑφθὸν ἀσθενέστερον, ἢ ὠμόν. φῦσαν δὲ ἐμποιέει, διὰ τοῦ πνεύματος τὴν ἐπίστασιν. Κρόμμυον, τῇ μὲν ὄψει, ἀγαθόν. τῷ δὲ σώματι, κακόν. διότι θερμὸν καὶ καυσῶδές ἐστι, καὶ διαχωρέει. τροφὴν μὲν οὐδεμίην δίδωσι τῷ σώματι, οὐδὲ ὠφελίην. θερμαῖνον δὲ ξηραίνει διὰ τὸν ὀπόν. Γράσον, θερμαίνει μὲν, ἧσσον. οὐρέεται δὲ καὶ διαχωρέει. ἔχει δέ τι καθαρτικόν. ὑγραίνει δὲ, καὶ ὀξυρεγμίην παύει. καλὸν δὲ ὕστατον τῶν ἄλλων βρωμάτων ἐσθίειν αὐτό. Ῥαφανὶς, ὑγραίνει, διαχέουσα τὸ φλέγμα, τῇ δριμύτητι. τὰ δὲ φύλλα, ἧσσον. πλὴν πρὸς τοὺς ἀρθριτικούς. μοχθηρὸν ἡ ῥίζα. ἐπιπλάζον δὲ καὶ δύσπεπτον. Κάρδαμον, θερμὸν καὶ τὴν σάρκα τῆκον. ἵστησι δὲ φλέγμα λευκὸν, ὥστε στραγγουρίην ἐμποιέειν. Νάπυ, θερμόν. διαχωρητικὸν δέ. πλὴν δυσουρέεται καὶ τοῦτο. ἀλλὰ καὶ τὸ εὔζωμον παραπλήσια ποιέει. Κορίανον, θερμὸν καὶ στατικόν. καὶ τὴν ὀξυρεγμίην παύει, καὶ ὑπνωτικὸν, ἐὰν ὕστατον ἐδέσθῃ. Θρίδαξ, ψυχρότατον, πρὶν ἢ ὀπὸν ἔχειν. ἀσθενείην δέ τινα ποιέει ἐν τῷ σώματι. Ἄνηθον, θερμὸν καὶ στατικόν. καὶ πταρμὸν παύει ὀσφραινόμενον. Σέλινον, οὐρέεται μᾶλλον, ἢ διαχωρέει. καὶ αἱ ῥίζαι μᾶλλον ἢ αὐτὸ διαχωρέουσιν. ὤκιμον, ξηρὸν, καὶ θερμὸν, καὶ στάσιμον. Πήγανον, οὐρέεται μᾶλλον, ἢ διαχωρέει. καὶ συστρεπτικόν τι ἔχει, καὶ πρὸς τὰ φάρμακα τὰ βλαβερὰ, ὠφέλιμον προπινόμενον. Ἀσπάραγος, ξηρὸν καὶ στάσιμον. Ἐλελίσφακον, ξηρὸν καὶ στατικόν. Στρύχνος, ψύχει καὶ ἐξονειρώσσειν οὐκ ἐᾷ. Ἀνδράχνη, ψύχει ἡ ἐπταμένη. τεταριχευμένη δὲ, θερμαίνει καὶ καθαίρει. Καλαμίνθη, θερμαίνει καὶ καθαίρει. Μίνθη, θερμαίνει καὶ οὐρέεται. καὶ ἐμέτους ἵστησι. καὶ ἢν πολλάκις ἐσθίῃ τις, τὸν γόνον αὐτοῦ τήκει ὥστε ῥέειν. καὶ ἐντείνειν κωλύει. καὶ τὸ σῶμα ἀσθενὲς ποιέει. Λάπαθον, θερμαῖνον διαχωρέει. Ἀνδράφαξις ὑγρόν. οὐ μέντοι διαχωρέει. βλῆτον θερμὸν, οὐ διαχωρητικόν. Κράμβη θερμαίνει καὶ διαχωρέει. καὶ τὰ χολώδεα ἄγει. Τεύτλου, ὁ μὲν χυλὸς, διαχωρέει. τὸ δὲ λάχανον ἐσθιόμενον, ἵστησιν. αἱ δὲ ῥίζαι τῶν τεύτλων, διαχωρητικώτεραι. Κολοκύντη, θερμαίνει, καὶ ὑγραίνει, καὶ διαχωρέει. Γογγυλὶς, καυσώδης. ὑγραίνει δὲ καὶ ταράσσει τὸ σῶμα. οὐ μέντοι διαχωρέει. δυσουρέεται δέ. Γλήχων, θερμαίνει καὶ διαχωρέει. Ὀρίγανον, θερμαίνει. ὑπάγει δὲ καὶ τὰ χολώδεα. Θρύμβη παραπλήσια τῷ ὀριγάνῳ διαπρήσσεται. Θύμον, θερμόν. διαχωρέει καὶ οὐρέεται. ἄγει δὲ καὶ φλεγματώδεα. Ὕσσωπον, θερμὸν καὶ φλεγματῶδες. Τῶν δὲ ἀγρίων λαχάνων, ὁκόσα τῷ σώματι θερμαντικὰ καὶ εὐώδεα, ταῦτα θερμαίνει καὶ οὐρέεται μᾶλλον, ἢ διαχωρέει. ὁκόσα δὲ ὑγρὴν φύσιν ἔχει καὶ ψυχρὴν, καὶ μωρὴν, καὶ ὀσμὰς βαρείας, ὑποχωρέεται μᾶλλον, ἢ οὐρέεται. ὁκόσα δέ ἐστι στρυφνὰ καὶ αὐστηρὰ, στάσιμα. ὁκόσα δὲ δριμέα καὶ εὐώδεα, οὐρέεται. ὁκόσα δὲ δριμέα καὶ ξηρὰ ἐν τῷ σώματι, ταῦτα πάντα ξηραίνει. ὁκόσα δὲ ὀξέα, καὶ ψυκτικά. οἱ δὲ χυμοὶ, διουρητικοί. κρήμνου. σελίνου. σκορόδου ἀποβρέγματα. κυτίσου. μαράθρου. πράσου. ἀδιάντου. στρύχνου, τάδε ψύχει. σκολοπένδρειον. μίνθη. σίσαλι. καυκαλίδες. ὑπερικόν. κνίδαι, διαχωρητικὰ καὶ καθαρτικά. ἐρέβινθοι. φακή. κριθαί. τεῦτλα. κράμβη. λινόζωστις. ἀκτή. κνῆκος. ταῦτα πάντα ὑποχωρέεται μᾶλλον, ἢ διουρέεται. Περὶ δὲ ὀπώρης ὧδε ἔχει. τὰ μὲν ἔγκαρπα, διαχωρητικώτερα. τὰ δὲ χλωρὰ, τῶν ξηρῶν. ἡ δὲ δύναμις εἴρηται αὐτέων. Μόρα, θερμαίνει καὶ ὑγραίνει καὶ διαχωρέει. Ἄπιοι πέπειροι, θερμαίνουσι καὶ ὑγραίνουσι, καὶ διαχωρέουσιν. αἱ δὲ σκληραὶ, στάσιμοι. Ἀχράδες χειμέριοι, πέπειροι, διαχωρέουσι καὶ τῆς κοιλίης καθαρτικαί. αἱ δὲ ὠμαὶ, στάσιμοι. Μῆλα γλυκέα, δύσπεπτα. τὰ δὲ ὀξέα καὶ πέπονα, ἧσσον. Κυδώνια. στυπτικὰ, καὶ οὐ διαχωρέουσιν. οἱ δὲ χυλοὶ τῶν μήλων, πρὸς τοὺς ἐμέτους στατικοὶ, καὶ οὐρητικοί. καὶ ὀδμαὶ πρὸς τῶν ἐμέτων. τὰ δὲ ἄγρια μῆλα, στατικά. ἑφθὰ δὲ ἐσθιόμενα, μᾶλλον διαχωρητικά. πρὸς δὲ τὴν ὀρθοπνοίην, οἵ τε χυλοὶ αὐτῶν, καὶ αὐτὰ πινόμενα ὠφελέει. Οὖα δὲ καὶ μέσπιλα καὶ κράνια, καὶ ὅση ἄλλη τοιαύτη ὀπώρη, στατικὴ καὶ στρυφνή. καὶ ῥόης γλυκείης ὁ χυλὸς, διαχωρέει. καυσῶδες δέ τι ἔχει. αἱ οἰνώ-

δεες τῶν ῥοιῶν, ἧσσον καυσώδεες. αἱ δὲ ὀξεῖαι, ψυκτικώτεραι. οἱ δὲ πυρῆνες, πάντων στάσιμοι. Σίκυοι ὠμοὶ ψυχροὶ, καὶ δυσέκπεπτοι. οἱ δὲ πέπονες, οὐρέονται καὶ διαχωρέονται. φυσώδεες δέ. Βότρυες, θερμοὶ καὶ ὑγροὶ, καὶ διαχωρητικοὶ, μάλιστα οἱ λευκοί. οἱ μὲν οὖν γλυκέες, θερμαίνουσιν ἰσχυρῶς, διότι πολὺ ἤδη τοῦ θερμοῦ ἔχουσιν. οἱ δὲ ὀμφακώδεες, ἧσσον θερμαίνουσι. καθαίρουσι δὲ μᾶλλον, πινόμενοι. Σῦκα καὶ σταφίδες καυσώδεα. διαχωρητικὰ δέ. Σῦκον χλωρὸν, ὑγραίνει, καὶ διαχωρέει, καὶ θερμαίνει. ὑγραίνει μὲν, ὅτι ἔγχυλόν ἐστι. θερμαίνει δὲ, διὰ τὸν ὀπόν. διαχωρέει δὲ, διὰ τὸ γλυκὺ τοῦ ὀποῦ. τὰ πρῶτα τῶν σύκων, κάκιστα, ὅτι εἰσὶν ὀπωδέστατα. βέλτιστα δὲ, τὰ ὕστατα. τὰ ξηρὰ σῦκα καυσώδεα. διαχωρητικὰ δέ. Αἱ ἀμυγδάλαι καυσώδεες. τρόφιμοι δέ εἰσι διὰ ταῦτα. καυσώδεες μὲν, διὰ τὸ λιπαρόν. τρόφιμοι δὲ, διὰ τὸ σαρκῶδες. Καὶ κάρυα τὰ στρογγύλα, παραπλησίως ταύταις ἔχουσι. τὰ δὲ πλατέα πέπονα, τρόφιμα καὶ διαχωρητικά. καθαρὰ δὲ ἐόντα, καὶ φῦσαν ἐμποιέουσιν. οἱ δὲ χιτῶνες αὐτέων στάσιμοι. Ἄκυλοι καὶ βάλανοι καὶ φηγοὶ, στατικὰ ὠμὰ καὶ ὀπτά. ἑφθὰ δὲ, ἧσσον. Τὰ πίονα τῶν κρεῶν, καυσώδεα. διαχωρητικὰ δέ. κρέα ταριχηρὰ, ἐν οἴνῳ μὲν ὄντα, ξηραίνει καὶ τρέφει. ξηραίνει μὲν, διὰ τὸν οἶνον. τρέφει δὲ, διὰ τὴν σάρκα. ἐν ὄξει δὲ, τὰ ταριχευμένα θερμαίνει μὲν, ἧσσον δὲ διὰ τὸ ὄξος. τρέφει δὲ ἱκανῶς. ἐν ἁλσὶ δὲ κρέα ταριχηρὰ τρόφιμα μὲν, ἧσσον, διὰ τὸ ἅλας, τοῦ ὑγροῦ ἀπεστερημένα. ἰσχναίνει δὲ, καὶ ξηραίνει, καὶ διαχωρέει ἱκανῶς. τὰς δὲ δυνάμιας ἑκάστων ἀφαιρέειν καὶ προστιθέναι ὧδε χρή. Πυρὶ καὶ ὕδατι πάντα ξυνίσταται, καὶ ζῶα καὶ φυτὰ, καὶ ὑπὸ τουτέων αὔξεται, καὶ ἐς ταῦτα διακρίνεται. τῶν μὲν οὖν ἰσχυρῶν σιτίων, ἕψοντα πολλάκις καὶ διαψύχοντα, τὴν δύναμιν ἀφαιρέειν. καὶ προστιθέναι πάλιν ὧδε χρή. τῶν δὲ ὑγρῶν πυροῦντα καὶ φώζοντα, τὴν ὑγρασίην ἐξαιρέεσθαι. τῶν δὲ ξηρῶν, βρέχοντα καὶ νοτίζοντα. τῶν δὲ ἁλμυρῶν, βρέχοντα καὶ ἕψοντα. τῶν δὲ πικρῶν καὶ δριμέων, τοῖσι γλυκέσι διακρηνῶντα. τῶν δὲ στρυφνῶν, τοῖσι λιπαροῖσι. καὶ ἐπὶ τῶν ἄλλων πάντων, ἐκ τῶν προειρημένων χρὴ γινώσκειν. ὁκόσα πυρούμενα ἢ φωζόμενα, στάσιμά ἐστι μᾶλλον τῶν ὠμῶν, διότι τὸ ὑγρὸν ἀπὸ τοῦ πυρὸς ἀφῄρηται, καὶ τὸ πυρῶδες, καὶ τὸ λιπαρόν. ὁκόταν γοῦν ἐς τὴν κοιλίην ἐμπέσῃ, ἕλκει τὸ ὑγρὸν ἐκ τῆς κοιλίης, ἐπ' αὐτὰ συγκλείοντα τὰ στόματα τῶν φλεβίων, ξηραίνοντα καὶ θερμαίνοντα, ὥστε ἱστῆσι τὰς διεξόδους τοῦ ὑγροῦ. τὰ δὲ ἐκ τῶν ἀνύδρων καὶ ξηρῶν, καὶ πνιγηρῶν χωρίων, ἅπαντα ξηρότερα καὶ θερμότερα, καὶ ἰσχὺν πλείω παρέχεται ἐς τὸ σῶμα. διότι ἐκ τοῦ ἴσου ὄγκου, βαρύτερα καὶ πυκνότερα καὶ πολυνοστά ἐστιν, ἢ τὰ ἐκ τῶν ὑγρῶν, καὶ ἀρδομένων, καὶ ψυχρῶν. ταῦτα δὲ ὑγρότερα καὶ κουφότερα, καὶ ψυχρότερα. Οὔκουν δεῖ τὴν δύναμιν μόνον αὐτέων γνῶναι τοῦ τε σίτου καὶ τοῦ πόματος καὶ τῶν ζώων, ἀλλὰ καὶ τῆς πατρίδος ὁπόθεν εἰσίν. ὁκόταν γοῦν βούλωνται τροφὴν ἰσχυρὰν τῷ σώματι προσενέγκαι, καὶ ἀπὸ τῶν αὐτῶν σίτων, τοῖς ἐκ τῶν ἀνύδρων χωρίων χρηστέον, καὶ σιτίοισι καὶ πόμασι καὶ ζώοισιν. ὁκόταν δὲ κουφοτέρῃ τῇ τροφῇ καὶ ὑγροτέρῃ, τοῖσιν ἐκ τῶν ἀρδομένων χρηστέον. τὰ γλυκέα, καὶ τὰ δριμέα, καὶ τὰ ἁλυκὰ, καὶ τὰ πικρὰ, καὶ τὰ αὐστηρὰ, καὶ σαρκώδεα θερμαίνειν πέφυκε, καὶ ὅσα ξηρά ἐστι καὶ ὅσα ὑγρά. ὁκόσα μὲν οὖν ξηροῦ μόριος πλεῖον ἔχει ἐν αὐτέοισιν, ταῦτα μὲν ξηραίνει, καὶ θερμαίνει. ὁκόσα δὲ ὑγροῦ μόριος ἔχει πλέον, ταῦτα πάντα θερμαίνοντα ὑγραίνει, καὶ διαχωρέει μᾶλλον, ἢ τὰ ξηρά. τροφὴν γὰρ μᾶλλον ἐς τὸ σῶμα διδόντα, ἀντίσπασιν ποιέεται ἐν τῇ κοιλίῃ, καὶ ὑγραίνοντα διαχωρέει. ὁκόσα δὲ διαθερμαίνοντα ξηραίνει, ἢ σῖτα, ἢ ποτὰ, οὔτε πτύσιν, οὔτε οὔρησιν, οὔτε διαχώρησιν ποιεῦντα, ξηραίνει τὸ σῶμα, διὰ τάδε. θερμαινόμενον τὸ σῶμα, κενοῦται τοῦ ὑγροῦ. τὸ μὲν, ὑπ' αὐτέων τῶν σιτίων. τὸ δὲ, ἐς τροφὴν, τῷ τῆς ψυχῆς θερμῷ καταναλίσκεται. τὸ δὲ, διὰ τοῦ χρωτὸς ἐξωθέεται, θερμαινόμενον καὶ λεπτυνόμενον. τὰ γλυκέα καὶ τὰ πίονα καὶ τὰ λιπαρὰ, πληρωτικά ἐστι, διότι ἐξ ὀλίγου ὄγκου, πολύχοά ἐστι. θερμαινόμενα δὲ καὶ διαχεόμενα, πληροῖ τὸ θερμὸν ἐν τῷ σώματι, καὶ γαληνιάζειν ποιέει. τὰ δὲ ὀξέα, καὶ δριμέα, καὶ αὐστηρὰ, καὶ στρυφνὰ, καὶ συγκομιστὰ, καὶ ξηρὰ, οὐ πληροῖ. διότι τὰ στόματα τῶν φλεβῶν, ἀνέῳξέ τε καὶ διεκάθηρε. καὶ τὰ μὲν, ξηραίνοντα. τὰ δὲ, δάκνοντα καὶ στύφοντα φρῖξαι καὶ συστῆσαι ἐς ὀλίγον ἐποίησεν ὄγκον, τὸ ὑγρὸν τὸ ἐν τῇ σαρκί. καὶ τὸ κενὸν, πουλὺ ἐγένετο ἐν τῷ σώματι. ὁκόταν γοῦν βούλῃ ἀπ' ὀλίγων πληρῶσαι, ἢ ἀπὸ πλειόνων κενῶσαι, τοῖσι τοιούτοισι χρέεσθαι. Τὰ πρόσφατα πάντα, ἰσχὺν πλείονα παρέχεται τῶν ἄλλων διὰ τόδε, ὅτι ἐγγίον τοῦ ζῶντός ἐστι. τὰ δὲ ἕωλα καὶ σαπρὰ, διαχωρέει μᾶλλον τῶν προσφάτων, διότι ἐγγίον τῆς σηπεδόνος ἐστί. τὰ δὲ ὠμὰ τροφώδεα καὶ βρωμώδεά ἐστι, διότι δεῖ τῷ πυρὶ κατεργασθῆναι. ταῦτα ἡ κοιλίη διαπρήσσεται, ἀσθενεστέρα ἐοῦσα τῶν ἐσιόντων. τὰ δὲ ἐν τοῖσιν ὑποτρίμμασιν ὄψα σκευαζόμενα, καυσώδεα καὶ ὑγρὰ, ὅτι λιπαρὰ καὶ πυρώδεα, καὶ θερμὰ, καὶ ἀνομοίους τὰς δυνάμιας ἀλλήλοισιν ἔχοντα, ἐν τῷ αὐτέῳ ἵζει. τὰ δὲ ἐν ἅλμῃ, βελτίω καὶ οὐ καυσώδεα. Περὶ δὲ λουτρῶν, ὧδε ἔχει. ὕδωρ πότιμον, ὑγραίνει καὶ ψύχει. δίδωσι γὰρ τῷ σώματι ὑγρασίην. τὸ δὲ ἁλμυρὸν λουτρὸν, θερμαίνει καὶ ξηραίνει. φύσει γὰρ ἐὸν θερμὸν, ἕλκει ἀπὸ τοῦ σώματος τὸ ὑγρόν. τὰ δὲ θερμὰ λουτρὰ, νῆστιν μὲν, ἰσχναίνει καὶ ψύχει. φέρει γὰρ ἀπὸ τοῦ σώματος τὸ ὑγρὸν τῇ θερμασίῃ. κενουμένης δὲ τῆς σαρκὸς τοῦ ὑγροῦ, ψύχεται τὸ σῶμα. βεβρωκότα δὲ θερμαίνει καὶ ὑγραίνει.

διαχέοντα τὰ ὑπάρχοντα ἐν τῷ σώματι, εἰς πλείονα ὄγκον. ψυχρὰ δὲ λουτρὰ, τοὐναντίον. κενῷ μὲν τῷ σώματι, δίδωσι θερμόν τι ψυχρὸν ἐόν. βεβρωκότι δὲ, ἀφαιρέεται ὑγροῦ ἐόντος. καὶ πληροῖ ψυχρὸν ἐὸν τοῦ ὑπάρχοντος ξηροῦ. Ἀλουσίη ξηραίνει, καταναλισκομένου τοῦ ὑγροῦ. ὡσαύτως δὴ καὶ ἡ ἀναλειψίη. λίπη δὲ, θερμαίνει καὶ ὑγραίνει, καὶ μαλάσσει. Ἥλιος δὲ καὶ πῦρ, ξηραίνει διὰ τάδε. θερμὰ ἐόντα καὶ ξηρὰ, ἕλκει ἐκ τοῦ σώματος τὸ ὑγρόν. Σκιὰ δὲ καὶ ψύχεα, τὰ μέτρια ὑγραίνει. διδῶσι γὰρ μᾶλλον, ἢ λαμβάνει. Ἱδρῶτες πάντες ἀπιόντες, καὶ ξηραίνουσι καὶ ἰσχναίνουσιν, ἐκλείποντος τοῦ ὑγροῦ ἐκ τοῦ σώματος. Λαγνείη, ἰσχναίνει, καὶ ὑγραίνει, καὶ θερμαίνει. θερμαίνει μὲν, διὰ τὸν πόνον καὶ τὴν ἀπόκρισιν τοῦ ὑγροῦ. ἰσχναίνει δὲ, διὰ τὴν κένωσιν. ὑγραίνει δὲ, διὰ τὸ ὑπολειπόμενον ἐν τῷ σώματι τῆς συντήξιος ἀπὸ τοῦ πόνου. Ἔμετοι, ἰσχναίνουσι διὰ τὴν κένωσιν τῆς τροφῆς. οὐ μέντοι ξηραίνουσιν, ἢν μή τις τῇ ὑστεραίῃ θεραπεύῃ ὀρθῶς, ἀλλ' ὑγραίνουσι διὰ τὴν πλήρωσιν, καὶ διὰ τὴν σύντηξιν τῆς σαρκὸς τὴν ἀπὸ τοῦ πόνου. ἢν δέ τις ἐάσῃ ταῦτα καταναλωθῆναι τῇ ὑστεραίῃ ἐς τὴν τροφὴν τῷ θερμῷ καὶ τῇ διαίτῃ, ἡσύχως προσάγει, ξηραίνουσι. κοιλίην δὲ συνεστηκυῖαν, λύει ἔμετος. καὶ διαχωροῦσαν μᾶλλον τοῦ καιροῦ ἵστησι. τὴν μὲν, διυγραίνων. τὴν δὲ, ξηραίνων. ὁκόταν μὲν οὖν στῆσαι βούληται τὴν ταχίστην, φαγόντα, χρὴ ἐξεμέειν πρὶν ἂν διυγρανθῆναι τὸ σῖτον, καὶ καταπεφθῆναι κάτω, καὶ τοῖσι στρυφνοῖσι, καὶ τοῖσιν αὐστηροῖσι σιτίοισι μᾶλλον χρέεσθαι. ὁκόταν δὲ λῦσαι τὴν κοιλίην βούληται, ἐνδιατρίβειν ἐν τοῖσι σιτίοισιν ὡς πλεῖστον χρόνον ξυμφέρει, καὶ τοῖσι δριμέσι, καὶ ἁλμυροῖσι, καὶ λιπαροῖσι, καὶ γλυκέσι, καὶ τοῖσι σιτίοισι καὶ πόμασι χρέεσθαι. Ὕπνοι δὲ, νῆστιν μὲν ἰσχναίνουσι καὶ ψύχουσιν, ἢν μὴ μακροὶ ἔωσι, κενοῦντες τοῦ ὑπάρχοντος ὑγροῦ. ἢν δὲ μᾶλλον, ἐκθερμαίνοντες, συντήκουσι τὴν σάρκα. καὶ διαλύουσι, τὸ σῶμα διαχέοντες. καὶ ἀσθενὲς ποιέουσι. βεβρωκότα δὲ, θερμαίνοντες ὑγραίνουσι, τὴν τροφὴν ἐς τὸ σῶμα διαχέοντες. ἀπὸ δὲ τῶν ὀρθρίων περιπάτων ὕπνος, μάλιστα ξηραίνει. Ἀγρυπνίη δὲ, ἐν μὲν τοῖσι σιτίοισι βλάπτει, οὐκ ἐῶσα τὸ σιτίον τήκεσθαι. ἀσίτοισι δὲ, ἰσχναίνει μέν. βλάπτει δὲ, ἧσσον. Ῥᾳθυμίη, ὑγραίνει. καὶ ἀσθενὲς τὸ σῶμα ποιέει. ἀτρεμίζουσα γὰρ ἡ ψυχὴ, οὐκ ἀναλίσκει τὸ ὑγρὸν ἐκ τοῦ σώματος. Πόνος δὲ, ξηραίνει, καὶ τὸ σῶμα ἰσχυρὸν ποιέει. Μονοσιτίη, ἰσχναίνει, καὶ ξηραίνει, καὶ τὴν κοιλίην ἵστησι, διότι τῷ τῆς ψυχῆς θερμῷ, τὸ ὑγρὸν ἐκ τῆς κοιλίης καὶ τῆς σαρκὸς καταναλίσκεται. Ἄριστον δὲ, τἀναντία διαπρήσσεται τῇ μονοσιτίῃ. Ὕδωρ πόμα θερμὸν, ἰσχναίνει. ὡσαύτως δὲ καὶ ψυχρόν. τὸ δὲ ὑπερβάλλον ψυχρὸν καὶ πνεῦμα, καὶ τὸ σιτίον, καὶ τὸ ποτὸν, πήγνυσι τὸ ὑγρὸν τὸ ἐν τῷ σώματι, καὶ τὰς κοιλίας ξυνίστησι τῇ πήξει καὶ ψύξει. κρατέει γὰρ τοῦ τῆς ψυχῆς ὑγροῦ. καὶ τοῦ θερμοῦ δὲ πάλιν αἱ ὑπερβολαὶ, πηγνύουσι. καὶ τοσοῦτον, ὡς μὴ διάχυσιν ἔχειν. ὁκόσα δὲ θερμαίνοντα τὸ σῶμα τροφὴν μὴ διδόντα, κενοῖ τοῦ ὑγροῦ τὴν σάρκα, μὴ δ' ὑπερβολὴν ποιέοντα, ψύξιν τῷ ἀνθρώπῳ παραδίδωσι. κενουμένου γὰρ τοῦ ὑπάρχοντος ὑγροῦ, πνεύματος ὑπ' αὐτοῦ πληρούμενον ψύχεται. Περὶ δὲ τῶν πόνων ἣν τινα ἔχει δύναμιν, διηγήσομαι. εἰσὶ γὰρ οἱ μὲν, κατὰ φύσιν. οἱ δὲ, διὰ βίης. οἱ μὲν οὖν κατὰ φύσιν αὐτῶν εἰσιν, ὄψιος πόνος. ἀκοῆς. φωνῆς. μερίμνης. ὄψιος μὲν οὖν δύναμις τοιαύτη. προσέχουσα ψυχὴ τῷ ὁρεομένῳ, κινέεται καὶ θερμαίνεται. θερμαινομένη δὲ, ξηραίνεται κενωμένου τοῦ ὑγροῦ. διὰ δὲ τῆς ἀκοῆς ἐσπίπτοντος τοῦ ψόφου, σείεται ἡ ψυχὴ καὶ πονέει. πονέουσα δὲ, θερμαίνεται καὶ ξηραίνεται. ὁκόσα ἐν μερίμνῃ ἀνθρώποισι γίνεται, ἡ ψυχὴ καὶ ἀπὸ τουτέων θερμαίνεται καὶ ξηραίνεται. καὶ τὸ ὑγρὸν καταναλίσκουσα, πονέει καὶ λεπτύνει τὰς σάρκας καὶ κενοῖ τὸν ἄνθρωπον. ὁκόσοι δὲ πόνοι φωνῆς, οἷον λέξις, ἢ ἀνάγνωσις, ἢ ᾠδὴ, πάντες οὗτοι κινέουσι τὴν ψυχήν. κινουμένη δὲ, ξηραίνεται καὶ θερμαίνεται. καὶ τὸ ἐν τῷ σώματι ὑγρὸν καταναλίσκει. Οἱ δὲ περίπατοι κατὰ φύσιν μὲν εἰσὶ καὶ οὗτοι μάλιστα τῶν λοιπῶν. ἔχουσι δέ τι βίαιον. δύναμις δὲ αὐτέων, ἐστὶ τοιήδε. ὁ ἀπὸ δείπνου περίπατος, ξηραίνει τήν τε κοιλίην καὶ τὸ σῶμα καὶ τὴν γαστέρα, καὶ οὐκ ἐᾷ πιμελὴν γενέσθαι διὰ τάδε. κινουμένου τοῦ ἀνθρώπου, θερμαίνεται καὶ τὸ σῶμα καὶ τὰ σιτία. ἕλκει οὖν τὴν ἰκμάδα ἡ σὰρξ, καὶ οὐκ ἐᾷ πιμελὴν κοιλίην ξυνίστασθαι. τὸ μὲν οὖν σῶμα, πληροῦται. ἡ δὲ κοιλίη, λεπτύνεται. ξηραίνεται δὲ, διὰ τάδε. κινουμένου τοῦ σώματος καὶ θερμαινομένου, τὸ λεπτότατον τροφῆς καταναλίσκεται. τὸ μὲν, ἀπὸ τοῦ ξυμφύτου θερμοῦ. τὸ δὲ, σὺν τῷ πνεύματι ἀποκρίνεται ἔξω. τὸ δὲ, καὶ οὐρέεται. ἀπολείπεται δὲ τὸ ξηρότατον ἀπὸ τῶν σιτίων, ὥστε τὴν κοιλίην ἀποξηραίνεσθαι τὴν σάρκα. καὶ οἱ ὄρθριοι περίπατοι ἰσχναίνουσι. καὶ τὰ περὶ τὴν κεφαλὴν κοῦφα τὰ εὐπαγέα, καὶ εὐήκοα παρασκευάζουσι. καὶ τὴν κοιλίην λύουσιν. ἰσχναίνουσι μὲν, διότι κενούμενον τὸ σῶμα θερμαίνεται, καὶ τὸ ὑγρὸν λεπτύνεται καὶ καθαίρεται. τὸ μὲν, ἀπὸ τοῦ πνεύματος. τὸ δὲ, μύσσεταί τε καὶ χρέμπτεται. τὸ δ' ἐς τὴν τροφὴν, τῷ τῆς ψυχῆς θερμῷ καταναλίσκεται. τὴν δὲ κοιλίην λύουσι, διότι θερμὴ ἐοῦσα, τοῦ θερμοῦ πνεύματος ἐσπίπτοντος ἄνωθεν ὑποχωρέει τὸ θερμὸν τῷ ψυχρῷ. κοῦφα δὲ τὰ περὶ τὴν κεφαλὴν ποιέει, διὰ τάδε. ὅταν κενωθῇ ἡ κοιλίη, ἕλκει ἐς ἑωυτὴν ἐκ τοῦ ἄλλου σώματος καὶ τῆς κεφαλῆς τὸ ὑγρὸν, θερμὴ ἐοῦσα. κενουμένης δὲ τῆς κεφαλῆς, ἀποκαθαίρεται ἥ τε ὄψις καὶ ἡ ἀκοή. καὶ γίνονται εὐαγέες οἱ ἄνθρωποι. Οἱ δ' ἀπὸ τῶν γυμνασίων περίπατοι,

καθαρά τε τὰ σώματα παρασκευάζουσι. καὶ ἰσχναίνουσιν, οὐκ ἐῶντες τὴν σύντηξιν τῆς σαρκὸς, τὴν ἀπὸ τοῦ πόνου ξυνίστασθαι, ἀλλ' ἀποκαθαίρουσι. τῶν δὲ δρόμων γίνονται, οἱ μὲν μακροὶ καὶ καμπτοὶ, ἐξ ὀλίγου προσαγόμενοι, θερμαίνοντες τὴν σάρκα, συνεψεῖν καὶ διαχέειν δύνανται. καὶ τὴν δύναμιν τῶν σιτίων τὴν ἐν τῇ σαρκὶ καταπέσσουσι. βραδύτερά τε καὶ παχύτερα τὰ σώματα παρασκευάζουσι τῶν τροχῶν. τοῖσι δὲ τὰ πολλὰ ἐσθίουσι, ξυμφορώτεροι, καὶ χειμῶνος μᾶλλον, ἢ θέρεος. Οἱ δὲ ἐν ἱματίῳ δρόμοι, τὴν μὲν δύναμιν, τὴν αὐτὴν ἔχουσι. μᾶλλον δὲ, διαθερμαίνουσι, καὶ ὑγρότερα τὰ σώματα ποιέουσιν. ἀχροώτερα δὲ, διότι οὐκ ἀποκαθαίρει προσπίπτειν τὸ πνεῦμα τὸ εἰλικρινὲς, ἀλλ' ἐν τῷ αὐτῷ γυμνάζεται πνεύματι. συμφέρει οὖν καὶ τοῖσι ξηροῖσι καὶ τοῖσι πολυσάρκοισιν, ὅστις καθαιρεῖν τὴν σάρκα βούλεται, καὶ τοῖσι πρεσβυτέροισι διαψύχειν τοῦ σώματος. οἱ δὲ δίαυλοι καὶ ἤπειροι ἵπποι. τὴν μὲν σάρκα, ἧσσον διαχέονται. ἰσχναίνουσι δὲ μᾶλλον, διότι τοῖς ἔξω τῆς ψυχῆς μέρεσιν οἱ πόνοι ὄντες, ἀντισπῶσιν ἐκ τῆς σαρκὸς τὸ ὑγρὸν, καὶ τὸ σῶμα λεπτύνουσι καὶ ξηραίνουσιν. οἱ δὲ τροχοὶ, τὴν μὲν σάρκα ἥκιστα διαχέουσιν. ἰσχναίνουσι δὲ, καὶ διαστέλλουσι τὴν σάρκα καὶ τὴν κοιλίην, μάλιστα διότι ὀξυτάτῳ τῷ πνεύματι χρώμενοι, τάχιστα τὸ ὑγρὸν ἕλκουσιν ἐφ' ἑωυτούς. τὰ δὲ παρασείσματα, ξηραίνουσι μὲν ἐξαπίνης. οὐκ ἐπιτήδεια δὲ, καὶ ἀξύμφορα. σπάσματα γὰρ ἐμποιέεται, διὰ τόδε. διά τε θερμασμένον τὸ σῶμα, τὸ μὲν δέρμα, ἰσχυρῶς λεπτύνει. τὴν δὲ σάρκα, ἧσσον συνίστησι τῶν τροχῶν. κενοῖ δὲ τὴν σάρκα τοῦ ὑγροῦ. τὰ δὲ ἀνακινήματα καὶ ἀνακουφίσματα, τὴν μὲν σάρκα, ἥκιστα διαθερμαίνουσι. παροξύνει δὲ, τὸ σῶμα καὶ τὴν ψυχὴν, καὶ τοῦ πνεύματος κενοῦσι. πάλη δὲ καὶ τρῖψις. τοῖσιν ἔξω τοῦ σώματος, παρέχει μᾶλλον τὸν πόνον. θερμαίνει δὲ, τὴν σάρκα καὶ στερεοῖ, καὶ αὔξεσθαι ποιέει διὰ τόδε. τὰ μὲν στερεὰ φύσει τριβόμενα, συνίστησι. τὰ δὲ κοῖλα, αὔξεται. τῆς γοῦν σαρκὸς, τὸ μὲν πυκνὸν τριβόμενον, ξυνίσταται. τὰ δὲ κοῖλα, αὔξεται. καὶ ὁκόσαι φλέβες εἰσί. θερμαινόμεναι γὰρ αἱ σάρκες καὶ ξηραινόμεναι, ἕλκουσιν ἐφ' ἑωυτὰς τὴν τροφὴν διὰ τῶν φλεβῶν, εἶτα αὔξονται. ἀλίνδησις, παραπλήσια τῇ πάλῃ διαπρήσσεται. ξηραίνει δὲ μᾶλλον διὰ τὴν κόνιν καὶ σαρκοῖ ἧσσον. ἀκροχειρισμὸς ἰσχναίνει καὶ τὰς σάρκας ἕλκει ἄνω. καὶ κωρυκομαχίη καὶ χειρονομίη τὰ παραπλήσια διαπρήσσεται. πνεύματος δὲ κατάσχεσις, τοὺς πόρους διαναγκάζει, καὶ τὸ δέρμα λεπτῦναι, καὶ τὸ ὑγρὸν ἀπὸ τοῦ δέρματος ἐξωθέειν δύναται. ἐν κονίῃ καὶ ἐλαίῳ γυμνάσια διαφέρει τοσόνδε. κόνις μὲν, ψυχρόν. ἔλαιον δὲ, θερμόν. ἐν μὲν τῷ χειμῶνι τὸ ἔλαιον, αὐξιμώτερον, διότι τὸ ψῦχος κωλύει φέρεσθαι ἀπὸ τοῦ σώματος. ἐν δὲ τῷ θέρει, ἔλαιον ὑπερβολὴν θερμασίης ποιεύμενον, τήκει τὴν σάρκα. ὁκόταν καὶ ὑπὸ τῆς ὥρης θερμαίνηται, καὶ τοῦ ἐλαίου καὶ τοῦ πόνου. ἡ δὲ κόνις ἐν γυμνάζεται. ἐν δὲ τῷ θέρει αὐξιμωτέρη, ψύχουσα γὰρ τὸ σῶμα, οὐκ ἐᾷ εἰς ὑπερβολὴν θερμαίνεσθαι. ἐν δὲ τῷ χειμῶνι, διαψυκτικὴ καὶ κρυμώδης. διατρίβειν δὲ ἐν τῇ κόνει μετὰ τοὺς πόνους ἐν τῷ θέρει, ὀλίγον μὲν χρόνον, ὠφελέει ψύχουσα. πολὺν δὲ, ὑπερξηραίνει, καὶ τὰ σώματα σκληρὰ καὶ ξυλώδεα ἀποδεικνύει. τρῖψις ἐλαίου ξὺν ὕδατι μαλάσσει, καὶ οὐ δεινῶς ἐᾷ διαθερμαίνεσθαι. περὶ δὲ κόπων τῶν ἐν τοῖσι σώμασιν ἐγγινομένων, ὧδε ἔχει.

Οἱ μὲν ἀγύμναστοι τῶν ἀνθρώπων, ἀπὸ παντὸς κοπιῶσι πόνου. οὐδὲν γὰρ τοῦ σώματος διαπεπόνηται πρὸς οὐδένα πόνον. τὰ δὲ γεγυμνασμένα τῶν σωμάτων, ὑπὸ τῶν ἀηθέων πόνων κοπιᾷ. τὰ δὲ, καὶ ἀπὸ τῶν συνήθων γυμνασίων κοπιᾷ, ὑπερβολῇ χρησάμενα. τὰ μὲν οὖν εἴδεα τῶν κόπων, τοιαῦτά ἐστιν. ἡ δὲ δύναμις αὐτέων ὧδε ἔχει. οἱ μὲν γὰρ ἀγύμναστοι ὑγρὴν τὴν σάρκα ἔχοντες, ὁκόταν πονῶσι θερμαινομένου τοῦ σώματος, σύντηξιν πολλὴν ἀφιᾶσιν. ὅ, τι μὲν οὖν συνεξιδρώσῃ, ἢ ξὺν τῷ σώματι ἀποκαθαρθῇ, οὐ παρέχει πόνον μᾶλλον ἐν τῷ κενωθέντι τοῦ σώματος παρὰ τὸ ἔθος. ὅ, τι δ' ἂν ἐμμείνῃ τῆς ἀποκρίσιος, τοῦτο παρέχει τὸν πόνον, ἀλλὰ καὶ τῷ δεξαμένῳ τὸ ὑγρόν. οὐ γὰρ ἐστι ξύμφορον τῷ σώματι, ἀλλὰ πολέμιον. εἰς μὲν δὴ τὰς σάρκας τῶν σωμάτων, οὐ ξυνίσταται ὁμοίως, εἰς δὲ τὰ σαρκώδεα ὥστε τουτέοις πόνον παρέχει, ἕως ἂν ἐξέλθῃ. ἅτε δὴ οὐκ ἔχον περίοδον, ἀτρεμίζει. θερμαίνεταί τε καὶ τὰ προσπίπτοντα. ἢν μὲν οὖν πουλὺ γένηται τὸ ἀποκριθὲν, ἐκράτησε καὶ τοῦ ὑγιαίνοντος, ὥστε συνεκθερμαίνει ὅλον τὸ σῶμα καὶ ἐνεποίησε πυρετὸν ἰσχυρόν. θερμανθέντος γὰρ τοῦ αἵματος καὶ ἐπισπασθέντος, ταχεῖαν καὶ ἐποίησε τὴν περίοδον. τὰ ἐν τῷ σώματι καὶ τό, τε ἄλλο σῶμα καθαίρεται ὑπὸ τοῦ πνεύματος. καὶ τὸ συνεστηκὸς θερμαινόμενον, λεπτύνεταί τε, καὶ συνεξωθέεται ἐκ τῆς σαρκὸς ἔξω ὑπὸ τὸ δέρμα, ὅπερ ἱδρὼς καλέεται θερμός. τούτου δὲ ἀποκριθέντος, τό, τε αἷμα καθίσταται ἐς τὴν κατὰ φύσιν σύστασιν. καὶ ὁ πυρετὸς ἀνίησι, καὶ ὁ κόπος παύεται μάλιστα τριταῖος. χρὴ δὲ τὸν τοιοῦτον κόπον, ὧδε θεραπεύειν. πυρίῃσι καὶ λουτροῖσι θερμοῖσι διαλύοντα τὸ ξυνεστηκός. περιπάτοισι βιαίοισιν ὡς ἀποκαθαίρων, τοῖσιν ὀλιγοσιτίῃσι, καὶ ἰσχνασίῃσι, συνιστάναι τῆς σαρκὸς τὴν κένωσιν. καὶ τρίβεσθαι τῷ ἐλαίῳ ἡσυχῇ πουλὺν χρόνον, ὅκως μὴ βιαίως ἀναθερμαίνηται. καὶ τοῖσι χρίσμασι καὶ τοῖσιν ἱδρωτικοῖσι καὶ μαλακτικοῖσι χρίεσθαι, καὶ μαλακύνειν ξυμφέρει. τοῖσι δὲ γυμναζομένοισιν ὑπὸ τῶν ἀηθέων πόνων, διὰ τόδε γίνεται. ὁκόταν μὴ πεπονήκῃ τὸ σῶμα, ὑγρὴν ἀνάγκη τὴν σάρκα εἶναι πρὸς τοῦτον τὸν τόπον, πρὸς ὃν μὴ εἴθισται

μὴ εἴθισται πονέειν. ὥσπερ καὶ τῶν γυμνασίων, πρὸς ἥκιστα. τὴν μὲν οὖν σάρκα, ξυντήκεσθαι ἀνάγκη καὶ ἀποκρίνεσθαι καὶ συνίστασθαι ὥσπερ τῷ προτέρῳ. ξυμφέρει δὲ θεραπεύεσθαι ὧδε. τοῖσι μὲν γυμνασίοισι χρῆσθαι, τοῖσι συνήθεσιν, ὅκως τὸ ξυνεστηκὸς θερμαινόμενον λεπτύνηται καὶ ἀποκαθαίρηται, καὶ τὸ ἄλλο σῶμα μὴ ὑγραίνηται, μηδ' ἀγύμναστον γίνηται. τοῖσι δὲ λουτροῖσι τοῖσι θερμοῖσι ξυμφέρει καὶ τούτον χρέεσθαι. καὶ τῇ τρίψει ὁμοίως, ὡς καὶ τὸν πρόσθεν. τῆς δὲ πυριήσιος, οὐδὲν δέεται, οἱ πόνοι γὰρ ἱκανοὶ θερμαίνοντες, λεπτύνειν καὶ ἀποκαθαίρειν τὸ συστάν. οἱ δὲ ἀπὸ τῶν συνήθων γυμνασίων πόνοι, τόνδε τὸν τρόπον γίνονται. ἀπὸ μὲν συμμέτρου πόνου, κόπος οὐ κινέεται. ὁκόταν δὲ πλείων τοῦ καιροῦ πόνος ᾖ, ὑπερξηραίνει τὴν σάρκα. κενωθεῖσα δὲ τοῦ ὑγροῦ, θερμαίνεται, καὶ ἀλγεῖ, καὶ φρίσσει, καὶ ἐς πυρετὸν καθίσταται μακρότερον, ἢν μή τις ἐκθεραπεύσῃ ὀρθῶς. χρὴ δὲ πρῶτον μὲν αὐτῷ τῷ λουτρῷ, μὴ σφόδρα πολλῷ, μὴ δὲ θερμῷ ἄγαν λούεσθαι. εἶτα πίσας αὐτὸν ἐκ τοῦ λουτροῦ μαλακὸν οἶνον, δειπνεῖν ὡς πλεῖστα καὶ παντοδαπὰ σιτία, καὶ ποτῷ ὑδαρεῖ. οἴνῳ δὲ μαλακῷ χρέεσθαι πολλῷ. εἶτ' ἐντρίψαι χρόνῳ πλέῳ, μέχρις ἂν αἱ φλέβες πληρωθεῖσαι ἀρθῶσιν. εἶτα δὴ ἐξεμεέτω. καὶ ἀναστάντα ὀλίγον, καθεύδειν μαλακῶς. εἶτα προσάγειν ἡσυχῇ, τοῖσι σιτίοισι καὶ τοῖσι πόνοισι τοῖσι συνήθεσιν ἡμέρας ἕξ, ἐν ταύτῃσι δὲ καταστῆσαι ἐς τὸ σύνηθες καὶ σίτου καὶ ποτοῦ. δύναμιν δὲ ἔχει ἡ θεραπείη, τοιήνδε. ἐξηρασμένον τὸ σῶμα ἐς ὑπερβολὴν, ἐξυγρῆναι δύναται ἀτὰρ ὑπερβολῆς. ἢν μὲν οὖν ἡ δύναμις τὴν ὑπερβολὴν τοῦ πόνου γνῶναι ὁκόση τίς ἐστι τοῦ σίτου τῇ συμμετρίῃ ἀκέσασθαι, ὀρθῶς ἂν εἶχε τοῦτο. νῦν δὲ τὸ μὲν, ἀδύνατον. τὸ δὲ, ῥᾴδιον. ἐξηρασμένον γὰρ τὸ σῶμα τῶν ἐμπεσόντων παντοδαπῶν, ἀφ' ὧν λαμβάνει τὸ ξύμφορον αὐτὸ ἐν ἑωυτῷ, ἕκαστον τοῦ σώματος ἑκάστου σίτου. πληρωθὲν δὲ καὶ ὑγρανθὲν κενωθείσης τῆς κοιλίης ὑπὸ τοῦ ἐμέτου, ἀφίησι πάλιν τὴν ὑπερβολήν. ἡ δὲ κοιλίη κενὴ ἐοῦσα ἀντισπᾷ. τὸ μὲν οὖν ὑπερβάλλον ὑγρὸν, ἐξερεύγεται ἡ σάρξ. τὸ δὲ σύμμετρον, οὐκ ἀφίησιν, ἢν μὴ διὰ βίης, ἢ πόνων, ἢ φαρμάκων, ἢ ἄλλης τινὸς ἀντισπάσιος. τῇ δὲ προσαγωγῇ χρησάμενος, καταστήσει τῷ σώματι τὴν δίαιταν ἡσυχῇ.

ἹΠΠΟΚΡΆΤΟΥΣ ΔΙΑΙΤΗΤΙΚΌΣ ΤΡΊΤΟΣ.

Περὶ διαίτης ἀνθρωπίνης ὥσπερ μοι καὶ πρότερον εἴρηται, ξυγγράψαι μὲν οὐχ οἷόν τε ἐς ἀκριβείην, ὥστε πρὸς τὸ πλῆθος τοῦ σίτου, τὴν συμμετρίην ποιέεσθαι τῶν πόνων. πουλλὰ γὰρ τὰ κωλύοντα. πρῶτον μὲν αἱ φύσιες τῶν ἀνθρώπων, διάφοροι ἐοῦσαι. καὶ γὰρ αἱ ξηραὶ αὗται ἑωυτῶν πρὸς ἑωυτὰς, καὶ πρὸς ἄλλα μᾶλλον καὶ ἧσσον, ὑγραί. ὡσαύτως καὶ αἱ ἄλλαι πᾶσαι. ἔπειτα, καὶ αἱ ἡλικίαι, μὴ τῶν αὐτῶν δεόμεναι. ἔτι δὲ καὶ τῶν χωρίων, αἱ θέσιες. καὶ τῶν πνευμάτων, αἱ μεταβολαί. τῶν τε ὡρέων, αἱ μεταστάσιες. καὶ τοῦ ἐνιαυτοῦ, αἱ καταστάσιες. αὐτῶν τε τῶν σίτων, πολλὴ διαφορά. πυροί τε γὰρ, πυρῶν. καὶ οἶνος, οἴνου. καὶ τἆλλα ὅσα διαιτεόμεθα πάντα διάφορα ἐόντα, ἀποκωλύει δυνατὸν εἶναι ἐς ἀκριβείην ξυγγραφῆναι. ἀλλὰ γὰρ αἱ προγνώσιες ἐξευρηκέναι ἔμοιγε τῶν ἐπικρατεόντων ἐν τῷ σώματι, ἤν τε οἱ πόνοι κρατέωσι τῶν σιτίων, ἤν τε τὰ σιτία τῶν πόνων, καὶ ὡς χρὴ ἕκαστα ἐξακέεσθαι. προσκαταμανθάνειν τε ὑγιέας τὰς φύσιας, μὴ προσπελάζειν τε τὰς νόσους, εἰ μή τις μεγάλα πάνυ ἐξαμαρτάνοι, καὶ πολλάκις. ταῦτα δὲ φαρμάκων δέεται ἤδη. ἔστι δ' ἅσσα οὐδ' ὑπὸ τῶν φαρμάκων δύναται ὑγιάζεσθαι. ὡς μὲν οὖν δυνατὸν εὑρεθῆναι ἔπιστα τοῦ ἔργου, ἐμοὶ εὕρηται. τὸ δ' ἀκριβὲς, οὐδενί. πρῶτον μὲν οὖν τοῖσι πολλοῖσι τῶν ἀνθρώπων συγγράψω, ἐξ ὧν μάλιστα ἂν ὠφελοῖντο. οἵ τινες σιτίοισι προστυχοῦσι χρέονται. πόνοισί τε τοῖσιν ἀναγκαίοισιν, ὁδοιπορίῃσί τε τῇσι προσαναγκῃσι, θαλασσουργίῃσί τε τῇσι πρὸς τὴν συλλογὴν εὑρεθείσῃσι τοῦ βίου. θαλπόμενοί τε, παρὰ τὸ σύμφορον. ψυχόμενοί τε, παρὰ τὸ ὠφέλιμον, τῇ τε ἄλλῃ διαίτῃ ἀκαταστάτῳ χρεόμενοι. τούτοισι δὴ ξυμφέρει, ἐκ τῶν ὑπαρχόντων ὧδε διαιτᾶσθαι.

Τὸν μὲν ἐνιαυτὸν ἐς τέσσαρα μέρεα διαιρέουσιν. ἅπερ μάλιστα γινώσκουσιν οἱ πολλοί. χειμῶνα. ἦρα. θέρος. φθινόπωρον. καὶ χειμῶνα μὲν, ἀπὸ πλειάδων δύσιος, ἄχρι ἰσημερίης ἠαρινῆς. ἔαρ δὲ, ἀπὸ ἰσημερίης μέχρι πλειάδων ἐπιτολῆς. θέρος, ἀπὸ πλειάδων μέχρι ἀρκτούρου ἐπιτολῆς. φθινόπωρον δὲ, ἀπὸ ἀρκτούρου μέχρι πλειάδων δύσιος. ἐν μὲν οὖν τῷ χειμῶνι ξυμφέρει πρὸς τὴν ὥρην, ψυχρήν τε καὶ ξυνεστηκυῖαν ὑπεναντιεύμενον τοῖσι διαιτήμασιν, ὧδε χρέεσθαι. πρῶτον μὲν μονοσιτίῃσι χρὴ διάγειν, ἢν μὴ πάνυ ξηράν τις τὴν κοιλίην ἔχῃ. εἰ δὲ μὴ, μικρὸν ἀριστῇ. τοῖσι δὲ διαιτήμασι χρέεσθαι, τοῖσι ξηροῖσι καὶ αὐστηροῖσι. καὶ θερμαντικοῖσι. καὶ συγκομιστοῖσι. καὶ ἀκρήτοισιν. ἀρτοσιτέειν δὲ μᾶλλον, καὶ τοῖσιν ὀπτοῖσι τῶν ὄψων μᾶλλον, ἢ τοῖσι ἑφθοῖσιν χρέεσθαι. καὶ τοῖσι πόμασι μέλασιν ἀκρητεστέροισι, καὶ ἐλάσσοσι. λαχάνοισιν ὡς ἥκιστα, πλὴν τοῖσι θερμαντικοῖσι καὶ ξηροῖσι. καὶ χυλοῖσι καὶ ῥοφήμασιν ὡς ἥκιστα. τοῖσι δὲ πόνοισι πουλλοῖσιν ἅπασι, τοῖσί τε δρόμοισι καμπτοῖσιν ἐξ ὀλίγου προσάγοντα. καὶ τῇ πάλῃ ἐν ἐλαίῳ. μακρῇ, ἀπὸ κούφων προσαναγκάζοντα. τοῖσι μὲν περιπάτοισιν ἀπὸ τῶν γυμνασίων, ὀξέσιν. ἀπὸ δὲ τοῦ δείπνου, βραδέσιν ἐν ἀλέῃ. ὀρθοῖσί τε

πολλοῖσι δὲ ἐξ ὀλίγου ἀρχόμενον, προσάγοντα σφοδρόν. ἀποπαύονταί τε ἡσυχῇ, καὶ σκληροκοιτίῃσι, καὶ νυκτοβατίῃσι, καὶ κοινοβατίῃσι, καὶ κατὰ δρομέῃσι χρέεσθαι συμφέρει. πάντα γὰρ ταῦτα, ἰσχναίνει καὶ θερμαίνει. χρέεσθαί τε πλείω. ὁκόταν δὲ ἐθέλῃ λούεσθαι, ἢν μὲν ἐκπονήσῃ ἐν παλαίστρῃ, ψυχρὸν λούσθω. ἢν δὲ ἄλλῳ τινὶ πόνῳ χρήσηται, τὸ θερμὸν ξυμφορώτερον. χρέεσθαι δὲ καὶ τοῖσιν ἐμέτοισι. τοὺς μὲν ὑγροτέρους, τρεῖς τοῦ μηνός. τοὺς δὲ ξηροτέρους, δὶς ἀπὸ σιτίων παντοδαπῶν. ἐκ δὲ τῶν ἐμέτων, προσάγειν ἡσυχῇ πρὸς τὸ εἰθισμένον σιτίον, ἐς ἡμέρας τρεῖς. καὶ τοῖσι πόνοισι χρῆσθαι κουφοτέροισι καὶ ἐλάττοσι, τοῦτον τὸν χρόνον. ἀπὸ δὲ βοείων καὶ χοιρείων κρεῶν ἢ τῶν ἄλλων ὅ, τι ἂν ὑπερβάλλῃ πλησσόμενον, ἐμέειν. καὶ ἀπὸ τυρωδέων καὶ γλυκέων καὶ λιπαρῶν ἀηθέστων πλησμονῆς, ἐμέειν συμφέρει. καὶ ἀπὸ μέθης. καὶ σίτων μεταβολῆς. καὶ χωρίων μεταλλαγῆς, ἐμέειν. διδόναι δὲ καὶ τῷ ψύχει, καθαρὸν ἐὼν τὸ, πλὴν ἀπὸ τῶν σιτίων καὶ γυμνασίων. ἀλλ᾽ ἔν τε τοῖσιν ὀρθρείοισι περιπάτοισιν, ὁκόταν ἄρξηται τὸ σῶμα διαθερμαίνεσθαι, καὶ τοῖσι δρόμοισι, καὶ ἐν τῷ ἄλλῳ χρόνῳ ὑπερβολὴν φυλασσόμενος. ἀγαθὸν γὰρ τῷ σώματι χειμάζεσθαι ἢ γυμνάζεσθαι ἐν τῇ ὥρῃ. οὐδὲ γὰρ τὰ δένδρεα μὴ χειμασθέντα ἐν τῇ ὥρῃ δύναται καρπὸν φέρειν, οὐδ᾽ αὐτὰ ἐῤῥῶσθαι. χρέεσθαι δὲ καὶ τοῖσι πόνοισι πουλλοῖσι ταύτην τὴν ὥρην ἐς ὑπερβολὴν, ἢν μὴ οἱ κόποι ἐγγίνωνται. τοῦτο τεκμήριον διδάσκω τοὺς ἰδιώτας. διότι τάδε οὕτως ἔχει, φράσω. τῆς ὥρης οὔσης ψυχρῆς καὶ ἐστηκυίης, παραπλήσια πέπονθε καὶ τὰ ζῶα. βραδέως οὖν ἀνάγκη διαθερμαίνεσθαι τὰ σώματα ὑπὸ τοῦ πόνου. καὶ τοῦ ὑγροῦ μικρόν τι μέρος ἀποκρίνεσθαι τοῦ ὑπάρχοντος. εἶτα τοῦ χρόνου ὅν τινα μὲν πονέει, ἀποδέδοται ὀλίγος. ὅν τινα δὲ ἀναπαύεται, πουλύς. ἡ μὲν γὰρ ἡμέρη, βραχείη. ἡ δὲ νὺξ, μακρή. διὰ ταῦτα οὖν οὐκ ἔχει ὑπερβολὴν ὁ χρόνος καὶ ὁ πόνος. χρὴ οὖν διὰ ταῦτα τὴν ὥρην ταύτην οὕτω διαιτῆσθαι. ἀπὸ πλειάδων δύσιος μέχρις ἡλίου τροπῶν, ἡμέρας τεσσαράκοντα τέσσαρας. περὶ δὲ τὴν τροπὴν, ἐν φυλακῇ ὅτι μάλιστα εἶναι. καὶ ἀπὸ τροπῆς ἡλίου, ἄλλας τοσαύτας ἡμέρας, τῇ αὐτῇ διαίτῃ χρέεσθαι. ἔπειτα δὲ ἡ ὥρη ἐπανάγει τὸν ζέφυρον καὶ μαλακωτέρη γένηται, δεῖ καὶ τῇ διαίτῃ μετὰ τῆς ὥρης ἕπεσθαι, ἡμέρας πεντεκαίδεκα. ὅτε ἀρκτούρου ἐπιτολὴ καὶ χελιδὼν ἤδη φέρεται. τὸν ἐχόμενον δὲ χρόνον, ποικιλώτερον ἤδη ἄγειν μέχρις ἰσημερίης, ἡμέρας τριάκοντα δύο. χρὴ οὖν καὶ τοῖσι διαιτήμασι, χρέεσθαι τῇ ὥρῃ, διαποικίλλοντα φαυλοτέροισι καὶ κουφοτέροισι. τοῖσί τε σιτίοισι, καὶ τοῖσι ποτοῖσι, καὶ πόνοισι προσάγοντα ἡσυχῇ πρὸς τὸ ἔαρ.

Ὁκόταν δὲ ἰσημερίη γένηται ἤδη μαλακωτέρη, καὶ αἱ ἡμέραι μὲν, μακρότεραι. αἱ νύκτες δὲ, βραχύτεραι. καὶ ἡ ὥρη θερμή τε καὶ ξηρὴ καθίσταται, καὶ ἡ παρεοῦσα τροφμός τε καὶ ἄκρητος. δεῖ οὖν ὥσπερ τὰ δένδρεα παρασκευάζεται ἐν ταύτῃ τῇ ὥρῃ, αὐτοῖσιν ὠφελείην ἐς τὸ θέρος, οὐκ ἔχοντα γνώμην, αὔξησίν τε καὶ σκιὴν, οὕτω καὶ τὸν ἄνθρωπον. ἐπεὶ γὰρ γνώμην ἔχει, τῆς σαρκὸς τὴν αὔξησιν δεῖ ὑγιηρὴν αὐτὴν παρασκευάζειν. χρὴ οὖν, ὡς μὴ ἐξαπίνης τὴν δίαιταν μεταβάλλειν, διελεῖν τὸν χρόνον ἐς μέρεα ἕξ, κατὰ ὀκτὼ ἡμέρας. ἐν γοῦν τῇ πρώτῃ μοίρῃ, χρὴ τῶν τε πόνων ἀφαιρέειν, καὶ τοῖσι λοιποῖσι ὀξυτέροισι χρέεσθαι. τοῖσι δὲ σιτίοισι, μαλακωτέροισί τε, καὶ πόμασιν ὑδαρεστέροισι, καὶ λευκοτέροισι. καὶ τῇ πάλῃ σὺν ἐλαίῳ ἐν τῷ ἡλίῳ χρέεσθαι. ἐν ἑκάστῃ δὲ τῇ ὥρῃ, ἕκαστα τῶν διαιτημάτων μεθιστάναι κατὰ μικρόν. καὶ τῶν περιπάτων ἀφαιρέειν, τῶν ἀπὸ τοῦ δείπνου, τοὺς πλείους. τῶν δὲ ὀρθρείων, ἐλάττους. καὶ τῆς μάζης ἀντὶ τῶν ἄρτων προστίθεσθαι. καὶ τῶν λαχάνων τῶν ἑφθῶν προσάγειν. καὶ τὰ ὄψα ἀνισάζειν τὰ ἑφθὰ τοῖσιν ὀπτοῖσι. λουτροῖσί τε χρέεσθαι καὶ ἐναριστῆν μικρόν. ἀφροδισίοισί τε ἐλάττοσι, καὶ τοῖσιν ἐμέτοισι. τὸ μὲν πρῶτον ἐκ τῶν δύο ποιέεσθαι. εἶτα διὰ πλείονος χρόνου. ὅκως ἂν καταστήσῃ τε τὸ σῶμα σεσαρκωμένον καθαρῇ σαρκί. καὶ τὴν δίαιταν μαλακὴν ἐν τουτέῳ τῷ χρόνῳ, μέχρι πλειάδων ἐπιτολῆς. Ἐν τούτῳ, θέρος, καὶ τὴν δίαιταν ἤδη χρὴ πρὸς τοῦτο ποιέεσθαι. χρὴ οὖν ἐπειδὰν πλειὰς ἐπιτείλῃ, τοῖσί τε σιτίοισι μαλακωτέροισι καὶ ἐλάττοσι χρέεσθαι. εἶτα τῇ μάζῃ πλεῖον, ἢ τῷ ἄρτῳ. ταύτῃ δὲ προφυρητῇ ἀτριπτοτέρῃ. τοῖσι δὲ πόμασι, μαλακοῖσι. λευκοῖσιν. ὑδαρέσιν. ἀρίστῳ δὲ, ὀλίγῳ. καὶ ὕπνοισιν ἀπὸ τοῦ ἀρίστου, βραχέσι. καὶ πλησμονῇσιν ὡς ἥκιστα. τῶν σιτίων τε καὶ ποτῶν. ἱκανῶς δὲ τῷ σίτῳ χρέεσθαι. διημερίης δὲ ὡς ἥκιστα πίνειν, ἢν μὴ ἀναγκαίῃ τινὶ ξηρασίῃ τὸ σῶμα χρήσηται. χρέεσθαι δὲ, τοῖσι λαχάνοισι τοῖσιν ἑφθοῖσι, πλὴν τῶν καυσωδέων καὶ ξηρῶν. χρέεσθαι δὲ καὶ τοῖσιν ὠμοῖσι, πλὴν τῶν θερμαντικῶν καὶ ξηρῶν. ἐμέτοισι δὲ, ἢν μή τις πλησμονὴ ἐγγένηται, μὴ χρέεσθαι. τοῖσι δὲ ἀφροδισίοισιν, ὡς ἥκιστα. λουτροῖσι δὲ, χλιαροῖσι χρέεσθαι.

Ἡ δὲ ὀπώρη, ἰσχυροτέρη τῆς ἀνθρωπίνης φύσιος. βέλτιον οὖν, ὀπωρῶν ἀπέχεσθαι. εἰ δὲ χρῷτό τις, μετὰ τῶν σιτίων χρεόμενος, ἥκιστ᾽ ἂν ἐξαμαρτάνοι. τοῖσί τε πόνοισι τοῖσί τε δρόμοισι, χρὴ γυμνάζεσθαι. καὶ διαύλοισιν ὀλίγοισι πολλῷ χρόνον. καὶ τοῖσι περιπάτοισιν ἐν σκιῇ. τῇ τε πάλῃ, ἐν κόνει, ὅκως ἥκιστα ἐκθερμαίνηται. ἡ γὰρ ἀλίνδησις βέλτιον, ἢ οἱ δρόμοι. ψύχουσι γὰρ τὸ σῶμα, κενοῦντες τοῦ ὑγροῦ. ἀπὸ δείπνου τε μὴ περιπατέειν, ἀλλ᾽ ἢ ὅσον ἐξαναστῆναι. πρωῒ δὲ χρέεσθαι τοῖσι περιπάτοισιν. ἡλίους δὲ φυλάσσειν καὶ τὰ ψύχεα, τά τε ἐν τῷ πρωῒ, καὶ τὰ ἐν τῇ ἑσπέρῃ, ὁκόσα ποταμοὶ ἢ λίμναι, ἢ χιόνες ἀποπνέουσι. ταύτῃ δὲ τῇ

διαίτῃ

διαίτῃ προσανεχέσθω, μέχρις ἡλίου τροπέων. ὅκως ἐν τουτέῳ τῷ χρόνῳ, ἀφαιρέῃ πάντα, ὁκόσα ξηρὰ, καὶ θερμὰ, καὶ μέλανα, καὶ ἄκρητα, καὶ τοὺς ἄρτους, πλὴν ἔτι μικρὸν ἡδονῆς παρέχειν εἵνεκα. τὸν ἐχόμενον δὲ χρόνον διαιτῆσθαι τοῖσι μαλακοῖσι, καὶ ὑγροῖσι, καὶ ψυκτικοῖσι, καὶ λευκοῖσι, μέχρις ἀρκτούρου ἐπιτολῆς καὶ ἰσημερίης, ἡμέρας ἐνενήκοντα τρεῖς. Ἀπὸ δὲ ἰσημερίης, ὧδε χρὴ διαιτέεσθαι, προσάγοντα πρὸς τὸν χειμῶνα ἐν τῷ φθινοπώρῳ. φυλασσόμενον τὰς μεταβολὰς τῶν ψυχέων, καὶ τῆς ἀλέης ἐσθῆτι παχείῃ. χρέεσθαι δὲ ἐν τουτέῳ τῷ χρόνῳ, ἐν ἱματίῳ περικινέειν τῇ τε τρίψει καὶ τῇ πάλῃ, ἐν ἐλαίῳ ἡσυχῇ προσάγοντα. καὶ τοὺς περιπάτους ποιέεσθαι ἐν ἀλέῃ. θερμολουσίῃ τε χρέεσθαι καὶ τοὺς ἡμερινοὺς ὕπνους ἀφαιρέειν. καὶ τοῖσι σιτίοισι θερμοτέροισι, καὶ ἧσσον ὑγροῖσι καὶ καθαροῖσι. καὶ τοῖσι πόμασι μελαντέροισι, μαλακοῖσι δὲ καὶ μὴ ὑδαρέσι. τοῖσί τε λαχάνοισιν ἧσσον. τῇ τε ἄλλῃ διαίτῃ προσάγειν πάσῃ τῶν θερινῶν ἀφαιρεόμενον. τοῖσι χειμερίοισι χρέεσθαι μὴ ἐς ἄκρον. ὅκως καταστήσῃ ὡς ἔγγιστα τῆς χειμερινῆς διαίτης. ἐν ἡμέρῃσι δυοῖν δεούσαιν ἢ πεντήκοντα μέχρι πλειάδων δύσιος ἀπὸ ἰσημερίης.

Ταῦτα μὲν παραινέω τῷ πλήθει τῶν ἀνθρώπων, ὁκόσοισιν ἐξ ἀνάγκης εἰκῆ τὸν βίον διατελέειν ἐστί. μὴ δ᾽ ὑπάρχειν αὐτέοισι τῶν ἄλλων ἀμελήσαντας τῆς ἑαυτῶν ὑγιείης ἐπιμελέεσθαι. οἷσι δὲ τοῦτο παρεσκεύασται καὶ διέγνωσται, ὅτι οὐδὲ ὄφελός ἐστιν, οὔτε χρημάτων, οὔτε σώματος, οὔτε τῶν ἄλλων οὐδενὸς, ἄτερ τῆς ὑγιείης, πρὸς τουτέους ἐστί μοι δίαιτα ἐξευρημένη, ὡς ἀνυστὸν πρὸς τὸ ἀληθέστατον τῶν δυνατῶν προσηγμένη. ταύτην μὲν οὖν προϊόντι τῷ λόγῳ, δηλώσω. τόδε δὲ τὸ ἐξεύρημα, καλὸν μὲν, ἐμοὶ τῷ εὑρόντι. ὠφέλιμον δὲ, τοῖσι μαθοῦσιν. οὐδεὶς δέ κω τῶν πρότερον, οὐδὲ ἐπεχείρησε ξυνθεῖναι, ὃ πρὸς ἅπαντα τὰ ἄλλα πολλοῦ κρίνω εἶναι ἄξιον. ἔστι δὲ προδιάγνωσις μὲν πρὸ τοῦ κάμνειν, διάγνωσις τῶν σωμάτων, τί πέπονθε. πότερον τὸ σιτίον κρατέει τοὺς πόνους, ἢ οἱ πόνοι τὰ σιτία. ἢ μετρίως ἔχει πρὸς ἄλληλα. ἀπὸ μὲν γὰρ τοῦ κρατέεσθαι, ὁκότερον οὖν νοῦσοι ἐγγίνονται. ἀπὸ δὲ τοῦ ἰσάζειν πρὸς ἄλληλα, ὑγιείη πρόσεστιν. ἤδη ταῦτα δὴ τὰ εἴδεα ἐπέξειμι, καὶ δείξω ὁκοῖα γίνεται τοῖσιν ἀνθρώποισιν ὑγιαίνειν δοκέουσι, καὶ ἐσθίουσί τε ἡδέως. πονέειν τε δυναμένοισι. καὶ σώματος καὶ χρώματος, ἱκανῶς ἔχουσιν. αἱ ῥῖνες ἄτερ προφάσιος φανερῆς, ἐμπλήσσονται ἀπὸ τοῦ δείπνου. καὶ δοκέουσι μὲν, πλήρεες εἶναι. μύσσονται δὲ, οὐδέν. ὁκόταν δὲ περιπατέειν ἄρξωνται τοῦ ὄρθρου καὶ γυμνάζεσθαι, τότε μύσσονται καὶ πτύουσι. καὶ προϊόντος τοῦ χρόνου, καὶ τὰ βλέφαρα βαρέα ἴσχουσι. καὶ τὸ μέτωπον ξυσμὴν λαμβάνει. τῶν τε σίτων ἀπέχονται. καὶ πίνειν ἧσσον δύνανται. ἀχροίη τε τουτέοισιν ἡ χροιὴ γίνεται. καὶ ἢ κατάῤῥοοι κινέονται, ἢ πυρετοὶ φρικώδεες, καθ᾽ ὅτι ἂν τύχῃ τοῦ χρόνου ἡ πλησμονὴ κινηθεῖσα. ὅτι δ᾽ ἂν τύχῃ ποιήσας κατὰ τοῦτον τὸν καιρὸν, τοῦτο αἰτιῆται οὐκ αἴτιον ἐόν. τουτέῳ γὰρ κρατεῦνται τὰ σιτία τοὺς πόνους, κατὰ μικρὸν ξυλλεγομένη ἡ πλησμονὴ, ἐς νοῦσον ἤγαγεν. ἀλλ᾽ οὐ χρὴ προϊέσθαι μέχρι τουτέου, ἀλλ᾽ ὁκόταν γνῷ τὰ πρῶτα τῶν τεκμηρίων, εἰδέναι ὅ, τι κρατέει τὰ σιτία τοὺς πόνους κατὰ μικρὸν ξυλλεγόμενα, πλησμονή ἐστι. μύξαι γὰρ καὶ σίελα, πλησμονῆς ἐστι κρίσις. ἀτρεμίζοντος μὲν δὴ τοῦ σώματος, φράσσουσι τοὺς πόρους τοῦ πνεύματος, πουλλῆς ἐούσης τῆς πλησμονῆς. θερμαινόμενον δὲ ὑπὸ τοῦ πόνου, ἀποκρίνεται λεπτυνόμενον. χρὴ δὲ τὸν τοιοῦτον ἐκθεραπευθῆναι ὧδε. διαπονήσαντα ἐν τοῖσι γυμνασίοισι τοῖσιν εἰθισμένοισιν ἀκόπως, θερμῷ λουσάμενον. σιτίζεσθαι παντοδαποῖσι, καὶ ποιῆσαι ἐμέσαι. ἐκ δὲ τοῦ ἐμέτου, κλύζειν τὸ στόμα καὶ τὴν φάρυγγα οἴνῳ αὐστηρῷ, ὅκως ἂν συστυφῇ τὰ στόματα τῶν φλεβῶν, καὶ μηδὲν ἐπικατασπασθῇ, ὁκοῖα γίνεται ἀπὸ ἐμέτων. εἶτα ἀναστὰς, περιπατησάτω ἐν ἀλέῃ ὀλίγα. ἐς δὲ τὴν ὑστεραίην, τοῖσι μὲν περιπάτοισι, χρέεσθαι. τοῖσι δὲ γυμνασίοισιν, ἐλάσσοσι καὶ κουφοτέροισιν ἢ πρόσθεν. καὶ ἀνάριστος διαγέτω ἢν θέρος ᾖ. ἢν δὲ μὴ θέρος ᾖ, μικρὸν ἐπιφαγέτω. καὶ τοῦ δείπνου ἀφελεῖν τὸ ἥμισυ, οὗ ἤθελε δειπνέειν. τῇ δὲ τρίτῃ τοὺς μὲν πόνους ἀποδότω τοὺς εἰθισμένους πάντας καὶ τοὺς περιπάτους. τοῖσι δὲ σιτίοισι προσαγέτω ἡσυχῇ, ὅκως τῇ πέμπτῃ ἀπὸ τοῦ ἐμέτου κομιεῖται τὸ σιτίον τὸ εἰθισμένον. κἢν μὲν ἀπὸ τουτέου ἱκανῶς ἔχῃ, θεραπευέσθω τὰ ἐπίλοιπα. τοῖσι μὲν σιτίοισιν, ἐλάσσοσι. τοῖσι δὲ πόνοισι, πλείοσιν. ἢν δὲ μὴ καθεστήκῃ τὰ τεκμήρια τῆς πλησμονῆς, διαλιπὼν δύο ἡμέρας ἀφ᾽ ἧς ἐκομίσατο τὰ σιτία, ἐμεσάτω πάλιν, καὶ προσαγέτω κατὰ τὰ αὐτά. ἢν δὲ μὴ καὶ ἐκ τρίτου, μέχρις ἂν ἀπαλλαγῇ τῆς πλησμονῆς. εἰσὶ δέ τινες τῶν ἀνθρώπων, οἵτινες ὁκόταν κρατέωνται οἱ πόνοι, ἀπὸ τῶν σιτίων τοιαῦτα πάσχουσιν. ἀρχομένης μὲν τῆς πλησμονῆς, ὕπνοι μακροὶ καὶ ἡδέες αὐτοῖσιν ἐπιγίνονται, καὶ ἤδη τῆς ἡμέρης ἐπικοιμῶνται. ὁ δὲ ὕπνος γίνεται τῆς σαρκὸς, καὶ χεῖται τὸ αἷμα, καὶ γαληνίζει διαχεόμενον τὸ πνεῦμα. ὁκόταν δὲ μὴ δέχηται ἔτι τὸ σῶμα τὴν πλησμονὴν, ἀπόκρισιν ἤδη ἀφίησιν ἔσω ὑπὸ βίης τῆς περιόδου, ἥ τις ὑπεναντιουμένη τῇ τροφῇ, τῇ ἀπὸ τῶν σιτίων, ταράσσει τὴν ψυχήν. οὐκ ἔτι κατὰ τοῦτον τὸν χρόνον ἡδεῖς οἱ ὕπνοι, ἀλλ᾽ ἀνάγκη ταράσσεσθαι τὸν ἄνθρωπον, καὶ δοκέει μάχεσθαι. ὁκοῖα γὰρ τινὰ πάσχει τὸ σῶμα, τοιαῦτα ὁρῇ ἡ ψυχὴ, κρυπτομένης τῆς ὄψιος. ὁκόταν οὖν ἐς τοῦτο ἥκῃ ὁ ἄνθρωπος, ἐγγὺς ἤδη τοῦ κάμνειν ἐστίν. ὅτι δὲ ἥξει τὸ νούσημα, μάλα δῆλον. ὁκοῖα γὰρ ἂν ἔλθῃ ἀπόκρισις, καὶ ὅτου ἂν κρατήσῃ, τοῦτο ἐνόσησεν. ἀλλ᾽ οὐ χρὴ προέσθαι τὸν

ἀφρονέονται. ἀλλ' ὁκόταν ἐπιγνῷ τῶν τεκμηρίων τὰ πρῶτα, τῆς θεραπείης ἔχεσθαι. καὶ δὴ τοῦτον ὥσπερ τὸν πρότερον ἐκθεραπευθῆναι. πλείονος δὲ χρόνου καὶ λιμοκτονίης δέεται. ἔστι δὲ καὶ τοιάδε τὰ τεκμήρια πλησμονῆς. ἀλγέει τὸ σῶμα. οἷς μὲν, ἅπαν. οἷς δὲ, μέρος τι τοῦ σώματος, ὅ, τι ἂν τύχῃ. τὸ δὲ ἄλγος ἐστὶν, ὁκοῖον κόπος, καὶ δοκέουσι κοπιᾷν. ῥαθυμίησί τε καὶ πλησμονῇσι θεραπεύονται μέχρις αὖ ἐς πυρετὸν ἀφικνῶνται. καὶ οὐδέ πω οὐδὲ τοῦτο γινώσκουσιν, ἀλλὰ λουτροῖσί τε καὶ σιτίοισι χρησάμενοι, ἐς περιπλευμονίην κατέστησαν τὸ νόσημα. καὶ ἐς κίνδυνον τὸν ἔσχατον ἀφικνέονται. ἀλλὰ χρὴ προμηθέεσθαι πρὶν αὖ ἐς τὰς νόσους ἀφικνέωνται, καὶ θεραπεύεσθαι τῷδε τῷ τρόπῳ. μάλιστα μὲν πυριηθέντα μαλακῇσι πυρίῃσι τὸ αὐτόν. εἰ δὲ μὴ λουσάμενον πολλῷ καὶ θερμῷ, διαλύσαντα τὸ σῶμα, ὡς μάλιστα χρησάμενον τοῖσι σιτίοισι, πρῶτον μὲν τοῖσι δριμέσι καὶ πλείστοισιν. εἶτα τοῖσιν ἁλυκοῖσιν, ἐξεμέσαι εὖ. καὶ ἐξαναστάντα περιπατῆσαι ὀλίγον χρόνον ἐν ἀλέῃ. ἔπειτα καταδαρθεῖν. πρωῒ δὲ τοῖσι περιπάτοισιν ἐξ ὀλίγου προσάγοντα χρέεσθαι, καὶ τοῖσι γυμνασίοισι κούφοισι, καὶ τῇσι προσαγωγῇσι καθάπερ καὶ τὸ πρότερον. ἰσχνασίης δὲ τοῦτο πλείστης δέεται καὶ περιπάτων. ἢν δὲ μὴ προνοηθεὶς ἐς πυρετὸν ἀφίκηται, προσφέρειν μηδὲν ἄλλο, ἀλλ' ἢ ὕδωρ ἡμερέων τριῶν. ἢν μὲν οὖν ἐν ταύτῃσι παύσηται. εἰ δὲ μὴ, πτισσάνης χυλῷ θεραπεύεσθαι. καὶ ἢ τεταρταῖος ἢ ἑβδομαῖος ἐκστήσεται, εἰ ἐξισχύσει. ἀγαθὸν δὲ τοῖσι χείσμασι χρέεσθαι τοῖσιν ἱδρωτικοῖσιν, ὑπὸ τὰς κρίσιας, ἐξαναγκάζουσι δέ. πάσχουσι δέ τινες καὶ τοιάδε ἀπὸ πλησμονῆς. τὴν κεφαλὴν ἀλγέει καὶ βαρύνεται. καὶ τὰ βλέφαρα πίπτει αὐτέοισιν ἀπὸ τοῦ δείπνου. ἔν τε τοῖς ὕπνοις ταράσσονται καὶ δοκέει θέρμη ἐνεῖναι. ἥ, τε κοιλίη ἐφίσταται ἐνίοτε. ὁκόταν δὲ ἀφροδισιάσῃ, δοκέει κουφότερος εἶναι ἐς τὸ παραυτίκα. ἐξ ὑστέρου δὲ μᾶλλον βαρύνεται. τούτοισιν ἡ κεφαλὴ τὴν πλησμονὴν ἀντισπῶσα, τήν τε κοιλίην ἐφίστησι, καὶ αὐτὴ βαρύνεται. κίνδυνοι δὲ ὑποκέονται, ὁκόταν αὖ ἔργῃ ἡ πλησμονὴ τοῦτο διαφθείρει. ἀλλὰ χρὴ προμηθέεσθαι ὧδε. ἢν βούληται τὴν θεραπείην ταχίην ποιέεσθαι ἐλλεβόρῳ καθαρθῆναι. εἶτα προσάγειν τοῖσι σιτίοισι κούφοισι καὶ μαλακοῖσιν, εἰς ἡμέρας δέκα. τοῖσι δὲ σιτίοισι διαχωρητικοῖσιν, ὅκως κρατήσῃ ἡ κάτω κοιλίη, τὴν κεφαλὴν τὴν κάτω ἀντισπάσασα. καὶ τοῖσιν δρόμοισι βραχέσι, καὶ τοῖσιν ὀρθίοισι, καὶ τοῖσι περιπάτοισιν ἱκανοῖσι. τῇ τε ἐν ἐλαίῳ πάλῃ ἀρίστῳ τε χρέεσθαι, καὶ ὕπνῳ ἀπὸ τοῦ ἀρίστου οὐ μακρῷ. ἀπὸ τοῦ δείπνου δὲ, ὁκόταν ἐξαναστῆναι ἱκανόν. καὶ τὸ μὲν λούεσθαι, τὸ δὲ χρίεσθαι. λούεσθαι δὲ χλιαρῷ. λαγνείης δὲ ἀπέχεσθαι. αὕτη μὲν ἡ ταχυτέρη θεραπείη. εἰ δὲ μὴ βούλοιτο φαρμακοποτέειν λουσάμενον πολλῷ, ἐμέσαι ἐκ σιτίων γλυκέων καὶ ἁλυκῶν. ἐξ ἐμέτου δὲ, ὅσον ἐξαναστῆναι. πρωῒ δὲ, τοῖσι περιπάτοισι προσάγειν. καὶ τοῖσι γυμνασίοισι τοῖσι προγεγραμμένοισιν, ἐς ἡμέρας ἕξ. τῇ δὲ ἑβδόμῃ πλησμονὴν προσθέντα, ἔμετον ποιήσασθαι, ἀπὸ τῶν ὁμοίων σιτίων. καὶ προσάγειν κατὰ τὸ αὐτό. χρέεσθαι δὲ τούτοισιν, ἐπὶ τέσσαρας ἑβδομάδας. μάλιστα γὰρ ἐν τοσούτῳ χρόνῳ καθίσταται. εἶτα προσάγειν ὅκως τὸ σῶμα κομίσηται. καθιστάναι δὲ τὴν δίαιταν, ἐς τὸ συνήθες κατὰ μικρόν. γίνεται δὲ καὶ τοιάδε ἀπὸ πλησμονῆς. ὁκόσοισι μὲν ἡ κοιλίη κατὰ πέψει τὸ σιτίον, αἱ δὲ σάρκες μὴ δέχονται. ἐμμένουσα δὲ ἡ τροφὴ, φῦσαν ἐμποιέει. ὁκόταν δὲ ἀριστήσῃ καθίσταται. ὑπὸ γὰρ τοῦ ἰσχυροτέρου, τὸ κουφότερον ἐξελαύνεται, καὶ δοκέουσιν ἀπηλλάχθαι. τὸ δὲ πολὺ πλέον, ἐς τὴν ὑστεραίην παραγίνεται. ὁκόταν δὲ καθ' ἡμέρην ἑκάστην αὐξανόμενον ἰσχυρὸν γένηται, ἐκράτησε τὸ ὑπάρχον τοῦ ἐπεισενεχθέντος, καὶ ἐξεθέρμηνε καὶ ἐτάραξεν αὖ τὸ σῶμα καὶ ἐποίησε διάῤῥοιην. τοῦτο γὰρ ὀνομάζεται, ἕως ἂν αὕτη μούνη σαπεῖσα ἡ τροφὴ ὑποχωρέει. ὁκόταν δὲ θερμαινομένου τοῦ σώματος κάθαρσις δριμέα γένηται, τό, τε ἔντερον ξύεται καὶ ἑλκοῦται, καὶ διαχωρέεται αἱματώδεα. τοῦτο δὲ δυσεντερίη καλέεται. νοῦσος χαλεπή τε καὶ ἐπικίνδυνος. ἀλλὰ χρὴ προμηθέεσθαι, καὶ τὸ ἄριστον ἀφαιρέεσθαι. καὶ τοῦ δείπνου τὸ τρίτον μέρος. τοῖσι δὲ δρόμοισι πλείοσι, καὶ τῇσι πάλῃσι καὶ τοῖσι περιπάτοισι χρέεσθαι, ἀπό τε τῶν γυμνασίων καὶ ὄρθρου. ὁκόταν δὴ περ αἱ δέκα γίνωνται. προσθεῖναι τοῦ σίτου τὸ ἥμισυ τοῦ ἀφαιρεθέντος. καὶ ἔμετον ποιήσασθαι, καὶ προσαγαγεῖν ἐς ἡμέρας τέσσαρας. ὁκόταν δὲ ἄλλη δεκὰς γένηται, τόν τε σῖτον τὸν λοιπὸν προσθέσθαι, καὶ ἔμετον ποιήσασθαι. καὶ προσάγων πρὸς τὸν σῖτον, ὑγιέα ποιήσεις ἐν τούτῳ τῷ χρόνῳ. τοῖσι δὲ πόνοισι θαῤῥέειν τὸν τοιοῦτον πιέζων. Γίνεται δὲ καὶ τοιάδε πλησμονή. ἐς τὴν ὑστεραίην τὸν σῖτον ἐρυγγάνεται ὠμὸν, ἄτερ ὀξυρεγμίης. ἢν δὲ ἡ κοιλίη διαχωρέῃ, ἐλάσσω μὲν, ἢ πρὸς τὰ σιτία. ὅμως δὲ ἱκανῶς. πόνος δὲ οὐδεὶς ἐπιγίνεται, τουτέοισιν ἡ κοιλίη ψυχρὴ ἐοῦσα, οὐ δύναται κατὰ πέσσειν τὰ σιτία ἐν τῇ νυκτί. ὁκόταν γοῦν κινηθῇ, ἐρυγγάνεται τὸν σῖτον ὠμόν. δεῖ οὖν τούτῳ παρασκευάσαι τῇ κοιλίῃ θερμασίην, ἀπό τε τῆς διαίτης ἀπό τε τῶν πόνων. καὶ πρῶτον μὲν οὖν χρὴ, ἄρτῳ συγκομιστῷ χρέεσθαι ζυμίτῃ. διαθρυπτόντα δὲ ἐς οἶνον μέλανα, ἢ ἐς ζωμὸν ὑείων κρεῶν. τοῖσι δὲ ἰχθύσιν ἑφθοῖσιν ἐν ἅλμῃ δριμείῃ. χρέεσθαι μὲν καὶ τοῖσι σαρκώδεσιν, οἷ ἀκροκωλίοισί τε δίεφθοισι, τοῖσιν ὑοῖσιν πλείοσι. καὶ τοῖσι ὑείοισιν ἑφθοῖσι. τοῖσί τε χοιρείοισι μὴ πολλοῖσι, καὶ σκυλάκων, καὶ ὀρνίθων. λαχάνοισι δὲ, πράσοισί τε καὶ σκορόδοισιν ἑφθοῖσι καὶ ὠμοῖσι. βλίτῳ τε ἑφθῷ καὶ κολοκύντῃ. πόμασί τε ἀκρητεστέροισιν. ὕπνοισί τε μακροῖσιν, ἀναριστίῃσι τὴν πρώτην. ὕπνοισί τε ἀπὸ τῶν γυμνασίων, τοῖσί τε δρόμοισι καμπτοῖσιν ἐξ ὀλίγου, προσάγειν τε πάλην μαλακὴν ἐν ἐλαίῳ. λουτροῖσί τε ὀλίγοισι. χρίσμασι πλείοσι. τοῖσί τε πρωῒ περιπάτοισι πλείοσιν. ἀπὸ δείπνου τε ὀλίγοισι. καὶ τὸ σῦκον μετὰ τῶν σιτίων ἀγαθόν. ἄκρητόν τε

ἐπ' αὐτῷ.

ἐπ' αὐτῷ. ἐκ δὲ ταύτης τῆς θεραπείης καθίσταται τοῖσι μὲν θᾶσσον, τοῖσι δὲ βραδύτερον. Ἄλλοι δέ τινες τοιάδε πάσχουσιν. ἀχροοῦσι τὴν ὄψιν. καὶ ὁκόταν φάγωσιν, ἐρυγγάνουσιν ὀλίγον ὕστερον ὀξέα. καὶ ἐς τὰς ῥῖνας ἀναδίδει τὸ ὀξύ. τούτοισι τὰ σώματα, οὐ καθαρά ἐστιν. ὑπό τε τοῦ πόνου, πλεῖον τὸ συντηκόμενον τῆς σαρκὸς, ἢ τὸ ἀποκαθαιρόμενον ὑπὸ τῆς περιόδου. ἐμμένον δὴ τοῦτο, ἐναντιοῦται τῇ τροφῇ, καὶ βιάζεται, καὶ ἀποξύνει. ἡ μὲν οὖν τροφὴ, ἐρυγγάνεται. αὐτὸ δὲ ὑπὸ τοῦ δέρματος ἐξωθέεται, καὶ τῷ ἀνθρώπῳ ἀχροίαν ἐμποιέει, καὶ νόσους ὑδρωποειδέας ἀφικνοῖσκει. ἀλλὰ χρὴ προμηθέεσθαι ὧδε. ἡ μὲν οὖν ταχυτέρη θεραπείη, ἐλλέβορον πίσαντα προσάγειν, ὥσπερ γέγραπταί μοι. ἡ δὲ ἀσφαλεστέρη, ὑπὸ τῆς διαίτης, ὧδε. πρῶτον μὲν λουσάμενον θερμῷ, ἔμετον ποιήσασθαι. εἶτα προσάγειν ἡμέρας ἀπὸ τοῦ ἐμέτου, ἑπτὰ, τὸ σιτίον τὸ εἰθισμένον. ὀγδόῃ δὲ ἡμέρῃ ἀπὸ τοῦ ἐμέτου, αὖθις ἐμεέτω. καὶ προσαγέτω κατὰ τὸ αὐτό. καὶ τὸ τρίτον ὡσαύτως ποιησάτω. καὶ δρόμους τοῖσι μὲν τροχοῖσιν ὀλίγοισι, καὶ ὀξέσι. καὶ ἐν κινήμασι καὶ ἐν τρίψει. καὶ ἐν διατριβῇ πολλῇ χρήσθω ἐν τῷ γυμνασίῳ. καὶ ἀλινδήσει χρεέσθω τοῖσι περιπάτοισι πολλοῖσιν, ἀπὸ τῶν γυμνασίων, ἀλλὰ μὴν καὶ ἀπὸ τοῦ δείπνου. πλείστοισι δὲ τοῖσιν ὀρθρίοισιν ἐκκεκονιωμένοισι χρεέσθω. ὁκόταν δὲ λούεσθαι θέλῃ, θερμῷ λουέσθω. ἀναριστος δὲ διατελεέτω τοῦτον τὸν χρόνον. καὶ ἢν μὲν ἐν μηνὶ καθιστῶνται, θεραπευέσθω τὸ λοιπὸν τοῖσι προσήκουσιν. ἢν δέ τι ὑπόλοιπον ᾖ, χρεέσθω τῇ θεραπείῃ. εἰσὶ δέ τινες οἷσιν ἐς τὴν ὑστεραίην ὀξυρεγμίαι γίνονται, τούτοισιν ἐν τῇ νυκτὶ ἡ ἀπόκρισις ὑπὸ τῆς πλησμονῆς γίνεται. ὁκόταν γοῦν κινηθῇ ἐκ τοῦ ὕπνου τὸ σῶμα, πυκνοτέρῳ τῷ πνεύματι χρησάμενον, βιάζεται ἔξω σὺν τῷ πνεύματι, θερμόν τε καὶ ὀξύ. ἐκ τούτου νόσοι γίνονται. καὶ ἢν μή τις προμηθέηται χρέεται, ξυμφέρει δὲ καὶ τούτοισιν ὡς καὶ τῷ προτέρῳ ποιήσασθαι. τοῖσι δὲ πόνοισι, πλείοσι χρὴ τούτους χρέεσθαι.

Γίνεται δέ τισι καὶ τοιάδε. ἐν τοῖσι πυκνοσάρκοισι τῶν σωμάτων, ὅταν τὰ σιτία διαθερμαίνηται, καὶ διαχέηται, καὶ ἀπὸ πρώτου ὕπνου θερμαινομένης τῆς σαρκὸς, ὑπό τε τῶν σιτίων διὰ τὸν ὕπνον ἀπόκρισις γίνεται ἀπὸ τῆς σαρκὸς πουλλὴ ὑγρασίη. εἶτα τὴν μὲν τροφὴν ἡ σὰρξ οὐ δέχεται, πυκνὴ ἐοῦσα. τὸ δὲ ἀπὸ τῆς σαρκὸς ἀποκριθὲν, ἐναντιούμενον τῇ τροφῇ καὶ βιαζόμενον ἔξω, πνίγει τὸν ἄνθρωπον, καὶ θερμαίνει, μέχρις αὖ ἐξεμέσῃ. ἔπειτα κουφότερος ἐγένετο. πόνος δὲ οὐδεὶς ἐν τῷ σώματι φανερός. ἀχροία δὲ αὐτῷ ἔνεστι. προϊόντος δὲ τοῦ χρόνου, πόνοι τε γίνονται καὶ νόσοι, πάσχουσι δὲ τούτοισι παραπλήσια. καὶ ὁκόσοι ἀγύμναστοι ἐόντες, ἐξαπίνης πονήσαντες, συντήξιν τῆς σαρκὸς βιαίαν καὶ πουλλὴν ἐποίησαν. χρὴ δὲ τοὺς τοιούτους, ὧδε θεραπεύειν. ἀφελεῖν τῶν σίτων, τὸ τρίτον μέρος. τοῖσι δὲ σίτοισι χρέεσθαι, τοῖσι δριμέσι. καὶ ξηροῖσι. καὶ αὐστηροῖσι. καὶ εὐώδεσι. καὶ οὐρητικοῖσι. τοῖσι δὲ δρόμοισι, τοῖσι μὲν πλείστοισι καμπτοῖσιν, ἐν ἱματίῳ. γυμνοῖσι δὲ τοῖσι διαύλοισι καὶ τοῖσι τροχοῖσι. τρίψεσι δὲ καὶ πάλῃ ὀλίγῃ. ἀκροχειρισμοῖσιν, ἀκροχειρίῃ ἕξις, πλὴν κωρυκομαχίη, ξυμφορώτερον. τοῖσι δὲ περιπάτοισιν ἀπὸ τῶν γυμνασίων, πουλλοῖσι. καὶ τοῖσι δι' ὄρθρου. καὶ ἀπὸ δείπνου δὲ ὁ τῆς φωνῆς πόνος, μάλα ἐπιτήδειος. κενώσαι γὰρ τοῦ ὑγροῦ ποιούμενος, ἀραιοῖ τὴν σάρκα. ξυμφέρει δὲ ἀναριστον διάγειν. χρέεσθαι δὲ τοῖσι σιτίοισιν, ἐν ἡμέρῃσι δέκα. εἶτα προστίθεσθαι τὸ ἥμισυ τοῦ ἀφαιρεθέντος ἐς ἡμέρας ἕξ. καὶ ἔμετον ποιήσασθαι, ἑκάστου ἐμέτου προσάγειν ἐς ἡμέρας τέσσαρας τὸ σιτίον. ὅταν δὲ ἡμέραι δέκα γένωνται ἀπὸ τοῦ ἐμέτου, κομισάσθω τὸ ἀφαιρεθὲν σιτίον ἅπαν. τοῖσι δὲ πόνοισι καὶ τοῖσι περιπάτοισι προσεχέτω καὶ ὑγιὴς ἔσται. ἡ δὲ τοιαύτη φύσις, πόνου πλείονος δέεται ἢ σίτου. Ἑτέρη πλησμονή. Πάσχουσι δέ τινες καὶ τοιάδε. διαχωρέει τὸ σιτίον αὐτέοισι, ὑγρὸν ἄπεπτον. οἷ ἐκ λιεντερίης. καὶ πόνον οὐδένα παρέχει. πάσχουσι δὲ τοῦτο μάλιστα αἱ κοιλίαι, ὅσαι ὑγραὶ καὶ ψυχραί εἰσι. διὰ μὲν τὴν ψυχρότητα, οὐ ξυνέψει. διὰ δὲ ὑγρότητα, διαχωρέει. τὸ οὖν σῶμα ψύχει, τροφὴν οὐ λαμβάνον τὴν προσήκουσαν. αἵ τε κοιλίαι διαφθείρονται, ἐς νόσους τε ἐμπίπτουσιν. ἀλλὰ χρὴ προμηθέεσθαι. ξυμφέρει δὲ τούτῳ, τῶν μὲν σιτίων ἀφελεῖν τὸ τρίτον μέρος. ἔστω δὲ τὰ σιτία, ἄρτοι ἄζυμοι συγκομιστοὶ. κλιβανῖται. ἢ ἐγκρυφίαι, θερμοὶ ἐς οἶνον αὐστηρὸν ἐμβαπτόμενοι, καὶ τῶν ἰχθύων τὰ νωτιαῖα, καὶ οὐραῖα. τὰ δὲ κεφάλαια καὶ ὑπογάστρια, ἐᾷν ὡς ὑγρότερα. καὶ τοὺς μὲν ἑφθοὺς, ἐν ἅλμῃ ἐσθίειν. τοὺς δὲ ὀπτοὺς, ἐν ὄξει. καὶ τοῖσι κρέασι τεταριχευμένοισιν, ἐν ἁλσὶ καὶ ὄξει. καὶ τοῖσι χωνίοισιν ὀπτοῖσι. καὶ ἀπὸ φάττης καὶ τῶν λοιπῶν τοιούτων ὀρνίθων, ὀπτοῖσι καὶ ἑφθοῖσι. λαχάνοισι δὲ ὡς ἥκιστα. οἴνῳ μέλανι, καὶ τοῖσι περιπάτοισιν. ἀπὸ δὲ τοῦ δείπνου, καὶ τοῖσιν ὀρθρίοισιν ἐκ τοῦ περιπάτου, κοιμᾶσθαι. δρόμοισι δὲ καμπτοῖσιν ἐκ προσαντοῦς γῆς. ἔστω δὲ καὶ τρίψις πολλή. καὶ πάλη βραχείη, καὶ ἐν τῷ ἐλαίῳ καὶ ἐν τῇ κόνει, ὅκως διαθερμαινομένη ἡ σὰρξ, ἀποξηραίνηταί τε, καὶ τὸ ὑγρὸν ἐκ τῆς κοιλίης ἀντισπᾷ. ἀλείφεσθαι δὲ ξυμφέρει μᾶλλον, ἢ λούεσθαι. ἀναριστος δὲ διαγέτω. ὅταν δὲ γένωνται ἡμέραι ἑπτὰ, προσθέσθω τὸ ἥμισυ τοῦ σίτου. καὶ προσαγέσθω εἰς τέσσαρας ἡμέρας τὸν σῖτον. τῇ δὲ ἄλλῃ ἑβδόμῃ, κομισάσθω ἅπαν τὸ σιτίον. καὶ ἔμετον πάλιν ποιησάμενος, προσαγέσθω κατὰ ταῦτα. ἄλλοισι δέ τισι γίνεται τοιάδε. τὸ διαχώρημα, ἄσηπτον διαχωρέει. καὶ τὸ σῶμα ψύχεται τῶν σίτων οὐκ ἐπαυρισκόμενον. οὗτοι δὲ προϊόντος τοῦ χρόνου, ἐμπίπτουσιν ἐς τὰς νόσους. τούτοισιν αἱ κοιλίαι, ψυχραὶ καὶ ξηραί. ὁκόταν γοῦν, μήτε σίτοισι προσήκουσι χρέωνται, μήτε γυμνασίοισι, πάσχουσι ταῦτα. ξυμφέρει δὲ τῷ τοιούτῳ,

ἄρτοισί τε καθαροῖσιν ἰπνίτοισι χρέεσθαι. καὶ τοῖσιν ἰχθύσιν ἑφθοῖσιν ὑποτρίμμασι. καὶ κρέασιν ἑφθοῖσιν ὑείοισιν. καὶ τοῖσιν ἀκροκωλίοισι διεφθοῖσι. καὶ τοῖσι πλείστοισιν ὀπτοῖσι καὶ τῶν δριμέων καὶ τῶν ἁλυκῶν. τοῖσιν ὑγραίνουσι καὶ τοῖσιν ἁλμυροῖσιν. οἴνοισι δὲ, μέλασι μαλακοῖσι. καὶ τῶν βοτρύων καὶ τῶν σύκων ἐμφορεῖσθαι, ἐν τε τοῖσι σιτίοισι. χρὴ δὲ καὶ ἀναριστῆν μικρόν. τοῖσι δὲ γυμνασίοισι, πλείοσι χρέεσθαι, δρόμοισι καμπτοῖσιν ἐκ προσαγωγῆς. ὑστάτοισι δὲ τροχοῖσι. καὶ μετὰ τὸν δρόμον, πάλῃσιν ἐλαίῳ. περιπάτοισι δὲ μὴ πουλλοῖσιν ἀπὸ τῶν γυμνασίων. ἀπὸ δὲ ὕπνου, ὅσον ἐξαναστῆναι. ὀρθρίοισι δὲ πλείοσι περιπάτοισι χρῆσθαι. λουέσθω δὲ θερμῷ. χρεέσθω δὲ πόνοισι καὶ χρίσμασιν. ὕπνον δὲ πλείονα διδότω, καὶ μαλακευνείτω. χρὴ δὲ καὶ ἀφροδισιάσαι τι. τῶν δὲ σίτων ἀφελεῖν τὸ τέταρτον μέρος, ἐν ἡμέρῃσι δέκα. καὶ προσάγειν αὐτὸν πρὸς τὰ σιτία. εἰσὶ δέ τινες, οἷσι τὸ διαχώρημα ὑγρὸν διαχωρέει καὶ σεσηπός. τοῖσι δὲ ἄλλως ὑγιαίνουσι καὶ γυμναζομένοισιν, οὐδὲ πόνον παρέχει. οἱ δέ τινες, ἀποκλείονται τῶν προσηκόντων, προϊόντος δὲ τοῦ χρόνου, τὰς σάρκας ἐπισπᾶται τῇ θερμασίῃ ἡ κοιλίη. καὶ πόνον δὴ παρέχει. καὶ τῶν σιτίων ἀποκλείονται. ἥ τε κοιλίη ἐξελκοῦται. στῆσαι δὲ χαλεπὸν ἤδη γίνεται αὐτήν. ἀλλὰ χρὴ πρότερον προμηθέεσθαι γνόντα τὴν κοιλίην θερμὴν, καὶ ὑγρὴν παρὰ τὸ προσῆκον. πόνων τε ὑπερβολὴν, ἀξυμφόρων γεγενημένην. τῇ οὖν διαίτῃ, χρὴ ψύξαι καὶ ξηρᾶναι. καὶ πρῶτον μὲν τὰ ἡμίσεα γυμνάσια ἀφελεῖν. καὶ τῶν σιτίων, τὸ τρίτον μέρος. χρήσθω δὲ μάζῃ προφυρητῇ τριπτῇ. καὶ τοῖσιν ἰχθύσι, τοῖσι ξηροτάτοισιν ἑφθοῖσι. καὶ μήτε λιπαροῖσι, μήτε ἁλμυροῖσι. χρήσθω δὲ καὶ ὀπτοῖσι κρέασι, τοῖσιν ὀρνιθίοισιν. ἑφθοῖσι μὲν, φάσσης, περιστερῆς. ὀπτοῖσι δὲ, περδίκων καὶ ἀλεκτρυόνων, αὐτολύτοισι. λαγῴοισι δὲ, ἑφθοῖσιν ἐν ὕδατι. καὶ τοῖσιν ἀγρίοισιν ἅπασι. λαχάνοισι δὲ, ὅσα ψυκτικά, οἷς τοῖσι πλείστοισι καθεφθοῖσιν ὀξυροῖσιν. οἴνῳ δὲ μέλανι αὐστηρῷ. γυμνασίοισι δὲ, τροχοῖσιν ὀξέσιν. ἀλλὰ τρίψις μὴ πολλὴ προσαγέσθω ἀλλ᾽ ὀλίγη, μὴ δὲ πάλη. ἀκροχείρησις καὶ χειρονομίη, καὶ κωρυκομαχίη, καὶ ἀλίνδησις ἐπιτήδεια, ἀλλὰ μὴ πολλή. τοῖσι δὲ περιπάτοισι καὶ ἀπὸ τοῦ γυμνασίου χρήσθω ἱκανοῖσι κατὰ τὸν πόνον. καὶ ἀπὸ τοῦ δείπνου, πλείοσι κατὰ τὰ σιτία. καὶ πρωΐ, ξυμμέτρως πρὸς τὴν ἕξιν. λουέσθω δὲ χλιαρῷ, καὶ ἀφεμεέτω. οὕτω διαιτηθεὶς ἡμέρας δέκα, προσθέσθω τοῦ τε σιτίου τὸ ἥμισυ, καὶ τῶν πόνων τὸ τρίτον μέρος. καὶ ἔμετον ποιησάσθω, ἀπὸ σιτίων ξηρῶν καὶ στρυφνῶν. καὶ μὴ διατριβέτω ἐν τῷ σίτῳ, ἀλλὰ τὴν ταχίστην ἐμείτω. ἐκ δὲ τοῦ ἐμέτου, προσαγέσθω εἰς ἡμέρας τέσσαρας τὸ σιτίον καὶ τὸν πόνον μερίζων. ὅταν δὲ ἡ δυὰς τῶν ἡμερέων γένηται, προσθέσθω τὸν σῖτον λοιπὸν, καὶ τῶν οἴνων τὸ πότιμον, πλὴν τῶν πόνων ἐνδεέστερον. καὶ ἔμετον ποιησάμενος, προσαγέτω καθάπερ γέγραπται. μονοσιτέειν δὲ τοῦτον τὸν χρόνον ξυμφέρει μέχρις ἂν καταστήσῃ. Ἄλλοισι δέ τισι, ξηρόν τι καὶ διακεκαυμένον τὸ διαχώρημα γίνεται. καὶ τὸ στόμα ξηρόν. προϊόντος δὲ τοῦ χρόνου, καὶ πικρὸν γίνεται. καὶ ἡ κοιλίη ἵσταται, καὶ ἡ οὔρησις. ὅταν γὰρ μὴ ἔχῃ τὸ ἔντερον ὑγρασίην, περὶ τὸν ἀπόπατον περιοιδήσαντι, ἀποφράσσει τὰς διεξόδους. ὀδύνην τε παρέχει. καὶ θέρμη λαμβάνει. καὶ ὅ, τι ἂν πίῃ ἢ φάγῃ, ἐξεμέει. τελευτῶν δὲ καὶ κόπρον ἐμέει. οὗτος ὁ βιώσιμος, ὅταν ἐς τοῦτο ἔλθῃ. ἀλλὰ χρὴ πρότερον προμηθέεσθαι, * γινώσκοντα ὅτι ξηρῇ ἡ θέρμη κρατέεται ὁ ἄνθρωπος. διαιτῆσθαι οὖν χρὴ αὐτὸν, τῇ τε μάζῃ προφυρητῇ ξανθῇ, καὶ ἄρτῳ σπανίων πυρῶν, τῷ χυλῷ τῶν πιτύρων ἐξυμωμένῳ. λαχάνοισί τε χρῆσθαι, πλὴν τῶν δριμέων καὶ ξηρῶν, καὶ ἑψανοῖσι. καὶ τῶν ἰχθύων τοῖσι κουφοτάτοισιν ἑφθοῖσι. καὶ τοῖσι κεφαλαίοισι τῶν τε ἰχθύων καὶ καράβων, μυσὶ καὶ ἐχίνοισι, καὶ τοῖσι σαρκίνοισι, καὶ τῶν κογχυλίων, τοῖσι χυλοῖσι, καὶ αὐτοῖσι τοῖσιν ὑγροτάτοισι. κρέασι δὲ τοῖσιν ὑείοισιν, ἀκροκωλίοισιν ἐμπροσθίοισιν ἑφθοῖσιν. καὶ ἐρίφων καὶ ἀρνῶν καὶ σκυλάκων ἑφθοῖσιν. ἰχθύων δὲ, τοῖσι ποταμίοισι καὶ λιμναίοισιν ἑφθοῖσιν, οἴνῳ μαλακῷ, ὑδαρεῖ. τοῖσι δὲ πόνοισι μὴ πολλοῖσι, μὴ δὲ παχέσι, ἀλλ᾽ ἡσύχοισι πᾶσι. τοῖσι δὲ περιπάτοισι. πρωΐ μὲν χρήσθω, πρὸς τὴν ἕξιν ἱκανοῖσι, καὶ ἀπὸ γυμνασίων πόνων ξυμμέτροισιν. ἀπὸ δείπνου δὲ, μὴ περιπατείτω. λουτροῖσι δὲ χρήσθω, καὶ ὕπνοισι μαλακοῖσι, καὶ ἀριστῶ. ὕπνῳ τε μετὰ τὸ ἄριστον, οὐ μακρῷ. ὀπώρῃ τε τῇ ὑγραινούσῃ, μετὰ τῶν σιτίων χρήσθω. καὶ τοῖσιν ἐρεβίνθοισι τοῖσι χλωροῖσι καὶ ξηροῖσι βρέξας ἐν ὕδατι. ἀφελέσθω δὲ τῶν πόνων τῶν πρόσθεν τοὺς ἡμίσεας. καὶ οὕτως ἐξ ἀρχῆς, καὶ ἔμετον ποιησάσθω ἀπὸ γλυκέων καὶ λιπαρῶν καὶ ἁλμυρῶν καὶ πλειόνων. ἐνδιατριβέτω δὲ τέως πλεῖστον χρόνον ἐν τοῖσι σιτίοισι πρὸς τοὺς ἐμέτους. εἶτα προσαγέτω τὸ σιτίον εἰς ἡμέρας τρεῖς. καὶ μὴ μενέτω ἀνάριστος. ὁκόταν δὲ ἡμέραι δέκα γένωνται τῶν πόνων, προσαγέτω πλείονα. κἢν μὲν οὖν ἡ πλησμονὴ ἐν ἀπὸ τοῦ σιτίου ἢ τῆς κοιλίης πλημμέλεια, ἐμεσάτω. ἢν δὲ μὴ, οὕτω θεραπευέσθω τὸν ἐπίλοιπον χρόνον. γίνεται δὲ καὶ τοιάδε. φρῖκαι ἀπὸ τῶν περιπάτων ἐπιγίνονται τοῦ ὄρθρου. καὶ τὴν κεφαλὴν βαρύνεται. τούτῳ πλείονες οἱ περίπατοι τῆς ξυμμετρίας. κενούμενον γὰρ τὸ σῶμα καὶ ἡ κεφαλὴ τοῦ ὑγροῦ, φρίσσει καὶ βαρύνεται. προϊόντος δὲ τοῦ χρόνου, ἐς πυρετὸν ἀφικνέεται φρικώδεα. ἀλλ᾽ οὐ χρὴ προϊέσθαι. ἀλλ᾽ ἐκθεραπεύεσθαι πρότερον ὧδε. ὅταν γένηται τάχιστα τῶν τεκμηρίων τινὰ χρησάμενον, καὶ ἀναριψάμενον ὀλίγα, τὸ ἄριστον ποιήσασθαι πλεῖον τοῦ εἰθισμένου. καὶ πιεῖν ἱκανὸν, οἶνον μαλακὸν, εἶτα ὕπνῳ χρήσασθαι ἀπὸ τοῦ ἀρίστου ἱκανῶς. ἐς τὴν ἑσπέρην δὲ κούφοισι χρησάμενον γυμνασίοισι

θερμοῖσι λουσάμενον, δειπνῆσαι τὸ ἠθισμένον. περιπάτοισι δὲ μὴ χρῆσθαι ἀπὸ δείπνου. διατρίβειν δὲ χρόνον. τῇ δὲ ὑστεραίῃ ἀφελέσθω ἐν τῷ ὕδατι. ἐν ὕπνοισί τε μαλακοῖσι διαγέσθω. ἡμέρῃσι δὲ πέντε, τοὺς προσαγέσθω κατὰ μικρόν. εἰσὶ δέ τινες οἳ φρίσσουσιν ἐκ τῶν γυμνασίων. καὶ ἐπειδὰν ἐκλύηται μέχρις ἂν διαπονήσηται. ὅταν δὲ ψύχηται, πάλιν φρίσσει. βρυγμός τε τὸ σῶμα ἔχει. ὑπνώσσει τε. ὅταν δὲ ἐξέγρηται, χασμᾶται πολλάκις. ἐκ δὲ τοῦ δείπνου, τὰ βλέφαρα βαρέα αὐτῷ. προϊόντος δὲ τοῦ χρόνου, καὶ πυρετοὶ ἐπιγίνονται φαῦλοι. φυλάσσεσθαι οὖν χρὴ, μὴ προϊέσθαι ἐς τοῦτο, ἀλλὰ θεραπεύεσθαι πρότερον ὧδε. πρῶτον μὲν τῶν γυμνασίων ἀφελέσθω πάντων τὰ ἡμίσεα. τοῖσι δὲ σιτίοισιν ἅπασι χρήσθω. ὑγροτέροισι δὲ καὶ ψυχροτέροισι. καὶ τοῖσι πόμασι μαλακωτέροισι καὶ ὑδαρεστέροισιν. ὅταν δὲ παρέλθωσιν ἡμέραι πέντε, τῶν πόνων προσθέσθω τὸ τρίτον μέρος τῶν ἀφαιρεθέντων. τοῖσι δὲ σιτίοισι χρήσθω τοῖσιν αὐτοῖσι. πέμπτῃ δὲ ἡμέρῃ ἄλλῃ, τοὺς ἡμίσεας τῶν λοιπῶν πόνων προσθέσθω. αὖθις δὲ πέμπτῃ, μετὰ τοῦτο ἀπόδος τοὺς πόνους πάντας, καὶ κουφοτέρους τε καὶ ἐλάσσονας, ὡς μὴ πάλιν ὑπερβολὴ γένηται. τοῖσι γὰρ πάσχουσι ταῦτα τὰ τεκμήρια, οἱ πόνοι κρέσσους εἰσὶ τῶν σιτίων. ἀνισάζειν οὖν χρή. ἐνίοι δὲ, οὐ ταῦτα πάσχουσιν. ἀλλὰ τὰ μὲν. τὰ δ᾽ οὔ. πάντων δὲ τουτέων τῶν τεκμηρίων, οἱ πόνοι κρατέουσι τῶν σιτίων. καὶ ἡ θεραπείη ἡ αὐτή. ξυμφέρει δὲ τούτοισι, θερμολουτέειν, καὶ μαλακῶς εὐνάζεσθαι. μεθυσθῆναι δὲ ἅπαξ ἢ δὶς, πλὴν ἀλλὰ μὴ ἐς ὑπερβολήν. ἀφροδισιάζειν τε ὅταν ἐπιγένηται, ῥαθυμῆσαι πρὸς τοὺς πόνους. περιπάτους δὲ μὴ ποιῆσαι ὅλως. Περὶ δὲ τῶν τεκμηρίων τῶν ἐν τοῖσιν ὕπνοισιν, ὅστις ὀρθῶς γνώσεται, μεγάλην ἔχοντα δύναμιν εὑρήσει πρὸς ἅπαντα. ἡ γὰρ ψυχὴ ἐγρήγορεν, ὅταν μὲν τῷ σώματι ὑπηρετοῦσα ἦ, ἐπὶ πολλὰ μεριζομένη, οὐ γίνεται αὐτὴ ἑωυτῆς, ἀλλ᾽ ἀποδίδωσί τι μέρος ἑκάστῳ τοῦ σώματος, ἢ τοῖσιν αἰσθητηρίοισιν, ἀκοῇ. ὄψει. ψαύσει. ὁδοιπορίῃ. πρήξει. καὶ πάσῃ τῇ τοῦ σώματος διανοίῃ. αὐτὴ δὲ ἑωυτῆς ἡ διάνοια οὐ γίνεται. ὁκόταν δὲ τὸ σῶμα ἡσυχάσῃ, ἡ ψυχὴ κινευμένη, καὶ ἐπεξέρπουσα τὰ μέρεα τοῦ σώματος, διοικεῖ τὸν ἑαυτῆς οἶκον. καὶ τὰς τοῦ σώματος πρήξιας ἁπάσας, αὐτὴ διαπρήσσεται. τὸ μὲν γὰρ σῶμα καθεῦδον, οὐκ αἰσθάνεται. ἡ δὲ ἐγρηγοροῦσα, γινώσκει. καθορῇ τε τὰ ὁρατά, καὶ διακούει τὰ ἀκουστά. βαδίζει. ψαύει. λυπεῖται. ἐνθυμέεται ἐν ὀλίγῳ, ὁκόσαι τοῦ σώματος ὑπηρεσίαι, ἢ τῆς ψυχῆς. ταῦτα πάντα ἡ ψυχὴ ἐν τῷ ὕπνῳ διαπρήσσεται. ὅστις οὖν ἐπίσταται κρίνειν ταῦτα ὀρθῶς, μέγα μέρος ἐπίσταται σοφίης. ὁκόσα μὲν οὖν τῶν ἐνυπνίων θεῖά ἐστι, καὶ προσημαίνει τινὰ συμβησόμενα, ἢ πόλεσιν, ἢ τῷ ἰδιώτῃ λαῷ. ἢ κακὰ ἢ ἀγαθά. μὴ δι᾽ αὐτῶν ἁμαρτίην, εἰσὶν οἳ κρίνουσι περὶ τῶν τοιούτων ἀκριβῆ τέχνην ἔχοντες. ὁκόσα δὲ ἡ ψυχὴ τοῦ σώματος παθήματα προσημαίνει, πλησμονῆς ἢ κενώσιος ὑπερβολὴν τῶν ξυμφύτων, ἢ μεταβολὴν τῶν ἀηθέων, κρίνουσι μὲν καὶ ταῦτα. καὶ τὰ μὲν, τυγχάνουσι. τὰ δὲ, ἁμαρτάνουσι. καὶ οὐδέτερα τούτων γινώσκουσι. διότι οὖν γίνεται, οὔθ᾽ ὅτι ἂν ἐπιτύχωσιν, οὔθ᾽ ὅτι ἂν ἁμάρτωσι. φυλάσσεσθαι δὲ παραινέοντες, μή τι κακὸν λάβῃ. οἱ δ᾽ οὖν, οὐ διδάσκουσιν ὡς χρὴ φυλάξασθαι, ἀλλὰ θεοῖσιν εὔχεσθαι κελεύουσι. καὶ τὸ μὲν εὔχεσθαι πρέπον, καὶ λίην ἐστὶν ἀγαθόν. δεῖ δὲ καὶ αὐτὸν ξυλλαμβάνοντα, τοὺς θεοὺς ἐπικαλέεσθαι. ἔχει οὖν περὶ τούτων ταῦτα, ὧδε.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ἘΝΥΠΝΙΩΝ.

ταῦτα, πρὸς αὐτὰ τὰ ἔργα τοῦ λόγου πορευθεὶς, ἐπιδείξω τὰ νοσήματα τούτου ἀπόγονά τε καὶ ἔκγονα πάντα ἐόντα. πρῶτον δὲ ἀπὸ τοῦ κοινοτάτου νοσήματος ἄρξομαι πυρετοῦ. τοῦτο γὰρ τὸ νόσημα πᾶσι ξυνεφεδρεύει τοῖσιν ἄλλοισι νουσήμασι. μάλιστα δὲ, φλεγμονῇ. δηλοῖ δὲ τὰ γινόμενα προσκόμματα. ἅμα γὰρ τῇ φλεγμονῇ εὐθὺς βουβὼν, καὶ πυρετὸς ἕπεται. ἔστι δὲ δισσὰ ἔθνεα πυρετῶν ὡς ταύτῃ διελθεῖν. ὁ μὲν κοινὸς ἅπασι, καλεόμενος λοιμός. ὁ δὲ διὰ πονηρὴν δίαιταν ἰδίην, τοῖσι πονηρῶς διαιτεομένοισι γινόμενος. ἀμφοτέρων δὲ τουτέων, αἴτιος ὁ ἀήρ. Ὁ μὲν οὖν κοινὸς πυρετὸς, διὰ τοῦτο τοιοῦτός ἐστιν, ὅτι τὸ πνεῦμα τωυτὸ πάντες ἕλκουσιν. ὁμοίου δὲ ὁμοίως τοῦ πνεύματος τῷ σώματι μιχθέντος, ὅμοιοι καὶ οἱ πυρετοὶ γίνονται. ἀλλ' ἴσως φήσει τις. διατί οὖν οὐχ ἅπασι τοῖσι ζώοισι, ἀλλ' ἔθνει τινὶ αὐτέων ἐμπειπίπτουσιν αἱ τοιαῦται νοῦσοι; διότι φαίην ἂν διαφέρει σῶμα σώματος. καὶ φύσις φύσιος. καὶ τροφὴ τροφῆς. οὐ γὰρ πᾶσι τοῖσιν ἔθνεσι τῶν ζώων ταὐτὰ οὔτ' ἀνάρμοστα, οὔτ' εὐάρμοστά ἐστιν, ἀλλ' ἑτέροισιν ἕτερα ξύμφορα. ὁκόταν μὲν οὖν ὁ ἀὴρ τοιουτέοισι πληθυσθῇ μιάσμασι, ἃ τῇ ἀνθρωπίνῃ φύσει πολέμια ἐστὶν, ἄνθρωποι τότε νοσέουσιν. ὅταν δὲ ἑτέρῳ τινὶ ἔθνει ζώων ὁ ἀὴρ ἀνάρμοστος ᾖ, τὸ νούσημα κεῖνοι νοσέουσιν. αἱ μὲν οὖν δημόσιαι οὗσαι τῶν νούσων, εἴρηνται. καὶ ὅ, τι, καὶ ὅπως, καὶ οἷσι, καὶ ἀφ' οὗ γίνονται. τὸν δὲ διὰ πονηρὴν δίαιταν γινόμενον πυρετὸν, διέξειμι. πονηρὴ δὲ ἐστὶν ἡ τοιήδε δίαιτα. τοῦτο μὲν οὖν ὅταν τις πλείονας τροφὰς ἢ ὑγρὰς, ἢ ξηρὰς διδῷ τῷ σώματι ἢ τὸ σῶμα δύναται φέρειν. καὶ πόνον μηδένα τῷ πλήθει τῶν τροφῶν ἀντιτίθησι. τοῦτο δὲ ὅταν ποικίλας καὶ ἀνομοίους ἀλλήλῃσιν ἐσπέμπῃ τροφάς. τὰ γὰρ ἀνόμοια στασιάζει. καὶ τὰ μὲν, θᾶσσον. τὰ δὲ, σχολαίτερον πέσσεται. μετὰ δὲ πολλῶν σιτίων ἀνάγκη, καὶ πολλὸν πνεῦμα εἰσιέναι. μετὰ πάντων γὰρ τῶν ἐσθιομένων καὶ πινομένων, εἴσεισι πνεῦμα ἐς τὸ σῶμα, ἢ πλέον, ἢ ἔλασσον. φανερὸν δὲ τοῦτο, τῷδε ἐστίν. ἐρυγμοὶ γὰρ γίνονται μετὰ τὰ σιτία καὶ ποτὰ τοῖσι πλείστοισιν. ἀνατρέχει γὰρ ὁ κατακλεισθεὶς ἀὴρ, ὁκόταν ἀναῤῥήξῃ τὰς πομφόλυγας, ἐν ᾗσι κρύπτεται. ὅτε οὖν τὸ σῶμα σιτίων πληρωθῇ, καὶ πνεύματος πλησμονὴ ἐπὴν πλείων γίνεται. τῶν σιτίων χρονιζομένων, χρονίζεται δὲ τὰ σιτία, διὰ τὸ πλῆθος οὐ δυνάμενα διελθεῖν. ἐμφραχθείσης δὲ τῆς κάτω κοιλίης, εἰς ὅλον τὸ σῶμα διέδραμον αἱ φῦσαι. προσπεσοῦσαι δὲ τὰ ἐναιμότατα τοῦ σώματος, ἔψυξαν. τουτέων δὲ τῶν τόπων ψυχθέντων. ὅπου αἱ πηγαὶ καὶ αἱ ῥίζαι τοῦ αἵματός εἰσι, διὰ παντὸς τοῦ σώματος ἡ φρίκη διῆλθεν. ἅπαντος δὲ τοῦ αἵματος ψυχθέντος, ἅπαν τὸ σῶμα φρίσσει. διὰ τοῦτο μὲν οὖν πρῶτον, αἱ φρῖκαι γίνονται πρὸ τῶν πυρετῶν. ὅκως δ' ἂν ὁρμήσωσιν αἱ φῦσαι πλήθει καὶ ψυχρότητι, τοιοῦτον γίνεται καὶ τὸ ῥῖγος. ἀπὸ μὲν πλειόνων καὶ ψυχροτέρων, ἰσχυρότερον. ἀπὸ δὲ ἐλασσόνων, καὶ ἧσσόν τι ψυχρῶν, ἧσσον ἰσχυρόν. ἐν δὲ τῇσι φρίκῃσι καὶ οἱ τρόμοι τοῦ σώματος, κατὰ τόνδε γίνονται τὸν τρόπον. τὸ αἷμα φοβεόμενον, τὴν παρεοῦσαν φρίκην συντρέχει καὶ διέξεισι κατὰ παντὸς τοῦ σώματος ἐς τὰ θερμότατα. αὗται μὲν οὖν αἱ ἄλλαι. καθαλλομένου δὲ τοῦ αἵματος ἐκ τῶν ἀκρωτηρίων τοῦ σώματος, τὰ σπλάγχνα τρομέουσι, καὶ αἱ σάρκες. τὰ μὲν γὰρ τοῦ σώματος, γίνεται πολύαιμα. τὰ δὲ, ἄναιμα. τὰ μὲν οὖν ἄναιμα, διὰ τὴν ψύξιν οὐκ ἀτρεμέουσιν, ἀλλὰ πάλλονται. τὸ γὰρ θερμὸν ἐξ αὐτέων ἐκλέλειπε. τὰ δὲ πολύαιμα, διὰ τὸ πλῆθος τοῦ αἵματος, τρέμουσι καὶ φλεγμονὰς ἐμποιέει. οὐ γὰρ δύναται πολλὸν γινόμενον ἀτρεμίζειν. χασμῶνται δὲ πρὸ τῶν πυρετῶν, ὅτε πολὺς ὁ ἀὴρ ἀθροισθεὶς, ἀθρόον τε ἄνωθεν διεξιὼν, ἐξεμόχλευσε καὶ διέστησε τὸ στόμα. ταύτῃ γὰρ εὐδιέξοδός ἐστιν. ὡς γὰρ ἀπὸ τῶν λεβήτων ἀτμὸς ἀναφέρεται πολὺς ἑψομένου τοῦ ὕδατος, οὕτω καὶ σώματος θερμαινομένου, δίεισι διὰ τοῦ στόματος ὁ ἀὴρ, ξυνεστραμμένος, καὶ βίῃ φερόμενος. καὶ τὰ ἄρθρα διαλύονται πρὸ τῶν πυρετῶν. χλιαινόμενα γὰρ τὰ νεῦρα διΐστανται. ὁκόταν δὲ συναλισθῇ ἀθροισθὲν τὸ πλεῖστον τοῦ αἵματος, διαθερμαίνεται πάλιν ὁ ἀὴρ, ὁ ψύξας τὸ αἷμα, κρατηθεὶς ὑπὸ τῆς θερμότητος. διάπυρος δὲ καὶ μύδρος γινόμενος ἐν ὅλῳ τῷ σώματι τὴν θερμασίην ἐνειργάσατο. συνεργὸν δὲ αὐτῷ τὸ αἷμά ἐστι. τήκεται γὰρ πυρούμενον, καὶ γίνεται πνεῦμα ἐξ αὐτοῦ. τοῦ δὲ πνεύματος προσπίπτοντος πρὸς τοὺς πόρους τοῦ σώματος, οἱ ἱδρῶτες γίνονται. τὸ δὲ πνεῦμα συνιστάμενον, ἐς ὕδωρ ἔρχεται. καὶ διὰ τῶν πόρων διεξελθὸν, ἔξω περαιοῦται, τὸν αὐτὸν τρόπον, ὅνπερ ἀπὸ τῶν ἑψομένων ὑδάτων ὁ ἀτμὸς ἐπανιὼν, ἢν ἔχῃ στερέωμα πρὸς ὅ, τι χρὴ προσπίπτειν, παχύνεται, καὶ πυκνοῦται, καὶ σταγόνες ἀποπίπτουσιν ἀπὸ τῶν πωμάτων, οἷσιν ἂν ὁ ἀτμὸς προσπίπτῃ. πόνοι δὲ τῆς κεφαλῆς ἅμα τῷ πυρετῷ γίνονται, διὰ τόδε. στενοχωρίη τῇσι διεξόδοισιν ἐν τῇ κεφαλῇ τοῦ αἵματος γίνεται. πεπλήρωνται γὰρ αἱ φλέβες. πληρωθεῖσαι δὲ καὶ πρησθεῖσαι, τὸν πόνον ἐμποιέουσιν ἐν τῇ κεφαλῇ. βίῃ γὰρ τὸ αἷμα βιαζόμενον διὰ στενῆς ὁδοῦ θερμὸν ἐὸν, οὐ δύναται περαιοῦσθαι ταχέως. πολλὰ γὰρ ἐμπόδιά ἐστιν αὐτῷ κωλύματα, καὶ ἐμφράγματα. διὸ δὴ καὶ οἱ σφυγμοὶ γίνονται ἀμφὶ τοὺς κροτάφους. οἱ μὲν οὖν πυρετοὶ διὰ τοῦτο, ὡς ἔφην, γίνονται, καὶ τὰ μετὰ τῶν πυρετῶν ἀλγήματα καὶ νοσήματα. τῶν δὲ ἄλλων ἀῤῥωστημάτων ὁκόσοι μὲν ἂν εἰλεοὶ εἰσιν, ἢ εἰλήμματα, ἢ στρόφοι, ἢ ἕτερα ἀποστηρίγματα, φύσας εἶναι αἴτια ἅπασιν ἡγέομαι φανερὸν εἶναι. πάντων γὰρ τῶν τοιουτέων αἰτίη τοῦ πνεύματος ἡ διόδευσις. τοῦτο γὰρ ὁκόταν προσπέσῃ πρὸς τόπους ἁπαλοὺς καὶ ἀηθέας καὶ ἀθίκτους, ὥσ-

περ τόξευμα ἐγκείμενον διαδύνει, διὰ τῆς σαρκὸς προσπίπτει. ποτὲ μὲν, πρὸς τὰ ὑποχόνδρια. ποτὲ δὲ, πρὸς τὰς λαπάρας. ποτὲ δὲ, ἐς ἀμφότερα. διὸ δὴ καὶ θερμαίνοντες ἔξωθεν πυριήμασι, πειρῶνται μαλθάσσειν τὸν πόνον. ἀραιούμενον γὰρ ὑπὸ τῆς θερμασίης τοῦ χρωτὸς τοῦ πυριήματος, διέρχεται τὸ πνεῦμα διὰ τοῦ σώματος, ὥστε παῦλάν τινα γενέσθαι τῶν πόνων. ἴσως δ' ἄν τις εἴποι, πῶς οὖν τὰ ῥεύματα γίνεται διὰ τὰς φύσας; ἢ τίνα τρόπον τῶν αἱμοῤῥαγιῶν τῶν περὶ τὰ στέρνα τοῦτο αἴτιον ἐστίν; οἶμαι δὲ καὶ ταῦτα δηλώσειν, διὰ ταῦτα γινόμενα. ὅτε περὶ τὴν κεφαλὴν αἱ φλέβες γεμισθῶσιν ἠέρος, πρῶτον μὲν ἡ κεφαλὴ βαρύνεται τῶν φυσῶν ἐγκειμένων. ἔπειτα ἐνειλεῖται τὸ πνεῦμα κατὰ τὸ αἷμα διὰ τὴν στενότητα τῶν ὁδῶν. τὸ δὲ λεπτότατον τοῦ αἵματος, διὰ τῶν φλεβῶν ἐκθλίβεται. τοῦτο δὴ τὸ ὑγρὸν ὅταν ἀθροισθῇ, ῥεῖ δι' ἄλλων πόρων. ὅκου δ' ἂν ἀθρόον ἀφίκηται τοῦ σώματος, ἐνταῦθα ξυνίσταται ἡ νοῦσος. ἐπὴν μὲν οὖν ἐπὶ τὴν ὄψιν ἔλθῃ, ταύτης ὁ πόνος. ἢν δὲ ἐς τὰς ἀκοὰς, ἐνταῦθ' ἡ νόσος. ἢν δὲ ἐς τὰς ῥῖνας, κόρυζα γίνεται. ἢν δὲ ἐς τὰ στέρνα, βράγχος καλέεται. τὸ γὰρ φλέγμα δριμέσι χυμοῖσι μεμιγμένον, ὅποι ἂν προσπέσῃ ἐς ἀηθέας τόπους ἑλκοῖ. τῇ δὲ φάρυγγι ἁπαλῇ ἐούσῃ καὶ τὸ ῥεῦμα προσπῖπτον, τραχύτητα ἐργάζεται. τὸ γὰρ πνεῦμα τὸ διαπνεόμενον διὰ τῆς φάρυγγος, ἐς τὰ στέρνα βαδίζει. καὶ πάλιν ἐξέρχεται διὰ τῆς ὁδοῦ ταύτης. ὅταν δὲ ξυμβάλλῃ τῷ πνεύματι τὸ ῥεῦμα κάτωθεν τῷ κατιόντι, βὴξ ἐπιγίνεται, καὶ ἀναῤῥιπτεῖται ἄνω τὸ φλέγμα. τουτέων δὲ τοιουτέων ὄντων, ἡ φάρυγξ ἑλκοῦται. καὶ τρηχύνεται. καὶ θερμαίνεται. καὶ ἕλκει τὸ ἐκ τῆς κεφαλῆς ὑγρὸν θερμὴ ἐοῦσα. ἡ δὲ κεφαλὴ πάλιν παρὰ τοῦ ἄλλου σώματος λαμβάνουσα, ταύτῃ δίδωσιν. ὁκόταν γοῦν ἐθισθῇ τὸ ῥεῦμα οὕτως ῥέειν καὶ χαλασθέωσιν οἱ πόροι, διαδίδωσι δὴ καὶ ἐς τὰ στέρνα. δριμὺ δὲ ὂν τὸ φλέγμα προσπῖπτόν τε τῇ σαρκὶ, ἑλκοῖ καὶ ἀναῤῥηγνύει τὰς φλέβας. ὁκόταν δὲ ἐκχυθῇ τὸ αἷμα εἰς ἀλλότριον τόπον, χρονιζόμενον καὶ σηπόμενον, γίνεται πῦον. καὶ οὔτε ἄνωθεν δύναται ἀνελθεῖν, οὔτε κάτω ὑπελθεῖν. ἄνω γὰρ οὐκ εὔπορος ἡ πορείη προσάντης τις οὖσα ὑγρῷ πρήγματι καὶ ἑτέρῳ παντὶ βάρος ἔχοντι. κάτω δὲ κωλύει φραγμὸς ὁ τῶν φρενῶν. διότι δήποτε τὸ ῥεῦμα τὸ ἄνευ πνεύματος ἀναῤῥηγνύμενον, ἀναῤῥήγνυται τὸ μὲν, αὐτόματον. τὸ δὲ, διὰ πόνους. αὐτόματον μὲν οὖν, ὅταν αὐτόματος ὁ ἀὴρ εἰσελθὼν εἰς τὰς φλέβας, στενοχωρίην ποιήσῃ τοῖσι τοῦ αἵματος διεξόδοισι. τό, τε γὰρ πιεζόμενον τὸ αἷμα πολὺ γινόμενον, ἀναῤῥηγνύει τοὺς πόρους, ᾗ ἂν ὥσπερ μάλιστα βαρυνθῇ. ὁκόταν δὲ πλῆθος αἱμοῤῥαγήσαν καὶ τούτοισιν οἱ πόνοι πνεύματος ἐνέπλησαν τὰς φλέβας, ἀνάγκη γὰρ τὸν πονέοντα τόπον κατέχειν τὸ πνεῦμα, τἄλλα τοῖσιν εἰρημένοισιν ὅμοια γίνεται. τὰ δὲ ῥήγματα πάντα γίνεται διὰ τάδε. ὁκόταν ὑπὸ βίης διαστέωσιν αἱ σάρκες ἀπ' ἀλλήλων, ἐς δὲ τὴν διάστασιν ὑποδράμῃ πνεῦμα, τοῦτον τὸν πόνον παρέχει. ἢν δὲ διὰ τῶν σαρκῶν αἱ φῦσαι διεξιοῦσαι τοὺς πόρους τοῦ σώματος ἀραιοὺς ποιήσωσιν. ἕπεται δὲ τῇσι φύσεσιν ὑγρασίη, ἧς τὴν ὁδὸν ὁ ἀὴρ ἀπηργάσατο. διαβρόχου δὲ γινομένου τοῦ σώματος, ὑποτήκονται μὲν, αἱ σάρκες. οἰδήματα δὲ, ἐς τὰς κνήμας καταβαίνει. καὶ λέγεται τὸ τοιοῦτον νόσημα, ὕδρωψ. μέγιστον δὲ σημεῖον, ὅτι φῦσαι τοῦ νοσήματός εἰσιν αἴτιαι, τόδε ἐστίν. ἤδη τινὲς ὀλεθρίως ἔχοντες ἐκλύθησαν, καὶ ἐκενώθησαν τοῦ ὕδατος. παραυτίκα μὲν τὸ ἐξιὸν ἐκ τῆς κοιλίης ὕδωρ, πολὺ φαίνεται. χρονιζόμενον δὲ, ἔλασσον γίνεται. διατί οὖν γίγνεται, καὶ τοῦτο δῆλον. ὅτι παραυτίκα μὲν τὸ ὕδωρ, ἠέρος πλῆρές ἐστιν. ὁ δὲ ἀὴρ, ὄγκον παρέχεται μέγαν. ἀπιόντος δὲ τοῦ πνεύματος, ὑπολείπεται τὸ ὕδωρ αὐτό. διὸ δὴ, φαίνεται μὲν, μικρὸν ἐόν. ἔστι δὲ, ἴσον. ἄλλο δὲ αὐτῶν τόδε σημεῖον. κενωθείσης γὰρ παντελῶς τῆς κοιλίης, οὐ τρεῖς ἡμέραι διέλθωσι, καὶ πάλιν πλήρης γίνεται. τί οὖν ἄρα ἐστὶ τὸ πληρῶσαν, ἀλλ' ἢ τὸ πνεῦμα; τί γὰρ ἂν οὕτως ἄλλο, ταχέως ἐξεπλήρωσεν; οὐ γὰρ δήπου ποτόν γ' ἴσως τοσοῦτον, ἐσῆλθεν ἐς τὸ σῶμα. καὶ μὴν οὐδὲ σάρκες ὑπάρχουσιν αἴτιαι ἀποτηξάμεναι. λέλειπται γὰρ ὀστέα, καὶ νεῦρα, καὶ ἶνες, ἀφ' ὧν οὐδενὸς οὐδὲ μία δύναιτ' ἂν αὔξησις ὕδατος γεννηθῆναι. τὸ μὲν οὖν αἴτιον τοῦ ὕδρωπος ἤδη εἴρηται. Αἱ δὲ ἀποπληξίαι γίνονται καὶ αὗται διὰ τὰς φύσας. ὅταν γὰρ αἱ φῦσαι ψυχραὶ οὖσαι καὶ πολλαὶ διαδύωσι, καὶ ἐμφυσήσωσιν ἐς τὰς σάρκας, ἀναίσθητα γὰρ ταῦτα γίνεται τοῦ σώματος. ἢν μὲν οὖν πολλαὶ φῦσαι ἐν ὅλῳ τῷ σώματι διατρέχωσιν, ὅλος ὁ ἄνθρωπος ἀπόπληκτος γίνεται. ἢν δὲ ἐν μέρει τινὶ, τοῦτο τὸ μέρος. καὶ ἢν μὲν οὖν ἀπέλθωσιν αὗται, παύεται ἡ νοῦσος. ἢν δὲ παραμένωσι, παραμένει. ὅτι δὲ ταῦτα οὕτως ἔχει, χασμῶνται συνεχῶς. δοκεῖ δέ μοι καὶ τὴν ἱερὴν καλεομένην νόσον τοῦτο εἶναι τὸ παρεχόμενον. οἷσι δὲ λόγοισιν ἐμαυτὸν ἔπεισα, τούτοισιν αὐτέοισι καὶ τοὺς ἀκούοντας πείσειν πειράσομαι. ἡγέομαι δὲ ἔμπροσθεν μηδὲν εἶναι μᾶλλον τῶν ἐν τῷ σώματι ξυμβαλλομένων ἐς φρόνησιν ἢ τὸ αἷμα. τοῦτο δὲ ὅταν ἐν τῷ καθεστηκότι σχήματι μένῃ, μένει καὶ ἡ φρόνησις. ἐξαλλάσσοντος δὲ τοῦ αἵματος, μεταπίπτει καὶ τὸ φρόνημα. ὅτι δὲ ταῦθ' ὧδ' ἔχει, πολλὰ τὰ μαρτυρέοντα. πρῶτον μὲν ὅπερ ἅπασι ζώοισι κοινόν ἐστιν, ὁ ὕπνος, οὗτος μαρτυρεῖ τοῖσιν εἰρημένοισιν. ὅταν γὰρ ἐπέλθῃ τῷ σώματι νούσημα, τότε τὸ αἷμα ψύχεται. φύσει γὰρ πέφυκεν ὁ ὕπνος ψύχειν. ψυχθέντος δὲ τοῦ αἵματος, νωθρότεραι γίνονται αἱ διέξοδοι. δῆλον δὲ, ῥέπει γὰρ τὰ σώματα, καὶ βαρύνεται. πάντα γὰρ

τὸ βαρέα, πέφυκεν ἐς βυθὸν φορέεσθαι. καὶ τὰ ὄμματα κάίεται. καὶ ἡ φρόνησις ἀλλοιοῦται. δόξαι δέ τινες εἶναι σοφὰ τετεύχασιν, ἃ δὴ σὺν πόνῳ ἀνακαλέσαντες. πάλιν σὺν τῇσι μέθῃσι, ταλέσας ἐξαίφνης γενομένου τῶ ἄιματος, μεταπίπτουσιν αἱ ψυχαὶ, καὶ τὰ σὺν τῇσι ψυχῇσι φρονήματα, καὶ γίνονται, τῆι μὲν ὄντων κακῶν ἐπιλήσμονες. τῆι δὲ μελλόντων σύνεληπίδες ἀγαθῶν. ἔχοιμι δ' ἂν πολλὰ τοιαῦτα εἰπεῖν, σὺν οἷς αἱ τῶ ἄιματος ὀχλήσιες, πῶς φρόνησιν ὀχλέουσιν. ἰῶ μὲν οὖν παντελῶς ἅπαν ἀνακαρχῆι τὸ αἷμα, παντελῶς ἡ φρόνησις ὀχλέουται. τὸ γὰρ πλῆθος τῆς ἰῆς μὴ τὰ ἀκαγωγείσματα, εἰθίσματα ἴσχειν. ὅταν δὲ τῶ ἐωθότος ἔθεος μεταχωρέωμεν, ἀναίρεται ἡ μὲν ἡ φρόνησις. φημὶ δὲ πῶ ἰδρῶ νοῦσον, ὧδε γίνεσθαι. ὅταν πολὺ πνεῦμα κατὰ πᾶν τὸ σῶμα παντὶ τῷ αἵματι μιχθῆ, πολλὰ ἐμφράγματα γίνονται, πολλαχῆ ἀνὰ τὰς φλέβας. ἐπειδὰν οὖν ἐς τὰς παχείας καὶ πολυαίμους τῆι φλεβῶν πολὺς ἀὴρ βέσῃ, βρέσας δὲ μένῃ, κωλύεται τὸ αἷμα διεξιέναι. τῆι μὲν οὖν, σέσηπε. τῆι δὲ, νοθρῶς διεξέρχεται. τῆι δὲ, θᾶσσον. ἀπομοίης δὲ τῆς πορείης τῶ αἵματος ὁξᾶ τῶ σώματος γλυκμόνης, παντοίαι ἀπομοιότητες. πᾶν γὰρ τὸ σῶμα, παντὶ τρόπῳ ἕλκεται, καὶ τετάρακται, τὰ μὲν ἢ τῶ σώματος ὑπερτοῦτος τῷ θερμῷ καὶ ταράττει τῶ αἵματος. ⟨ὁκοῦ δὲ τῆς διαχροφῆς τῶ αἵματος, αἱ διαχροφαὶ τῶ σώματος παντοίως γίνονται. καὶ τὰ δὲ τῶτον ἦν καιρὸν, ἀναίσθητοι πάντων εἰσὶ κωφοί τε τῆι λεγομένων. καὶ τυφλοὶ τῆι γιγνομένων. ἀνάλγητοί τε πρὸς τὸν πόνους. οὕτω γὰρ ὁ ἀὴρ ταραχθείς, ἀνετάραξε καὶ τὸ αἷμα καὶ ἐμόλυνε. καὶ ἀφροὶ ὁκῶ τῶ σώματος ἀναχέεσθαι εἰκότως. ὁκῶ γὰρ τῆι σφραγίδων φλεβῶν διαδυῶν ὁ ἀὴρ, ὀρχεῖται μὲν, ὁ αὐτὸς. ἀνάγει δὲ μετ' αὐτῶ, τὸ λεπτότατον τῶ αἵματος. τὸ δὲ ὑγρὸν τὸ τοιοῦτο μισγόμενον, λευκοῦται. ὁκῶ λεπτὸν γὰρ ὑμένων καθαρὸς ἐὼν ὁ ἀὴρ διαφαίνεται. διὸ δὴ λευκοὶ φαίνονται πάντες οἱ ἀφροί. ὁπότε μὲν οὖν παύσῃ τῆς νόσου ἡ τῶ παρεόντος χειμῶνος, οἱ ⟨τῶ τῶ νοσήματος ἁλισκόμενοι, ἐπὴν φράσω. ὁκόταν γυμνασθεὶ ⟨τῆι πόνων τὸ σῶμα θερμανθῆ, θερμαίνεται καὶ τὸ αἷμα. τὸ δὲ αἷμα θερμανθὲν, ὑγρὸν θερμαίνει τὰς φύσας. οὕτω δὲ θερμανθὲν, διαλύεται, καὶ διαλύουσι πῶ ξύσασιν τῶ αἵματος. αἱ μὲν οὖν ὑγρὸν θύουσι, μᾶλλον τῶ πνεύματος. αἱ δὲ, μετὰ τῶ φλέγματος. ἀποξέσαντος δὲ τῶ ἀφροῦ, καὶ κατασάντος τῶ αἵματος, καὶ χαλλίων ἐν τῷ σώματι γινομένης, πέπαυται τὸ νόσημα. φαίνονται οὖν αἱ φύσαι ὁκῶ πάντων τούτων, πολυτροπώτεραι αἰτίαι οὖσαι. τὰ δ' ἄλλα πάντα, σαφέα αἰτία καὶ μετάτιτα. τὸ δὲ αἴτιον τῆι νούσων ἐὸν, τῶτο ἐπιδέδειχταί μοι. ὑπεχόμην δὲ τὸ αἴτιον τῆι νουσημάτων φράσειν. ἐπέδειξα δὲ τὸ πνεῦμα καὶ ⟨ τοῖσι ἄλλοισι πράγμασι δυνατὸν ὂν, καὶ ⟨ τοῖσι σώμασι τῆι ζώων. ἦναγον δὲ τὸν λόγον, ἐπὶ τὸ γνώσιμα, καὶ τῆι νοσημάτων, καὶ τῆι ἀῤῥωστημάτων ⟨ οἷσιν ἁλισκεται ὑπόθεσις ἐφάνη. ἀμοὶ δὲ τῆι ἀῤῥωστημάτων εἰ λέγοιμι, μακρότερος μὲν ὁ λόγος, γένοιτο ἂν. ἀφ' ἑκατέρου δὲ, οὐδὲν ἧσσον, οὐδὲ πιστότερος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΙΗΡΗΣ ΝΟΣΟΥ.

Οὐ γνήσιον Ἱπποκράτους ἀξιολόγου δὲ ἀνδρὸς φησὶ ὁ Γαληνὸς καὶ κατὰ πλῆθος δρμωμένων, καὶ κατὰ πλῆθος διανοίων. Ἱπποκράτης δὲ οὐδὲν σὺν αὐτῷ, οὔτε κατὰ τὸν τρόπον τῆς δρμωμένου, οὔτε κατὰ τὴν διανοίαν. ἀκριβές.

Περὶ τῆς ἱερῆς νόσου καλεομένης, ὧδ' ἔχει. οὐδέντι μοι δοκέει τῆι ἄλλων θειοτέρη εἶναι νούσων, οὐδὲ ἱερωτέρη, ἀλλὰ φύσιν μὲν ἔχει, ἣν καὶ τὰ λοιπὰ νουσήματα, ὅθεν γίνεται. φύσιν δὲ αὐτῆι καὶ πρόφασιν οἱ ἄνθρωποι σὺν ἔμοιγε θεῖον εἶναι, ⟨ ἀπειρίης καὶ θαυμασιότητος, ὅτι οὐδὲν ἔοικεν ἐτέρῃσι νούσοισι. καὶ κατὰ μὲν πῶ ἀπορείω αὐτοῖσι τῶ μὴ γινώσκειν, τὸ θεῖον αὐτῆι διασώζεται. κατὰ δὲ πῶ εὐπορείω τῶ τρόπου τῆς ἰήσιος, ἰῶνται. ἀπολύονται γὰρ ἢ καθαρμοῖσιν, ἢ ἐπαοιδῆσιν. ἐὰ δὲ ὁκῶ τὸ θαυμάσιον, θεῖον νομίζεται, πολλὰ τὰ ἰδρὰ νουσήματα ἔστι, καὶ οὐχὶ σὺν. ὡς ἔστι ἀποδείξαι ἕτερα οὐδὲν ἧσσον ἐόντα θαυμάσια, οὐδὲ τετρακτώδεα, ἃ οὐδεὶς νομίζει ἱδρὰ εἶναι. τῶτο μὲν γὰρ οἱ πυρετοὶ οἱ ἀμφημερινοὶ, καὶ οἱ τεταρταῖοι, καὶ οἱ τεταρταῖοι, οὐδὲν ἧσσον μοι δοκέουσιν ἱδροῖ εἶναι, καὶ ⟨ θεοῦ γίνεσθαι τούτης τῆς νούσου, ἢν οὐ θαυμασίως ἔχωσι. τῶτο δὲ ὁρέω μαινομένους ἀνθρώπους καὶ παραφρονέοντας, ἐκ μηδεμιῆς προφάσιος ἐμφανέος. καὶ πολλὰ τε ἄμα καὶ ἄκαιρα ποιέοντας. ὅτε τῷ ὑπνῳ οἰδε πολλοὺς οἰμώζοντας καὶ βοῶντας. τοὺς δὲ καὶ πνιγομένους. τοὺς δὲ καὶ ἀναΐσσοντας τε καὶ φεύγοντας ἔξω, καὶ παραφρενέοντας μέχρις ἂν ὑγιερέωνται. ἔπειτα δὲ καὶ ὑγιέας ἐόντας καὶ

φρονέοντας ὡς πρὸ τοῦ πρότερον. ἐόντας τε αὐτοὺς ὠχρούς τε καὶ ἀθενέας. καὶ ταῦτα οὐχ ἅπαξ, ἀλλὰ πολλάκις. ἄλλα τε πολλὰ ἴδοι καὶ παντοδαπά, ὧν εἶκαστον λέγειν, πολὺς ἂν εἴη λόγος. ἐμοὶ δὲ δοκέουσι οἱ πρῶτοι τῶτο τὸ νόσημα ἀνθρώπαντες, τοιοῦτοι εἶναι ἀνθρωποι, οἷοι καὶ νῦν εἰσὶ μάγοι τε καὶ καθαρταὶ καὶ ἀγύρται. καὶ ἀλαζόνες, ὁκόσοι δὴ προσποιέονται σοφοὶ εἶναι καὶ θεολέκτοι εἶναι. οὗτοι τοίνυν παραπτώσσοντες καὶ προβαλλόμενοι τὸ θεῖον, τῆς ἀμηχανίης τὸ μὴ ἴσχειν ὅ, τι προσενέγκαντες ὠφελήσουσιν, ὡς μὴ κατοσήλοι ἔωσιν, οὐδὲν ἐπισταμένοι, ἱερὸν σὺν μισέουσι τῶτο τὸ πάθος εἶναι. καὶ λόγους ἐπιλέξαντες ἐπιτηδείους, πῶ ἴσιν κατεσήσαντο ἐς τὸ ἀσφαλὲς σφίσιν ἑωυτοῖσι, καθαρμοὺς προστρόπαιά τε καὶ ἐπῳδὰς. λουτρῶν τε ἀπέχεσθαι κελεύουσι, καὶ ἐδεσμάτων πολλῶν, καὶ ἀνεπιτηδείων ἀνθρώποισι νοσέουσιν ἐσθίειν. θαλασσίων μὲν, τευθίδος. καὶ μελανούρου. κεστρέος. ἐγχέλυος. οὗτοι γὰρ οἱ ἰχθύες εἰσὶν ἐπικαιρότατοι. κρεῶν δὲ αἰγείου καὶ ἐλαφείου. καὶ χοιρείων καὶ κυνός. ταῦτα γὰρ κρεῶν πρὸς τὰ σικώτατά ἐστι τῆς κοιλίης. ὀρνίθων δὲ ἀλεκτρυόνος καὶ φρυγόνος. ὠτίδος. ἔτι δὲ ὅσα νομίζεται ἰσχυρότατα εἶναι. λαχάνων δὲ, μίνθης. σκορόδου καὶ κρομύου. σῆσαμον γὰρ ἀσθενέοντι οὐδὲν ξυμφέρει. ἰμάτιον δὲ μέλαν μὴ ἔχειν, θανατῶδες γὰρ τὸ μέλαν. μηδὲ σὺν αἰγείωι κατακέεσθαι δέρματι, μηδὲ φορέειν. μὴ δὲ πόδας ἀνὴ ποσὶ ἔχειν. μηδὲ χεῖρα ἀνὴ χειρὶ. ταῦτα γὰρ πάντα, κωλύματα εἶναι. ταῦτα δὲ πάντα τῶ θείου εἵνεκεν προσίθεσαν, ὡς ταλεσιουργοὺς καὶ ἄλλως προφάσιας προλέγοντες. ὅκως ἐὰ μὲν ὑγιὴς γένοιτο, αὐτῆι ἡ δόξα εἴη καὶ ἡ δεξιότης. εἰ δὲ ἀποθανοί, σὺ ἀσφαλὲς καθίστατο αὐτῆι αἱ ἀπολογίαι. καὶ ἕτερα πρόφασιν, ὡς οὐκ αἴτιοι εἰσὶν αὐτοὶ, ἀλλ' οἱ θεοί. οὔτε γὰρ φαγέειν οὔτε πιέειν ἔδοσαν φαρμακον οὐδὲν. οὔτε λουτρόισι κατέθηψαν, ὡς τε δοκέειν ἄπτον εἶναι. ἐτῶ δὲ δοκέω λιβύων τῆι πῶ μεσόγειον οἰκεόντων, οὐδένα ὑγιαίνειν, ὅτι σὺν αἰγείοισι δέρμασι καὶ κρέασιν, εἱνεκά γε ὡς οὐκέ ἔχουσιν οὔτε στρῶμα, οὔτε ἱμάτιον, οὔτε ὑπόδημα, ὅ, τι μὴ αἰγεῖον ἔστιν. οὐ γὰρ ἔστιν αὐτοῖς ἄλλο προβάτιον οὐδὲν, ἢ αἰγὶς καὶ βόες. εἰ δὲ ταῦτα προσφέρομενα καὶ ἐθιόμενα πῶ νοῦσον πίπτει τε αὖξει, καὶ μὴ ἐθιόμενα ἴσταται, οὐκ ἔστιν ὅρα ὁ θεὸς ἄπτος οὐδενός, οὐδὲ οἱ καθαρμοὶ ὠφελέουσιν, ἀλλὰ τὰ ἐδέσματα τοιάδε μανά τε καὶ τὰ βλάπτοντα. τὸ δὲ θεῖον ἀφανίζεται ἢ δυνάμις. οὕτως οὖν ἔμοιγε δοκέουσιν οἱ τῖνες τούτῳ τῷ τρόπῳ ἐγχειρέουσιν ἰῆσθαι ταῦτα τὰ νοσήματα, οὔτε ἱδρὰ νομίζειν εἶναι, οὔτε θεῖα. ὅκου γὰρ ⟨ καθαρμῶν τοιούτων μετάστασα γίνεται, καὶ ⟨ θεραπείης τοιῆσδε, τί κωλύει καὶ ὑφ' ἑτέρων τεχνημάτων ὁμοίων τούτοισιν, ἀπογίνεσθαι τοῖσιν ἀνθρώποισι καὶ προσπίπτειν; ὡς τε μηκέτι τὸ θεῖον ἄπτιον εἶναι, ἀλλά τι ἀνθρώπινον. ὅς τις γὰρ οἷός τε τάδε καθαίρειν καὶ μαγγάνα ἀπάγειν τοιοῦτον πάθος, οὗτος κοὐκ ἐπάγη ἑτέρα τεχνησάμενος, πάντως κοὐ τούτῳ τῷ λόγῳ τὸ θεῖον ἀπόλλυται. τοιαῦτα λέγοντες καὶ μεμηχανημένοι, προσωδιέονται τοῖσιν ἀνθρώποισι καὶ προσπίπτειν. ὡς τὸ μηκέτι τὸ θεῖον ἄπτιον εἶναι, ἀλλά τι ἀνθρώπινον. ὅς τις γὰρ οἷός τε τάδε καθαίρειν καὶ μαγγάνα ἀπάγειν τοιοῦτον πάθος, οὗτος κοὐκ ἐπάγη ἑτέρα τεχνησάμενος, πάντως κοὐ τούτῳ τῷ λόγῳ τὸ θεῖον ἀπόλλυται. τοιαῦτα λέγοντες καὶ μεμηχανημένοι, προσωδιέονται τοῖσιν ἀνθρώποισι καὶ προσπίπτειν. καὶ ἀνθρώπους ὀβαπατέουσι, προσιθέμενοι τούτοισιν ἀγνείας τε καὶ καθαρότητας, ὅτε πουλὺς αὐτοῖσι τῶ λόγου ἐς τὸ θεῖον ἀφίκει, καὶ τὸ σὰμμόνιον. καί τοι ἔμοιγε οὐ τάδε δυσσεβείης μᾶλλον δοκέουσι τῶν λόγους ποιέεσθαι, ὡς οἴονται, ἀλλὰ τάδε ἀνοσιουργίης μᾶλλον. καὶ ὡς οἱ θεοὶ οὐκ εἰσὶ. τότε δυσσεβὲς καὶ θεῖον αὐτῆι ἀσεβὲς καὶ ἀνόσιον ἔστιν, ὡς ἐτῶ διδάξω. εἰ γὰρ σελήνῳ τε καθαίρειν. καὶ ἥλιον ἀφανίζειν. χειμῶνα τε καὶ εὐδίην ποιέειν. καὶ ὄμβρους καὶ αὐχμούς. καὶ θάλασσαν ἄφορον, καὶ γῆν, καὶ τἄλλα τὰ τοιουτότροπα πάντα, ἐπιδέχονται ἐπίστασθαι, εἴτε καὶ ἐκ τελετέων. εἴτε καὶ ὀβ ἄλλης τινὸς γνώμης ἢ μελέτης φασὶν οἷόν τε εἶναι, οἱ ταῦτα ἐπιτηδεύοντες, ἀνοσιουργέειν ἔμοιγε δοκέουσι, καὶ θεοὺς οὔτε εἶναι νομίζειν. οὔτ' ὄντας, ἰσχύειν οὐδὲν. οὔτε ἐπεργεσθαι ἀνοσιουργὸς τὴν ἐχάτων ποιέοντες σέσημά γε, πῶς οὐ δεινοὶ ἀρ' αὐτοῖσιν εἰσὶν; εἰ γὰρ ἀνθρωπος μαγεύων τὸ καὶ θύων σελήνῳ τε καθαιρήσει. καὶ ἥλιον ἀφανίσει. καὶ χειμῶνα καὶ εὐδίην ποιήσει, οὐκ ἂν ἔτι γε τὶ θεῖον νομίσαιμι μὴ τούτων εἶναι, ἀλλ' ἀνθρώπινον. εἰ δὲ καὶ τῶ θείου ἡ δυνάμις ⟨ ἀνθρώπου γνώμης κρατέεται καὶ δεδούλωται. ἴσως δὲ οὐκ οὕτως ἔχει ταῦτα, ἀλλ' ἀνθρωποι βίου δεόμενοι, πολλὰ καὶ παντοῖα τεχνέονται καὶ ποικίλλουσιν, ἐς τε τἄλλα πάντα καὶ ἐς νῶ νοῦσον ταύτην ἐνώσω εἶλεν τῶ πάθεος ἕνεκα τῶ νῶ μιμεῦνται. κλῶ μὲν γὰρ καὶ μαῖαι μιμεῦνται, κλῶ Βρήσσαι τε καὶ τὰ δεξιὰ ἀσπῶνται, μητρὸς θεῶν φασὶ αὐτὴν εἶναι. λῶ δὲ ἐξύτερον νῦ οὗτον ὠστερον φθέγγονται, ἵππω εἰκάζουσι. καὶ φασὶ, Γοσειδῶνα αἴτιον εἶναι. λῶ δὲ καὶ τῆς νῶ πρου τὶ παιρείη, ὃ πολλάκις τῆσι γίνεται ⟨ τῆς νούσου διαζομένοισιν, σὺ ὀδίης οὐ πρόσκειται ἢ προσωνυμίη. λῶ δὲ λεπτότερον καὶ πυκνότερον. οἶ) ὄρνιθες, Α πόλλων νόμος. λῶ δὲ ἀφρὸν ἐκ τῶ σώματος ἀφίη, καὶ τοῖσι ποσὶ λακτίζη, Α ἔρις πῶ αὐτῶ ἔχει. ὁκόσοι δὲ λείματα νυκτὸς παρείσι τεται, καὶ φόβοι καὶ παραφοσιαι, καὶ ἀναπηδήσιες ἐκ τῆς κλίνης, καὶ φόβητρα, καὶ φεύξεις ἔξω, ἔκ τῆς φασὶν εἶναι ἐπιβουλὰς, καὶ ἡρώων ἐφόδους. καθαρμοῖσι τε χρέωνται καὶ ἐποιοῦσι, καὶ ἀνόσιά τα τὸν γε καὶ ἀθεώτατα τὸν ποιέουσιν, ὡς ἔμοι γε δοκέει ἡ θεῖον. καθαίρουσί τε τὸν ἐχομένους τῇ νούσῳ, αἵμασι καὶ τοῖσιν ἄλλοισι τοῖσι τοιούτοισιν ὡς πρὸ μιάσματα ἔχοντας, ἢ ἀλάστορας, ἢ περιφαγμέ-

νους ὑπὸ ἀνθρώπων, ἤ τι ἄλλον ἀνόσιον ἐργασμένους, τοὺς ἐχρῆν τἀναντία τούτοισι ποιέειν. θύειν τε καὶ εὔχεσθαι, καὶ ἐς τὰ ἱερὰ φέροντας ἱκετεύειν τοὺς θεούς. νῦν δὲ τούτων μὲν ποιέουσιν οὐδὲν, καθαίρουσι δέ. καὶ τὰ μὲν τῶν καθαρμῶν, γῇ κρύπτουσι. τὰ δὲ, ἐς θάλασσαν ἐμβάλλουσι. τὰ δὲ, ἐς τὰ οὔρεα ἀποφέρουσιν, ὅπη μηδεὶς ἅψηται, μηδὲ ἐπιβήσηται. τὰ δ' ἐχρῆν ἐς τὰ ἱερὰ φέροντας τῷ θεῷ ἀποδοῦναι, εἰ δὴ θεός γε ἐστὶν αἴτιος. οὐ μέντοι ἔγωγε ἀξιῶ ὑπὸ θεοῦ, ἀνθρώπου σῶμα μιαίνεσθαι, τὸ ἐπικηρότατον ὑπὸ τοῦ ἁγνοτάτου. ἀλλὰ κἢν τυγχάνῃ ὑπὸ ἑτέρου μεμιασμένον, ἤ τι πεπονθὸς, ἐθέλοι ἂν ὑπὸ τοῦ θεοῦ καθαίρεσθαι, καὶ ἁγνίζεσθαι μᾶλλον ἢ μιαίνεσθαι. τὰ γοῦν μέγιστα τῶν ἁμαρτημάτων καὶ ἀνοσιώτατα, τὸ θεῖόν ἐστι, τὸ καθαῖρον καὶ ἁγνίζον, καὶ ἔρυμα γινόμενον ἡμῖν. αὐτοί τε ὅρους τοῖσι θεοῖσι τῶν ἱερῶν, καὶ τῶν τεμενέων ἀποδεικνύμενοι, ὡς ἂν μηδεὶς ὑπερβαίνοι, ἢν μὴ ἁγνεύοι. εἰσιόντες τε περιρραινόμεθα, οὐχ ὡς μιαινόμενοι, ἀλλ' εἴ τι καὶ πρότερον ἔχομεν μύσος, τοῦτο ἀφαγνιούμενοι. καὶ περὶ μὲν τῶν καθαρμῶν, οὕτω μοι δοκέει ἔχειν. τὸ δὲ νούσημα τοῦτο, οὐδέν τι μοι δοκέει θειότερον εἶναι τῶν λοιπῶν, ἀλλὰ φύσιν μὲν ἔχει, ἣν καὶ τὰ ἄλλα νουσήματα. καὶ πρόφασιν, ὅθεν ἕκαστα γίνεται. φύσιν δὲ τοῦτο καὶ πρόφασιν, ἀπὸ ταὐτοῦ τὸ θεῖον γίνεσθαι, ἀφ' ὅτου καὶ τἄλλα πάντα. καὶ ἰητὸν εἶναι. καὶ οὐδὲν ἧσσον ἑτέρων, ὅτι μὴ ἤδη ὑπὸ χρόνου πολλοῦ καταβεβιασμένον ᾖ, ὥστε ἤδη εἶναι ἰσχυρότερον τῶν φαρμάκων τῶν προσφερομένων. ἄρχεται δὲ ὥσπερ καὶ τἄλλα νουσήματα κατὰ γένος. εἰ γὰρ ἐκ τοῦ φλεγματώδεος, φλεγματώδης. καὶ ἐκ χολώδεος, χολώδης γίνεται. καὶ ἐκ φθινώδεος, φθινώδης. καὶ ἐκ σπληνώδεος, σπληνώδης; τί κωλύει ὅτου πατὴρ καὶ μήτηρ εἴχετο τούτῳ τῷ νοσήματι, τούτῳ καὶ τῶν ἐγγόνων ἔχεσθαι τινά; ὡς ὁ γόνος ἔρχεται πάντοθεν τοῦ σώματος. ἀπό τε τῶν ὑγιηρῶν, ὑγιηρός. ἀπό τε τῶν νοσερῶν, νοσερός. ἕτερον δὲ μέγα τεκμήριον, ὅτι οὐδὲν θειότερόν ἐστι τῶν λοιπῶν νουσημάτων. τοῖσι γὰρ φλεγματώδεσι, φύσει γίνεται. τοῖσι δὲ χολώδεσιν, οὐ προσπίπτει. καί τοι εἰ θειότερόν ἐστι τῶν ἄλλων, τοῖσιν ἅπασιν ὁμοίως ἔδει γίνεσθαι τὴν νοῦσον ταύτην. καὶ μὴ διακρίνειν μήτε χολώδεα, μήτε φλεγματώδεα. ἀλλὰ γὰρ αὐτοῖσιν αἴτιος ὁ ἐγκέφαλος τούτου τοῦ πάθεος, ὥσπερ καὶ τῶν ἄλλων νουσημάτων τῶν μεγίστων. ὅτεῳ δὲ τρόπῳ καὶ ἐξ οἵης προφάσιος γίνεται, ἐγὼ φράσω σαφέως. ὁ ἐγκέφαλος τοῦ ἀνθρώπου, ἐστὶ διπλόος, ὥσπερ καὶ τοῖσιν ἄλλοισι ζώοισιν ἅπασι. τὸ δὲ μέσον αὐτοῦ διαιρέει μῆνιγξ λεπτή. διότι οὐκ αἰεὶ κατὰ τὸ αὐτὸ τῆς κεφαλῆς ἀλγέει, ἀλλ' ἐν μέρει ἑκάτερον. ὁτὲ δὲ ἅπασα. καὶ φλέβες τε ἐς αὐτὸν τείνουσιν ἐξ ἅπαντος τοῦ σώματος, πολλαὶ καὶ λεπταί. δύο δὲ παχεῖαι. ἡ μὲν, ἀπὸ τοῦ ἥπατος. ἡ δὲ, ἀπὸ τοῦ σπληνός. καὶ ἡ μὲν ἀπὸ τοῦ ἥπατος, ὧδ' ἔχει. τὸ μέντοι τῆς φλεβὸς, κάτω τείνει, διὰ τῶν ἐπὶ δεξιὰ παρ' αὐτὸν τὸν νεφρὸν καὶ τὴν ψύην, ἐς τὸ ἐντὸς τοῦ μηροῦ, καὶ καθήκει ἐς τὸν πόδα, καὶ καλέεται κοίλη φλέψ. ἡ δὲ ἑτέρη, ἄνω τείνει διὰ φλεβῶν τῶν δεξιῶν καὶ τοῦ πνεύμονος. ἀπέσχισται δὲ καὶ ἐς τὴν καρδίην, καὶ ἐς τὸν βραχίονα τὸν δεξιόν. τὸ δὲ λοιπὸν, ἄνω φέρει διὰ τῆς κληΐδος ἐς τὰ δεξιὰ τοῦ αὐχένος, ἐς αὐτὸ τὸ δέρμα, ὥστε κατάδηλος εἶναι. παρὰ δὲ τὸ οὖς κρύπτεται. καὶ ἐνταῦθα σχίζεται. καὶ τὸ μὲν παχύτατον καὶ μέγιστον καὶ κοιλότατον, ἐς τὸν ἐγκέφαλον τελευτᾷ. τὸ δὲ, ἐς τὸ οὖς τὸ δεξιὸν, φλέβιον λεπτόν. τὸ δὲ, ἐς τὸν ὀφθαλμὸν τὸν δεξιόν. τὸ δὲ, ἐς τὸν μυκτῆρα. ἀπὸ μὲν τοῦ ἥπατος, οὕτως ἔχει τῶν φλεβῶν. διατέταται δὲ καὶ ἀπὸ τοῦ σπληνὸς φλέψ, ἐς τὰ ἀριστερὰ καὶ κάτω καὶ ἄνω, ὥσπερ καὶ ἀπὸ τοῦ ἥπατος. λεπτοτέρη δὲ καὶ ἀσθενεστέρη. κατὰ ταύτας δὲ τὰς φλέβας καὶ ἐσαγόμεθα τὸ πουλὺ τοῦ πνεύματος. αὗται γὰρ ἡμέων εἰσὶν ἀναπνοαὶ τοῦ σώματος, τὸν ἠέρα ἐς σφᾶς ἕλκουσαι. καὶ ἐς τὸ σῶμα τὸ λοιπὸν ὀχετεύουσαι. καὶ κατὰ τὰ φλέβια. καὶ ἀναψύχουσι καὶ πάλιν ἀφιᾶσιν. οὐ γὰρ οἷόν τε τὸ πνεῦμα στῆναι, ἀλλὰ χωρέει ἄνω καὶ κάτω. ἢν γὰρ στῇ που καὶ ἀποληφθῇ, ἀκρατὲς γίνεται ἐκεῖνο τὸ μέρος, ὅπου ἂν στῇ. τεκμήριον δὲ, ὁκόταν γὰρ καθημένῳ ἢ κατακειμένῳ φλέβια πιεσθῇ, ὥστε τὸ πνεῦμα μὴ διεξιέναι ἀπὸ τῆς φλεβὸς, εὐθὺς νάρκη ἔχει. περὶ μὲν τῶν φλεβῶν τῶν λοιπῶν, οὕτως ἔχει. ἡ δὲ νοῦσος αὕτη γίνεται. τοῖσι μὲν, φλεγματίῃσι. τοῖσι δὲ χολώδεσιν, οὔ. ἄρχεται δὲ φύεσθαι ἐπὶ τοῦ ἐμβρύου ἔτι ἐν τῇ μήτρῃ ἐόντος. καθαίρεται γὰρ καὶ ἀνθέει, ὥσπερ τἄλλα μέρεα πρὶν γενέσθαι, καὶ ὁ ἐγκέφαλος. ἐν ταύτῃ δὲ τῇ καθάρσει. ἢν μὲν καλῶς καὶ μετρίως καθαρθῇ, καὶ μήτε πλεῖον μήτε ἔλασσον τοῦ δέοντος ἀπορρυῇ, οὕτως ὑγιεινοτάτην τὴν κεφαλὴν ἔχει. ἢν δὲ πλείων ἀπὸ παντὸς τοῦ ἐγκεφάλου γένηται ἡ ἀπότηξις, νοσώδεά τε τὴν κεφαλὴν ἕξει αὐξόμενος, καὶ ἤχου πλέην. καὶ οὔτε ἥλιον, οὔτε ψύχος ἀνέξεται. ἢν δὲ ἀπὸ ἑνός τινος γένηται, ἢ ἀπὸ ὀφθαλμοῦ, ἢ οὔατος. ἢ φλέψ τις συνισχνανθῇ, ἐκεῖνος κακοῦται οὕτως, ὁκοίως ἂν καὶ τῆς ἀποτήξιος ἔχῃ. ἢν δὲ κάθαρσις μὴ ἐπιγένηται, ἀλλὰ ξυστραφῇ τῷ ἐγκεφάλῳ, οὕτως ἀνάγκη φλεγματώδεα εἶναι. καὶ ὁκόσοισι μὲν παιδίοισιν ἐοῦσιν ἐξανθέει ἕλκεα ἐς τὴν κεφαλὴν, καὶ ἐς τὰ οὔατα, καὶ ἐς τὸν ἄλλον χρῶτα, καὶ σιαλώδεα γένηται καὶ μυξόρροα, ταῦτα μὲν ῥήϊστα διάγει προϊούσης τῆς ἡλικίης. ἐνταῦθα γὰρ ἀφίει καὶ καθαίρεται τὸ φλέγμα, ὃ ἐχρῆν ἐς τὴν μήτρην καθαρθῆναι. καὶ τὰ οὕτω καθαρ-

θέντα, οὐκ ἐπίληπτα γίνεται, ταύτῃ τῇ νούσῳ ὡς ἐπὶ τὸ πολύ. ὁκόσα δὲ καθαρά ἐστι καὶ μήτε ἕλκος μηδὲν, μήτε μύξα, μήτε σίαλον προέρχεται μηδὲν, μήτε ἐν τῇσι μήτρῃσι πεποίηται τὴν κάθαρσιν, τοῖσι τοιούτοισιν ἐπικίνδυνόν ἐστιν ἁλίσκεσθαι ὑπὸ ταύτης τῆς νούσου. ἢν δὲ ἐπὶ τὴν καρδίην ποιήσηται ὁ κατάρρους τὴν πορείην, παλμὸς ἐπιλαμβάνει καὶ ἄσθματα, καὶ τὰ στήθεα διαφθείρεται. ἔνιοι δὲ καὶ κυφοὶ γίνονται. ὁκόταν γὰρ ἐπικατελθῇ τὸ φλέγμα ψυχρὸν ἐπὶ τὸν πνεύμονα, ἢ ἐπὶ τὴν καρδίην, ἀποψύχεται τὸ αἷμα. αἱ δὲ φλέβες πρὸς βίην ψυχόμεναι, πρὸς τῷ πνεύμονι καὶ τῇ καρδίῃ πηδῶσι. καὶ ἡ καρδίη πάλλεται, ὥστε ὑπὸ τῆς ἀνάγκης ταύτης τὰ ἄσθματα ἐπιπίπτειν, καὶ τὴν ὀρθοπνοίην. οὐ γὰρ δέχεται τὸ πνεῦμα ὅσον ἐθέλει, μέχρις ἂν κρατηθῇ ὑπὸ τοῦ φλέγματος τὸ ἐπιρρυέν. καὶ διαθερμανθὲν διαχυθῇ ἐς τὰς φλέβας. ἔπειτα παύεται τοῦ παλμοῦ καὶ τοῦ ἄσθματος. παύεται δὲ, ὅκως ἂν τοῦ πλήθεος ἔχῃ. ἢν μὲν γὰρ πλέον ἐπικαταρρυῇ, σχολαίτερον. ἢν δὲ ἔλασσον, θᾶσσον. καὶ ἢν μὲν πυκνότεροι ἔωσιν οἱ κατάρροοι, πυκνότερα ἐπίληπτος γίνεται. ταῦτα μὲν οὖν πάσχει, ἢν ἐπὶ τὸν πνεύμονα καὶ τὴν καρδίην ἴῃ. ἢν δὲ ἐς τὴν κοιλίην, διάρροιαι λάβωσιν. ἢν δὲ τουτέων μὲν τῶν ὁδῶν ἀποκλεισθῇ, ἐς δὲ τὰς φλέβας ἃς προείρηκα τὸν κατάρροον ποιήσηται, ἄφωνός τε γίνεται καὶ πνίγεται. καὶ ἀφρὸς ἐκ τοῦ στόματος ἐκρέει. καὶ οἱ ὀδόντες συνηρείκασι. καὶ αἱ χεῖρες συσπῶνται. καὶ τὰ ὄμματα διαστρέφονται. καὶ οὐδὲν φρονέουσιν. ἐνίοισι δὲ καὶ ὑποχωρέει ἡ κόπρος κάτω. καὶ ταῦτα γίνεται, ὁτὲ μὲν ἐπ' ἀριστερά. ὁτὲ δὲ, ἐς τὰ δεξιά. ὁτὲ δὲ, ἐς ἀμφότερα. ὅκως δὲ τούτων ἕκαστον πάσχει, ἐγὼ φράσω. ἄφωνος μέν ἐστιν, ὁκόταν ἐξαίφνης τὸ φλέγμα ἐπικατελθὸν ἐς τὰς φλέβας, ἀποκλείσῃ τὸν ἠέρα, καὶ μὴ παραδέχηται, μήτε ἐς τὸν ἐγκέφαλον, μήτε ἐς τὰς φλέβας τὰς κοίλας, μήτε ἐς τὰς κοιλίας. ἀλλ' ἐπιλάβῃ τὴν ἀναπνοήν. ὅταν γὰρ ἐπιλάβῃ ἄνθρωπος κατὰ τὸ στόμα καὶ τοὺς μυκτῆρας, τὸ πνεῦμα πρῶτον μὲν, ἐς τὸν ἐγκέφαλον ἔρχεται. ἔπειτα δὲ, ἐς τὴν κοιλίην τὸ πλεῖστον μέρος. τὸ δὲ, ἐπὶ τὸν πνεύμονα. τὸ δὲ, ἐπὶ τὰς φλέβας. ἐκ τουτέων δὲ, σκίδναται ἐς τὰ λοιπὰ μέρεα κατὰ τὰς φλέβας. καὶ ὅσον μὲν ἐς τὴν κοιλίην, διαψύχει, καὶ ἄλλό τι οὐδὲν ξυμβάλλεται. τοῦτο δ' ἐς τὸν πνεύμονα. ὁ δὲ ἐς τὰς φλέβας ἀὴρ, ξυμβάλλεται ἐς τὰς κοιλίας εἰσιὼν καὶ ἐς τὸν ἐγκέφαλον. καὶ οὕτω τὴν φρόνησιν καὶ τὴν κίνησιν τοῖσι μέλεσι παρέχει. ὥστε ἐπειδὰν ἀποκλεισθῶσιν αἱ φλέβες τοῦ ἠέρος ὑπὸ τοῦ φλέγματος, καὶ μὴ παραδέχωνται, ἄφωνον καθιστᾶσι καὶ ἄφρονα τὸν ἄνθρωπον. αἱ δὲ χεῖρες ἀκρατέες γίνονται καὶ σπῶνται, τοῦ αἵματος ἀτρεμίσαντος καὶ οὐ διαδεχομένου ὥσπερ εἰώθει. καὶ οἱ ὀφθαλμοὶ διαστρέφονται τῶν φλεβίων, ἀποκλειομένων τοῦ ἠέρος, καὶ σφύζονται. ἀφρὸς δὲ ἐκ τοῦ στόματος προέρχεται, ἐκ τοῦ πνεύμονος. ὅταν γὰρ τὸ πνεῦμα μὴ εἰσίῃ ἐς ἑωυτὸν, ἀφρέει καὶ ἀναβλύει, ὥσπερ ἀποθνήσκων. ἡ δὲ κόπρος ὑπέρχεται ὑπὸ βίης πνιγομένου. πνίγεται δὲ, τοῦ ἥπατος καὶ τῆς κοιλίης ἄνω πρὸς τὰς φρένας προσπεπτωκότων. καὶ τοῦ στομάχου τῆς γαστρὸς ἀπειλημμένου. προσπίπτει δὲ, ὁκόταν τὸ πνεῦμα μὴ εἰσίῃ ἐς τὸ στόμα ὅσον εἰώθει. λακτίζει δὲ τοῖσι ποσὶν, ὁκόταν ὁ ἀὴρ ἀποκλεισθῇ ἐν τοῖσι σκέλεσι, καὶ μὴ οἷός τε ᾖ διεκδῦναι ἔξω, ὑπὸ τοῦ φλέγματος. ἀΐσσων διὰ τοῦ αἵματος, ἄνω καὶ κάτω σπασμὸν ἐμποιέει καὶ ὀδύνην, διὸ λακτίζει. ταῦτα δὲ πάσχει πάντα, ὁκόταν τὸ φλέγμα ψυχρὸν παραρρυῇ, ἐς τὸ αἷμα θερμὸν ἐόν. ἀποψύχει γὰρ καὶ ἵστησι τὸ αἷμα. κἢν μὲν τὸ ῥεῦμα πουλὺ ᾖ καὶ παχὺ, αὐτίκα ἀποκτείνει. κρατέει γὰρ τοῦ αἵματος τῷ ψύχει καὶ πήγνυσιν. ἢν δὲ ἔλασσον ᾖ, τὸ μὲν παραυτίκα κρατέει, ἀποφράξαν τὴν ἀναπνοήν. ἔπειτα τῷ χρόνῳ, ὁκόταν σκιδνασθῇ κατὰ τὰς φλέβας, καὶ μιγῇ τῷ αἵματι πολλῷ ἐόντι καὶ θερμῷ, ἢν κρατηθῇ οὕτως, ἐδέξαντο τὸν ἠέρα αἱ φλέβες, καὶ ἐφρόνησαν. καὶ ὁκόσα μὲν παιδία σμικρὰ κατάληπτα γίνεται τῇ νούσῳ ταύτῃ, τὰ πολλὰ ἀποθνήσκει, ἢν πουλὺ τὸ ῥεῦμα ἐπιγένηται, καὶ νότιον ᾖ. τὰ γὰρ φλέβια λεπτὰ ἐόντα, οὐ δύναται παραδέχεσθαι τὸ φλέγμα ὑπὸ πάχεος καὶ πλήθεος, ἀλλ' ἀποψύχεται καὶ πήγνυται τὸ αἷμα, καὶ οὕτως ἀποθνήσκει. ἢν δὲ ὀλίγον ᾖ ἐπ' ἀμφοτέρας τὰς φλέβας τὸν κατάρροον ποιήσηται, ἢ ἐς τὰς ἐπὶ θάτερα περιγίνηται, ἐπίσημα ἐόντα. ἢ γὰρ στόμα παρασπᾶται, ἢ ὀφθαλμὸς, ἢ αὐχὴν, ἢ χεὶρ, ὁκόθεν ἂν τὸ φλέβιον πληρωθὲν τοῦ φλέγματος, κρατηθῇ καὶ ἀπισχνωθῇ. τούτῳ οὖν τῷ φλεβίῳ, ἀνάγκη ἀσθενέστερον εἶναι. καὶ ἐνδεέστερον τοῦτο τοῦ σώματος τὸ βλαβέν. ἐς δὲ τὸν πλείονα χρόνον, ὠφελέει ὡς ἐπὶ τὸ πολύ. οὐ γὰρ ἔτι ἐπίληπτον γίνεται, ἢν ἅπαξ ἐπισημανθῇ. διὰ τόδε ὑπὸ τῆς ἀνάγκης ταύτης αἱ φλέβες αἱ λοιπαὶ κακοῦνται. καὶ μέρος τι συνισχναίνονται. ὡς τὸν μὲν ἠέρα δέχεσθαι, τὸν δὲ τοῦ φλέγματος κατάρροον, μηκέτι ὁμοίως παραρρέειν. ἀσθενέστερα μέντοι ὁμοίως τὰ μέλεα εἰκὸς εἶναι, τῶν φλεβῶν κακωθεισῶν. ὁκόσοισι δ' ἄν τε λείοισί τε, καὶ πάνυ ὀλίγον παραρρυῇ, καὶ ἐς τὰ δεξιὰ ἀσήμως περιγίνονται. κίνδυνος δὲ ξυντραφῆναι καὶ ξυναυξηθῆναι, ἢν μὴ θεραπευθῶσι τοῖσιν ἐπιτηδείοισι. τοῖσι μὲν οὖν παιδίοισιν οὕτω γίνεται, ἢ ὅτι τούτων ἐγγυτάτω. τοὺς δὲ πρεσβυτέρους οὐκ ἀποκτείνει ὁκόταν ἐπιγένηται, οὐδὲ διαστρέφει. αἵ τε γὰρ φλέβες εἰσὶ κοῖλαι, καὶ αἵματος μεσταὶ θερμοῦ, ὅ, τι οὐ δύναται ἐπικρατῆσαι τὸ φλέγμα, οὐδ' ἀποψύξαι τὸ αἷμα, ὥστε καὶ πῆξαι. ἀλλ' αὐτὸ κρατέεται καὶ καταμίγνυται τῷ αἵματι ταχέως. καὶ οὕτω παραδέχονται αἱ φλέβες τὸν ἠέρα, καὶ τὸ φρόνημα γίνεται. τά τε σημεῖα τὰ προειρημένα, ἧσσον ἐπιλαμβάνει διὰ τὴν ἰσχύν. τοῖσι δὲ πρεσβυτέ-

ποιοῦσιν, ὁκόταν ἐπιγένηται τοῦτο τὸ νόσημα, διὰ τοῦτο ἀποκτείνει, ἢ παράπληκτον ποιέει, ὅτι αἱ φλέβες κενεῶνται, καὶ τὸ αἷμα ὀλίγον τε ἐστὶ, καὶ λεπτὸν, καὶ ὑδαρές. ἢν μὲν οὖν πολὺ καταῤῥυῇ, καὶ χειμῶνος καιρὸς, ἀποκτείνει. ἀπέπνιξε γὰρ τὰς ἀναπνοὰς, καὶ ἀπέπηξε τὸ αἷμα ἢν ἐς ἀμφότερα ὁ κατάῤῥοος γένηται. ἢν δὲ ἐπὶ θάτερα μοῦνον, παράπληκτον ποιέει. οὐ γὰρ δύναται τὸ αἷμα ἐπικρατῆσαι τοῦ φλέγματος, λεπτὸν ἐὸν καὶ ψυχρὸν καὶ ὀλίγον, ἀλλ' αὐτὸ κρατηθὲν, ἐπάγη. ὥστε ἀκρατέα εἶναι ἐκεῖνα, καθ' ἃ τὸ αἷμα διεφθάρη. ἐς δὲ τὰ δεξιὰ μᾶλλον καταῤῥέει, ἢ ἐς τὰ ἀριστερὰ, ὅτι αἱ φλέβες εἰσὶ κοιλότεραι καὶ πλείονες, ἢ ἐν τοῖσιν ἀριστεροῖσιν. ἀπὸ γὰρ τοῦ ἥπατος τείνουσι, καὶ ἀπὸ τοῦ σπληνός. ἐπικαταῤῥέει δὲ καὶ ἀποτήκεται, τοῖσι μὲν παιδίοισι, μάλιστα, οἷσιν ἂν διαθερμανθῇ ἡ κεφαλὴ, ἤν τε ὑπὸ ἡλίου, ἤν τε ὑπὸ πυρός. ἤν τε ἐξαπίνης φρίξῃ ὁ ἐγκέφαλος, καὶ τότε ἀποκρίσεται τὸ φλέγμα. ἀποτήκεται μὲν γὰρ ἐκ τῆς θέρμης, καὶ διαχύσιος τοῦ ἐγκεφάλου. ἀποκρίνεται δὲ, ἀπὸ τῆς ψύξιος τε καὶ ξυστάσιος. καὶ οὕτως ἐπικαταῤῥέει τοῖς μὲν, αὕτη ἡ πρόφασις γίνεται. τοῖσι δὲ, καὶ ἐπειδὰν ἐξαπίνης μετὰ βόρεια πνεύματα νότος μεταβάλῃ, ξυνεστηκότα τὸν ἐγκέφαλον καὶ ἀσθενέοντα ἔλυσεν καὶ ἐχάλασεν ἐξαίφνης, ὥστε πλημμυρέειν τὸ φλέγμα καὶ οὕτω τὸν κατάῤῥοον ποιέεται. ἐπικαταῤῥέει δὲ καὶ ἐξ ἀδήλου φόβου γινομένου, ἢν δείσῃ μὲν ἢ βοήσαντος τινός. ἢ καὶ μεταξὺ κλαίων, μὴ οἷός τε ἔῃ τὸ πνεῦμα ταχέως ἀναλαβεῖν, οἷα γίνεται παιδίοισι πολλάκις. ὅ, τι ἂν τούτων αὐτῶν γίνηται, εὐθὺς ἔφριξε τὸ σῶμα. καὶ ἄφωνος γενόμενος τὸ πνεῦμα οὐχ εἵλκυσεν. ἀλλὰ τὸ πνεῦμα ἠρέμησε, καὶ ὁ ἐγκέφαλος ξυνέστη, καὶ τὸ αἷμα ἔστη, καὶ οὕτως ἀπεκρίθη καὶ ἐπικατεῤῥύη τὸ φλέγμα. τοῖσι μὲν παιδίοισιν, αὗται αἱ προφάσιες τῆς ἐπιλήψιος εἰσὶ τὴν ἀρχήν. τοῖσι δὲ πρεσβύτῃσι, χειμὼν πολεμιώτατός ἐστιν. ὅταν γὰρ παρὰ πυρὶ πολλῷ διαθερμανθῇ τὴν κεφαλὴν καὶ τὸν ἐγκέφαλον, ἔπειτα ἐν ψύχει γένηται, καὶ ῥιγώσῃ, καὶ ἐκ ψύχεος εἰς ἀλέην ἔλθῃ, καὶ παρὰ πῦρ καθίσῃ, καὶ αὐτὸ τοῦτο πάσχει. καὶ οὕτως ἐπίληπτος γίνεται κατὰ τὰ προειρημένα. κίνδυνος δὲ πολὺς καὶ ἦρος παθέειν, τὸ αὐτὸ τοῦτο ἢν ἡλιωθῇ ἡ κεφαλή. τοῦ δὲ θέρεος, ἥκιστα. οὐ γὰρ γίνονται μεταβολαὶ ἐξαπιναῖοι. ὁκόταν δὲ εἴκοσιν ἔτεα παρέλθῃ, οὐκέτι ἡ νοῦσος αὕτη ἐπιλαμβάνει, ἢν μὴ ἐκ παιδίου συντρόφος ἔῃ, ἀλλ' ἢ ὀλίγους, ἢ οὐδένα. αἱ γὰρ φλέβες μεσταί εἰσιν αἵματος. καὶ ὁ ἐγκέφαλος συνέστηκεν, καὶ ἔστι στρυφνὸς, ὥστε οὐκ ἐπικαταῤῥέει ἐπὶ τὰς φλέβας. ἢν δ' ἐπικαταῤῥυῇ, τοῦ αἵματος οὐκ ἐπικρατέει, πολλοῦ καὶ θερμοῦ ἐόντος. ᾧ δὲ ἀπὸ παιδίου συνηύξηται, καὶ συνέτροφεν, ἔθος πεποίηκεν ἐν τῇσι μεταβολῇσι τῶν πνευμάτων τοῦτο πάσχειν, καὶ ἐπίληπτον ὡς τὰ πολλὰ γίνεσθαι, καὶ μάλιστα ἐν τοῖσι νοτίοισιν, ἥ τε ἀπάλλαξις χαλεπὴ γίνεται. ὁ γὰρ ἐγκέφαλος ὑγρότερος γίνεται τῆς φύσιος, καὶ πλημμυρέει ὑπὸ τοῦ φλέγματος, ὥστε τοὺς μὲν καταῤῥόους, πυκνοτέρους γίνεσθαι. ἐκκριθῆναι δὲ, μηκέτι οἷόν τε εἶναι τὸ φλέγμα, μὴ δὲ ἀναξηρανθῆναι τὸν ἐγκέφαλον, ἀλλὰ διαβρέχεσθαι, καὶ εἶναι ὑγρόν. γνοίη δ' ἄν τις τόδε μάλιστα, τοῖσι προβάτοισι, τοῖσι καταλήπτοισι γινομένοισιν ὑπὸ τῆς νόσου ταύτης, καὶ μάλιστα τῇσιν αἰξὶ, αὗται γὰρ πυκνότατα λαμβάνονται, ἢν διακόψῃς τὴν κεφαλὴν, εὑρήσεις τὸν ἐγκέφαλον ὑγρὸν ἐόντα. καὶ ἱδρῶτος περίπλεων. καὶ κακὸν ὄζοντα. καὶ ἐν τούτῳ δηλονότι γνώσῃ, ὅτι οὐχ ὁ θεὸς τὸ σῶμα λυμαίνεται, ἀλλ' ἡ νόσος. οὕτω δ' ἔχει καὶ τῷ ἀνθρώπῳ. ὁκόταν γὰρ ὁ χρόνος γένηται τῇ νούσῳ, οὐκέτι ἰήσιμος γίνεται. διεσθίεται γὰρ ὁ ἐγκέφαλος ὑπὸ τοῦ φλέγματος καὶ τήκεται. τὸ δὲ ἀποτηκόμενον, ὕδωρ γίνεται. καὶ περιέχει τὸν ἐγκέφαλον ἐκτὸς καὶ περικλύζει. καὶ διὰ τοῦτο πυκνότερον ἐπίληπτοι γίνονται καὶ ῥᾷον. διὸ δὴ πουλυχρόνιος ἡ νοῦσος, ὅτι τὸ ἐπιῤῥέον λεπτόν ἐστιν ὑπὸ πολυπληθείης. καὶ εὐθὺς κρατέεται ὑπὸ τοῦ αἵματος καὶ διαθερμαίνεται. ὁκόσοι δὲ ἤδη ἐθάδες εἰσὶ τῇ νούσῳ, προγινώσκουσιν ὁκόταν μέλλωσι λήψεσθαι, καὶ φεύγουσιν ἐκ τῶν ἀνθρώπων. ἢν μὲν ἐγγὺς αὐτῶν ὁ οἶκος ἔῃ, οἴκαδε. ἢν δὲ μὴ, ἐς τὸ ἐρημότατον, ὅπῃ μέλλουσιν ὄψεσθαι αὐτὸν ἐλάχιστοι πεσόντα, εὐθύς τε ἐγκαλύπτεται. τοῦτο δὲ ποιέει ὑπ' αἰσχύνης τοῦ πάθεος, καὶ οὐχ, ὑπὸ φόβου, ὡς οἱ πολλοὶ νομίζουσι, τοῦ δαιμονίου. τὰ δὲ παιδάρια τὸ μὲν πρῶτον πίπτουσιν ὅπῃ ἂν τύχωσιν ὑπὸ ἀηθείης. ὅταν δὲ πλεονάκις κατάληπτοι γίνωνται, ἐπειδὰν προαίσθωνται, φεύγουσι παρὰ τὰς μητέρας, ἢ παρὰ ἄλλον ὅν τινα μάλιστα γινώσκουσιν ὑπὸ δέους καὶ φόβου τῆς πάθης. τὸ γὰρ αἰσχύνεσθαι παῖδες ὄντες, οὔπω γινώσκουσιν. ἐν δὲ τῇσι μεταβολῇσι τῶν πνευμάτων, διὰ τάδε φημὶ ἐπιλήπτους γίνεσθαι, καὶ μάλιστα τοῖσι νοτίοισιν. ἔπειτα καὶ τοῖσι βορείοισιν. ἔπειτα καὶ τοῖσι λοιποῖσι πνεύμασι. ταῦτα δέ ἐστιν, ὅσα τῶν πνευμάτων ἰσχυρότατά ἐστι, καὶ ἀλλήλοισιν ἐναντιώτατα κατὰ τὴν στάσιν καὶ κατὰ τὴν δύναμιν. ὁ μὲν γὰρ βορέης, ξυνίστησι τὸν ἠέρα. καὶ τὸ θολερόν τε καὶ τὸ νεφελῶδες, ἐκκρίνει. καὶ λαμπρότερον καὶ διαφανέα ποιέει. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ τἄλλα πάντα ἐκ τῆς θαλάσσης ἀρξάμενα, καὶ τῶν ἄλλων ὑδάτων. ἐκκρίνει γὰρ ἐξ ἁπάντων τὴν νοτίδα καὶ τὸ δνοφερὸν, καὶ ἐξ αὐτῶν τῶν ἀνθρώπων, διὸ καὶ ὑγιεινότατός ἐστι τῶν ἀνέμων. ὁ δὲ νότος, τἀναντία τούτῳ ἐργάζεται. πρῶτον μὲν γὰρ ἄρχεται

τὸν ἠέρα ξυνεστεῶτα τήκειν καὶ διαχέειν. καθότι καὶ οὐκ εὐθὺς πνέει μέγας, ἀλλὰ γαληνίζει πρῶτον, ὅτι οὐ δύναται ἐπικρατῆσαι τοῦ ἠέρος αὐτίκα, τοῦ πρόσθεν πυκνοῦ τε ἐόντος, καὶ ξυνεστηκότος, ἀλλὰ τῷ χρόνῳ διαλύει. τὸ δ' αὐτὸ τοῦτο καὶ τὴν γῆν ἐργάζεται, καὶ τὴν θάλασσαν, καὶ τοὺς ποταμοὺς, καὶ τὰς κρήνας, καὶ τὰ φρέατα, καὶ ὅσα φύεται, καὶ ἐν οἷσιν ὑγρὸν ἔνεστιν. ἔστι δὲ ἐν παντὶ ἐν μὲν τῷ, πλέον. ἐν δὲ τῷ, ἔλασσον. ἅπαντα δὲ ταῦτα, αἰσθάνεται τοῦ πνεύματος τούτου. καὶ ἔκ τε λαμπρῶν, δνοφώδεα γίνεται. ἔκ τε ψυχρῶν, θερμά. καὶ ἐκ ξηρῶν, νοτώδεα. ὁκόσα τε ἐν οἰκήμασι κεράμια κατὰ γῆς ἐστὶ μετὰ οἴνου ἢ ἄλλου τινὸς ὑγροῦ, πάντα ταῦτα αἰσθάνεται τοῦ νότου, καὶ διαλλάσσει τὴν μορφὴν εἰς ἕτερον εἶδος. τὸν δὲ ἥλιον καὶ τὴν σελήνην καὶ τὰ ἄστρα, πουλὺ ἀμβλυωπότερα καθίστησι τῆς φύσιος. ὅτε οὖν καὶ τούτων οὕτω μεγάλων ἐόντων καὶ ἰσχυρῶν τοσοῦτον ἐπικρατέει, καὶ τὸ σῶμα ποιέει αἰσθάνεσθαι, καὶ μεταβάλλειν ἐκ τῶν ἀνέμων τούτων ἐν τῇσι μεταλλαγῇσιν, ἀνάγκη τοῖσι μὲν νοτίοισι λύεσθαί τε καὶ φλυδᾶν τὸν ἐγκέφαλον, καὶ τὰς φλέβας χαλαρωτέρας εἶναι. τοῖσι δὲ βορείοισι, ξυνίστασθαι τὸ ὑγιηρότατον τοῦ ἐγκεφάλου. τὸ δὲ νοσερώτατον καὶ ὑγρότατον, ἐκκρίνεσθαι καὶ περικλύζειν ἔξωθεν. καὶ οὕτω τοὺς καταῤῥόους ἐπιγίνεσθαι ἐν τῇσι μεταβολῇσι τῶν πνευμάτων τούτων. οὕτως ἡ νοῦσος αὕτη γίνεται καὶ θάλλει ἀπὸ τῶν προσιόντων τε καὶ ἀπιόντων. καὶ οὐδέν ἐστιν ἀπορωτέρη τῶν ἄλλων, οὔτε ἰᾶσθαι, οὔτε γνῶναι. οὔτε θειοτέρη ἢ ὡς αἱ ἄλλαι. εἰδέναι δὲ χρὴ ἀνθρώπους, ὅτι ἐξ οὐδενὸς ἡμῖν αἱ ἡδοναὶ γίνονται. καὶ αἱ εὐφροσύναι. καὶ γέλωτες. καὶ παιδιαὶ, ἢ ἐντεῦθεν. καὶ λῦπαι. καὶ ἀνίαι, καὶ δυσφροσύναι. καὶ κλαυθμοί. καὶ τούτῳ φρονέομεν μάλιστα καὶ νοέομεν. καὶ βλέπομεν. καὶ ἀκούομεν. καὶ γινώσκομεν τά τε αἰσχρὰ καὶ τὰ καλά. καὶ τὰ κακὰ καὶ ἀγαθά. καὶ ἡδέα καὶ ἀηδέα. τὰ μὲν, νόμῳ διακρίνοντες. τὰ δὲ, τῷ συμφέροντι αἰσθανόμενοι. τῷ δὲ τὰς ἡδονὰς καὶ τὰς ἀηδίας, τοῖσι καιροῖσι διαγινώσκοντες. καὶ οὐ ταῦτα ἀρέσκει ἡμῖν, τῷ δὲ αὐτῷ τούτῳ καὶ μαινόμεθα καὶ παραφρονέομεν. καὶ δείματα καὶ φόβοι παρίστανται ἡμῖν. τὰ μὲν, νύκτωρ. τὰ δὲ, μεθ' ἡμέρην. καὶ ἐνύπνια καὶ πλάνοι ἄκαιροι. καὶ φροντίδες οὐχ ἱκνεύμεναι καὶ ἀγνωσίη τῶν καθεστεώτων. καὶ ἀηθίη. καὶ ἀπειρίη. καὶ ταῦτα πάσχομεν ἀπὸ τοῦ ἐγκεφάλου πάντα, ὅταν οὗτος μὴ ὑγιαίνῃ, ἀλλ' ἢ θερμότερος τῆς φύσιος γένηται, ἢ ψυχρότερος, ἢ ὑγρότερος, ἢ ξηρότερος, ἤ τι ἄλλο πεπόνθῃ πάθος παρὰ τὴν φύσιν, ὃ μὴ εἰώθει. καὶ μαινόμεθα μὲν ὑπὸ ὑγρότητος. ὁκόταν γὰρ ὑγρότερος τῆς φύσιος ἔῃ, ἀνάγκη κινέεσθαι. κινευμένου δὲ τοῦ πάθεος, μήτε τὴν ὄψιν ἀτρεμίζειν, μήτε τὴν ἀκοὴν, ἀλλ' ἄλλοτε ἄλλο ὁρᾶν καὶ ἀκούειν. τήν τε γλῶσσαν τοιαῦτα διαλέγεσθαι, οἷα ἂν βλέπῃ τε καὶ ἀκούῃ ἑκάστοτε. ὁκόσον δ' ἂν ἀτρεμήσῃ ὁ ἐγκέφαλος χρόνον, τοσοῦτον καὶ φρονέει ὁ ἄνθρωπος. γίνεται δὲ ἡ διαφθορὴ τοῦ ἐγκεφάλου, ὑπὸ φλέγματος καὶ χολῆς. γνώσῃ δὲ ἑκάτερα, ὧδε. οἱ μὲν γὰρ ὑπὸ τοῦ φλέγματος μαινόμενοι, ἥσυχοί τε εἰσὶ, καὶ οὐ βοῶσιν, οὐδὲ θορυβέουσιν. οἱ δὲ ὑπὸ χολῆς, κεκράκται καὶ κακοῦργοι, καὶ οὐκ ἀτρεμαῖοι. καὶ ἐπὶ ἄκαιρον δρῶντες. ἢν μὲν οὖν ξυνεχέως μαίνωνται, αὗται αὐτοῖς αἱ προφάσιες εἰσίν. ἢν δὲ δείματα καὶ φόβοι παριστῶνται, ὑπὸ μεταστάσιος τοῦ ἐγκεφάλου. μεθίσταται δὲ, θερμαινόμενος. θερμαίνεται δὲ, ὑπὸ τῆς χολῆς, ὁκόταν ὁρμήσῃ ἐπὶ τὸν ἐγκέφαλον, κατὰ τὰς φλέβας τὰς αἱματίτιδας ἐκ τοῦ σώματος. καὶ φόβος παρέστηκε, μέχρις ἀπέλθῃ πάλιν ἐπὶ τὰς φλέβας καὶ τὸ σῶμα. ἔπειτα πέπαυται. ἀνιᾶται δὲ καὶ ἀσᾶται παρὰ καιρὸν, ψυχομένου τοῦ ἐγκεφάλου, καὶ ξυνισταμένου παρὰ τὸ ἔθος. τοῦτο δὲ ὑπὸ φλέγματος πάσχει. ὑπ' αὐτοῦ δὲ τοῦ πάθεος καὶ ἐπιλήθεται. ἐκ νυκτῶν δὲ βοᾷ καὶ κέκραγεν, ὁκόταν ἐξαπίνης ὁ ἐγκέφαλος διαθερμαίνηται. τοῦτο δὲ πάσχουσι οἱ χολώδεες. οἱ φλεγματώδεες δὲ, οὐ διαθερμαίνονται. ἐπὴν δὲ τὸ αἷμα ἐπέλθῃ πουλὺ ἐπὶ τὸν ἐγκέφαλον καὶ ἐπιζέσῃ. ἔρχεται δὲ κατὰ τὰς φλέβας πολὺ τὰς προειρημένας. ὁκόταν τυγχάνῃ ὁ ἄνθρωπος ὁρέων ἐνύπνιον φοβερόν. καὶ ἐν τῷ φόβῳ ἔῃ, ὥσπερ οὖν καὶ εἰ ἐγρηγόρει, τότε μᾶλλον τὸ πρόσωπον φλογιᾷ. καὶ οἱ ὀφθαλμοὶ ἐρεύθονται, ὁκόταν φοβῆται. καὶ ἡ γνώμη ἐπινοέῃ τι κακὸν ἐργάσασθαι, οὕτω καὶ ἐν τῷ ὕπνῳ πάσχει. ὁκόταν δὲ ἐπέγρηται, καὶ καταφρονήσῃ, καὶ τὸ αἷμα πάλιν ἀποσκεδασθῇ εἰς τὰς φλέβας τὰς προειρημένας, πέπαυται. κατὰ ταῦτα νομίζω τὸν ἐγκέφαλον δύναμιν πλείστην ἔχειν ἐν τῷ ἀνθρώπῳ. οὗτος γὰρ ἡμῖν ἐστὶ τῶν ἀπὸ τοῦ ἠέρος γινομένων ἑρμηνεὺς, ἢν ὑγιαίνων τυγχάνῃ. τὴν δὲ φρόνησιν αὐτῷ ὁ ἀὴρ παρέχεται. οἱ δὲ ὀφθαλμοὶ, καὶ τὰ οὔατα, καὶ ἡ γλῶσσα, καὶ αἱ χεῖρες, καὶ οἱ πόδες, καὶ οἷα ἂν ὁ ἐγκέφαλος γινώσκῃ, τοιαῦτα ὑπηρετοῦσι. γίνεται γὰρ παντὶ τῷ σώματι τῆς φρονήσιος, ὡς ἂν μετέχῃ τοῦ ἠέρος. ἐς δὲ τὴν σύνεσιν ὁ ἐγκέφαλός ἐστιν ὁ διαγγέλλων. ὁκόταν γὰρ σπάσῃ τὸ πνεῦμα ὁ ἄνθρωπος ἐς ἑωυτὸν, ἐς τὸν ἐγκέφαλον πρῶτον ἀφικνέεται. καὶ οὕτως ἐς τὸ λοιπὸν σῶμα σκίδναται ὁ ἀὴρ, καταλιπὼν ἐν τῷ ἐγκεφάλῳ ἑωυτοῦ τὴν ἀκμὴν, καὶ ὅ τι ἂν ἔῃ φρόνιμόν τε καὶ γνώμην ἔχον. εἰ γὰρ ἐς τὸ σῶμα πρῶτον

ἀφικνέεται, καὶ ὕσδρον ἐς τὸν ἐγκέφαλον, ἢ τῆσι σαρξὶ καὶ ἢ τῆσι φλεψὶ, ἢ ταλαιπωρὴς πλὴ
σίον ἔωσιν, ἐς τὸν ἐγκέφαλον ἀφῖκται θρόμβος ἐπὶ ἐὼν. μὴ οὖν ἀκρησίην, ἀλλ' ἐπιμεμιγμένος τῇ ἰχ-
ῶρι τῇ ἀπὸ τῶν σαρκῶν καὶ τῶν αἱμάτων, ὥς τε μηκέτι εἶναι ἀκέρδεα. διότι φημὶ τὸν ἐγκέφαλον
εἶναι, τὸν θρόμβον ἕνεκα τοῦδε ἔξω. αἱ δὲ φρένες ἄλλως ὄνομα ἔχουσι τῇ τύχῃ κεκτημένον, καὶ τῷ
νόμῳ τῷ δέοντι, οὐδὲ τῇ φύσει, οὐδὲ οἶσίδε ἔπω γε, τίνα δύναμιν ἔχουσιν αἱ φρένες, ὡς τε φρονεῖν
τε καὶ νοεῖν. πολλῷ ἔτι ὁ ἄνθρωπος ὑπὸ χερῶν ὄξ ἀδυκήτου, ἢ ἀέρος θείου, πασσόμενος ἧσσον
λεπόντος. μὴ ὅτι αὐτέων μάλιστα τῷ σώματι· μὴ κοιλίην οὐκ ἔχουσι πρὸς ἣν δέξονται,
ἢ ἀγαθὸν ἢ κακὸν προσιόν, ἀλλ' ὑπ' ἀμφοτέρων τούτων, τεθορύβωνται ὀξέως· πλὴ ἀδυνέίλω τῆς
φύσιος, ἐπεὶ αἰσθάνονταί γε οὐδενὸς πρότερον τῶν ἐν τῷ σώματι ἐνόντων, ἀλλὰ μάτην τοῦτο ἐν
ὄνομα ἔχουσιν. καὶ πλὴ αὐτίλω, ὡς ὄρθρου τὰ πρὸς τὴν ἡμέρην ἄκρον ὄρθρου ὥστε καλέεται, οὐδὲν ἐς πλὴ ἄκοινον 10
ξυμβαλλόμενα. λέγουσι δέ τινες ὡς φρενόμενον τὴν ἡμέρην, καὶ ἐν ἀνιώμενον τοῦτο ὅτι μὴ ἐν φρενῖζον.
ἐν δὲ οὐκ οὕτως ἔχει, ἀλλὰ κατὰ ταῦτα μὲν ὡς ὄρθρου αἱ φρένες. καὶ μᾶλλον ὀξέως τὰς αὐτὰς αἰτίας. ὀξὺ
ἅπαντος γὰρ τοῦ σώματος, φλέβες ἐς αὐτὸν συντείνουσι. καὶ συμπλέσεις ἔχει ὡς τε αἰσθάνεσθαι,
ὧν τις πόνος ἢ σύσασις γίνηται τῷ ἀνθρώπῳ. ἀνάγκη γὰρ καὶ ἀνιώμενον φρίσσειν ἐν τὸ σῶμα. καὶ συν-
τείνεσθαι. καὶ ὑπὸ χάρεσι ται, τῷ κατὰ τοῦτο πάσχειν. διότι ἢ ἡμέρη, αἰσθάνεται τε μάλιστα καὶ
αἱ φρένες. τῆς μὲν τοι φρενήσιος, οὐδὲ πρῶτόν ἐστιν. ἀλλὰ πάντων τουτέων ὁ ἐγκέφαλος αἴτιός ἐστιν,
ὡς ὄρθρου οἷόν καὶ τῆς φρενήσιος καὶ τοῦ ὕδρος πρῶτος αἰσθάνεται ὁ ἐγκέφαλος τῶν ἐν τῷ σώματι
ἐνόντων, οὕτως καὶ ὧν τις μεταβολὴ ἰσχυρότερον γένηται ἐν τῷ ὕδρι, κατὰ τὸν ὦρέων, καὶ αὖ-
τὸς ἑωυτοῦ διάφορος γίνηται ἐν τῷ ὕδρι. ὁ γὰρ ἐγκέφαλος διὰ τοῦτο πρῶτος αἰσθάνεται, διότι μὴ
τὰ νουσήματα ἐς αὐτὸν ἐμπίπτει φημὶ ὀξύτατα, καὶ μέγιστα, καὶ θανατωδέστατα, καὶ διυσκειρώ-
τατα, τοῖσι ἀπείροισι. αὕτη δὲ ἡ νοῦσος ἡ ἱερὴ καλεομένη, ἐκ τῆς αὐτῆς προφασίων γίνεται, ἀφ'
ὧν καὶ αἱ λοιπαὶ, ἀπὸ τῶν προσιόντων καὶ ἀπιόντων. διὰ ψυχίου. ἡλίου. πνευμάτων, μεταβαλλο-
μένων τε, καὶ μηδέποτε ἀρεμιζόντων. ταῦτα δ' ἔστι θεῖα, ὡς τε μηδὲν διακεκρίνεσθαι ἐν νούσημα,
θειότερον τῶν λοιπῶν νουσημάτων νομίζειν, ἀλλὰ πάντα θεῖα, καὶ ἀνθρώπινα πάντα. φύσιν δὲ ἔ-
χει ἴδιην καὶ δύναμιν ἐν ἑωυτῷ. καὶ οὐδὲν ἄπορόν ἐστιν οὐδὲ ἀμήχανον. ἀκριβέα τε τὰ πολέμια ἐστὶ
αὐτοῖσι τοῦτοισιν, ἀφ' ὅτων καὶ γίνεται. ἕτερον γὰρ ἕτερόν, ξοφὸν ἐστὶ. φ δὲ, κάκωσις. τοῦτο οὖν δεῖ
ἐν ἱκρὸν ἐπίσασθαι, ἐν κεφαλῇ διαγινώσκειν ἑκάστου, ὡς αὖ ἐν μὲν, ἀποδώσει ξοφὴ, καὶ αὐξήσει·
ἐν δὲ, ἀφαιρέσει καὶ μειώσει. χρὴ δὲ καὶ ἐν ταύτῃ τῇ νούσῳ, καὶ ἐν τῆσιν ἄλλῃσιν ἀπάσῃσι, μὴ αὔξειν
τὸ νοσῆμα τε, ἀλλὰ σοβεῖν. χρὴ προσφέροντας τῇ νούσῳ τὸ πολεμιώτατον ἑκάστῃ, μὴ τὸ φίλ-
λον καὶ σύνηθες. κατὰ μὲν γὰρ τὴν συνήθειαν, θάλλει καὶ αὔξεται. κατὰ δὲ τὸ πολεμίου, φθίνει 30
καὶ ἀμαυροῦται. ὅς τις δὲ ἐπίσαται ἐν ἀνθρώποις πλὴ τοιαύτην μεταβολὴν, καὶ δύναται ὑγρὸν
καὶ ξηρὸν ποιέειν, καὶ θερμὸν καὶ ψυχρὸν κατὰ διάτης ἐν ἄνθρωπον, οὗτος καὶ τοιούτην πλὴ νοῦ-
σον, ἰώτο ἂν, εἰ τὸν καιρὸν διαγινώσκει τὴν ξυμφορὴν τῶν, ἀπὸ καθαρμῶν καὶ μαγειμάτων, καὶ
πάσῃς ἄλλης βαναυσίης τοιαύτης.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΝΟΥΣΩΝ ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

Ἱπποκράτους γνώσιον ἡ.

Σ αὐτοὺς ἰήσεως θέλη βρωτέον τὸ ὀρθῶς. καὶ βρωτῶν τι ἀποκινέεσθαι. μὴ αὐτιλέγειν 40
ὀρθῶς, σὺν θυμέεσθαι χρὴ τάδε. πρῶτον μὲν, ἀφ' ὧν αἱ νοῦσοι γίνονται πόσεσι τοῖσιν αὐ-
ὁ θρώποισιν. ἔπειτα δὲ, ὁπόσα ἀνάγκαιός ἐχει τὴν νοσημάτων, ὡς ὅταν γένηται εἶναι, ἢ
μακρὴ, ἢ βραχέα. ἢ θανάσιμα, ἢ μὴ θανάσιμα. ἢ ἐμπρόσθιον τι τὸ σώματος γενέσθαι, ἢ μὴ
ἔμπροσθιον. καὶ ὁκόσα ἐπὴν γένηται σύσδιαστα, ἢ κακὰ ἀπ' αὐτέων ἀποβαίνει, ἢ ἀγαθὰ.
καὶ ἀφ' ὁκοίων νουσημάτων, ἐφ' ὁκοῖα μεταπίπτει. καὶ ὁκόσα ἐπιτυχίη ποιέουσιν ἰκτῆροι θραπεύον
τες τὸν ἀσθενέοντος. καὶ ὁκόσα ἀγαθὰ ἢ κακὰ οἱ νοσέοντες σὺν τῆσι νούσοισι πάσχουσι. καὶ ὁκόσα ἀκαι-
ρείη ἢ λέγεται ἢ ποιέεται κατὰ τὸ ἰκτῆρος πρὸς τὸν νοσέοντα, ἢ ἀφ' τὸ νοσέοντος πρὸς τὸν ἰκτῆρα. μὴ
ὁκόσα ἀκαιρέως ποιέεται σὺν τῇ τέχνῃ μὴ λέγεται, μὴ ἃ τὸ ὀρθὰ σὺν αὐτῇ, μὴ ἃ τε μὴ ὀρθὰ. μὴ ὅ, τι αὐ-
τῆς ἀρχὴ, ἢ τελευτὴ, ἢ μέσον, ἢ ἄλλό τι ἀποδεδειγμένον τῶν τοιούτων, ὅ, τι μὴ ὀρθῶς ἔστιν σὺν αὐτῇ
ἓξ, ἢ μὴ ἓξ. μὴ τὰ σμικρὰ μὴ τὰ μεγάλα. μὴ τὰ πουλλὰ μὴ τὰ ὀλίγα. μὴ ὅ, τι ἅπαν ἔστιν σὺν αὐτῇ σύ. μὴ 50
πάντα, μὴ ὅ, τι σύ. μὴ τὰ αὐσιὰ νοήσει τε μὴ εἰπεῖν. μὴ εἰδέναι. μήτε νοήσει, μήτε εἰπεῖν, μήτε ποιήσει.
μὴ ὅ, τι θυχειρίη σὺν αὐτῇ. μὴ ὅ, τι χειρίη. μὴ ὅ, τι καιρὸς. μὴ ὅ τι ἀκαιρίη. μὴ τὰ τυχέων τὰ ἄλλων ἧσι τὸ

ἔοικε, καὶ ὅσιν οὐδὲν ἔοικε. μὴ τὸ σώματος, ὅ, τι θερμὸν ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν. καὶ ὅ, τι ἰσχυρὸν
ἢ ἀδενὲς. ἢ πυκνὸν, ἢ αὐραιὸν. μὴ ὁκόσα τὰ πουλλὰ ἐλίγα γίνεται, ἢ ὠδὶ ἀκίνητον, ἢ ἐπὶ τὸ ἄμεινον
καὶ ὅ, τι κωλῶς ἢ αἰσχρῶς, ἢ βραδέως ἢ ταχέως, ἢ ἐρθῶς ἢ μὴ ἐρθῶς. καὶ ὅ, τι κακὸν ὠδὶ κακῶ, ἀ-
νάγκην γίνεσθαι. ταῦτα τε σὺν μυθοῦνται διαφυλάσσειν δεῖ σὺν τοῖσι λογισιν, ὅ, τι ἂν δύνῃται τούτων ἀ-
μαρτάνῃ ἢ λέγων, ἢ ἐρῶν τῶν, ἢ ἀποκινέμενος. καὶ ἰῶ πουλλὰ ἐόντα σμικρὰ. καὶ ἰῶ ἀδυνάτα
ἐόντα, δυνατὰ φῆ εἶναι. ἢ ὅ, τι ἂν ἄλλο ἁμαρτάνῃ λέγων, ταύτῃ φυλάσσοντα χρὴ ἐπιτίθεσθαι σὺν
τῇ αὐτιλογίῃ. Αἱ μὲν οὖν νοῦσοι γίνονται ἀπαίσιαι, τῶν μὲν σὺν τῷ σώματι ἐνόντων, ἀπότε χο-
λὴς καὶ φλέγματος. τῶν δὲ ἔξωθεν, ἐκ πόνων καὶ φωμάτων. ἀλλὰ καὶ τῶν θερμῶν μοῦ καὶ ὑπόθερ-
μαίνοντος, καὶ τῶν ψυχροῦ καὶ ὑπόψυχροντος. καὶ τῶν ξηροῦ καὶ ὑπόξηραίνοντος. καὶ τῶν ὑγροῦ μὴ
ὑπόδυγραίνοντος. καὶ ἢ μὲν χολὴ καὶ ὁ φλέγμα, γνωμὸνοισί τε συμφέρεται, μὴ ἔστιν σὺν τῷ σώματι,
ἢ πολέμιον, ἢ ἔλασσον. τοὺς δὲ νοῦσους παρέχεται, τοὺς μὲν, ἀπὸ στίων καὶ ποτῶν. τοὺς δὲ, ἀπὸ τῶν θερ-
μῶν ὑπόθερμαίνοντος. καὶ ἀπὸ τῶν ψυχροῦ ὑπόψυχροντος. Ἀνάγκη δὲ τὰ τοιάδε ἔχει, ὥς τε
γίνεσθαι ὁκόταν γίνηται, σὺν μὲν τοῖσι φῶμασι, νύβρας τὰ παχέα πιφωσκομένους, ἀνάγκη χολοῦ-
σθαι. μὴ τὴν μυῶν τοὺς κεφαλὰς, μάλιστα τῶν σὺν τοῖσι μηροῖσιν. ἀποθνήσκει δὲ, ὧν τις ἐγκέφαλον ζω
θῇ. ἢ ἐρχίτην μυελὸν. ἢ ἦπαρ. ἢ φρένα. ἢ νύσσιν. ἢ φλέβα αἱ μορφέον. ἢ καρδίην. μὴ ἀποθνήσκει δὲ τι
φωσκόμενον, σὺν οἷσι ταῦτα τῶν μελέων μὴ ἐνείη, τούτων προσόντα τὸν δεῖ. τῶν δὲ νουσημάτων τὰ
τοιάδε, ἔχει ἀνάγκαιον ὡς τε ὑπ' αὐτῶν ἀπόλλυσθαι ὅταν γένωνται. φθίσις. ὕδρωψ. ὑποσαρκίδες.
καὶ γυνάκιον. ὁκόταν ἐμβρύου ἔχουσαν πόρι πυθμονίη, ἢ καῦσος λάβῃ, ἢ κωλυσείτης, ἢ φρενίτις, ἢ
δρυσιπέλαιον σὺν τῆσιν ὑσδρήσι γένηται. Ἐνδυσιασὰ δὲ τὰ τοιαῦτα ἀπόλλυσί τε καὶ μὴ, πόρι
πυθμονίη. καῦσος. φρενίτις. κωλυσείτης. κωκύγχισις. φαφυλὴ. ἢ πατίτης. κωλυνίτις. νεφρίτις. λυσεν
τερίη. γυναικὶ ῥόος αἱματώδης. τὰ δὲ τοιάδε, οὐθανάσιμα, ἢν μή τι αὐτοῖσι πρὸς γένηται. κέλματα.
μελαγχολίη. ποδάγρη. ἰσχιὰς. τεινεσμὸς. τετραταῖος. τεταταῖος. σφακελισμὸς. φθαλμία. λέπρη.
λευκὴ. ἀρθρίτις. ἔμπυροι δὲ πολλάκις ἀπὸ τῶν δὲ γίνονται πουλλοὶ. ἀποπλῆκτοι μὲν χέρας καὶ
πόδας. καὶ φωνῆς ἀκρητέες. καὶ παραπληγίης κατὰ μελαίνης χολῆς. χωλοὶ δὲ κατὰ ἰσχιάδων.
ὄμματα δὲ πηρωθέντα καὶ ἀπολωλὸ κατὰ φλέγματος ἡσυχῆ ἐξαντος. μακρὰ δὲ τάδε ἀνάγκη εἶ-
ναι. φθίσιν. διυσεντερίην. ποδάγρην. κέλματα. φλέγμα λευκὸν. ἰσχιάδα. σφακελισμὸν. γέρασι τε-
θεῖσι δὲ, νεφρίτιν. γυναικὶ δὲ, ῥόον αἱματώδη, αἱμορῥοΐδας, σὺν ἡσυχῆ. καῦσος. φρενίτις. πόρι πυθ-
μονίη. κωκύγχισις. φαφυλὴ. πλὴ θυμέλιος τάχιστα κεῖνε. Μετὰ πίπτει δὲ τάδε. ἐκ πλὴ θυμέλιος,
ἐς καῦσον. καὶ ἐκ φρενίτιδος ἐς πόρι πυθμονίην. ἐκ δὲ πόρι πυθμονίης, καῦσος οὐκ ἀνέγνοιτο. ἐς
λυσεντερίην, τεινεσμὸς. ἀπὸ δὲ λυσεντερίης, λειεντερίη. ἐκ δὲ λειεντερίης, ἐς ὕσδρωπα. μὴ ἐκ λευ-
κοῦ φλέγματος, ἐς ὕσδρωπα. μὴ ἐκ πόρι πλὴ θυμονίης καὶ πλὴ θυμέλιος, ἐς ἔμπυον. τὰ δὲ ἐπὶ ηκόσι
σιν, ἀνάγκη ηκμὴ γίνεσθαι. ῥίγος πλὴ λάβῃ, πῦρ ἐπιλαμβάνει. καὶ νύβρας πλὴ διακοπῇ, ἀποσμὸν
ποιεῖ. καὶ μήτε συμφλῦσαι διακοπὲν, φλεγμίνας τε ἰσχυρῶς. καὶ πλὴ ὁ ἐγκέφαλος στεθῇ τε καὶ
πονέσῃ, πλὴνέντος, ἄφωνον παραχρῆμα γενέσθαι ἀνάγκη, καὶ μήτε ὁρᾶν, μήτε ἀκούειν. πλὴ δὲ φω
θῇ, πυρετὸν τε ἐπιγενέσθαι, καὶ χολῆς ἔμετον. καὶ ἀπὸ πλὴκτόν τι τῶν σώματος γενέσθαι, μὴ ἀπο
λεῖσθαι. ἐπὶ πλοῖον δὲ πλὴ ἐκπίσῃ, ἀνάγκη τὸ ἀποσαπῆναι. καὶ πλὴ αἷμα, ἐκ χρώματος ἢ φλεβὸς
ῥυῇ, ἐς πλὴ ἄνω κοιλίαν, ἀνάγκη τὸ πύος γενέσθαι. Καιροὶ δὲ ὁ μὲν ηκμὴ παρέξει εἰπεῖν,
πολλοὶ τέ εἰσιν αὐτῶν τῇ τύχῃ καὶ παντοίοισιν, ὡς πρὸς καὶ τὰ νουσήματα καὶ τὰ παθήματα καὶ τού-
των θραπείαι. εἰσὶ δὲ ὀξύτατοι μὲν, ὅσοις ἢ ἐκ ψυχροῦσι λεῖ τι ὠφελῆσαι. ἢ οὐρῆσαι, ἢ ἀποπτῆ-
σαι μὴ δυνάμενοισιν, ἢ πνιγομένοισιν. ἢ γυναῖκα τίκτουσαν, ἢ τιφρωσκομένῳ ἀπολλάξαι, ἢ ὅσα
τοιαῦτα ἔστι. καὶ οὗτοι μὲν ὀξέες καὶ οὐκ ἀρκέει ὀλίτῳ ὕσδρον. ἀπόλλωται γὰρ οἱ πουλοὶ ὀλίτῳ
ὕσδρον. ὁ μέν τοι καιρὸς ἔστιν ἐπὴν πάθη τούτων ὁ ἄνθρωπος. ὅ, τι μὲν οἷόν τε πρὸ τοῦ πλὴ ψυχλῷ μεθιέναι
ὠφελήσῃ, τοῦτο ἐπὴν σὺν καιρῷ ὠφελεῖ τάχιστα. ἔστι μὲν οἷόν τε χρόνον τινὰ οὕτως ὁ καιρὸς, καὶ σὺν τοῖσι ἄλ-
λοισι νουσήμασιν. ἀεὶ γὰρ σὺν ᾧ ἔστι τι ὠφελήσει, σὺν καιρῷ ὠφέλησεν. ὁκόταν δὲ τῆν νουσημάτων ἢ φω
μάτων μὴ ἐς θάνατον φορέῃ, ἀλλὰ καιρικά ἔστιν, ὀδυνᾶσί τε γίνεσθαι σὺν αὐτέοισιν, ἀλλοῖα τέ ἔστιν,
ὧν τις ὀρθῶς θραπεύσῃ, παύσεσθαι. τούτοισι δὲ οὐκ ἀρκέουσι γνώμονα ὠτέλεια ἀπὸ τῶ ἰκτῆρος
ὅταν γίνωνται. καὶ γὰρ μὴ παρεόντος ἰκτῆρος, ἐπαύσαντο ἂν. ἐτέρα δὲ νουσήματά ἔστιν, οἷσι καιρὸς
ἔστι θραπεύεσθαι ἐν πρωῒ τῆς ἡμέρης. διαφέρει δὲ οὐδὲν ἢ πάνυ πρωῒ, ἢ ὀλίτῳ ὕσδρον. ἑτέρα
δὲ νουσήματά ἔστιν, οἷσι καιρὸς θραπευθῆναι, ἅπαξ τῆς ἡμέρης, καὶ ὀπηνίκα γε οὐδὲν διαφέρει. ἑτέρα δὲ, ὀξὲ τετάρτης ἢ τεταρτάης ἡμέρης. καὶ ἑτέρα ἅπαξ τῶ μηνὸς. καὶ ἑτέρά γε ὀξὲ τεσσάρων μηνῶν. καὶ τῶ τεσσάρων ἑξαμήνου ἢ φθινόντος, οὐδὲν διαφέρει. τοιοῦτοι δὲ οἱ καιροί εἰσιν, σὺν οἷσι καὶ ἀκρειβίῃ οὐκ ἔχουσιν ἄλλῳ, ἢ ταύτην. ἀκαιρίη δὲ ἔστι τὰ τοιάδε. ὅσα μὲν πρωῒ λεῖ θραπεύεσθαι, λεῖ μεσημβρίης θραπεύεσθαι. ὅσα δὲ μεσημβρίης, λεῖ τε ὀψὲ, λεῖ τε τῆς

νυκτὸς θεραπεύηται, ἀκαίρως θεραπεύεται. καὶ ἢν τοῦ ἦρος δέοι θεραπευθῆναι, θεραπεύοιτο δὲ χειμῶνος. ἢ τοῦ μὲν χειμῶνος δέοι, τοῦ θέρεος δὲ θεραπεύηται. ἢ ὅ, τι ἤδη δεῖ θεραπεύεσθαι, τοῦτο δὲ ἀναβάλληται. ἢ ὅ, τι ἀναβάλλεσθαι δεῖ, τοῦτ' ἤδη θεραπεύηται. τὰ τοιαῦτα ἀκαίρως θεραπεύεται. Ὀρθῶς δὲ ἐν αὐτῇ, καὶ οὐκ ὀρθῶς τὰ τοιάδε. οὐκ ὀρθῶς μὲν, τήν τε νοῦσον ἑτέρην ἐοῦσαν, ἑτέρην φανέειν. καὶ μεγάλην ἐοῦσαν, μικρὴν φανέειν. καὶ σμικρὴν ἐοῦσαν, μεγάλην. καὶ περιεσόμενον, μὴ φάναι περιέσεσθαι. καὶ μέλλοντα ἀπολεῖσθαι, μὴ φάναι ἀπολεῖσθαι. καὶ ἔμπυον ἐόντα, μὴ γινώσκειν. μὴ δὲ νούσου μεγάλης φερομένης ἐν τῷ σώματι, γινώσκειν. καὶ φαρμάκου δεόμενον ἢ ποίου, τοῦ δεῖ, μὴ γινώσκειν. καὶ τὰ δυνατὰ, μὴ ἐξιῆσθαι. καὶ τὰ ἀδύνατα, φάναι ἐξιήσεσθαι. ταῦτα μὲν οὖν εἰσι κατὰ γνώμην οὐκ ὀρθῶς. κατὰ δὲ χειρουργίαν, τάδε. πύον ἐν ἕλκει ἐνεὸν ἢ ἐν φύματι, μὴ γινώσκειν. καὶ τὰ κατήγματα καὶ τὰ ἐκπτώματα μὴ γινώσκειν. καὶ μηλῶντα κεφαλὴν μὴ γινώσκειν, εἰ τὸ ὀστέον κατέηγε. μὴ δ' ἐς κύστιν αὐλίσκον καθιέντα, δύνασθαι καθιέναι. μὴ δὲ λίθου ἐν κύστει ἐνεόντος, γινώσκειν. μὴ δ' ἔμπυον ἐόντα, διασείοντα γινώσκειν. καὶ τάμνοντα ἢ καίοντα ἐκλείπειν, ἢ τοῦ βάθεος, ἢ τοῦ μήκεος. ἢ καίειν τε καὶ τάμνειν, ἃ οὐ χρή. καὶ ταῦτα μὲν οὐκ ὀρθῶς. ὀρθῶς δὲ, τά τε νουσήματα γινώσκειν ἅ τέ ἐστι καὶ ἀφ' ὅτων. καὶ τὰ μακρὰ αὐτῶν, καὶ τὰ βραχέα. καὶ τὰ θανάσιμα, καὶ τὰ μὴ θανάσιμα. καὶ τὰ μεταπίπτοντα. καὶ τὰ αὐξανόμενα. καὶ τὰ μαραινόμενα. καὶ τὰ μεγάλα, καὶ τὰ σμικρά. καὶ θεραπεύοντα, τὰ μὲν, ἀνυστὰ ἐκθεραπεύειν, τὰ δὲ, μὴ ἀνυστὰ εἰδέναι, διότι οὐκ ἀνυστά. καὶ θεραπεύοντα τοὺς τὰ τοιαῦτα ἔχοντας, ὠφελέειν ἀπὸ τῆς θεραπείης ἐς τὸ ἀνυστόν. τὰ δὲ προσφερόμενα τοῖσι νοσέουσιν ὧδε χρὴ φυλάσσειν, τά τε ὀρθῶς καὶ τὰ μὴ ὀρθῶς. ἤν τις ἃ δεῖ ξηραίνειν, ὑγραίνῃ. ἢ παχύνειν δέῃ, μὴ προσφέρῃ ἀφ' ὧν δεῖ παχύνειν. ἢ ἃ δεῖ λεπτύνειν, μὴ λεπτύνῃ. ἢ ψύχειν, μὴ ψύχῃ. ἢ θερμαίνειν, μὴ θερμαίνῃ. ἢ σήπειν, μὴ σήπῃ, καὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν λόγον τούτοισι. Τὰ δὲ τοιάδε ἀνθρώποισιν ἀπὸ ταυτομάτου ἐν τῇσι νούσοισι γίνονται, τά τε κακὰ καὶ τὰ ἀγαθά. πυρέσσοντι μὲν καὶ χολῶντι, ἐν καιρῷ σκεδασθεῖσα ἔξω ἡ χολὴ, ἀγαθόν. ὑπὸ τὸ δέρμα δὲ κεχυμένη καὶ ἐσκεδασμένη, εὐπετέστερα ἔχειν τε τῷ ἔχοντι, καὶ τῷ ἰωμένῳ ἰῆσθαι. κεχυμένη δὲ καὶ ἐσκεδασμένη, πρὸς ἐνίῳ τοῦ σώματος προσαπερεισθεῖσα, κακόν. κοιλίη ταραχθεῖσα ὑπὸ πλευρίτιδος ἐχομένῳ ἢ περιπνευμονίης, ἢ ἐμπύῳ ἐόντι κακόν. πυρέσσοντι δὲ ἢ σῶμα τετρωμένῳ κοιλίη ἀποξηρανθεῖσα, κακόν. ὑφύδρῳ καὶ σπληνώδει ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ, ταραχθεῖσα ἡ κοιλίη ἰσχυρῶς, ἀγαθόν. ἐρυσίπελας ἢν ἔξω κατακεχυμένον ἔσω τρέπηται, κακόν. ἢν δ' ἔσω κατακεχυμένον, ἔξω τρέπηται, ἀγαθόν. διαῤῥοίη δὲ ἐχομένῳ ἰσχυρῇ, ὁ ἔμετος γενόμενος, ἀγαθόν. γυναικὶ αἷμα ἐμεούσῃ τὰ καταμήνια ῥαγῆναι, ἀγαθόν. ὑπὸ ῥόου δὲ πιεζομένῃ, ἐς τὰς ῥῖνας ἢ ἐς τὸ στόμα μεταπεσεῖν τὸν ῥόον, ἀγαθόν. γυναικὶ ὑπὸ σπασμοῦ πιεζομένῃ ἐκ τόκου, πυρετὸν ἐπιγενέσθαι, ἀγαθόν. καὶ τετάνου ἔχοντος καὶ σπασμοῦ, πυρετὸν ἐπιγενέσθαι ἀγαθόν. τὰ γὰρ τοιαῦτα δι' οὐδεμίην οὔτε ἀμαθίην οὔτε σοφίην ἰητρῶν, γίνεταί τε καὶ οὐ γίνεται, ἀλλ' ἀπὸ τοῦ αὐτομάτου καὶ ἐπιτυχίης γενόμενά τε ὠφελέει καὶ βλάπτει κατὰ τὸν αὐτὸν λόγον. Ἐπιτυχίη δὲ τὰ τοιάδε οἱ ἰητροὶ ποιέουσιν ἐν τῇ θεραπείῃ ἀγαθά. ἄνω φάρμακον δόντες, καθαίρουσι, καὶ ἄνω καὶ κάτω καλῶς, καὶ γυναικὶ φάρμακον δόντες κάτω χολῆς ἢ φλέγματος, ἐπιμήνια οὐ γινόμενα κατέῤῥηξαν. καὶ σπλῆνα ἔμπυον ἔχοντι, κάτω φάρμακον δόντες ὥς τε χολὴν καὶ φλέγμα καθῆραι, πύος κάτω ἐκάθηραν ἀπὸ τοῦ σπληνὸς καὶ ἀπήλλαξαν τῆς νόσου. καὶ λιθιῶντι φάρμακον δόντες, τὸν λίθον ἐς τὸν οὐρητῆρα προσέωσαν ὑπὸ βίης τοῦ φαρμάκου, ὥς τε ἐξουρηθῆναι. καὶ πύον ἔχοντι ἐν τῇ ἄνω κοιλίῃ, ἐν φύματι, οὐκ εἰδότες ὅ, τι ἔχει, δόντες ἄνω φάρμακον, ὅ, τι φλέγμα καθαίρει, ἤμεσε τὸ πύον καὶ ἐγένετο ὑγιής. καὶ ἐκ φαρμάκου ὑπερκαθαιρόμενον ἄνω θεραπεύοντες, καταῤῥαγείσης τῆς κοιλίης ἀπὸ ταυτομάτου τοῦ ἐμέτου, ὑγιᾶ ἐποίησαν. Κακὰ δὲ τάδε ἀπεργάζονται ἀπὸ ἀτυχίης. φάρμακον δόντες ἄνω χολῆς ἢ φλέγματος, φλέβα ἐν τοῖσι στήθεσιν ἔῤῥηξαν ὑπὸ τοῦ ἐμέτου, οὐδὲν ἔχοντος πρόσθεν ἄλγημα ἐν τῷ στήθει φανερὸν, καὶ ἐγένετο νοῦσος. Καὶ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἄνω φάρμακον δόντες, κάτω ῥαγεῖσα ἡ κοιλίη, ἐξέτρωσε τὸ ἔμβρυον. καὶ ἔμπυον θεραπεύοντι ἡ κοιλίη ῥυεῖσα, διαφθείρει. καὶ ὀφθαλμοὺς θεραπεύοντι καὶ ὑπαλείψαντι, ὀδύναι ἐνέπεσον ὀξύτεραι. κἢν οὕτω τύχῃ, ῥήγνυνται οἱ ὀφθαλμοὶ καὶ ἀμαυροῦνται, καὶ αἰτιῶνται τὸν ἰητρὸν, ὅτι ὑπήλειψε. καὶ λεχοῖ ἰατρὸς ὀδύνης, ἢν δοίη τι ὁ ἰητρὸς καὶ κακῶς σχῇ ἢ καὶ ἀπόλλυται, ὁ ἰητρὸς αἴτιος. σχεδὸν δὲ ὅσα ἀνάγκας ἔχει ὥς τε γίνεσθαι ἐν τοῖσι νουσήμασι καὶ τρώμασι, κακὰ ἐπικαλοῖσι, τὸν ἰητρὸν αἰτιῶνται τούτων γινομένων. καὶ τὴν ἀνάγκην τὴν τὰ τοιαῦτα ἀναγκάζουσαν γίνεσθαι οὐ γινώσκουσιν, καὶ ἢν ἤδη πυρέσσοντι ἢ τρῶμα ἔχοντι, ἐσελθὼν καὶ προσενέγκας τὸ πρῶτον μὴ ὠφελήσῃ, ἀλλὰ τῇ ὑστεραίῃ κάκιον ἔχῃ, τὸν ἰητρὸν αἰτιῶνται. ἢν δὲ ὠφελήσῃ, τοῦτο δὲ οὐχ ὁμαλῶς ἐπαινέουσι. * χρὴ γὰρ πεπονθέναι αὐτὸν, δοκέουσι. τὰ δὲ ἕλκεα φλεγμαίνει, καὶ ἐν τῇσι νούσοισιν, ἔστιν ὀδύναι ἅσ χρὴ γίνεσθαι αὐτοῖσιν, οὐδὲ τὰ τοιάδε ὥς τε μὴ γίνεσθαι. νεῦρον διακοπὲν, οὐ συμφύει. οὐδὲ κύστις. οὐδὲ ἔντερον, ἢν μὴ τῶν λεπτῶν. οὐδὲ φλὲψ αἱμοῤῥοῦς. οὐδὲ γνάθου τὸ λεπτόν. οὐδὲ τὸ ἤδη

τοῦ αἰδοίου

τοῦ αἰδοίου δέρμα. Ἀρχὴ δὲ ἰήσιος ἀποδεδειγμένη μὲν οὐκ ἔστιν ἥ τις ὀρθῶς ἀρχή ἐστι πάσης τῆς τέχνης. οὐδὲ δεύτερον οὐδὲν, οὐδὲ μέσον, οὐδὲ τελευτή. ἀλλὰ ἀρχόμεθά τε αὐτῆς, ἄλλοτε λέγοντες, ἄλλοτε ἐργαζόμενοι. καὶ τελευτῶμεν ὡσαύτως. καὶ οὔτε λέγοντες ἀρχόμεθα ἐκ τῶν αὐτῶν λόγων, οὐδ' ἢν περὶ τῶν αὐτῶν λέγωμεν, οὐδὲ ἐς τοὺς αὐτοὺς τελευτῶμεν. καὶ ἐργαζόμενοι κατὰ τὸν αὐτὸν λόγον, οὔτε ἀρχόμεθα ἐκ τῶν αὐτῶν ἔργων, οὔτε τελευτῶμεν ἐς τὰ αὐτά. Εὐχειρίη δὲ ἐστι τὰ τοιάδε. ὅταν τις τάμνων ἢ καίων μήτε νεῦρον τάμνῃ ἢ καύσῃ, μήτε φλέβα. καὶ ἢν ἔμπυον καίῃ, ἐπιτυγχάνῃ τοῦ πύου. καὶ τάμνοντα ἢ κατὰ τὸν αὐτὸν λόγον. καὶ κατήγματα συντιθέναι ὀρθῶς. καὶ ὅ, τι ἂν τοῦ σώματος ἐκπέσῃ ἐκ τῆς φύσιος, ὀρθῶς ἐς τὴν φύσιν τοῦτο ἀπαρτίσαι. λαβεῖν τε ἃ δεῖ ἰσχυρῶς. καὶ λαμβάνοντα δὲ πιέζειν, ἃ καὶ ὅσα ἀφέμα λαβεῖν τε δεῖ, καὶ λαβόντα μὴ πιέζειν. καὶ ἐπιδέοντα στρεβλὰ μὴ πιέειν ἐξ εὐθέων. μὴ δὲ πιέζειν ἃ μὴ δεῖ. καὶ ψαύοντα ἑκὼν ἂν ψαύῃ, μὴ ὀδύνην παρέχειν ἐκ περιουσίης. ταῦτα μὲν οὖν ἐστιν εὐχειρίη. τὸ δὲ τοῖσι δακτύλοισιν εὐσχημόνως λαμβάνειν, ἢ καλῶς, ἢ μὴ καλῶς, ἢ μακροῖσιν, ἢ βραχέσιν. ἢ καλῶς ἐπιδέειν, καὶ ἐπιδέσιας παντοίας, οὐ πρὸς τῇ τέχνῃ κρίνεται εὐχειρίης πέρι, ἀλλὰ χωρίς. Ὁκόσοι ἔμπυοι γίνονται τὸν πλεύμονα, ἢ τὴν ἄνω ἢ τὴν κάτω κοιλίην, ἢ φύματα ἴσχουσιν, εἴτε ἐν τῇ ἄνω κοιλίῃ, εἴτε ἐν τῇ κάτω, ἢ ἐν τῷ πλεύμονι, ἢ ἕλκεα ἔνδοθεν, ἢ αἷμα ἐμέουσιν ἢ πτύουσιν, ἢ ἀλγήματα ἔχουσιν, ἢ ἐν τοῖσι στήθεσιν ἢ ἐν τῷ νώτῳ, ταῦτα πάντα ἴσχουσι. τῶν μὲν ἐν τῷ σώματι ἐνεόντων, ἀπὸ χολῆς καὶ φλέγματος. τῶν δὲ ἔξωθεν, ἀπὸ τοῦ ἠέρος ἐπιμιγνυμένου τῷ συμφύτῳ θερμῷ. ἀτὰρ καὶ ἀπὸ πόνων καὶ τρωμάτων. καὶ ὁκόσοι μὲν τὸν πλεύμονα ἔμπυοι γίνονται, ἀπὸ τῶνδε γίνονται. ἢν περιπνευμονίῃ ληφθεὶς μὴ καθαρθῇ, ἐν τῇσι κυρίῃσιν ἡμέρῃσιν, ἀλλ' ὑπολειφθῇ ἐν τῷ πλεύμονι πτύαλόν τε καὶ φλέγμα, ἔμπυος γίνεται. καὶ ἢν μὲν αὐτίκα θεραπευθῇ, διαφεύγει ὡς τὰ πολλά. ἢν δὲ ἀμεληθῇ ἐν τῷ πλεύμονι, διαφθείρεται, ἐνισταμένου τε καὶ σηπομένου, ἑλκοῦταί τε ὁ πλεύμων, καὶ διάπυος γίνεται. καὶ οὐκ ἔτι ἔσω ἕλκει ἐς ἑωυτὸν, ὅ τι καὶ ἄξιον λόγου τῆς τροφῆς, οὔτε τι ἀποκαθαίρεται ἀπ' αὐτοῦ ἄνω οὐδὲν, ἀλλὰ πνίγεταί τε καὶ δυσπνοιεῖ ἀεὶ ἤδη μᾶλλον. καὶ ῥέγχει ἀναπνέων, καὶ ἀναπνέει αὐτόθεν ἄνωθεν ἐκ τῶν στηθέων. τέλος δὲ, ἀποφράσσεται ὑπὸ τοῦ πτύσματος, καὶ ἀποθνήσκει. Γίνεται δὲ καὶ ἔμπυος, καὶ ἢν ἐκ τῆς κεφαλῆς φλέγμα οἱ καταῤῥυῇ ἐς τὸν πλεύμονα. καὶ τὸ μὲν πρῶτον ὡς τὰ πολλὰ λανθάνει καταῤῥέον. καὶ βῆχα τε παρέχει λεπτὴν. καὶ τὸ σίαλον πικρότερον ὀλίγῳ τοῦ εἰωθότος. καὶ ἄλλοτε θέρμη λεπτή. ὁκόταν δὲ ὁ χρόνος προΐῃ, τρηχοῦταί τε ὁ πλεύμων καὶ ἑλκοῦται ἔνδοθεν ὑπὸ τοῦ φλέγματος, ἐνισταμένου καὶ σηπομένου. καὶ βάρος παρέχει τοῖσι στήθεσι. καὶ ὀδύνην ὀξείην, πρόσω καὶ ὀπίσω. θέρμαι τε ὀξύτεραι ἐμπίπτουσιν ἐς τὸ σῶμα. καὶ ὁ πλεύμων ἀπὸ τῆς θερμασίης ἄγει ἐς ἑωυτὸν ἐκ παντὸς τοῦ σώματος φλέγμα, καὶ μάλιστα ἐκ τῆς κεφαλῆς. ἡ δὲ κεφαλὴ θερμαινομένη ἐκ τοῦ σώματος. καὶ τοῦτο σηπόμενον, πτύει ὑπόπαχυ. ὅσῳ δ' ἂν ὁ χρόνος προΐῃ, ἑλικοειδὲς πτύει πύος. καὶ οἱ πυρετοὶ ὀξύτεροι γίνονται. καὶ ἡ βὴξ πυκνὴ καὶ ἰσχυρή. καὶ ἡ ἀσιτίη διανυάει. καὶ τέλος, ἡ κοιλίη ἡ κάτω ταράσσεται. ταράσσεται δὲ ὑπὸ τοῦ φλέγματος. τὸ δὲ φλέγμα ἀπὸ τῆς κεφαλῆς καταβαίνει. οὗτος ὅταν ἐς τοῦτο ἀφίκηται, ἀπόλλυται καθάπερ εἴρηται ἐν τοῖσιν ἔμπροσθεν, διὰ πύου τοῦ πλεύμονος καὶ σαπροῦ γινομένου. ἢ τῆς γαστρὸς ῥυείσης τῆς κάτω. γίνεται δὲ καὶ ἀπὸ τῶνδε ἔμπυος ὁ πλεύμων. ὁκόταν τι τῶν ἐν αὐτῷ φλεβίων ῥαγῇ. ῥήγνυται δὲ ὑπὸ πόνων. καὶ ὅταν ῥαγῇ, αἱμοῤῥοεῖ τὸ φλέβιον. κἢν μὲν παχύτερον ᾖ, μᾶλλον. ἢν δὲ λεπτότερον, ἧσσον. καὶ τὸ μὲν, παραυτίκα τοῦ αἵματος πτύει. τὸ δὲ, ἢν μὴ στεγνωθῇ ἡ φλὲψ, χεῖται εἰς τὸν πλεύμονα καὶ σήπεται ἐν αὐτῷ. καὶ ὅταν σαπῇ, πύον ποιεῖ. προϊόντος δὲ τοῦ χρόνου, ἄλλοτε πύον ἑλικοειδές. ἄλλοτε πύον ὕφαιμον. ἄλλοτε δὲ αἷμα. καὶ ἢν μᾶλλον πληρωθῇ τὸ φλέβιον, ἀπεμεῖ τὸ πλήρωμα ἀφ' ἑωυτοῦ ἅλες τοῦ αἵματος. τό, τε πύον πτύεται παχὺ, ὑπὸ τοῦ προσσηπομένου καὶ ἐνσηπομένου φλέγματος. οὗτος ἢν καταληφθῇ ἀρχομένου τοῦ νουσήματος πρὶν ἢ τὴν φλέβα αἱμοῤῥοεῖν καὶ χαλᾶν ἰσχυρῶς, πρίν τε λεπτυνθῆναι καὶ κλινοπετέα γενέσθαι, καὶ τὴν κεφαλὴν ἄρξασθαι φθίνειν, καὶ τὸ ἄλλο σῶμα τήκεσθαι, ἐξ αὐτῆς τῆς τοιῆσδε νούσου γίνεται. ἢν δ' ἀμεληθῇ καὶ ταῦτα καταλάβῃ, ὥς τε παθέειν ἢ πάντα ἢ τὰ πλεῖστα, ἀπόλλυται. ἀπόλλυται δὲ οὗτος ἢ ὑπὸ τῶν αὐτῶν ἃ εἴρηκα ἔμπροσθεν, ἢ ὑπὸ ἐμέτου, αἵματος πουλλοῦ πολλάκις ἐμεομένου. ἢν δὲ τὸ φλέβιον παντάπασι μὲν μὴ διαῤῥαγῇ, σπάδων δ' ἐν αὐτῷ ἐγγένηται, γίνεται δὲ μάλιστα οἷον κιρσός. ὃ καὶ παραυτίκα μὲν ὅταν γένηται, ὀδύνην τινὰ παρέχει λεπτὴν, καὶ βῆχα ξηρήν. ἢν δὲ χρονίσῃ τε καὶ ἀμεληθῇ, διαδιδοῖ. αἵματος μὲν πρῶτον, ὀλίγον καὶ ὑπομέλαν. ἔπειτα δὲ ἤδη πλεῖόν τε καὶ ἑλικοειδέστατον. εἶτα πύον. καὶ πάσχει τε ὅσα περ ἐν τοῖσιν ἔμπροσθεν εἴρηται. συμφέρει δὲ τοῖσι * τοιούτοισιν ἢν καταρχὰς λάβῃς θεραπεύειν. ὥστε αἵ τε φλέβες ἐξιέμεναι ἐκ τῶν χειρῶν. καὶ δίαιτα, ὑφ' ἧς ἔσται ὡς ξηρότατός τε καὶ ἀναιμότατος. τὸν αὐτὸν δὲ τρόπον τοῦτον, καὶ τὰ ἐν τῷ πλευρῷ φλέβια πάσχει, ὅσα ἔσω ἀκρόπλεά εἰσιν. ὁκόταν οὖν πονήσῃ, κιρσοειδέα τε γίνεται, καὶ μετέωρα εἴσω. καὶ ἢν μὲν ἀμεληθῇ, τάδε πάσχει. ἐκ ῥήγνυταί τε καὶ πτύουσί τε ἀπὸ σφέων, αἷμα.

καὶ σὶ ὅτε καὶ ἐμέουσι, καὶ ἔμπυοι γίνονται καὶ ὡς τὰ πουλλὰ διεφθαρήκασιν. ἰῶ δὲ θερμαίνειν ὧδε ἀρχομένου τῆ νουσήματος, αὖθις κατὰ χώρην ἰζάνουσιν εἰς τὸ κοιλότερον τὰ φλέβια, καὶ γίνεται τὰ πεπονά. καὶ ὁ μὲν πολὺμων ἀφ' τούτων, ἔμπυος γίνεται, καὶ τὰ ἄνω αὐτοῦ πάχρυσί τε τὰ τοιαῦτα, καὶ τελευτῶσιν οὕτω. πὼ δὲ ἄνω κοιλίῃ, ἔμπυοι γίνονται πολλαχῶς. καὶ γὰρ ὅταν φλέγμα ἐκτὸς κεφαλῆς, ἄλις ἀθροον ἐς πὼ ἄνω κοιλίῃ, σήπεται τε καὶ γίνεται πύος. σήπεται δὲ, σὶ ἦμβρησι μάλιστα, μὴ καὶ εἰκοσῆ. τοῦτο οὖν διασείεται μὴ ἐγκλυδάζεται, ἀ πύος εἰς τὸ κοιλότερον πρὸς τὰ πίονα. οὗτος ἰῶ καυθῆ ἡ τμηθῆ, πρὶν χρονίσαι ἀ πύος, ὑγιὴς γίνεται ὡς τὰ πολλά. γίνονται δὲ καὶ πὼ ἄνω κοιλίῃ, ἔμπυοι, καὶ ἐκ πολυετίηδος ὁκόταν ἰχωρὴ γένηται. καὶ σὶ τῆσι κυεήσιν ἦμβρησι, μήτε σαπῆ, μήτε πῦωθῆ, ἀλλ' ἕλκωθῆ ἀ πολύον κατὰ τὰ προσωπήματος φλέγματος, καὶ χολῆς. καὶ ὁκόταν ἕλκος γένηται, ἀναλύσαι ἀχρὶ ἑωυτὸ πύος. μὴ ἐκ τῆς πολησίον χωρίων ὑπὸ θερμασίης ἄγει ἐφ' ἑωυτὸ ἀ φλέγμα. καὶ τοῦτο ὁκόταν σαπῆ, πῦνέται πύος. σὶ ὅτε δὲ καὶ ἐκ τῆς φλεβίων διαδιδοῖ ἐς ἀ ἕλκος, αἷμα. καὶ γίνεται σηπόμενον πύος. οὗτος ἰῶ μὲν παραχρῆμα κατὰ ληφθῆ, ὑγιὴς γίνεται ὡς τὰ πολλά. ἰῶ δὲ ἀμεληθῆ, διαφθείρεται. γίνονται δὲ ἔμπυοι, καὶ ἰῶ φλέγμα ἐκτὸς κεφαλῆς ῥυσὶ, πρὸς ἀ πολύορον προσπαῖ καὶ σαπῆ. τό, τε πολύορον ὡς τὰ πολλὰ καίεται καὶ πάχει, ὅσον πῤ ἐκ πολυετίηδος ὅταν ἔμπυος γένηται. γίνεται δὲ καὶ ὁκόταν κατὰ τὰ λαπαρείης, ἢ ἐκ γυμνασίης, ἢ ἄλλως πως ῥαγῆ, ἢ ἔμπροσθον ἢ ὄπισθον. ῥαγῆ δὲ, ὥστε μὴ παραυτίκα πῦ(σει αἷμα, ἀλλ' σὰ τῆ σαρκὶ ἀποστάσιον γένηται. καὶ ἡ σὰρξ ἀποσαθέσα, εἰρύσα ἰκμάδα ὀλίγην, καὶ γένηται ὑποπύλιδος. καὶ παραυτίκα μὲν μὴ αἰσθάνηται ὁ πάσχων κατὰ ῥώμης καὶ ὀνείης. ἐὰ δὲ μὴ αἰσθάνεται, μηδὲν πρᾶγμα ἢ γάσεται. οὗτος ὅταν ἀπολάβῃ ὥστε αὐξῆν κατὰ πῦρετῶν λιφθώντα λεπτωθῆναι, ἢ ποσίων, ἢ λαγνείης. ἢ ἄλλότου, ἢ σαρξ ἡ τε ζωμὸν, ὑποῤῥαίνεται τε καὶ ὑποῤῥαίνεται, καὶ ἕλκει ἰκμάδα ἐς ἑωυτὸ, ἀχρὶ τῆν κοιλησίον καὶ φλεβῶν, καὶ σαρκῶν. ὅταν δὲ εἰρύσῃ, οἰδήσεται τε καὶ φλεγμαίνει, καὶ ὀδυνᾶ παρέχει λεπτὸ. καὶ ἔπειτα ἰῶ τε καὶ ξηρὸ τὸ πρῶτον. ἔπειτα ἰῶδη μᾶλλον ἕλκει τὲ ἐς ἑωυτὸ, καὶ ὀδυνᾶ παρέχει ἰχωροτρόπον, καὶ βῆχα πυκνότερον. καὶ πῦει τομὸν πρῶτον, ὑπόπυον. σὶ ὅτε ἢ ὑποπέλιλον καὶ ὕφαιμον. ὅσῳ δὲ ἂν ὁ χρόνος προῇη, ἕλκει τὸ μᾶλλον ἐς ἑωυτὸ καὶ σήπει καὶ αὐτῆς τῆς σαρκὸς, ὅσον πελιδνὸν ἐγένετο πὼ ἀρχῶ, τοῦτο πύος γίνεται. καὶ ὀδυνᾶ παρέχει ὀξεῖαν. καὶ πυρετὸν. καὶ βῆχα, πολλὰ τε καὶ πυκνά. καὶ ἀ πῦσμα ἐλικοειδὲς πῦει πύος. ἰῶ ἢ χρονίσῃ ἀ πύος σὶ τῆ κοιλίῃ, διαθρῄσκεται ὑπ' αὐτῆς, ἀ σῶμα πᾶν. μάλιστα δὲ, τὰ ἐπὶ τούτῳ θερμαινομένου δὲ τῆ σώματος, μάλιστα ἐκτήκεται ἀ ὑγρόν. καὶ ἀ μὲν ἀχρὶ τῆν ἄνω ἐς πὼ ἄνω κοιλίῃ μάλιστα συῤῥεῖ, καὶ γίνεται πύος, πρὸς τῷ σκέσντι. ἀ δὲ καὶ ἐς πὼ κάτω κοιλίῃ ῥεῖ. καὶ σὶ ὅτε ταράσσεται ἡ κοιλίη ὑπ' αὐτῆ, καὶ διέφθειρε ἂν ἄνθρωπον. τὰ γὰρ ἐσιόντα τῆν σιτίων, διαχωρέει ἀπεπτα. μὴ δοφὴ ἀπ' αὐτῆ οὐ γίνεται τῷ σώματι. καὶ ἡ τοῦ πύσματος ἄνω κάθαρσις, οὐχ ὁμάλη γίνεται. ἀτε διατεθερμασμένης τῆς κοιλίης καὶ ἀχούσης πάντα κάτω, ἐφ' ἑωυτήν. καὶ κατὰ μὲν τὰ πύσματος, πυί γεται τε καὶ ῥέγχει οὐ κατὰ θαμέρμενος. κατὰ δὲ τῆς γαστρὸς ῥεούσης, ὀξαθενέει, μὴ ὡς τὰ πουλλὰ διαφθείρεται. μάλιστα δὲ σὶ τῆσι τοιαύτῃσι τῆν νούσων ἀ ῥεῦμα τοῦτο ἢ κεφαλὴ παρέχει, ἀτε κοίλη ἐοῦσα, καὶ ἄνω κατὰ κειμένη. ὁκόταν γὰρ διαθερμανθῆ κατὰ τῆς κοιλίης, ἕλκει ἐς ἑωυτὸ ἐκ τῆ σώματος, ἀ λεπτότατον τὰ φλέγματος. ὅταν δὲ ἅλισθῆ σὶ αὐτῆ, ἀποδιδοῖ πάλιν ἄλεσι καὶ παχύ, ὡς πῤ εἴρηται. καὶ αὖτε ἀ μὲν, ἐς πὼ ἄνω κοιλίῃ κατα ῥεῖ. ἀ δὲ, ἐς πὼ κάτω. ὁκόταν οὖν ἀχθῆται ἡ κεφαλὴ ῥεῖν, καὶ ἀ ἄλλο σῶμα πάσχειν, οὐκέτι ὁμαλῶς, οὐδὲ καυθέντες τὸ διηνεκὲς. κρατέει γὰρ πὸς μὲν τὰ πύους τὰ ἐπιῤῥέοντα κατὰ ἀποῤῥέοντα. αἱ δὲ σάρκες τὴν ὁμοίαν μᾶλλον κατὰ τῆν κατῶν, ἢ ῥεφόμεναι κατὰ τῆν εἰσιόντων. οὗτοι ὁκόσοι τοιοῦτόν τὸ πάθος νοσήματα ἴσχουσι, καὶ ἀχὰ τούτων σῶοι μὲν, δι' ὀλίγου ἀπόλλυται. σῶοι δὲ, πουλλῷ χρόνου ἔλκουσι. διαφόρει γὰρ σῶμα σώματος. καὶ ἡ ἡλικίη ἡλικίης. καὶ πάθημα παθήματος. καὶ ὥρη ὥρης. σὶ ἢ ἂν νοσέωσι. καὶ οἱ μὲν, παλαιπωρότροποί εἰσιν σὶ τῆσι νούσοισιν. οἱ δὲ, ταχύτατοι σι παλαιπωρέειν ἀδυνατοί. οὕκουν δεῖ ἀ κειβὲς τὸ χρόνου σὶ ὠὰ πόλλυται, οὔτε εἰ πολὸν, οὔτ' εἰ ὀλίγον. οὐτε γὰρ οὗτος ὁ χρόνος ἀ κειβὴς ὃν σῶοι λέγουσιν, ὡς τὰ πολλὰ οὐδὲ αὖ τοῦτο ἐκ πύει. διαφόρει γὰρ καὶ ἔτος ἔτεος. καὶ ὥρη ὥρης. ἀλλ' ἰῶ τις θέλῃ τοῦδε αὐτῆ ὀρθῶς γινώσκειν καὶ λέγειν, γινώσεται ὧδε παίζων ὥρην, ἢ ἀπολυμένους καὶ τοῦ ἐλευθερωμένους καὶ παίχροντας ἄ πῤ ἂν παίσωσι. πὼ δὲ κάτω κοιλίῃ, ἔμπυοι γίνονται. μάλιστα μὲν, ὅταν φλέγμα ἢ χολὴ συσπᾶλες μεσηγὺ τῆς σαρκὸς καὶ τοῦ δέρματος. γίνονται δὲ καὶ ἀχὰ ἀσασμῶν. ὅταν καὶ φλέβιον κατατεθῇ ἀ αἷμα ἐκχυθέν, σήπεται κ' ἐμπύει. ἰῶ δὲ ἡ σὰρξ ἀποσαθῇ ἢ φλασθῇ, ἕλκει τε ἐκ τῆ παῤ ἑωυτῆ φλεβίον αἷμα, καὶ τοῦτο σήπεται καὶ ἐμπύει. τοῦτοισιν ἰῶ μὲν ἔξω ἀποσημήνη, καὶ πύος ὀξέλθῃ, ὑγιέες γίνονται. ἰῶ δὲ κρατῇ αὐτόματον ἔσω, ἀπόλλυται. κεχυμένον δὲ πύος σὶ τῆ κάτω κοιλίῃ, ὡς πῤ σὶ τῆ ἄνω εἴρηται ἐπίνεσθαι, ἢ κατὰ δυνάμενον ἐξανέσθαι, ἀλλ' ὡς πῤ μοι εἴρηται σὶ χιτῶσί τε καὶ σὶ φύμασιν ἐπίνεται. καὶ ἰῶ μὲν

ἰῶ μὲν σῶον ἀποσημήνη, λυσιτελὲς γνῶναι. οὔτε γὰρ διασείεται τότ' ἔστιν εἰδέναι. γινώσκεται δὲ μάλιστα τῆ ὀδυνᾶ σὰ ἐκ. καὶ ἰῶ κατὰ πολάσῃ τῆ κραμάτῃ, ἢ ἄλλῳ τῳ τοιούτῳ, ἀποξηραίνει σὶ ὀλίγου. ἐρυσίπελας δὲ σὶ ᾧ πολύμων γίνεται, ὅταν ὑποῤῥαγῇ ὁ πολύμων. ὑποῤῥαγέντος δὲ καὶ κατὰ καύματος, καὶ κατὰ πυρετῆ, καὶ κατὰ παλαιπωρείης καὶ ἀκρασίης. καὶ ὁκόταν ὑποῤῥαγῇ, ἕλκει τὸ αἵματος πολὺ ἐς ἑωυτόν. μάλιστα μὲν ἢ πολὺ ἐκ τῆ μεγάλων φλεβῶν. αὐτοῦ γὰρ αὐτῷ ἐπὶ τοῦτοισι, καὶ ἐπίκειται ἐς αὐτό. ἕλκει δὲ καὶ ἐκ τῆ ἄλλων τῆ πολησίον. ἕλκει δὲ ἀ λεπτότατον ἰῶ ἀθανέσατον. ὁκόταν δὲ ῥυσῇ, πυρετὸς ἀπ' αὐτῆ γίνεται ὀξύς. καὶ βῆξ ξηρή. καὶ πολιθώρη σὶ τοῖσι σήθεσι. καὶ ὀδυνᾶ ὀξεῖα σὶ τοῖσιν ἐμπροσθον. μάλιστα δὲ κατὰ πὼ ῥάχιν, ἅτε τῆ φλεβῶν τῆ μεγάλων διαθρῳμανομένων. καὶ ἐμέουσιν, ἄλλοτε μὲν, ὕφαιμον. ἄλλοτε δὲ, πελιδνόν. ἐμέουσι δὲ καὶ φλέγμα καὶ χολώ. καὶ ἐκπυοῦσι πυκνά. ἐκπυοῦσι δὲ, ὅτε ἂ αἵματος πὼ μετάστασιν ὑβαπίνης γενομένω. ἰῶ μάλιστα διασημαίνει τοῦτο, ὅταν ἰῶδη τῆ πολύμονος ἐμπύου ἐόντος ὅλου καὶ σαπροῦ. ἰῶ δὲ ἔξω κατα κεχυμένον, ἐόσω βάπτεται καὶ λάβῃται τῆ πολύμονος, τούτου οὐδὲ μία ἐλπὶς σῴζεσθαι. ὅταν γὰρ περιπεφυκὼς ὁ πολύμων, εἰρύσῃ ἐς ἑωυτὸν, οὐκ αὖ ἔτι μετατείνει, ἀλλὰ παρέχει κατὰ τῆ κοιλότατος ἰῶ τῆς ξηρασίης, οὐκ ἔτι δέχεται οὐδέν, οὔτε ἄνω ἀναδιδοῖ οὐδέν, ἀλλὰ διέφθειρε. φῦμα δὲ γίνεται σὶ τῷ πολύμονι ὧδε. ὁκόταν φλέγμα ἢ χολὴ συσῤῥαφῇ, σήπεται. καὶ ἐὰς μὲν αὖ ἔτι ὠμότροφον ἐν, ὀδυνᾶ τε παρέχει λεπτὸ. καὶ βῆχα ξηρόν. ὁκόταν δὲ πεπείνηται, ὀδυνᾶ γίνεται καὶ πρόσθον καὶ ὄπισθον ὀξεῖα. καὶ θερμαίνουσι καὶ βῆξ ἰχωρὴ καὶ ἰῶ μὲν ὅτι τάχιστα παύεται, καὶ ῥαγῇ καὶ ἄνω ῥάπτεται ἀ πῦον. καὶ αὐκ ἀπυοθῇ πάλιν. καὶ κοιλίῃ σὶ ᾧ πύον προσπέσηται καὶ αὖ ξηραν θῇ, ὑγιὴς γίνεται παντελῶς. ἰῶ δὲ ῥαγῇ μὲν ὅτι τάχιστα καὶ πεπονθῇ καὶ αὐκ ἀθέρμαντα, ἀποξηραν θῆναι δὲ παν τάπασι μὴ δυνᾶται, ἀλλ' αὐτὸ ὀφ' ἑωυτῆ ἀ φῦμα ἀναδιδοῖ ἀ πύον. καὶ ἀχὰ τῆς κεφαλῆς δὲ καὶ τῆ ἄλλου σώματος φλέγματα κατα ῥρέοντες ἀ φῦμα, σήπεται τε καὶ πύον γίνεται καὶ πύεται, δι' οὐ ἐφθαρῆ. διαφθείρεται δὲ κατὰ χασμὸς ῥυείσης, ἀφ' ὧν πῤ καὶ ἰῶδη τῆν πρόσθον εἴρηται. λεχθὴν θυμῷλούν τε αὐτῆ καὶ φρονέοντος, πάντα χρήματα ὁμαλῶς καὶ σὺ τῷ πρὶν χρόνῳ, ἀποξηραίνεταί τε καὶ ἀπολυχεται. συμμύει τὰ φλέβια τὰ σὶ τῷ σώματι πάντα, ἅτε τῆ αἵματος ὀξ αὐτέων ἐκκεκαυμένου κατὰ πυρετοῦ. σὶ ὅτε δὲ κατὰ χρόνου τὸ πολὺ θος, καὶ μεγέθος τῆς νούσου, καὶ τῆν σεσόντων ἰκμάδων, καὶ τῆν προσπεπτωκυιῶν. ἰῶ δὲ μὴ δυνᾶται πολλοῦ χρόνου ἐφαλῶναι, μήτε ἀχὰ τοιούτου, μήτε κατὰ φαρμάκων, τήκεται ἀθενῶν κατὰ ὀδυνέων ἰσχυρῶν, καὶ ἀσιτίης, ἢ βηχὸς, ἢ πυρετῶν, ἢ ὡς τὰ πολλὰ διαφθείρεται. ἰῶ δὲ ἥλη λελεπισμένω καὶ κλινοστρωτῆ ἐόντι ῥαγῇ ἀ πύον, οὐσὶ οὕτω μάλα αὐτοφθορέουσιν, ἀλλὰ διαφθείρει τρόπῳ τοιῷδε. ἰῶ δὲ ῥαγῇ μὴ ὅτι τάχιστα καὶ πεπονθῇ, πεπονθὼς δὲ ἐκχυθῇ ἐῶδη τὰς φρένας ἀ πολὸν αὐτῆ, ἀ παραυτίκα μὲν ῥάων εἶναι. προϊόντος δὲ τῆ χρόνου, ἰῶ μὲν ἀναπύσῃ πᾶν, καὶ ἡ κοιλίη, σὶ ἢ ἀ πύος σὶ ἢ, προσπέσῃ τε καὶ ἀναξηραν θῇ, ὑγιὴς γίνεται. ἰῶ δὲ ὅ, τε χρόνος πολείων γίνηται, καὶ αὐτὸς ἀσθενέστερος, καὶ αὐκ πύῃ μὴ δύνασθαι, ἀλλὰ καυθῇ ἢ τμηθῇ καὶ ἀ πύος ὀξέλθῃ, παραυτίκα μὲν καὶ οὕτω δή τι δοκεῖ ῥάων γεγονέναι. προϊόντος δὲ τῆ χρόνου, διαφθείρεται κατὰ τῆν αὐτῆν, ὑφ' ὧν πῤ καὶ σὶ τῇ πρώτῃ εἴρηται. Ἐν δὲ τῷ πολύρῳ, γίνεται μὲν φύματα, καὶ ἀχὰ φλέγματος καὶ ἀχὰ χολῆς κατὰ ἀν αὐτὸν λόγον τοῖσιν σὶ τῷ πολύμονι. γίνεται δὲ καὶ ἀχὰ τῆν πόνων, ὁκόταν τι τῆν φλεβίων ἀσαθὲς ῥαγῇ. μὴ ῥαγῇ δὲ παντελῶς, ἀλλὰ ἀσθενῶν σὶ αὐτῷ γίνεται. ἰῶ μὲν δῆλα ῥαγῇ, παραυτίκα μὲν ἀ αἷμα ἐκχυθὲν ἐκ τῆ φλεβίου, σήπεταί τε καὶ ἐκπυεῖ. εἰ δὲ ἀσθενῶν σὶ τῷ φλεβίῳ γίνεται, τοῦτο κατ' ἀρχὰς μὲν, ὀδυνᾶ τε παρέχει καὶ σφύζει. προϊόντος δὲ τῆ χρόνου, διαδιδοῖ ἡ φλὲψ τῆ αἵματος ἐς πὼ σάρκα, καὶ τῆ τοσηπόμενον σὶ τῇ σαρκὶ, πύος γίνεται. κατὰ μὲν αὖ τὸν δὲ λόγον καὶ ἡ σαρξ ἰῶ μὲν μᾶλλον πονέσῃ, πολέσι τε τῆ αἵματος ἕλκει ἐς ἑωυτὸ, ἐκ τῆν ἐπὶ τούτῳ φλεβῶν, καὶ παραχρῆμα ἐμπύει. ἰῶ δὲ ἧσσον πονέσῃ, ὀλιγάτῃ τε καὶ ἕλκει καὶ ἐκπυεῖ. σὶ οἱσι δὲ ὁκόταν ἀσθενέα γίνηται τὰ ἀσαίσματα σὶ τῇ σαρξὶν, ἢ σὶ τοῖσι φλεγμῆν, οὐκ ἐκπυίσκεται, ἀλλὰ γίνεται ἀλγήματα πολυχρόνια, καὶ ἡλεόυσι ῥήγματα. καὶ ὁκόσα μὲν σὶ τῇ σαρκὶ γίνεται, ὧδε γίνεται. ὁκόταν ἡ σὰρξ πονέσῃ τι, ἢ ἀσαισθέσα, ἢ πληγέσα, ἢ ἄλλό τι παθοῦσα, γίνεται, ὡς πῤ προεῖπον, πελιδνὴ, οὐκ ἐλικοειδεῖ αἵματι, ἀλλὰ λεπτῷ τε καὶ ὑδατώδει, καὶ τούτῳ ὀλίγῳ. ὁταν δὲ κατὰ ξηραν θῇ μᾶλλον τῶ ἐωθότος, διαθερμαίνεταί τε καὶ ὀδυνᾶ παρέχει, καὶ ἕλκει ἐς ἑωυτὸ ἀχὰ τῆν φλεβίων καὶ σαρκῶν τῆν πλησίον ἀ ὑγρόν. καὶ ὁκόταν κατὰ δυνάμενον θερμαν θῇ ὑπ' αὐτῆς τῆς σαρκὸς, σκιδνᾶται αὐτὰ ἀ σῶμα πᾶν, οἷόν πῤ ἐρύσῃ. καὶ μᾶλλον δή τι σκι-

ἀνασπᾶται ἐς τὰς φλέβας ἢ ἐς τὰς σάρκας. ἕλκουσι γὰρ, αἱ φλέβες μᾶλλον τῶν σαρκῶν. ἕλκουσι δὲ, καὶ αἱ σάρκες. ὁκόταν δὲ ἐς πλέον ὑγρὸν, τὸ ἐν τῷ σώματι, ὀλίγον τὸ ἀπὸ τῆς σαρκὸς ἑλκυσθῆ, ἄδηλον γίνεται καὶ ἀνώδυνον. καὶ ἀντὶ νενοσηκότος, γίνεται ὑγιὲς τῷ χρόνῳ. ἢν δὲ διαθερμανθῆ τε μᾶλλον ἡ σὰρξ, καὶ εἰρύσῃ πλέον τὸ ὑγρὸν, ὀδύνην παρέχει. καὶ ὅπη ἂν τοῦ σώματος ἀπ' αὐτῆς ὁρμήσῃ καὶ κατασκήψῃ, ὀδύνην παρέχει ὀξείην. καὶ δοκέουσιν ἔνιοι αὐτοῖσι τὸ ῥῆγμα μεθιστάναι. τὸ δὲ, οὐκ ἀνυστόν. ἐγγυτάτω δὲ ἕλκεός ἐστιν ὁκόσα τοιαῦτα καὶ ἄλλα. τὸ ἀπὸ τῆς σαρκὸς ὑγρὸν, ἀΐσσει διὰ τῶν φλεβίων. ὅταν δὲ διαθερμανθῆ τε καὶ παχυνθῆ, καὶ γένηται πλέον, καὶ ὀδύνην παρέχει, ἔστ' ἂν γένηται ὅμοιον τῷ ἄλλῳ ὑγρῷ κατὰ λεπτότητα καὶ ψυχρότητα. ὁκόσα δὲ ἐν τοῖσι φλεβίοισι γίνεται, αὐτὸ μὲν τὸ φλέβιον ὁκόσον ἐσπάσθαι, κατὰ χώρην μένει. ὅταν δὲ σπασθῆ, σπᾶται δὲ ὑπὸ τόνου καὶ βίης, καὶ ὁκόταν σπασθῆ, γίνεται οἷον κιρσός. διαθερμαίνεται δὲ καὶ ἕλκει ἐς ἑωυτὸ, νοτίδα τινὰ ὑγρήν. ἡ δὲ νοτὶς ἐστὶν ἀπὸ χολῆς καὶ φλέγματος. καὶ ὁκόταν μιχθῆ τό, τε αἷμα καὶ τὸ ὑγρὸν, τὸ ἀπὸ τῆς σαρκὸς, παχύνεται τὸ αἷμα καὶ πολλαπλασίως αὐτὸ ἑωυτοῦ ταύτῃ, ἢ ἂν ἡ φλὲψ τυγχάνῃ ἐσπασμένη, καὶ νοσωδέστερον γίνεται καὶ στασιμώτερόν τι ἐπὶ πλέον. καὶ ὁκόταν πλέον γένηται, μετανέστη τὸ πλήρωμα, ἢ ἂν τύχῃ. καὶ ὀδύνην παρέχει ὀξείην, ὥστε ἐνίοισι δοκέειν τὸ ῥῆγμα ἑωυτοῖσι μεθιστάναι. καὶ ἢν τύχῃ ὥστε ἐς τὸν ὦμον μεθιστάναι, βάρος τε ἐν τῇ χειρὶ παρέχει, καὶ νάρκην καὶ νωθείην. καὶ ἢν μὲν ἐς τὴν φλέβα σκιμφθῆ, ἢ ἐς τὸν ὦμόν τε καὶ τὸν νῶτον τείνῃ, παύεται ἡ ὀδύνη παραχρῆμα ὡς τὰ πολλά. γίνεται δὲ σπάσματα καὶ ἀπὸ πόνων καὶ πτωμάτων, καὶ ἀπὸ πληγῆς, καὶ ἤν τις ἄχθος μέζον αἴρηται, καὶ ἀπὸ δρόμων καὶ πάλης, καὶ τῶν τοιούτων πάντων. ὁκόσοι δὲ ἀπὸ τρωμάτων ἔμπυοι γίνονται, ἢ ὑπὸ δόρατος, ἢ ἐγχειριδίου, ἢ τοξεύματος ἔσω τρωθῶσι, τέως μὲν ἢν ἔχῃ τὸ ἕλκος ἔξω ἀνάπνοιαν ἀνὰ τὸ ἀρχαῖον τρῶμα, ταύτῃ τε τὸ ψυχρὸν ἐπάγεται ἐφ' ἑωυτό. καὶ τὸ θερμὸν ἐφ' ἑωυτοῦ ταύτῃ ἀφίησι, καὶ ἀποκαθαίρεται εὐκόλως τὸ πύον καὶ δι' ἤν τι ἄλλο. καὶ ἢν μὲν ὑγιανθῆ τό, τε εἴσω καὶ τὸ ἔξω ὁμοῦ, ὑγιὴς γίνεται παντελῶς. ἢν δὲ τὸ μὲν ἔξω, ὑγιανθῆ. τὸ δὲ ἔσω, μὴ ὑγιανθῆ, ἔμπυος γίνεται. καὶ ἢν ὑγιανθῆ μὲν, ὁμοῦ καὶ τὸ ἔσω καὶ τὸ ἔξω. ἡ δὲ οὐλὴ, ἔσω ἀσθενὴς γένηται καὶ ῥηχείη καὶ πελιδνὴ, ἀνελκοῦται ἐνίοτε, καὶ ὧδε ἔμπυος γίνεται. ἀνελκοῦται δὲ καὶ ἤν τι πονέσῃ πλέον, καὶ ἢν λεπτυνθῆ, καὶ ἢν φλέγμα ἢ χολὴ πρὸς τῇ οὐλῇ προσπαγῇ. καὶ ἢν νούσῳ ἑτέρῃ ληφθεὶς λεπτυνθῆ. ὅταν δὲ γένηται ἕλκος, ἤν τε οὕτως, ἤν τε προσυμφυῇ τὸ ἔξω τοῦ ἔσω, ὀδύνην τε παρέχει ὀξείην, καὶ βῆχα, καὶ πυρετόν. καὶ τήν τε ψύξιν ἐπάγεται αὐτὸ ἑωυτῷ τὸ ἕλκος, διὰ τὸ πλέον τε θερμότερον εἶναι. καὶ αὐτὸ ἀφ' ἑωυτοῦ ἀποπνεῖ τὸ θερμὸν, καὶ τὸ πύον ἀποκαθαίρεται. καὶ προσινδύεταί τε διὰ πλείονος, καὶ σχολαιότερον ὑγιαίνεται. ἐνίοτε δὲ, οὐδ' ὑγιαίνεται. ἡ γὰρ σὰρξ, τό, τε ἕλκος, ὑπὸ τοῦ καύματος τοῦ ἐν τῷ σώματι ἕψεται, καὶ ὑπερυγραίνεται, ὥστε μὴ δύνασθαι μήτε ξηρανθῆναι, μήτε σαρκοφυῆσαι, μήτε ὑγιανθῆναι. ἀλλ' ὁκόταν ὁ χρόνος προΐῃ, τελευτᾷ πάσχων τὰ τοιαῦτα, ἃ καὶ ἐν τῇ πρόσθεν εἴρηται. ἢν δὲ τύχῃ ὥστε τρωθῆναί τι τῶν φλεβίων τῶν παχυτέρων, καὶ ἔσω ῥυῇ τὸ αἷμα καὶ σαπῇ, ἔμπυον γίνεται. καὶ ἢν μὲν τοῦτο τὸ πύον πτυσθῆ πᾶν, καὶ ἡ φλὲψ ἡ τετρωμένη στεγνωθῆ, καὶ τὸ ἕλκος ὑγιανθῆ καὶ τὸ ἔσω καὶ τὸ ἔξω, ὑγιὴς γίνεται παντελῶς. ἢν δὲ μὴ δύνηται μήτε ἕλκος συμφυῆναι τὸ ἔνδον, μήτε ἡ φλὲψ στεγνωθῆ, ἀλλ' ἄλλοτε καὶ ἄλλοτε ἀναδιδοῖ αἷμα, καὶ ἢν παραυτίκα ἐμέηται, καὶ πτύηται, ἢ καὶ σήπηται, καὶ πύον πτύηται, διαφθείρεται ὡς τὰ πολλὰ, ἢ παραυτίκα ἐμέων αἷμα, ἢ ὑστέρῳ χρόνῳ ὑφ' ὧν καὶ ἐν τῇ πρόσθεν εἴρηται, διαφθειρόμενος. πολλάκις δὲ ὅσοι τι τῶν φλεβίων ἔσω τιτρώσκονται ὑπὸ τρωμάτων, ἢ ὑπό τινων πόνων, ἢ γυμνασίων, ἢ ὑπ' ἄλλου του, ὁκόταν συμφυῇ καὶ δοκέῃ ὑγιὲς εἶναι τὸ φλέβιον, ἀναῤῥήγνυται ἑτέρῳ χρόνῳ. ἀναῤῥήγνυται δὲ ὑπὸ τῶν αὐτῶν, ὑφ' ὧν πρὶν καὶ πρόσθεν πάσχει. ὁκόταν δὲ ἀναῤῥαγῇ, αἱμοῤῥοεῖ. καὶ παραυτίκα ἀπόλλυνται ἐμέοντες αἷμα πολλόν τε καὶ πολλάκις. ἢ ἄλλοτε μέν τε καὶ ἄλλοτε αἷμα ἐμέουσι πρόσφατον. πύον δὲ πτύοντες ἀνὰ πᾶσαν ἡμέρην πολλόν τε καὶ παχὺ, διεφθάρησαν τρόπῳ τοιούτῳ, ἢ παραπλησίῳ, ὡς καὶ ἐν τῇσιν ἄλλῃσι νούσοισιν εἴρηται. τοῖσι δὲ ταῦτα τὰ νοσήματα ἔχουσι, καὶ ὅσα τοιαῦτα, διαφέρει ἐς τὸ εὐπετεστέρως τε ἀπαλλάσσειν καὶ δυσπετεστέρως. ἀνήρ τε γυ', γυναικὸς. νεώτερος, γεραιτέρου. καὶ γυνὴ νεωτέρη, παλαιοτέρης. καὶ πρὸς τούτοισιν, ἥ τε ὥρη τοῦ ἔτεος, ἐν ᾗ ἂν νοσέωσι. καὶ ἢν ἐξ ἑτέρης νούσου νουσήσωσιν, ἢ μὴ ἐξ ἑτέρης. διαφέρει δὲ καὶ πάθημά τε παθήματος, μέζον τε καὶ ἔλασσον. καὶ χρὼς χρωτὸς. καὶ θεραπείη θεραπείης. τούτων δὲ οὕτω διαφερόντων, ἀνάγκη διαφέρειν καὶ τὸν χρόνον. καὶ τοῖσι μὲν, πλέω γίνεσθαι. τοῖσι δὲ, ἐλάσσω τε καὶ ἀπόλλυσθαι, ἢ μή. καὶ τοῖσι μὲν, παραμόνιμά τε εἶναι καὶ μέζω. τοῖσι δὲ, ἐλάσσω τε καὶ ὀλιγοχρόνια. τοῖσι δὲ, παραμένειν ἐς τὸ γῆρας τὰ νοσήματα, καὶ συναποθνήσκειν. τοὺς δὲ ἀπόλλυσθαι δι' ὀλίγου ὑπ' αὐτῶν. καὶ ὁκόσοι μὲν νεώτεροι πάσχουσι, τούτων ὅσα εἴρηται ἀπὸ πόνων παθήματα γίνεσθαι, πάσχουσί τε πλέω καὶ ἰσχυρότερα. καὶ ἀλγέουσιν οὗτοι μᾶλλον τῶν ἄλλων. καὶ παραυτίκα ἔκδηλα αὐτοῖσιν, ὥστε ἢ πτύσαι, ἢ αἷμα ἐμέσαι. τὰ δὲ καὶ γινόμενα λανθάνει

να λανθάνει αὐτοὺς, ὑπὸ εὐεξίης τοῦ σώματος. οἱ δὲ γεραίτεροι, πάσχουσι μὲν ὀλιγάκις. καὶ ὅταν πάθωσιν, ἀσθενέα πάσχουσιν, ἅτε ἀσθενέστεροι ἐόντες. καὶ ἐπανίουσι μᾶλλον. καὶ ἐπιμελέονται μᾶλλον τῶν παθημάτων. γίνεται οὖν τὴν ἀρχὴν τὸ παράπαν ἧσσον τῷ γεραιτέρῳ ἢ τῷ νεωτέρῳ. καὶ ὁκόταν γένηται, τῷ μὲν γεραιτέρῳ, ἀσθενέστερα γίνεται. τῷ δὲ νεωτέρῳ, ἰσχυρότερα. καὶ τῷ μὲν νεωτέρῳ, ἅτε τοῦ σώματος τόνον τε ἔχοντος, καὶ ξηρασίην. καὶ τὴν σάρκα πυκνήν τε καὶ ἰσχυρὴν, καὶ πρὸς τοῖσιν ὀστέοισι προσκαθημένην, καὶ περὶ αὐτὴν τοῦ δέρματος περιτεταμένου, ὁκόταν τι πονήσῃ πλέον τοῦ εἰωθότος μᾶλλον καὶ ἐξαίφνης, σπασμοί τε γίνονται ἰσχυροὶ, καὶ ῥήγματα πουλλά τε καὶ παντοῖα τῶν φλεβῶν καὶ τῶν σαρκῶν. καὶ τούτων τὰ μὲν, παραυτίκα ἔκδηλα γίνονται. τὰ δ' ὑστέρῳ χρόνῳ ἀναφαίνεται. τοῖσι δὲ γεραιτέροισι, τόνος ἰσχυρὸς οὐκ ἔνι. αἵ τε σάρκες περὶ τὰ ὀστέα περιῤῥέουσι. καὶ τὸ δέρμα περὶ τὰς σάρκας. καὶ αὐτὴ ἡ σὰρξ, ἀραιή τε καὶ ἀσθενής. καὶ οὔτε τί ἂν πάθοι τοιοῦτον ὁμοίως ὡς καὶ ὁ νεώτερος. καὶ ἤν τι πάθῃ, πάσχει ἀσθενέα τε καὶ παραυτίκα οἱ ἔκδηλα γίνεται. τοσούτῳ μὲν ἐν τῇ ἀρχῇ τῶν παθημάτων, δυσχερέστερον ἀπαλλάσσουσιν οἱ νεώτεροι τῶν γεραιτέρων. ὁκόταν δὲ ἡ νοῦσος ἐμφανὴς γένηται, καὶ ἢ πύος, ἢ αἷμα πτύωσιν, ἢ ἀμφότερα, ὅσοι μὲν νεώτεροί εἰσιν, ἅτε τοῦ σώματος εὐτόνου τε ὄντος καὶ πυκνοῦ, οὐ δύνανται ἀποκαθαίρεσθαι ὁμαλῶς, ἀπὸ τῶν ἑλκέων τῶν ἐν τῇ ἄνω κοιλίῃ τὸ πύον. ὅ, τε γὰρ πλεύμων οὐ κάρτα ἕλκει ἐς τὰς ἀρτηρίας, πυκνότερος ἐών. αἵ τε ἀρτηρίαι λεπταὶ καὶ στεναὶ οὖσαι, οὐκ εἰσδέχονται τὸ πύον, εἰ μὴ ὀλίγον τε καὶ ὀλιγάκις. ὥστε ἀνάγκη τὸ πύος ἐν τῷ θώρακί τε καὶ ἐπὶ τῶν ἑλκέων, ἀθροίζεσθαί τε καὶ παχύνεσθαι. τῷ δὲ ἀφηλικεστέρῳ, ὅ, τε πλεύμων ἀραιότερος καὶ κοιλότερος. καὶ αἱ ἀρτηρίαι εὐρύτεραι, ὥστε μὴ ἐγχρονίζειν τὸ πύος ἐν τῇ κοιλίῃ, καὶ ἐπὶ τῶν ἑλκέων. καὶ ὅ, τι ἂν ἐπιγένηται, τοῦτο ἀνάγκη πᾶν ἀνασπᾶσθαι ἄνω ὑπὸ τοῦ πλεύμονος ἐς τὰς ἀρτηρίας, καὶ παραχρῆμα ἐκπτύεσθαι. τῷ μὲν οὖν νεωτέρῳ, ἅτε τῶν παθημάτων ἰσχυροτέρων ἐόντων, καὶ τῆς καθάρσιος οὐ γινομένης κατὰ λόγον τοῦ πτύσματος, οἵ, τε πυρετοὶ ὀξύτεροι καὶ πυκνότεροι γίνονται. καὶ ὀδύναι ἐμπίπτουσιν ὀξεῖαι αὐτοῦ τε τοῦ παθήματος, καὶ τοῦ ἄλλου σώματος, ἅτε τῶν φλεβίων ἐν τόνῳ ἐόντων καὶ ἐναίμων. ὅταν δὲ ταῦτα διαθερμανθῆ, ὑφ' ἑωυτῶν ὀδύναι διαΐσσουσιν ἄλλοτε ἄλλῃ τοῦ σώματος. καὶ οὗτοι μὲν διαφθείρονται ὡς τὰ πολλὰ δι' ὀλίγου. τοῖσι δὲ γεραιτέροισιν, ἅτε τῶν παθημάτων ἀσθενεστέρων ἐόντων, καὶ τοῦ πτύσματος ἀπ' αὐτῶν καθαιρομένου. οἵ τε πυρετοὶ λεπτότεροι καὶ ὀλίγοι γίνονται. καὶ ὀδύναι ἔνεισι μέν. ἔνεισι δὲ, λεπταί. καὶ παντάπασι μὲν τοῦ παθήματος τοῦ τοιούτου, οὐκ ἀπαλλάσσονται οὐδὲ οἱ γεραίτεροι, ἀλλ' ἔχοντες αὐτὰ πουλὺν χρόνον, καταφθείρονται. καὶ ἄλλοτε πύον πτύουσιν. ἄλλοτε αἷμα. ἄλλοτε δὲ οὐδέτερον. τέλος δὲ συναποθνήσκει αὐτοῖσιν. ἀποθνήσκουσι δὲ οὕτως, ὅταν τι αὐτοὺς νόσημα τούτῳ, ᾧ ἂν ἔχωσι, παραπλήσιον καταλάβῃ, ὥστε ἔχειν καὶ τοῦτο, καὶ ὃ ἂν ἔχωσι νούσημα ἰσχυρότερον γίγνεται, καὶ ὡς τὰ πολλὰ διαφθείρονται. ταῦτα δ' ἐστὶ τὰ μάλιστα ἐξεργαζόμενα τῶν νουσημάτων. πλευρῖτίς τε καὶ περιπλευμονίη.

Πυρετὸς δὲ ἀπὸ τῶνδε γίνεται. ὁκόταν χολὴ ἢ φλέγμα θερμανθῆ, θερμαίνεται τὸ ἄλλο πᾶν σῶμα ἀπὸ τούτων. καὶ καλέεται τοῦτο πυρετός. θερμαίνεται δὲ, ἡ χολὴ καὶ τὸ φλέγμα. ἔνδοθεν μὲν, ἀπὸ σιτίων καὶ ποτῶν, ἀφ' ὧν καὶ τρέφεται καὶ αὔξεται. ἔξωθεν δὲ, ἀπὸ πόνων καὶ τρωμάτων. καὶ ὑπὸ τοῦ θερμοῦ ὑπερθερμαινόντος, καὶ ὑπὸ τοῦ ψυχροῦ ὑπερψύχοντος. θερμαίνεται δὲ καὶ ἀπὸ ὄψιος καὶ ἀκοῆς. ἐλάχιστα δὲ ἀπὸ τούτων.

Τὸ δὲ ῥῖγος ἐν τῇσι νούσοισι, γίνεται μὲν καὶ ἀπὸ τῶν ἔξωθεν ἀνέμων, καὶ ὕδατος, καὶ αἰθρίης, καὶ ἑτέρων τοιούτων. γίνεται δὲ, καὶ ἀπὸ τῶν ἐσιόντων σιτίων καὶ ποτῶν. μάλιστα δὲ καὶ ἰσχυρότερον γίνεται, ὅταν χολὴ καὶ φλέγμα συμμιχθῆ ἐπὶ τῷ αὐτῷ αἵματι, ἢ τὸ ἕτερον, ἢ ἀμφότερα. μᾶλλον δὲ ἢν τὸ φλέγμα μοῦνον ξυμμιχθῆ. ψυχρότατον γὰρ φύσει, τὸ φλέγμα. θερμότατον δὲ, τὸ αἷμα. ψυχρότερον δέ τι καὶ ἡ χολὴ τοῦ αἵματος. ὅταν οὖν ταῦτα συμμιχθῆ, ἢ ἀμφότερα, ἢ τὸ ἕτερον ἐς τὸ αἷμα, πήγνυσι τὸ αἷμα. οὐ παντάπασι δὲ, οὐδὲ γὰρ ἂν δύναιτο ζῆν ὁ ἄνθρωπος, εἰ τὸ αἷμα πυκνότερόν τε καὶ ψυχρότερον γένοιτο πολλαπλασίως αὐτὸ ἑωυτοῦ. ψυχομένου οὖν τοῦ αἵματος, ἀνάγκη ψύχεσθαι καὶ τὸ ἄλλο σῶμα πᾶν. καὶ καλέεται ῥῖγος, ὁκόταν τοῦτο τὸ τοιοῦτον γένηται. ἢν μὲν ἰσχυρὸν γένηται ῥῖγος, ἰσχυρότερός ἐστι καὶ ὁ τρόμος. αἱ γὰρ φλέβες συσπώμεναι καὶ συνιόντος καὶ πηγνυμένου τοῦ αἵματος, συσπῶσί τε τὸ σῶμα καὶ τρέμειν ποιέουσιν. ἢν δέ τι ἧσσον ἡ σύνοδος τοῦ αἵματος γένηται, τοῦτο δὲ καλέεται ῥῖγος. φρίκη δὲ λέγεται τὸ ἀσθενέστατον.

Ὅτι δὲ μετὰ τὸ ῥῖγος ἀνάγκη πυρετὸν ἐπιλαβεῖν ἢ πλέω ἢ ἐλάσσω, ὧδε ἔχει. ὁκόταν τὸ αἷμα διαθερμαίνηταί τε καὶ ἀποβιῆται, καὶ αὖτις πάλιν ἐς τὴν ἑωυτοῦ φύσιν, συνδιαθερμαίνεται καὶ τοῦ φλέγματος καὶ τῆς χολῆς, τὸ ἐν τῷ αἵματι συμμεμιγμένον. καὶ γίνεται τὸ αἷμα θερμότερον αὐτὸ ἑωυτοῦ, πολλαπλασίως. τούτων οὖν διατεθερμασμένων, ἀνάγκη πυρετὸν ἐπιγενέσθαι, ὑπὸ τῆς θερμασίης τοῦ αἵματος, μετὰ ῥῖγος.

Ἱδρὼς δὲ γίνεται, διὰ τόδε. ὁκόσαι ἂν νοῦσοι κρίνωνται ἐν τῇσι κυρίῃσι τῶν ἡμερέων,

καὶ ἀπὸ πυρὸς μεθίει, ἐκτήκεται ἀφ' ὧν αὐτῷ αἵματι φλέγματος, καὶ τῆς χολῆς ἀπολεπόταται, καὶ ἀποκείνεται καὶ χωρέει, ἀπὸ μὲν, ἔξω τοῦ σώματος. ἀπὸ δὲ, ἔσω καὶ αὖτε αὐτῷ σώματι ξυλλέγεται. ἀπὸ δὲ ξὺν θερμασίης λεπτυνόμενον, ἀτμὸς γίνεται, καὶ ξυν τῷ πνεύματι μισγόμενον ἔξω χωρέει. ἔστι μὲν οὖν ταῦτα, τοιαῦτα. καὶ ἀφ' ὧν τούτων ἀπορυήνεται ὁ ἱδρώς. διότι δὲ ὅτε μὲν θερμὸς, ὅτε δὲ ψυχρὸς ἔστιν οὕτως. θερμὸς μὲν, ἀφ' διαπεθερμασμένου τε τοῦ ηγκοῦ, καὶ ἐκκεκαυμένου, καὶ λεπτυσμένης, καὶ ἀθανέος. καὶ οὐ λίγω πολλῷ ἀποκείνεται, καὶ ἀνάγκη θερμότερον αὐὼν ἐκκρίνεσθαι ἐκ τοῦ σώματος. ὁ δὲ ψυχρὸς, ἀφ' ξυλέγοντος τοῦ ηγκοῦ, ἀποκεινομένης τε ξυλλεπομένου καὶ ἔτι ἰχύοντος, καὶ οὔπω σεσηπότος, οὐδὲ λεπτυσμένου, οὐδὲ ἐκκεκαυμένου, ψυχρότερος καὶ παχύτερος καὶ ηγκωδέστερος ἐκχωρέει. ἄλλον δὲ τοῦτο οὐ τῷδε. οἱ ψυχροὶ ἱδρῶτι ἱδρῶσι μακρὰς νόσους νοσέουσιν ὡς ἐπὶ τὸ πολύ, ἐπιχύοντος τοῦ ηγκοῦ, τοῦ δὲ τῷ σώματι ὑπολειπομένου. οἱ δὲ θερμῷ ἱδρῶτι ἱδρῶντες, ταχύτερον ἀπαλλάσσονται τὴν νοῦσημάτων.

Γλυκεῖτις καὶ ξανθὴ χολώδης. γίνονται ὧδε. ἡ μὲν χολώδης, ὅταν πόσιες ἁλέες τε καὶ ἰχραὶ, καὶ ἀρτάβασι. διαθερμαίνεται γὰρ τὸ σῶμα ἅπαν ἀφ' τοῦ οἴνου καὶ ὑγραίνεται. μάλιστα δὲ ἥ τε χολὴ καὶ τὸ φλέγμα, διαθερμαίνεταί τε καὶ ὑγραίνεται. καὶ δὴ τούτων κεκινημένων τε καὶ ὑγρασμένων, συγκυρήσει ὥστε ῥιπῶσθαι μεθύοντα λιπεῖν φύσιν ἀπὸ τοῦ ὑδρωπικοῦ, ἀπὸ δὲ χολώδεα φύσιν σαρκὸς, μάλιστα τοῦ σώματος, καὶ οὐκ ἐόντος αὐτῷ ἔσωθεν τοῦ ἀπεισερχομένου οὐδενὸς, ἀλλὰ κοιλίης, ἀλλαχόθι ταῦτα μάλιστα τοῦ ῥιγώσεως. καὶ ὅκόταν ῥιπῶσιν τε καὶ ψυχθῶ, καὶ τὰ φλέβια καὶ ὅσον τε ἐν αὐτῇ τῇ σαρκὶ ἐστὶ χολῆς ἢ φλέγματος, ἢ ἐν τοῖσιν ἐν αὐτῇ φλεβίοισι, τοῦτο πολλὸν, ἢ πᾶν ἀποκείνεται ἔσω συνωθεόμενον πρὸς τὸν θερμὸν, πυκνουμένης τῆς σαρκὸς ἔξωθεν. καὶ προσπήγνυται πρὸς τῷ πλευρῷ, καὶ ὁ δρὺψ παρέχει ἰχῶρ ὠμὸν καὶ διαθερμαίνεται. καὶ ὀλίγῃ τῆς θερμότητος ἄγει ἐφ' ἑωυτὸν, καὶ ἀπὸ τῆς πλησίον φλεβῶν καὶ σαρκῶν, φλέγμα τε καὶ χολώ. γίνεται μὲν οὖν τοῦτο τῷ τρόπῳ. ὁκόταν δὲ τὰ πρὸς τὸν πλευρὸν προσαπαγόντα σκιπᾶ καὶ πυοῦται, ὑγιέες γίνονται. λῦσι δὲ τὸ, τε αἰρεῖ ἐν πολλὸν προσαπαγῇ πρὸς τὸν πλευρὸν, καὶ ἄλλο προσεμπήγνυται, αὐτίκα ἀπόλλυται, οὐ δύναμενοι αὐτὸ πύῃσι ξυν τὴν ἰσχὺν τοῦ σάκλου, ἢ ἐμπυοι γίνονται. καὶ οἱ μὲν, ἀπόλλυται. οἱ δὲ, διαφεύγουσι. διαλύονται δὲ ταῦτα σὺν τῇσιν ἑπτὰ ἡμέρῃσιν, ἢ ἐννέα, ἢ ἑνδεκα, ἢ τεσσαρεσκαίδεκα. ὁ δρὺψ τὸ παρέχει, ἐς ἐν ὠμὸν, καὶ ἐς πὺν κλητίδα, καὶ ἐς πὺν μοχλάλιν, ὅταν τοῦτο. ἡ φλὲψ ἡ ξυλλυΐ τις καλεομένη, πίνει ἀφ' τοῦ ξυλλυὸς ἐς τὸ πλευρόν. ἐκ δὲ τοῦ πλευροῦ ἐς ἐν ὠμὸν, καὶ ἐς πὺν χεῖρα πὺν ἀριστερὴν. ἡ δὲ ἡ παχύτητις εἰς τὰ δεξιὰ. ὡσαύτως καὶ ὁκόταν ταύτης ὁ ὠδὶ τοῦ πλευροῦ στωμυλῆται ξυν τοῦ ἰχῶρος καὶ φλεγμαίνῃ καὶ ἐμπυοῦται, ἔστε πὺν μοχλάλιν, καὶ πὺν κλητίδα, καὶ ἐν ὠμὸν, σωθῆναι τε καὶ ταχέα, καὶ ὁ δρὺψ παρέχει. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τὰ ὠδὶ τῶν νώτων χωρία, διαθερμαίνεται ξυν τοῦ προσαπηγότος ὑγροῦ πρὸς τῷ πλευρῷ, φλέγματός τε καὶ χολῆς. παρέχει δὲ ὁ δρὺψ καὶ τοῖσι τοῦ πλευροῦ κάτωθεν χωρίοισι. πολλάκις δὲ λῦσι ἐς τὰ κάτω ῥάπτεται, ὁ δρὺψ διαδιδοῖ ἐς πὺν κύστιν ὥστε τὴν φλεβίων, καὶ οὐρέει πολλόν τε καὶ χολώδες. νομίζουσι δὲ ταύτης τῆς νούσου τὸ ῥῖγος αἴτιον εἶναι καὶ ἀρχλύ. Η δὲ ὠδὶ χολώδης μονίη γίνεται, ὁκόταν κεκινημένου καὶ ὑγραινομένου τοῦ φλέγματος καὶ τῆς χολῆς, ἑλκύσῃ ὁ πλεύμων ξυν τοῦ θερμασίης ἐφ' ἑωυτὸν, ἀπὸ τὴν πλησίον χωρίων πρὸς τοῖσιν ὑπαρχουσιν ἐν ἑωυτῷ, διαθερμαίνει μὲν πᾶν τὸ σῶμα καὶ ὁ δρὺψ παρέχει, μάλιστα δὲ τῷ τε νώτῳ, καὶ τῇσι πλευρῇσι καὶ τοῖσιν ὦμοισι, καὶ τῇ ῥάχει, ἄτε ἀπὸ τούτων ἕλκων ἐς ἑωυτὸν τὸν πλὲ ἰκμάδα πλὲ πλείστην, καὶ ὑπερξηράνας τοῦτο τε καὶ ὑπερθερμάνας. ὁκόταν δὲ ἐρύσῃ ἐς ἑωυτὸν καὶ ἐσρλῶ λάβῃ, ἥτε χολὴ καὶ τὸ φλέγμα ἐς τὸν πλεύμονα σήπεται καὶ ἐμπυοῦται. καὶ λῦ μὲν σὺν τῇσι κινεήσι τῶν ἡμερέων σαπέντα πύῃσι, ὠδὶ γίνεται. λῦ δὲ τάχιστα ἐπελθόντα πὺν αὐχλὺν δέχηται, καὶ προσεμπήγνυται ἑτέρᾳ, ἢ μήτε πύων, μήτε σήπων κρατέῃ ξυν τοῦ πλήθεος τῶν ἐπιγινομένων, ἀποθνήσκουσιν ὡς τὰ πολλά. λῦ δὲ πρὸς τὰς ἡμέρας διατείνουσι τὰς δύο καὶ εἴκοσι, καὶ τὸ πῦρ μεθῇ, καὶ σὺν τούτοισι μὴ ἐκπύσῃ, ἐμπυοι γίνονται. γίνονται δὲ μάλιστα ἐκ τούτων οἷσιν ἰχῶρ ὀξὺ τε, ἢ τε χολώδεις ἢ ἠδὲ χολώδης μονίη. γίνονται δὲ καὶ ἄπυος ὠδὶ χολώδης μονίη καὶ χολώδεις, ἄμφω ξυν τοῦ αὐτοῦ, ξυν τοῦ ξηρότητος. ξηραίνει δὲ καὶ τὸ θέρμα, ὅταν ὑπερθερμάνῃ. καὶ τὰ ψυχρὰ, ὅταν ὑπερψυχθῇ. πήγνυται δὲ τὸ χολώδεος, καὶ τὰ σὺν αὐτῷ τῷ χολώδει φλέβια καὶ συναπτεται. καὶ ὁκόσον σὺν αὐτῷ τῷ φλέγματος ἢ χολῆς, τοῦτο ξυν τοῦ θερμασίης σὺν σκληκέ τε καὶ ὀδυνῶδες παρέχει, καὶ ξυν τοῦ ἕλκωσις πυρετὸν τοῦτον ξυμφέρει πὺν φλέβα ἀποσκάζαι πὺν σὺν τῇ χειρὶ, πὺν ἀγκῶνα πὺν ἀριστερὸν, ἢ πὺν ἢ παχύτητα, καθ' ὁποτέρῳ ἂν ἔῃ τὸ νούσημα. καὶ οὕτως ἡ ὀδύνη μάλιστα κωτέρη γίνεται τῷ πλευροῦ τε καὶ τῶν ἄλλων. ἢ χαρ φλὲψ, ὅσον σὺν σὺν αὐτῷ χολῆς καὶ φλέγματος, αὐτοῦ τοῦ αἵματος νεκροῦται, μετὰ τούτων μεθίει τὸ πυὸν ἔξω. τὸ δὲ ἐκ τῆς σαρκὸς ξυν τε φαρμάκων, ἢ

κων, καὶ ποτῶν διαχέεται, καὶ ξυν γλισμάτων προεστιθεμένων ἐξωθεν, ὥστε πλὺ ὑδρὸν σπίλνασθαι αὐτὸ πὰν ἀπὸ τοῦ σώματος. ἡ δὲ ἀπόστασις ἀπὸ τοῦ ἕλκεος ἀπὸ τοῦ πλεύμονος, ὁκόταν ὁ πλεύμων ξυνεφλεγμονήῃ καὶ αὐτὸς, καὶ ὁκόταν οἱ αὐτῷ σὺν χολῆς ἢ φλέγματος, οὔτε σήπει ὀμαλῶς, οὔτε ἀπὸ σάκλου ἀναδίδοῖ. ὅσον τε ἐν αὐτῷ ὄδυνη ἐνῇ καὶ ὅσον τε ἀπὸ ποτοῦ, ἢ ἀπὸ ῥοφήματος, ἢ ἀπὸ τῆς πλησίον χωρείων, τοῦτο πὰν ἐκκαίει, ξυν τῆς ξυνεφλεγμονήσης τε καὶ θερμασίης, τούτῳ ξυμφορέει πόματα πίνειν ὑφ' ὧν ὑγραίνεται ὁ πλεύμων, καὶ πῦσι ποιεῖ. διὸ χρὴ μὴ πῖ ὑδρὸν σκληρότερός τε γίνεται ὁ πλεύμων, καὶ στωμυλαίνεται, καὶ ἐν ἀνθρώπου ἀπόλλυσι. καῦσος δὲ λαμβάνει μὲν μάλιστα, σὺν χολώδεα. λαμβάνει δὲ, καὶ σὺν φλεγματίαι. λαμβάνει δὲ, ὧδε. ὁκόταν χολὴ κινηθῇ ἀπὸ τοῦ σώματος καὶ συγκυρήσῃ, ὥστε τὰς φλέβας καὶ τὸ αἷμα ἐρύσαι τῆς χολῆς. ἐρύσει δὲ τὸ πλεῖστον, ἐκ τῆς σαρκῶν καὶ τῆς κοιλίης. τὸ δὲ πρόσθεν εἶπον, ἄτε καὶ τῇ φύσει θερμότατον ἐὸν σὺν τῷ σώματι τὸ αἷμα. ὁκόταν γὰρ διαθερμανθῇ ἐκ τῆς σαρκῶν καὶ τῆς κοιλίης, πρὸς τῷ ἐνεόντι μᾶλλον ἔτι ξυν τῆς χολῆς, διαθερμαίνει καὶ τὸ ἄλλο σῶμα πᾶν. καὶ τὰ μὲν ξυν τῆς πολλῆς ἰκμάδος, οὐ διώκατεν ἀποξηραίνεσθαι παντάπασιν. λῦ ἢ ἀποξηρανθῇ, ἀποθνήσκει ὁ ἄνθρωπος. τὰ δὲ σὺν τοῖσιν ἀκρωτηρίοισι τοῦ σώματος, ἄτε ξηρὰ ἐόντα φύσει, ἀποξηραίνεται τε καὶ ἐκκαίεται ὑφ' αὐτῆς τὸ ὑγρὸν τὸ ἐπιὸν. καὶ ἐπὶ θέλοις φανεῖν, ψυχρά τε ὑρήσεις αὐτὰ καὶ ξηρά. ὅμως τοῦτο ὁκόσοι ξυν καύσου ἁλίσκονται, τὰ μὲν ἔσω, καίονται ὑπὸ τοῦ πυρός. τὰ δὲ ἔξω, ψυχροί εἰσιν. ἥτε γλῶσσα καὶ ὁ φάρυγξ ξηραίνεταί τε καὶ αὐαίνεται ξυν τοῦ ἔσω πνεύματος καὶ τῆς θερμότητος. Οἷσιν δ' ἂν σὺν τῇ κοιλίῃ καὶ σὺν τῇ κύσει ἐγγίνεται χολὴ. τὸ μὲν σὺν τῇ κοιλίῃ. οἵσιν μὲν, διαταράσσεται ἡσύχως. τὰ δὲ πολλὰ, ἐμέουσι σὺν τῇσι πρώτῃσιν ἡμέρῃσιν, ἢ σὺν τέσσαρσιν, ἢ σὺν πέντε. ἐμέουσι δὲ ὅμως τοῦτο. ὁκόταν ἡ ἄνω κοιλίη ξυνθερμανθῇ, ἕλκει ἐφ' ἑωυτὸν, καὶ γίνεται ἔμετος. ὅμως τοῦτο δ' αὖ καὶ ἐς ὠδὶ πυρετοὺς μαλιστα μεθίσταται τὰ νουσήματα. ὁκόταν γὰρ ἡ ἄνω κοιλίη ὑπερθερμανθῇ, ἕλκει ἐφ' ἑωυτὸν, καὶ ὑποδέχεται ὁ πλεύμων, καὶ γίνεται ὠδὶ πλεύμονίη. καὶ ὡς τὰ πολλὰ ἀπόλλυσι, ἄτε ἀσθενέες ἠδὴ ἐόντες, καὶ ἐπὶ τοῖσι νούσου καιρῆς ἐπιγινωθείσης, οὐ δυνάμενοι τὰς ἡμέρας διατελέειν, ἄχρις οὗ ἐς σάκλον τραπωθῇ σὺν τῷ πλεύμονι. ἀλλ' ὡς τὰ πολλὰ ἀπόλλυται ξυν τοῦ ἀσθενείης. οἱσι δὲ, ὠδὶ γίνεται. ὁκόταν χολὴ ἐς πὺν κύστιν συῤῥεῖ τὴ χολῆς, οὐ ῥέει τὰ παχύ. παχὺ ἢ, ξυν τοῦ φλέγματος. χολώδες δὲ διαχωρέει, ὑπὸ τοῦ συγκεκαῦσθαι σὺν τῇ κοιλίῃ τὸ ἐνεόν. Φρενῖτις δὲ ὧδε ἔχει. ἐὰν αἷμα ἐν σὺν τῷ ἀνθρώπου ἐλθὸν ξυμβάλλεται μοῖρος στωέσιος. οἵσι δὲ λέγουσι, ἐὰν πὰν ὁκόταν οὖν χολὴ κινηθεῖσα ἐς τὰς φλέβας καὶ ἐς ἐὰν αἷμα εἰσέλθῃ, διεκίνησε καὶ διοῦρησε ἐὰν αἷμα ἐκ τῆς εἰωθυίης συστάσιός τε καὶ κινήσιος, καὶ διεθερμάνεν. διαθερμανθὲν δὲ, διαθερμαίνει καὶ ἐὰν ἄλλο σῶμα πᾶν, καὶ παραπλησίως ἔχει ὁ ἄνθρωπος, καὶ οὐκ ἐν ἑωυτῷ ἐστὶν, ὑπό τε τοῦ ἐλθόντος τοῦ πυρετοῦ, καὶ τοῦ αἵματος, τῆς διουρήσιός τε καὶ κινήσιος γινομένης οὐ τῆς εἰωθυίης. προσοίσουσι δὲ μάλιστα οἱ ὑπὸ τῆς φρενίτιδος ἑλόμενοι, τοῖσι μελαγχολώδεσι τὰ πὺν παραπλήσια. οἵτε γὰρ μελαγχολώδεες ὁκόταν φθαρῇ ἐὰν αἷμα ὑπὸ χολῆς καὶ φλέγματος, πὺν νοῦσον ἴσχουσι καὶ παραπλησίοισι γίνονται. οἵσι δὲ μὴ μανῇ καὶ ἐν τῇ φρενίτιδι ὡσαύτως. οὕτω δὲ ἔστιν ἡ μανίη τε καὶ ἡ παραφρόνησις γίνεται, ὅσῳ πῦρ ἡ χολὴ τοῦ φλέγματος ἀθερμοτέρη ἐστίν. ὕφαιμον δὲ καὶ πελιδνὸν ἐν τῇ πολυείτιδι καὶ ὠδὶ πνευμονίῃ ἐὰν πῦαλον, ὁμῶς τόδε πίνουσι. καταρχὰς μὲν ὡς ἐὰν πουλὺ, οὐθὲν τόδε πίνουσιν, οὔτε πελιδνὸν, οὔτε ὕφαιμον. ἐοίκασι δὲ χρὴ πὺν νοῦσον, ἰχυρὸν ἐοὺσαν. ὁκόταν δὲ ἐὰν σάκλον ὑπὸ παχὺ αὖξεσθαι καὶ ἀναθαίρεσθαι, μάλιστα τότε. πίνουσι δὲ, ἀφ' διαστάσιος τῆς φλεβῶν. τῆς μὲν πολυείτιδος, ἐκ τῆς ἐν τῷ πολυῷ. τῆς δὲ ὠδὶ πνευμονίης, ἐκ τῆς ἐν τῷ πλεύμονι, καὶ θερμασίλω ἐπάγει ἐφ' ἑωυτήν. λῦ δὲ ῥηγματίης ἐὴ ὁ πὺν νοῦσον ἔχων, καὶ σαβάκης ἀφ' τῆς πρώτης ἡμέρης, αἷμα, καὶ ὑφαιμον πύος καὶ πελιδνὸν ξυν σάκλω πύῃσι. ἐὰν δὲ πελιδνὸν, ἀφ' τοῦ αἵματος γίνεται, λῦ ὀλίγον συσμίγνυται, ἐς πουλὺ σάκλον, καὶ μὴ παραυτίκα πῦόν τε, ἀλλὰ μένει ἡμισεατὲς ἐόν, καὶ ἐκτήκεται ἐν τῷ σώματι. ἀποθνήσκουσι δὲ, ἀφ' μὲν τῆς πολυείτιδος, ὁκόταν πολλὸν μὲν πὺν αὐχλὺν τῷ πλευρῷ προσαπαγῇ, φλέγμα τε καὶ χολὴ. πολλὸν δὲ προσεμπύῃ καὶ ἐκ τοῦ ἄλλου σώματος. καὶ μήτε πύων κρατέῃ ὑπὸ πολλοῦ ἐόντος, μήτε σήπων. πιμπλῶνται δὲ αἱ ἀρτηρίαι ὑπὸ τοῦ ἐνεόντων, φλέγματός τε καὶ πύου. τοῦτο δὲ ῥέγχει καὶ ἀναπνεῖ, πυκνόν τε καὶ αὐτόθεν τελέως δὲ ἀποφράσσεται πάντα καὶ ἀποθνήσκεται. ἦν αὖ δὲ ῥόπον τοῦτον καὶ ἐκ τοῦ πολυείτιδος ἀπόλλυται. ὅσοι δὲ ὑπὸ καύσου ἀποθνήσκουσι, πάντες ὑπὸ ξηροσίης ἀποθνήσκουσιν. ἀποξηραίνεται πρῶτον μὲν αὐτὴν τὰ ἄκρα τὴ πόδες τε καὶ χεῖρες. ἔπειτα δὲ τὰ ἐπὶ ξηρότερα. ὁκόταν δὲ ἐκκαυθῇ καὶ ἀποξηρανθῇ παντάπασι ἡ ὑγρὸν ἐκ τοῦ σώματος, ἀπὸ μὲν αἷμα, πήγνυται τέ τε παντελῶς καὶ ψύχεται. ἀπὸ δὲ ἄλλο σῶμα, ἀποξηραίνεται καὶ οὕτως ἀποθνήσκει. ὑπὸ δὲ τῆς φρενί

τιδος ἀπόλλυται ὧδε. παραφρονέουσιν ἐν τῇ νόσῳ διὰ παντὸς, ἅτε τοῦ αἵματος ἐφθαρμένου τε καὶ ἐκκεκινημένου τὴν εἰωθυῖαν κίνησιν. καὶ οὔτε παραφρονέοντες, οὔτε τι τῶν προσφερομένων δέχονται, ὅ, τι ἄξιον λόγου. ὅταν δὲ προΐῃ ὁ χρόνος, μαραίνονταί τε καὶ μινύθουσιν ὑπό τε τοῦ πυρετοῦ, καὶ ὑπὸ τοῦ μηδὲν σιτέεσθαι. καὶ πρῶτα μὲν, τὰ ἐν τοῖσιν ἀκρωτηρίοισι μινύθει τε, καὶ ψύχεται. ἔπειτα δὲ, τὰ ἔσω ἐπὶ τουτέῳ. καὶ ψῦχος δὲ καὶ πυρὸς καὶ πόνων, ἀρχὴν ταύτην ἴσχει. ὅταν τὸ αἷμα τὸ ἐν τῇσι φλεψὶν ὑπὸ τοῦ φλέγματος ψυχθῇ, μεταπίπτει τε καὶ συνασπᾶται ἀλὲς, ἄλλοτε ἄλλη καὶ τρέμει. τέλος δὲ ψύχεται πάντα καὶ ἀποθνήσκει.

ἹΠΠΟΚΡΆΤΟΥΣ ΠΕΡῚ ΝΟΎΣΩΝ ΤῸ ΔΕΎΤΕΡΟΝ.

Υρέεται πολλὸν ὅταν ὑπερθερμανθῇ ἡ κεφαλή. τήκεται γὰρ ἐν αὐτῇ τὸ φλέγμα. τηκόμενον δὲ, χωρέει τὸ μὲν, ἐς τὰς ῥῖνας. τὸ δὲ, ἐς τὸ στόμα. τὸ δὲ, διὰ τῶν φλεβῶν αἳ ἄγουσιν ἐς τὸ αἰδοῖον. ὅταν δὲ ἐς τὸ αἰδοῖον ἀφίκηται, οὐρέει καὶ πάσχει ὥσπερ ὑπὸ στραγγουρίης. ἀμβλυώσσουσι δὲ, ὅταν ἐς τὰ ἐν τοῖσι ὀφθαλμοῖσι φλέβια ἐσέλθῃ φλέγμα. ὑδαρεστέρη τε γὰρ γίνεται ἡ ὄψις, καὶ θολερωτέρη. καὶ τὸ λαμπρὸν ἐν τῷ ὀφθαλμῷ, οὐχ ὁμοίως λαμπρόν ἐστιν, οὐδὲ καταφαίνεται ἐν αὐτῷ, ἐὰν ἐθέλῃ ὁρᾶν ὁμοίως, ὡς καὶ ὅτε λαμπρὸς καὶ καθαρὸς ἦν. οὗτος ἐν τεσσαράκοντα ἡμέρῃσι μάλιστα ὑγιάζεται. ἢν δὲ χρόνῳ ὕστερον πολλῷ ὑποστρέψῃ ἡ νοῦσος, τὸ δέρμα τῆς κεφαλῆς παχύνεται. καὶ τὸ ἄλλο σῶμα αἴρεται καὶ παχύνεται καὶ εὐχροέει. τοῦτο τὸ φλέγμα, εἰς τὰς σάρκας τρέπεται καὶ ὑπὸ τούτου δοκέει παχὺς εἶναι. αἱ γὰρ σάρκες ἅτε διάβροχοι ἐοῦσαι καὶ ἠρεμέναι καὶ ἀραιότεραι, ἕλκουσιν ἐκ τῶν φλεβῶν αἷμα, καὶ διὰ τοῦτο δοκέουσιν εὔχροοι εἶναι. Ἑτέρη νοῦσος.

Η κεφαλὴ ἑλκέων καταπίμπλαται. καὶ τὸ σῶμα οἰδέει. καὶ ἡ χροιὴ, ἰκτερώδης. καὶ ἄλλοτε ἄλλη τοῦ σώματος, ἕλκεα ἐκφύει. καὶ πυρετὸς λαμβάνει, ἄλλοτε καὶ ἄλλοτε. καὶ ἐκ τοῦ νώτου, ὕδωρ ῥέει. τούτῳ ὅταν ἐν τῇ κεφαλῇ φλέγμα ὑπόχολον ἐνραφῇ, τὰ μὲν ἕλκεα γίνεται, ὅταν τὸ βρέγμα διάβροχον γένηται τῷ φλέγματι καὶ τῇ χολῇ. καὶ ἀραιὸν ᾖ καὶ ἀλὲς τὸ φλέγμα καὶ ἡ χολή. ἵσταται γὰρ τοῦτο καὶ σήπεται καὶ ἑλκοῦται. ἐς δὲ τὰ ὦτα λεπτυνόμενον τὸ φλέγμα, διαδιδοῖ. ἐν δὲ τῷ ἄλλῳ σώματι, τά τε ἕλκεα κατὰ τὸν αὐτὸν λόγον, τοῖσιν ἐν τῇ κεφαλῇ γίνεται, συσηπομένου τοῦ αἵματος καὶ τῆς χολῆς ᾗ ἂν τύχῃ ἀλισθέντα. ταύτῃ γὰρ ἡ σὰρξ σήπεται καὶ ἑλκοῦται. καὶ προσκατασήπει τὸ ἐσελθὸν τοῦ φλέγματος καὶ τῆς χολῆς, καὶ γίνεται πύον. Ἑτέρη νοῦσος. Περιωδυνίη τὴν κεφαλὴν ἴσχει. καὶ ἐμέει χολήν. καὶ δυσουρέει. καὶ παραφρονέει. οὗτος περιωδυνέει μὲν, ὑπὸ τῆς ὑπερθερμασίης τῆς κεφαλῆς. παραφρονέει δὲ, ὅταν τὸ αἷμα τὸ ἐν τῇ κεφαλῇ ὑπὸ χολῆς ἢ φλέγματος ὑπερθερμανθῇ, καὶ κινηθῇ μᾶλλον τοῦ εἰωθότος. ἐμέει δὲ χολὴν, ἅτε κεκινημένης αὐτῆς ἐν τῷ σώματι. καὶ ἡ κεφαλὴ ὑπὸ τῆς θερμασίης ἕλκει ἐφ' ἑωυτήν. καὶ τὸ μὲν παχύτατον, ἐμέει. τὸ δὲ λεπτότατον, ἕλκει ἐς ἑωυτήν. οὐρέει δὲ καὶ ἐν ταύτῃ ὑπὸ τῶν αὐτῶν, ὡς καὶ ἐν τῇ πρόσθεν εἴρηται. Ἑτέρη νοῦσος. Ἢν περὶ τὸν ἐγκέφαλον φλέβια ὑπερεμήσῃ, τὸ μὲν οὔνομα οὐκ ὀρθὸν τῇ νούσῳ. οὐδὲ γὰρ ἄνυστον ὑπερεμῆσαι οὐδὲν τῶν φλεβίων. οὔτε τῶν ἐλασσόνων, οὔτε τῶν μειζόνων. ὀνομαίνουσι δὲ, καὶ φασὶν ὑπερέμετον. εἰ δ' ὡς μάλιστα ὑπερεμήσειε, νοῦσος ὑπ' αὐτοῦ οὐκ ἔοικε γίνεσθαι. ἀπ' ἀγαθοῦ γὰρ κακὸν, οὐχ οἷόν τε γίνεσθαι. οὐδ' ἀπὸ κακοῦ ἀγαθὸν γένοιτο ἄν. οὐδ' αὖ ἀγαθὸν πλέον τοῦ δέοντος οἷόν τε γίνεσθαι. ἀλλ' ὑπερεμέειν δοκέει. ὅταν ἐς τὰς φλέβας χολὴ ἢ φλέγμα ἐσέλθῃ. μετεωρίζονται γὰρ αἱ φλέβες. καὶ σφύζουσι. καὶ ὀδύνη κατὰ πᾶσαν τὴν κεφαλὴν ἐπιγίνεται. καὶ τὰ ὦτα ἠχέει καὶ ἀκούει οὐδέν. καὶ ἠχέει μὲν, ἅτε τῶν φλεβίων σφυζόντων καὶ παλλομένων, τηνικαῦτα γὰρ ἦχος ἔνεστιν ἐν τῇ κεφαλῇ. βαρυκοέει δὲ, τὸ μέν τι, ὑπὸ τοῦ ἔσωθεν ψόφου καὶ ἤχου. τὸ δὲ, ὅταν ὁ ἐγκέφαλος καὶ τὰ φλέβια τὰ περὶ αὐτὸν ἐπαρθῇ. ὑπὸ γὰρ τῆς ὑπερθερμασίης ἐμπίπλησι τὸν κατὰ τὸ οὖς κενὸν ὁ ἐγκέφαλος ἑωυτοῦ. καὶ ἅτε οὐκ ἐνεόντος τοῦ ἠέρος ἰσοπληθέος, ὡς καὶ ἐν τῷ πρὶν χρόνῳ, οὐδὲ τὸν ἦχον ἴσον παρέχοντος, οὐκ ἐνσημαίνει οἱ τὰ λεγόμενα ὁμαλῶς, καὶ ἀπὸ τούτου βαρυκοέει. οὗτος ἢν μὲν ῥαγῇ αὐτῷ ἐς τὰς ῥῖνας, ἢ ἐς τὸ στόμα ὕδωρ καὶ φλέγμα, ὑγιὴς γίνεται. ἢν δὲ μὴ ῥαγῇ, ἑβδομαῖος μάλιστα ἀποθνήσκει. ἢν δὲ ἐν τῇ κεφαλῇ ὑπερεμέσωσι φλέβες, ὑπερεμέουσι δὲ ὑπὸ τῶν αὐτῶν, ἃ καὶ ἐν τῷ πρόσθεν εἴρηται. σημεῖον δὲ ὅτι

τοιούτῳ τρόπῳ ὑπερεμέουσι τόδε. ὅταν τις ἢ χεῖρα τοῦτο πάσχουσαν ἐπιτάμῃ, ἢ κεφαλὴν, ἢ ἄλλο τι τοῦ σώματος, τὸ αἷμα μέλαν ῥέει, καὶ θολερὸν καὶ νοσῶδες. καίτοι οὐδὲ αἷμα δίκαιον εἰπεῖν κατ' οὔνομα, ἀλλ' ἐρυθρὸν καὶ εἰλικρινὲς ῥεῖν. ὅταν δὲ ὑπερεμέσωσιν ἀπὸ τῶν αὐτῶν, ἴσχει ὀδύνη καὶ σκοτοδινίη καὶ βάρος ἔχει τὴν κεφαλήν. ὀδύνη μὲν, ὑπὸ τῆς ὑπερθερμασίης τοῦ αἵματος. σκοτοδινίη δὲ, ὅταν ἀλὲς ἐπὶ τὸ πρόσωπον χωρήσῃ τὸ αἷμα. βάρος δὲ, ἅτε τοῦ αἵματος πλείονος ἐόντος ἐν τῇ κεφαλῇ, καὶ θολερωτέρου, καὶ νοσωδεστέρου ἢ ἔσωθεν. Σφακελισμὸς ἐγκεφάλου. Ἢν σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη ἔχει ἐκ τῆς κεφαλῆς τὴν ῥάχιν, καὶ ἐπὶ τὴν καρδίαν φοιτᾷ, ἀψυχίη καὶ ἱδρώς. καὶ ἄϋπνος τελέθει. καὶ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ. πολλάκις δὲ καὶ αἷμα ἐμέει. σφακελίζεται δὲ ὁ ἐγκέφαλος, τρόπῳ τοιῷδε. ὁκόταν ἢ ὑπερθερμανθῇ ἢ ὑπερψυχθῇ, χολώδης ἢ φλεγματώδης γένηται μᾶλλον τοῦ εἰωθότος. ὅταν δέ τι τούτων πάθῃ, ὑπερθερμαίνεται καὶ τὸν νωτιαῖον μυελόν. καὶ διαθερμαινόμενος καὶ οὗτος, ὀδύνην τῇ ῥάχει παρέχει. ἀψυχέει δὲ, ὅταν προσίστηται πρὸς τὴν καρδίην φλέγμα ἢ χολή. προσίστασθαι δὲ ἀνάγκη, κεκινημένων καὶ ὑγρασμένων. ἱδρὼς δὲ γίνεται ὑπὸ πόνου. τὸ αἷμα δὲ ἐμέει, ὅταν αἱ φλέβες αἱ ἐν μὲν τῇ κεφαλῇ, ὑπὸ τοῦ ἐγκεφάλου θερμανθῶσι. αἱ δὲ παρὰ τὴν ῥάχιν, ὑπὸ τῆς ῥάχιος. ἡ δὲ ῥάχις, ὑπὸ τοῦ νωτιαίου μυελοῦ. ὁ δὲ μυελὸς, ὑπὸ τοῦ ἐγκεφάλου ὅθενπερ πέφυκεν. ὅταν οὖν θερμανθῶσιν αἱ φλέβες, καὶ τὸ αἷμα ἐν αὐτῇ ζέσῃ, διαδιδοῦσιν αἱ μὲν ἀπὸ τῆς κεφαλῆς, ἐς τὰς ῥῖνας. αἱ δ' ἀπὸ τῆς ῥάχιος αἱμοῤῥόοι, ἐς τὸ σῶμα. οὗτος τεταρταῖος ἀπόλλυται, ἢ πεμπταῖος ὡς τὰ πολλά.

Ἑτέρη νοῦσος. Ἐξαπίνης ὀδύνη λαμβάνει τὴν κεφαλὴν, καὶ παραχρῆμα ἄφωνος γίνεται, καὶ ἀκρατὴς ἑωυτοῦ. οὗτος ἀποθνήσκει ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μή μιν πῦρ ἐπιλάβῃ. εἰ γὰρ ἐπιβάλλῃ, ὑγιαίνει. πάσχει δὲ ταῦτα, ὅταν αὐτῷ μέλαινα χολὴ ἐν τῇ κεφαλῇ κινηθεῖσα ῥυῇ. καὶ μάλιστα καθ' ὃ τὰ πλεῖστά ἐστι φλέβια, ἐν τῷ τραχήλῳ φημὶ καὶ τοῖς στήθεσιν. ἔπειτα καὶ τῇ ἑξῆς ἀπόπληκτος γίνεται καὶ ἀκρατὴς, ἅτε τοῦ αἵματος ἐψυγμένου. καὶ ἢν κρατήσῃ ὥστε τὸ αἷμα θερμανθῆναι, ἤν τε ὑπὸ τῶν προσφερομένων, ἤν τε ὑφ' ἑωυτοῦ, μετεωρίζεταί τε καὶ διαχέεται καὶ κινέεται. καὶ τὴν πνοὴν ἐσάγεταί τε καὶ ἀφρέει, καὶ χωρίζεται τῆς χολῆς, καὶ ὑγιὴς γίνεται. ἢν δὲ μὴ κρατήσῃ, ψύχεται ἔτι μᾶλλον. καὶ ὅταν παντάπασι ψυχθῇ καὶ ἐκλείπῃ ἐξ αὐτοῦ τὸ θερμὸν, πήγνυται καὶ κινηθῆναι οὐ δύναται, ἀλλὰ ἀποθνήσκει. ἢν δὲ ἐκ θωρηξίων ταῦτα πάθῃ, καὶ γὰρ πάσχει ὑπὸ τῶν αὐτέων, καὶ ἀπόλλυται. Τερηδών. Ὅταν τερηδὼν γένηται ἐν τῷ ὀστέῳ, ὀδύνη λαμβάνει ἐκ τοῦ ὀστέου. χρόνῳ δὲ ἀφίσταται τὸ δέρμα ἀπὸ τῆς κεφαλῆς ἄλλη καὶ ἄλλη. οὗτος δὲ ταῦτα πάσχει. ὦ τινι ἐν τῇ διπλόῃ τοῦ ὀστέου, ὅταν φλέγμα ἐπιγινόμενον ἀποξηρανθῇ. ταύτῃ γὰρ ἀραιὸν γίνεται καὶ ἐκλείπει ἐξ αὐτέου ἡ ἰκμὰς πᾶσα. καὶ ἅτε ξηροῦ ἐόντος, ἀφίσταται τὸ δέρμα ἀπ' αὐτοῦ. αὕτη ἡ νοῦσος οὐ θανάσιμός ἐστιν. Ἑτέρη νοῦσος. Ἢν βληχρὸς γένηται, ἀλγέει τῆς κεφαλῆς τὸ πρόσθεν. καὶ τοῖσιν ὀφθαλμοῖσιν, οὐχ ὁμαλῶς ὁρᾷ. καὶ κωμαίνει. καὶ αἱ φλέβες σφύζουσι. καὶ πυρετὸς ἴσχει βληχρός. καὶ τοῦ σώματος ἀκρασίη. οὗτος ταῦτα πάσχει, ὅταν αἱ ἐν τῇ κεφαλῇ φλέβες θερμανθῶσιν. καὶ θερμανθεῖσαι, εἰρύσωσι φλέγμα ἐς ἑωυτάς. ἡ μὲν οὖν ἀρχὴ τῆς νούσου, ἐκ τούτου γίνεται. τὸ δὲ ἔμπροσθεν τῆς κεφαλῆς, διὰ τόδε ἀλγέει. ὅτι αἱ φλέβες ἐν ταύτῃ εἰσὶν αἱ παχύταται. καὶ ὁ ἐγκέφαλος ἐς τὸ πρόσω μᾶλλον κέεται τῆς κεφαλῆς, ἢ ἐς τοὔπισθεν. καὶ τοῖσιν ὀφθαλμοῖσιν διὰ τοῦτο οὐχ ὁρᾷ, προσκειμένου τοῦ ἐγκεφάλου καὶ φλεγμαίνοντος. τὸ δὲ σῶμα διὰ τόδε, ἀκρασίαν ἴσχουσιν αἱ φλέβες ἐπὴν ἐς ἑωυτὰς ἐρύσωσι φλέγμα, ἀνάγκη ὑπὸ ψυχρότητος τοῦ φλέγματος, τὸ αἷμα ἑστάναι μᾶλλον νῦν, ἢ ἐν τῷ πρὶν χρόνῳ, καὶ ἐψύχθαι. μὴ κινουμένου δὲ τοῦ αἵματος, οὐχ οἷόν τε μὴ οὐχὶ καὶ τὸ σῶμα ἀτρεμίζειν καὶ κεκωφῶσθαι. καὶ ἢν μὲν τὸ αἷμα καὶ τὸ ἄλλο σῶμα κρατήσῃ ὥστε διαθερμανθῆναι, διαφεύγει. ἢν δὲ τὸ φλέγμα κρατήσῃ, ἐπιψύχεται μᾶλλον τὸ αἷμα καὶ πήγνυται. καὶ ἢν ἐς τοῦτο ἐπιδιδοῖ ψυχόμενον καὶ πηγνύμενον, πήγνυται παντελῶς καὶ ἐμψύχεται ὁ ἄνθρωπος καὶ ἀποθνήσκει. Κυνάγχη. Κυνάγχη δὲ γίνεται, ὅταν ἐν τῇ κεφαλῇ φλέγμα κινηθὲν ῥυῇ, ἀλὲς κάτω. καὶ στῇ ἐν τῇσι σιαγόσι, καὶ περὶ τὸν τράχηλον. οὗτος οὔτε τὸ σίαλον δύναται καταπίνειν. ἀναπνέει δέ τε βιαίως καὶ ῥέγχει. καὶ ἔστιν ὅτε καὶ πυρετὸς αὐτὸν ἴσχει. τὸ μὲν οὖν νούσημα ἀπὸ τούτου γίνεται. καὶ ἄλλοτε ὑπ' αὐτὴν τὴν γλῶτταν, ἄλλοτε ὑπὸ τῶν στηθέων, ὀλίγον. Σταφυλή.

Σταφυλὴ δὲ γίνεται, ὅταν ἐς τὸν γαργαρεῶνα καταβῇ φλέγμα ἀπὸ τῆς κεφαλῆς. καὶ κατακρέμαται καὶ γίνεται ἐρυθρός. ἢν δὲ πλείων χρόνος γένηται, μελαίνεται. μελαίνεται δὲ ὧδε. ἐπὴν

φλεβός ἐστιν ὁ χαρχαρεὼν παχέως. καὶ ἐπιῶν φλεγμαίνει. καὶ ἐκ τῆς θρομβώσεως ἕλκει καὶ ἐκ τῆς φλεβὸς τὸ αἷματος, καὶ μελαίνεται ὑπ' αὐτῆς. διὰ τοῦτο δὲ καὶ ἰῶν μὴ ὁρῶντα τάμνης, παραχρῆμα ἀποστατοῦντα ἀναβλύζουσιν. ἢ γὰρ φλὲψ θρομβοῦται, ἢ ὑπὸ τῆς θρομβώσεως ἐμπίπτει τὸ ἐνδὸν ἐν χαρχαρεῶνα αἵματος. καὶ διὰ ὀλίγου ἀποπνίγονται.

Ἀνιπάδες.

Ἀνιπάδες δὲ καὶ ὑποπλωσίδες. καὶ οὖλα. καὶ γλῶσσα. καὶ ὅσα τοιαῦτα ταύτῃ πεφυκότα, ταῦτα πάντα νοσέει ἀπὸ τῆς φλέγματος. ἡ δὲ φλέγμα, ἀπὸ τῆς κεφαλῆς κατα βαίνει. ἡ δὲ κεφαλὴ, ἐκ τῶν σωμάτων ἕλκει. ἕλκει δὲ, ὅταν διαθρομαίνηται. διαθρομαίνεται δὲ, ὑπὸ σιτίων καὶ ἡλίου, καὶ ψύχεος, καὶ πόνων, καὶ πυρός. ὅταν δὲ διαθρομανθῇ, ἕλκει. ἡ λεπτότατον ἐς ἑωυτὸν ἐκ τῶν σωμάτων. ὅταν δὲ ἐρύσῃ, κατα βαίνει καὶ παλιν ἐς τὸ σῶμα. Νοῦσοι αἱ ἀπὸ τῆς κεφαλῆς γινόμεναι.

νουσέων ἕλκει ἀπὸ τῆς κοιλίης ἀπὸ τοῦ ποτοῦ. ἡ δὲ νοῦσος γίνεται. καὶ ἡ ὄσχη διαφανὴς γίνεται. καὶ κληῖδες. καὶ ὁ τράχηλος. καὶ τὰ στήθεα καταλεπτύνεται. τήκεται γὰρ ὑπὸ τῆς νούσου ταύτης, καὶ καταῤῥέει ἐς τὴν κοιλίην. τά τε κάτω, ὕδατος πλέα ἐστί. καὶ ἀσιτέει ἡ κοιλίη. καὶ ὁ τὲ μὲν, κάρτα στέγει. ὁ τὲ δὲ, καταῤῥέει ἥ τε κύστις, καὶ οὐ διηθέει κατὰ τρόπον. ὡς ἰδὼν ἡ πλεῖον φρίκη τε διαΐσσει ἄλλοτε καὶ ἄλλοτε διὰ τοῦ σώματος. καὶ πῦρ ἔστιν ὅτε ἐπιλαμβάνει. καὶ ἡ πρόσωπον, τὴν μὲν, οἰδαλέον γίνεται, τὴν δὲ, οὔ. ἐστὶ δ' οἷσι καταῤῥήγνυνται αἱ κνῆμαι, ἐπὴν χρόνιον ἡ νούσημα γένηται. καὶ ῥεῖ αὐτόθεν ὕδωρ. καὶ ἀγρυπνίη ἐπιπίπτει καὶ ἀδυναμίη τοῦ σώματος, καὶ μάλιστα τῆς ὀσφύος. καὶ ἐπὴν τὸ φάγη ἢ πίη, καὶ ὀλίγω πλέον πονέεται ὁ σπλὴν, καὶ ἡ πνεῦμα πυκνὸν ἀεὶ ἀφίει. ταῦτα δὲ σημήϊα ὕδρωπος εἰσίν. ἔστι δὲ καὶ περὶ τὴν κοιλίην μοῦνον, ἢ καὶ πυρὸς λαβόντος, ἢ καὶ οὐχί. καὶ ἡ γαστὴρ μεγάλη γίνεται. καὶ τὰ σκέλεα πίμπλαται ὕδατος. τὰ δὲ ἄνω τοῦ σώματος, λεπτὰ γίνεται, οὕτω οἰηθεῖσι. τὰ δὲ σημήϊα ἅπαντα, βληχρότερά ἐστι καὶ ἅμα καὶ ἐν τοῖσι σκέλεσιν ὕδωρ οὐκ ἐπιγίνεται. καὶ ὁ πόνος τοσούτω ἐλάσσων. Περὶ δὲ τὴν κοιλίην μοῦνον διὰ τόδε ὕδρωψ γίνεται. ἐπὴν γὰρ ἅλες ἐπιγένηται, καὶ ὁδὸς ἐν ἀρχῇσι μὴ γίνηται ἐς ἡ κάτω, ἀλλ' ἀποβληθῆ ἅλες ἐν τοῖσι φλεβίοισιν, ἅτε καὶ ἀναπνοὴν μὴ ἔχον, μήτε ἄνω μήτε κάτω ἀποστήριξιν ἔχει. ὥσπερ εἴ τις ἄγγος μέγα μικρόστομον ἀπολαβὼν, καταστρέψειεν ἐν τάχει. εἶτα καθ' ἡσυχίην ἀπὸ τοῦ στόματος ἀφέλοι ἡ ἐπικείμενον. καὶ ἢν τοῦτο ποιήσῃ ὕδωρ οὐκ ἐκρεύσεται ἔξω. οὔτε γὰρ ἔχει πνοὴν, ἀλλ' ἀποκέκλεισται ἀπὸ τοῦ ἐν ἡ πνεύματος. ἐννεὸν γὰρ ἡ πνεῦμα πληροῖ ἡ ἄγγος καὶ ἀντιστηρίζει τῷ ἔξω πνεύματι, καὶ οὐκ ἔστι τῷ ὕδατι ἐκδρομὴ ὑπὸ τοῦ πνεύματος, τοῦ πληροῦντος ἡ ἄγγος, καὶ ἅμα ἐπικειμένου τοῦ ἠέρος. ἢν δέ τις κλίνειε καθ' ἡσυχίην ἡ ἄγγος, ἢ κατὰ πυθμένα τρήσειεν, ἐξελεύσεται ἡ πνεῦμα ἐκ τοῦ ἄγγεος. ἐξιόντος δὲ τοῦ πνεύματος, χωρέει καὶ ἡ ὕδωρ ἔξω. οὕτω δὴ καὶ τῷ ὕδρωπι. ἢν μὲν παραπνοὴ ἄνω ἢ κάτω διὰ τὴν φλεβίων γένηται, ἐν ἀρχῇ τῆς νούσου, ἔρχεται ἐς τὰ σκέλεα καὶ ἐς τοὺς πόδας ὁ ὕδρωψ. ἢν δὲ μὴ, αὐτοῦ μοῦνον εἱλέεται περὶ τὴν κοιλίην. καὶ οὕτω μέν μοι περὶ τούτων εἴρηται. γίνεται δὲ καὶ τῆσι γυναιξὶν ὁ ὕδρωψ ἐν τῆσι μήτρῃσι, καὶ τὰ ἐν τῆσι κοιλίῃσι, καὶ τὰ ἐν τοῖσι σκέλεσι καὶ τ' ἄλλα σημήϊα ταῦτα ἴσχει, ἀποπέφανται δέ μοι ἐν τοῖσι γυναικείοισι νουσήμασι περὶ αὐτοῦ. αὗται αἱ τρεῖς ἰδέαι τῶν νουσημάτων, ἀπὸ τοῦ ὕδρωπος. γίνεται δὲ τὰ νουσήματα πάντα ταχέως χαλεπά. καὶ πάντα αὔξεται ταχέως. ἔτι δὲ χαλετώτερα γίνεται, ἢν ἐξ ἑτέρης νούσου ἡ σῶμα τηχθὲν, ἐς τοῦτο περιέλθη. ἢν μὲν οὖν ἐν τάχει προκαταλάβηται ἡ νούσημα ἡ ἄνθρωπον, θνήσκει, ἅτε τῆς νούσου χρονιωτάτης γενομένης. ἐπὴν δὲ καὶ ἡ κοιλίη εὔροος γένηται, κάρτα θνήσκει τάχιστα, ἐπαΐων τε καὶ διαλεγόμενος. ταῦτα δέ μοι εἴρηται περὶ ὕδρωπος, ὅθεν τε γίνεται, καὶ ὅτι τὰ σημήϊα αὐτοῦ τάδε.

ἹΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΠΑΘΩΝ.

Τοῦτο δὲ ὁ γαληνὸς τοῦ Πολύβου λέγει εἶναι.

ἄ

Νόσα χρὴ ὅς ἐστι συνεὶς λογισάμενον ὅτι τοῖσιν ἀνθρώποισι πλείστου ἄξιον ἐστὶν ὑγιείη, ἐπίστασθαι ἀπὸ τῆς ἑωυτοῦ γνώμης ἐν τῆσι νούσοισιν ὠφελέεσθαι. ἐπίστασθαι δὲ, τὰ ἀπὸ τῶν ἰητρῶν καὶ λεγόμενα καὶ προσφερόμενα, πρὸς ἡ σῶμα ἡ ἑωυτοῦ καὶ διαγινώσκειν. ἐπίστασθαι δὲ τούτων ἕκαστα, ὅσον εἰκὸς ἰδιώτην. ταῦτ' οὖν ἐπίστατο ἄν τις μάλιστα εἰδὼς καὶ ἐπιτηδεύων τάδε. νουσήματα τοῖσιν ἀνθρώποισι γίνεται ἅπαντα, ὑπὸ χολῆς καὶ φλέγματος. ἡ δὲ χολὴ καὶ ἡ φλέγμα τὰς νούσους παρέχει, ὅταν ἐν τῷ σώματι, ἢ ὑπερξηραίνηται, ἢ ὑπερυγραίνηται, ἢ ὑπερθερμαίνηται, ἢ ὑπερψύχηται. πάσχει δὲ ταῦτα ἡ φλέγμα καὶ ἡ χολή. καὶ ἀπὸ σιτίων. καὶ ἀπὸ ποτῶν. καὶ ἀπὸ πόνων. καὶ ἀπὸ τρωμάτων. καὶ ὀσμῆς. καὶ ἀκοῆς. καὶ ὄψιος. καὶ λαγνείης. καὶ ἀπὸ τοῦ θερμοῦ. καὶ ἀπὸ τοῦ ψυχροῦ. πάσχει δὲ ὅταν τούτων ἕκαστα τῶν εἰρημένων, ἢ μὴ ἐν τῷ δέοντι προσφέρηται τῷ σώματι, ἢ μὴ τὰ εἰωθότα. ἢ πλείω τε καὶ ἰσχυρότερα. ἢ ἐλάσσω τε καὶ ἀσθενέστερα. τὰ μὲν οὖν νουσήματα γίνεται τοῖσιν ἀνθρώποισιν ἅπαντα ἀπὸ τούτων. δεῖ δὲ πρὸς ταῦτα ἡ ἰδιώτην ἐπίστασθαι, ὁκόσα γινώσκειν ἰδιώτην. ὅσα δὲ τοὺς χειροτέχνας εἰκὸς ἐπίστασθαι καὶ προσφέρειν καὶ διαχειρίζεσθαι. περὶ δὲ τούτων τῶν λεγομένων καὶ τῶν ποιευμένων, οἷόν τε εἶναι ἡ ἰδιώτην γνώμη τινὶ ξυμβάλλεσθαι. ἤδη οὖν τούτων ὁπόθεν ἕκαστα δεῖ ἐπίστασθαι, ἐγὼ φράσω. Ἢν ἐς τὴν κεφαλὴν ὀδύναι ἐμπέσωσι, τούτου τὴν κεφαλὴν ξυμφέρει διαθερμαίνειν, λούοντα πολλῷ καὶ θερμῷ, καὶ πταρμὸν ποιέοντα, φλέγμα καὶ μύξας ὑπάγειν. καὶ ἢν μὲν πρὸς ταῦτα ἀπαλλάσσηται τῆς ὀδύνης, ἀρκεῖ ταῦτα. ἢν δὲ μὴ ἀπαλλάσσηται, καθῆραι τὴν κεφαλὴν φλέγμα. διαιτᾶν δὲ, ῥυφήματι καὶ ποτῷ ὕδατι. οἶνον δὲ μὴ προσφέρειν, ἐς τ' ἂν ἡ περιωδυνίη παύσηται. ἡ γὰρ οἶνον ὅταν θερμὴ ἐοῦσα ἡ κεφαλὴ πάσει, ἡ περιωδυνίη,

ἰσχυροτέρη γίνεται. Τὰ δὲ ἀλγήματα ἐς πίπτει ὑπὸ τοῦ φλέγματος, ὅταν ἐν τῇ κεφαλῇ κινηθὲν ἀθροισθῇ. ἢν δὲ ἄλλοτε καὶ ἄλλοτε ὀδύνη καὶ σκοτοδινίη ἐμπίπτει ἐς τὴν κεφαλὴν, ὠφελέει μὲν καὶ ταῦτα προσφερόμενα. ὠφελέει δὲ, καὶ ἢν αἷμα ἀφαιρέθη ἀπὸ τῶν μυκτήρων, ἢ ἀπὸ τῆς φλεβὸς τῆς ἐν τῷ μετώπῳ. ἢν δὲ πουλυχρόνιον καὶ ἰσχυρὸν ἡ νούσημα ἐν τῇ κεφαλῇ γίνηται, καὶ μὴ ἀπαλλάσσηται καθαρθείσης τῆς κεφαλῆς, ἢ σχάσαι δεῖ τούτου τὴν κεφαλὴν, ἢ τὰς φλέβας κύκλῳ ἀποκαῦσαι. τὴν γὰρ λοιπῶν ἀπὸ τούτων μοῦνον, ἐλπὶς ὑγιέα γενέσθαι. τοὺς νοσέοντας χρὴ σκοπεῖν. εἰ εὐθὺς ἀρχομένους ἐν τῇ καταστάσει τῶν νουσημάτων, ὅτου ἂν δέωνται. καὶ οἵους τε ὄντας, φαρμακευθῆναι. καὶ ἄλλο ὅπερ ἄν τις θέλῃ προσενέγκαι. ἢν δὲ τὴν ἀρχὴν παρεὶς τελευτώσης τῆς νούσου προσφέρης, ἐν ἀπειρηκότι ἤδη τῷ σώματι, δέδιεν ἰσχύον τι προσενέγκαι, κίνδυνος ἁμαρτάνειν μᾶλλον, ἢ ἐπιτυγχάνειν. Ἢν ἐς τὰ ὦτα ὀδύνη ἐμπέσῃ, λούειν ξυμφέρει πολλῷ καὶ θερμῷ, καὶ πυριῆν τὰ ὦτα. καὶ ἢν μὲν πρὸς ταῦτα περιίστηται ἡ φλέγμα λεπτυνόμενον ἀπὸ τῆς κεφαλῆς, καὶ ἡ ὀδύνη ἀπολείπει, ἀρκέει ταῦτα. ἢν δὲ μὴ, τὴν λοιπῶν ἄριστον φαρμάκων, πῖσαι ἄνω ὅ, τι φλέγμα καθαίρει. ἢ τὴν κεφαλὴν καθῆραι, ὦ καθαίρεται τῆς κεφαλῆς φλέγμα. ἡ δὲ ἄλγημα καὶ τοῦτο γίνεται, ὅταν ἔσωθεν πρὸς τὴν ἀκοὴν φλέγμα ἐκ τῆς κεφαλῆς προσπεσή. Ἢν δὲ τὰ παρὰ τὴν φάρυγγα φλεγμήνη, ἀναγαργαρίζειν χρή. γίνεται δὲ καὶ ταῦτα, ἀπὸ φλέγματος. Ἢν δὲ τὰ οὖλα, ἢ τὶ τῶν ὑπὸ τῇ γλώσσῃ φλεγμαίνῃ, διαμασητοῖσι χρῆσθαι. ἀπὸ φλέγματος δὲ καὶ ταῦτα γίνεται. Ἢν δὲ ἡ σταφυλὴ κατακρεμασθῇ καὶ πνίγη, ἔνιοι δὲ τοῦτο καλέουσι γαργαρεῶνα, παραχρῆμα μὲν τοῖσιν ἀναγαργαλίκτοισι χρῆσθαι, σκευάζων ὡς γέγραπται ἐν τοῖσι φαρμάκοισιν. ἢν δὲ πρὸς ταῦτα μὴ ἰσχνὴ γένηται, ὄπισθεν ξυρήσαντα τὴν κεφαλὴν, σικύας προβάλλειν δύο. καὶ τοῦ αἵματος ἀφαιρέειν ὡς πλεῖστον. καὶ ἀναπαῖσαι ὀπίσω ἡ ῥεῦμα τοῦ φλέγματος. ἢν δὲ μὴ δὲ τούτοισι καθίστηται, σχάσαντα μαχαιρίῳ ἡ ὕδωρ ἐξαγαγεῖν. σχάζειν δὲ, ὅταν ἡ ἄκρον ὑπέρυθρον γίνηται. ἢν δὲ μὴ τοιοῦτον γενόμενον τμηθῇ, φλεγμαίνειν θέλει. καὶ ἔστιν ὅτε ἐξάπινον ἔπνιξε. γίνεται δὲ καὶ τοῦτο ὑπὸ φλέγματος, ὅταν ἐκ τῆς κεφαλῆς θαλφθείσης, ἀθρόον καταῤῥυῇ. Ὅσα δὲ περὶ ὀδόντας γίνεται ἀλγήματα, ἢν μὲν βεβρωμένος ἢ καὶ κινέεται, ἐξαιρέειν. ἢν δὲ μὴ βέβρωται, μὴ δὲ κινέηται. ὀδύνην δὲ παρέχει, καύσαντα ἀποξηρῆναι. ὠφελέει δὲ, καὶ τὰ διαμασήματα. αἱ δὲ ὀδύναι γίνονται, ὅταν φλέγμα ὑπέλθῃ, ὑπὸ τὰς ῥίζας τῶν ὀδόντων. ἐσθίονται δὲ καὶ βιβρώσκονται. οἱ μὲν, ἀπὸ φλέγματος. οἱ δὲ, ἀπὸ σιτίων, ἢν φύσει ἀσθενέες ἐῶσι, καὶ κοιλίην ἔχοντες καὶ πετηγότες ἐν τοῖσιν οὐλοισικακῶς. Ἢν δὲ ἐν τῇ ῥινὶ πόλυπος ἐγγένηται, οἷον πρῆγμα, πνέεται τε καὶ ἀπογκέει ἐκ τοῦ μυκτῆρος εἰς ἡ πλάγιον. ἐξαιρέεται δὲ, βρόχῳ διελκόμενος ἐς ἡ στόμα ἐκ τῆς ῥινός. οἱ δὲ καὶ φαρμάκοισιν ἐκσήπονται. φύεται δὲ, ὑπὸ φλέγματος. ταῦτα μὲν ὅσα ἀπὸ τῆς κεφαλῆς φύονται νουσήματα, πλὴν ὀφθαλμῶν. ταῦτα δὲ ἰδίως γεγράψεται. Περὶ δὲ τῶν κατὰ κοιλίην νουσημάτων, ἐν θυμέεσθαι χρὴ, τάδε. πλευρίτις. περιπνευμονίη. καῦσος. φρενίτις. αὗται καλέονται ὀξεῖαι. καὶ γίνονται μὲν μάλιστα καὶ ἰσχυρότατα τοῦ χειμῶνος. γίνονται δὲ, καὶ τοῦ θέρεος. ἧσσον δὲ, καὶ μαλακώτεραι. ἢν δὲ παρατυγχάνῃς, ταῦτα ἂν καὶ ποιέων καὶ ξυμβουλεύων τυγχάνῃς μάλιστα. Πλευρίτις. πυρεὸς ἴσχει, καὶ τοῦ πλευροῦ ὀδύνη. καὶ ὀρθοπνοίη. καὶ βήξ. καὶ ἡ σίαλον κατ' ἀρχὰς μὲν, ὑπόχολον πτύει. ἐπειδὰν δὲ πεμπταῖος γένηται ἢ ἐκταῖος, καὶ ὑπόπυον. τούτω τοῦ μὲν πλευροῦ τῆς ὀδύνης διδόναι, ὅ, τι ἀποστήσει ἀπὸ τοῦ πλευροῦ, τότε φλέγμα καὶ τὴν χολήν. ἡ γὰρ ὀδύνη, οὕτως ἂν εἴη μαλακωτάτη. τὴν δὲ κοιλίην θεραπεύειν, ὑπάγοντι καὶ ψύχοντι κλύσματι, ὅτω γὰρ τῇ νούσῳ τῇ ξυμπάσῃ συμφερώτατα. προσφέρειν δὲ ποτόν τε καὶ ῥύφημα, καὶ τὰ πόματα διδόναι ὀξύτερα, ὡς ἡ σίαλον ἀνακαθαίρηται ἀπὸ τοῦ πλευροῦ. ὅταν δὲ καθαίρεσθαι ἄρξηται ἡ πύον, θερμαίνοντα ξυμφέρει ἡ πλευρὸν, ἔξωθεν πεπαίνειν τὰ πρὸς ἡ πλευρόν. πρόσθεν δὲ, οὐ ξυμφέρει. ξηραίνεται γάρ. γίνεται δὲ ἡ νοῦσος αὕτη, μάλιστα μὲν ἐκ πόσιος, ὅτάν τις ὑγράζοντος τοῦ σώματος, ἢ μεθύων, ἢ νήφων, ῥιγώσῃ. γίνεται δὲ καὶ ἄλλως. κρίνεται δὲ ἡ νοῦσος. ἡ μὲν βραχυτάτη, ἑβδόμη. ἡ δὲ μακροτάτη, τετάρτη καὶ δεκάτη. καὶ ἢν μὲν ἐν ταύτῃ πτυσθῇ καὶ καθαρθῇ ἡ πύον ἀπὸ τοῦ πλευροῦ, ὑγιὴς γίνεται. ἢν δὲ μὴ πτυσθῇ, ἔμπυος γίνεται. καὶ ἡ νοῦσος μακρή. κρίνεσθαι δὲ ἐστὶν ἐν τῆσι νούσοισιν, ὅταν αὔξωνται αἱ νοῦσοι, ἢ μαραίνονται, ἢ μεταπίπτωσιν ἐς ἕτερον νούσημα, ἢ τελευτῶσιν. Περὶ πλευμονίη. πυρεὸς ἴσχει. καὶ βήξ. καὶ ἀποχρέμπτει ἡ μὲν πρῶτον, φλέγμα παχὺ καὶ καθαρόν. τῇ ἕκτῃ δὲ καὶ ἑβδόμῃ, ὑπόχολον καὶ ὑποπέλιον. ὀγδόῃ δὲ καὶ ἐννάτῃ, ὑπόπυον. τούτω ἢν μὲν ὀδύνη ἐγγένηται ἢ τοῦ νώτου ἢ τῶν πλευρέων, διδόναι ὅπερ ἐν τῇ πλευρίτιδι τοῦ πλευροῦ τῆς ὀδύνης ἐν τῇ φαρμακίτιδι γέγραπται. ποτοῖσι δὲ καὶ ῥυφήμασι, καὶ τῆς κοιλίης ἐς τὴν ὑποχώρησιν καὶ ψύξιν, κατὰ ταυτὰ θεραπεύειν τῇ πλευρίτιδι. ὅκως δὲ ἡ σίαλον ἐκ τῶν πλεύμονος ἀνακαθαραὶ καὶ ἡ πύον, διδόναι φάρμακα ποτὰ, οἷσιν πλεύμων ὑγραίνεται καὶ καθαίρεται ἡ πύον ἄνω. ἡ δὲ νοῦσος αὕτη γίνεται, ὅταν ἐκ τῆς κεφαλῆς φλέγμα ἀθρόον ῥυῇ ἐς τὸν πλεύμονα. ἔστι δ' ὅτε καὶ ἐκ

πλευρίτιδος μεθίεται ἐς περιπλευμονίην καὶ καῦσον. κρίνεται δὲ ἐν ἡμέρῃσιν, ἡ μὲν βραχυτάτη, ἐν τεσσαρεσκαίδεκα. ἡ δὲ μακροτάτη, ἐν δυοῖν δεούσαις εἴκοσι. διαφεύγουσι δὲ ταύτην ὀλίγοι. γίνονται δὲ καὶ ἔμπυοι ἐκ ταύτης τῆς νούσου, ἢν μὴ ἐν τῇσι κυρίῃσιν ὁ πλεύμων καθαρθῇ.

Φρενῖτις ὅταν λάβῃ, πυρετός. ἴσχει βληχρὸς τὸ πρῶτον, καὶ ὀδύνη πρὸς τὰ ὑποχόνδρια. μᾶλλον δὲ πρὸς τὰ δεξιὰ, ἐς τὸ ἧπαρ. ὅταν δὲ τεταρταῖος γένηται καὶ πεμπταῖος, ὅ, τε πυρετὸς ἰσχυρότερος γίνεται, καὶ ὀδύναι, καὶ τὸ χρῶμα ὑπόχολον γίνεται. καὶ τοῦ νοῦ παρακοπή. τούτῳ τῆς μὲν ὀδύνης, ἅπερ ἐν τῇ πλευρίτιδι διδόναι. καὶ χλιαίνειν, ἢν ἡ ὀδύνη ἔχῃ. τὴν κοιλίην δὲ θεραπεύειν καὶ τἄλλα ποιέειν τὰ αὐτὰ, πλὴν τοῦ ποτοῦ. ποτῷ δὲ χρῆσθαι τῶν ἄλλων ὅτῳ ἂν ἐθέλῃς, πλὴν οἴνου. ἢ ὄξος καὶ μέλι καὶ ὕδωρ διδόναι. οἶνος δὲ οὐ ξυμφέρει τοῦ νοῦ παρακοπέντος, οὔτε ἐν ταύτῃ τῇ νούσῳ, οὔτε ἐν ἑτέρῃσιν ἄλλῃσι. λούειν δὲ πολλῷ καὶ θερμῷ καὶ κατὰ τὴν κεφαλὴν ἐν ταύτῃ τῇ νούσῳ ξυμφέρει. μαλασσομένου γὰρ τοῦ σώματος, καὶ ἱδρὼς μᾶλλον γίνεται, καὶ ἡ κοιλίη καὶ τὸ οὖρον διαχωρέει. καὶ αὐτὸς ἑωυτοῦ ἐγκρατέστερος γίνεται. ἡ δὲ νοῦσος γίνεται ἀπὸ χολῆς, ὅταν κινηθεῖσα πρὸς τὰ σπλάγχνα καὶ τὰς φρένας προσίζῃ. ἡ δὲ νοῦσος κρίνεται, ἡ μὲν βραχυτάτη, ἑβδομαίη. ἡ δὲ μακροτάτη, ἐνδεκαταίη. διαφεύγουσι δὲ καὶ ταύτην, ὀλίγοι. μεθίσταται δὲ καὶ αὐτὴ, ἐς περιπλευμονίην, καὶ ἢν μεταστῇ ὀλίγοι διαφεύγουσιν.

Καῦσος δὲ ὅταν ἔχῃ, πυρετὸς ἴσχει, καὶ δίψα ἰσχυρή. καὶ ἡ γλῶσσα τρηχείη, καὶ μέλαινα γίνεται, τοῦ πνεύματος ὑπό γε θερμότητος. καὶ τὸ χρῶμα ὑπόχολον γίνεται. καὶ τὰ πτύαλα χολώδεα. καὶ τὰ μὲν ἔξω, ψυχρὸς γίνεται. τὰ δὲ ἔσω, λίαν θερμός. τούτῳ ξυμφέρει ψύγματα προσφέρειν, καὶ πρὸς τὴν κοιλίην, καὶ ἔξωθεν πρὸς τὸ σῶμα, φυλασσόμενος μὴ φρίξῃ. καὶ τά τε πόματα καὶ τὰ ῥυφήματα διδόναι πυκνὰ, καὶ κατ' ὀλίγον ὡς ψυχρότατα. τὴν δὲ κοιλίην θεραπεύειν. κἢν μὲν, μὴ ὑποχωρέῃ τὰ ἐνεόντα, κλύζειν. ψύχειν τε κλύσμασι ὡς ψυχροτάτοισιν, ἢ ὁσημέραι, ἢ διὰ τρίτης. ἡ δὲ νοῦσος αὕτη, γίνεται ἀπὸ χολῆς ὅταν κινηθεῖσα ἐν τοῦ σώματος καταστηρίξῃ. φιλέει δὲ καὶ ἐς περιπλευμονίην μεθίστασθαι. κρίνεται δὲ ἡ μὲν βραχυτάτη, ἐνάτῃ ἢ δεκάτῃ. ἡ δὲ μακροτάτη, τεσσαρεσκαιδεκάτῃ. καὶ ἢν μὲν καταστῇ ἐς περιπλευμονίην, ὀλίγοι διαφεύγουσιν. ἢν δὲ μὴ μεταστῇ, διαφεύγουσι πουλλοί. αὗται μὲν οὖν ὀξεῖαι καλέονται. καὶ δεῖ ταύτας οὕτω θεραπεύειν.

Ὁκόσοι δὲ ἄλλοι τοῦ χειμῶνος πυρετοὶ γίνονται, εἴτε ὑπὸ οἴνου, εἴτε ἐκ κόπου, εἴτε ὑπ' ἄλλου τινὸς, φυλάσσεσθαι χρή. μεθίστανται γὰρ ἐνίοτε ἐς τὰς ὀξείας νούσους. ἡ δὲ μετάστασις αὐτῶν, τοιαύτη γίνεται. ὅταν τῶν δύο κεκινημένων τοῦ φλέγματός τε καὶ τῆς χολῆς, μὴ τὰ ξυμφέροντα προσφέρηται τῷ σώματι, συστρεφόμενα αὐτὰ πρὸς ἑωυτὰ, τό, τε φλέγμα καὶ ἡ χολὴ προσπίπτει τοῦ σώματος ὅπου ἂν τύχῃ. καὶ γίνεται ἢ πλευρῖτις. ἢ φρενῖτις, ἢ περιπλευμονίη. φυλάσσεσθαι οὖν χρὴ, τοὺς πυρετοὺς τοὺς ἐν χειμῶνι. ἡ δὲ φυλακὴ αὐτῶν ἔστω, ἡσυχίη, καὶ ἰσχνασίη. καὶ τῆς κοιλίης κένωσις. ῥυφήμασι δὲ καὶ πόμασι διάγειν, ἕως ἂν ὁ πυρετὸς μειωθῇ. τῶν νούσων σχεδόν τι μάλιστα αἱ ὀξεῖαι, καὶ ἀποκτείνουσι καὶ ἐπιπονώταταί εἰσι. καὶ δεῖ πρὸς αὐτὰς, φυλακῆς τε πλείστης, καὶ θεραπείης ἀκριβεστάτης. καὶ ἀπὸ τοῦ θεραπεύοντος, κακὸν μὲν μηδὲν προσγίνεσθαι, ἀλλ' ἀρκέειν τὰ ἀπ' αὐτῶν τῶν νουσημάτων ὑπάρχοντα. ἀγαθὸν δὲ ὅ, τι ἂν οἷός τε ᾖ. καὶ ἢν μὲν ὀρθῶς θεραπεύοντος τοῦ ἰητροῦ ἀπὸ μεγέθεος τῆς νούσου κρατέηται ὁ κάμνων, οὐχὶ καὶ αὕτη ἡ ἁμαρτία τοῦ ἰητροῦ ἐστίν. ἢν δὲ μὴ θεραπεύοντος ὀρθῶς. μὴ δὲ γινώσκοντος, ἀπὸ τῆς νόσου κρατέηται τοῦ ἰητροῦ.

Τοῦ δὲ θέρεος τάδε γίνονται. πυρετὸς, ἴσχει ἰσχυρὸς, καὶ δίψα. καὶ ἐμέουσιν ἔνιοι χολήν. ἐνίοισι δὲ, καὶ κάτω διαχωρέει. τούτοισι δὲ πίνειν διδόναι καὶ ῥυφὴν, ὅ, τι ἄν σοι δοκέῃ ἐπιτήδειον εἶναι. ἢν δὲ προσίστηται πρὸς τὴν καρδίαν χολὴ ἢ φλέγμα, ἐπιπίνοντες ὕδωρ ψυχρὸν, ἢ μελίκρητον, ἐμέειν. ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, κλύσματι χρῆσθαι, ἢ βαλάνῳ. ἡ δὲ νοῦσος γίνεται ἀπὸ χολῆς. ἀπαλλάσσονται δὲ μάλιστα ἑβδομαῖοι, ἢ ἐναταῖοι. ἢν δὲ τοῦ πυρετοῦ ἔχοντος μὴ καθαίρωνται, μήτε κάτω, μήτε ἄνω. πόνος δὲ ἐνῇ καθ' ἅπαν τὸ σῶμα, ὅταν ἢ τριταῖος ἢ τεταρταῖος, φαρμάκῳ ὑποκαθῆραι ἐλαφρῷ κάτω, ἢ πόματι. ποιέειν δὲ, ῥύφημα ἀπὸ κέγχρου, ἢ ἀλήτου. καὶ πόμασι τοῖσιν αὐτοῖσι θεραπεύειν. πάσχουσι δὲ καὶ ταῦτα ἀπὸ χολῆς. ἢν δὲ τὰ μὲν ἔξω μὴ πυρώδης ᾖ σφόδρα, τὰ δ' ἔσω καὶ ἡ γλῶσσα τρηχείη καὶ μέλαινα γίνεται, καὶ οἱ πόδες, καὶ αἱ χεῖρες ἄκραι ψυχραὶ, τούτῳ φάρμακον μὲν μὴ διδόναι. θεραπεύειν δὲ, προσφέρων ψύγματα, καὶ πρὸς τὴν κοιλίην, καὶ πρὸς τὸ ἄλλο σῶμα. καλέεται δὲ ὁ πυρετὸς καυσώδης οὗτος. κρίνεται δὲ μάλιστα δεκαταῖος, καὶ τεσσαρεσκαιδεκαταῖος. ἢν δὲ τὸ πῦρ λαμβάνῃ καὶ μεθίῃ, τοῦ δὲ σώματος βάρος αὐτὸν ἔχῃ, τοῦτον ἕως μὲν ἂν τὸ πῦρ ἔχῃ ῥυφήμασι καὶ πόμασι θεραπεύειν. ὅταν δὲ μὴ ἔχῃ, διδόναι καὶ σιτία. καθῆραι δὲ ὡς τάχιστα φαρμάκῳ, ἤν τε ἄνω δοκέῃ σοι δεῖσθαι, ἤν τε κάτω. ἢν δὲ πυρετὸς μὲν μὴ ἔχῃ. τὸ δὲ στόμα πικρὸν ἔχῃ, καὶ τὸ σῶμα βαρύνηται καὶ ἀσιτέῃ, φάρμακον διδόναι. πάσχει δὲ ταῦτα ὑπὸ χολῆς ὅταν εἰς τὰς φλέβας καὶ τὰ ἄρθρα καταστηρίξῃ. ὁπόσαι δὲ ἄλλαι ὀδύναι ἐν τῷ θέρει κατὰ κοιλίην γίνονται. ὁπόσαι μὲν πρὸς τὰ ὑποχόνδρια καὶ τὴν καρδίην, μελίκρητον

ὑδαρὲς ποιέων, ὅσον τρεῖς κοτύλας ὄξος παραχέας, δὸς πιεῖν χλιαρόν. καὶ ἐπισχὼν ὀλίγον χρόνον καὶ ξυγκαλυφθεὶς πυρὶ καὶ ἱματίοισιν, ἐμέτω. ἢν δὲ ἀπεμέσαντι αὖθις προσίστηται καὶ πνίγῃ, αὖθις ἔμετον ποιείσθω. ἢ λούσας αὐτὸν πολλῷ, καὶ θερμῷ, ὑποκλύσαι. καὶ χλιάσματα προστιθέναι ἐὰν ἡ ὀδύνη ἔχῃ. πάσχουσι δὲ ταῦτα μάλιστα ἀπὸ φλέγματος, ὅταν κινηθὲν προσπέσῃ πρὸς τὴν καρδίην. διδόναι δὲ τοῖσι τὰ τοιαῦτα ἀλγήματα ἀλγέουσι, καὶ τῶν φαρμάκων ἃ γέγραπται παύοντα τῆς τοιαύτης νούσου ἐν τῇ φαρμακίτιδι. ἢν δὲ μεθίστηται ἡ ὀδύνη ἄλλοτε ἄλλῃ τῆς κοιλίης καὶ ἀπύρετος ᾖ, λούειν πολλῷ καὶ θερμῷ. καὶ πίνειν διδόναι, τῆς ὀδύνης εἵνεκα, ἃ ἐν τῇ πλευρίτιδι γέγραπται. ἢ τῶν ἄλλων ὅ, τι ἄν σοι δοκέῃ. ἢν δὲ μὴ ἀπαλλάσσηται τῆς ὀδύνης, ὑποκαθῆραι φαρμάκῳ κάτω. σιτίων δὲ ἀπέχεσθαι, ἕως ἂν ἡ ὀδύνη ἔχῃ. τὰ δὲ τοιαῦτα ἀλγήματα ὅσα οὕτως πλανᾶται, ἀπὸ χολῆς γίνεται. ὁπόσαι δὲ κάτωθεν τοῦ ὀμφαλοῦ, ὀδύναι γίνονται, ὑποκλύσαι μαλακῷ κλύσματι, ἢν δὲ μὴ παύηται, φάρμακον δοῦναι κάτω. ὁπόσαι δ' ὀδύναι ἐξαπίνης γίνονται ἐν τῷ σώματι ἄνευ πυρετοῦ, ξυμφέρει λούειν πολλῷ καὶ θερμῷ, καὶ χλιαίνειν. τὸ γὰρ φλέγμα καὶ ἡ χολὴ, ξυνεστηκότα μὲν, ἰσχυρὰ δὲ ὄντα καὶ κρατέει καθ' ὅποιον ἂν τοῦ σώματος στῇ. καὶ πόνον τε καὶ ὀδύνην ἰσχυρὴν παρέχει. διακεχυμένα δὲ ἀσθενέστερά ἐστι καθ' ὅ ἂν εὔδηλα ᾖ τοῦ σώματος. τὰ δὲ νουσήματα ὅσα τοῦ θέρεος γίνονται, εἴωθε γίνεσθαι οὕτως. ὅταν τὸ σῶμα ἀπὸ τοῦ ἡλίου θαλφθῇ, ὑγραίνεται. ὑγραινόμενον δὲ, νοσέει, ἢ πᾶν, ἢ ἐς ὃ μέρος ἂν καταστηρίξῃ, τὸ φλέγμα καὶ ἡ χολή. ἢν μὲν οὖν τις αὐτὰ ἀρχόμενα θεραπεύῃ, οὔτε μακρὰ γίνεται, οὔτε ἐπικίνδυνα. ἢν δὲ μὴ θεραπεύῃ, ἢ κακῶς θεραπεύῃ, φιλέει καὶ μακρότερα γίνεσθαι, πολλάκις δὲ καὶ κτείνει. καὶ τριταῖοι δὲ καὶ τεταρταῖοι πυρετοὶ, ἐκ τῶν τοιούτων γίνεσθαι πεφύκασιν. αὕτη ἡ κατάστασις τῶν νουσημάτων, μάλιστα μὲν τοῦ θέρεος γίνεται. ἐνίοισι δὲ καὶ τοῦ χειμῶνος.

Τριταῖος δὲ πυρετὸς ὅταν ἔχῃ, ἢν μέν σοι δοκέῃ ἀκάθαρτος εἶναι, τῇ τετάρτῃ φάρμακον δοῦναι. ἢν δὲ μή σοι δοκέῃ φαρμάκου δεῖσθαι, διδόναι φάρμακα ποτὰ, οἷσιν ἢ μεταστήσεται ὁ πυρετὸς, ἢ ἀπολείψει. διδόναι δὲ ὥσπερ γέγραπται ἐν τοῖσι φαρμάκοισι. καὶ τῇ μὲν λήψει, ῥυφήματι καὶ ποτῷ διαιτᾶν. τὰς δὲ διὰ μέσου, σιτίοισι διαχωρητικοῖσι. λαμβάνει δ' ὡς ἐπὶ τὸ πουλὺ, οὐκ ἐπὶ πλεῖστον. ἢν δὲ μὴ θεραπεύηται, ἐθέλει μεθίστασθαι ἐς τεταρταῖον καὶ γίνεσθαι πουλυχρόνιος.

Ἢν δὲ τεταρταῖος λαμβάνῃ. ἢν μὲν ἀκάθαρτος ᾖ, καθαίρειν πρῶτον μὲν τὴν κεφαλήν. καὶ διαλείπων τρεῖς ἢ τέσσαρας ἡμέρας, φάρμακον διδόναι ἄνω κατ' αὐτὴν τὴν λῆψιν. διαλιπὼν δὲ, κάτω δοῦναι ἕτερον ἐν αὐτῇ τῇ λήψει. ἢν δὲ πρὸς ταῦτα μὴ παύηται, διαλιπὼν πάλιν, λούσας πολλῷ καὶ θερμῷ, δοῦναι τῶν φαρμάκων ἃ γέγραπται. ποτήμασι δὲ καὶ ῥυφήμασι καὶ τῇ ἄλλῃ διαίτῃ χρῆσθαι, ὥσπερ ἐπὶ τοῦ τριταίου. λαμβάνει δὲ οὗτος ὁ πυρετὸς, τοὺς μὲν πλείστους, πουλὺν χρόνον. τοὺς δὲ, καὶ ὀλίγον. καὶ γίνεται μὲν, ὅ, τε τριταῖος καὶ τεταρταῖος ἀπὸ χολῆς καὶ φλέγματος. διότι δὲ ὁ τριταῖος καὶ ὁ τεταρταῖος ἑτέρωθί μοι γέγραπται. δύναμιν δὲ ἔχει τῶν πυρετῶν τὰ φάρμακα τούτων, ὥστε πινόμενα, τὸ σῶμα κατὰ χώρην εἶναι, ἐν τῇ εἰωθυίῃ θερμότητί τε καὶ ψυχρότητι. καὶ μήτε θερμαίνεσθαι παρὰ φύσιν, μήτε ψύχεσθαι. διδόναι δὲ, ὡς ἐν τῇ φαρμακίτιδι γέγραπται.

Φλέγμα λευκὸν ὅταν ἔχῃ, τὸ σῶμα οἰδέει πᾶν, λευκῷ οἰδήματι. καὶ τῆς αὐτῆς ἡμέρης, τὸ μὲν, δοκέει ῥᾴων εἶναι. τὸ δὲ, φλαυρότερος. καὶ τὸ οἴδημα ἄλλοτε ἄλλῃ τοῦ σώματος, μεῖζόν τε καὶ ἔλασσον γίνεται. τούτῳ φάρμακα διδόναι κάτω, ὑφ' ὧν ὕδωρ ἢ φλέγμα καθαίρεται. διαιτᾶν δὲ, σιτίοισι καὶ ποτοῖσι καὶ πόνοισιν, ὑφ' ὧν ὡς ξηρότατος ἔσται καὶ ἰσχνότατος. ἡ δὲ νοῦσος αὕτη, γίνεται ἀπὸ φλέγματος. ὅταν τις ἐκ πυρετῶν πολυχρονίων φλεγματώδης ὢν, ἀκάθαρτος γένηται, τρέπεταί τε τὸ φλέγμα αὐτοῦ ἐς τὰς σάρκας. καὶ λευκότερον μὲν οὐδὲν τοῦτο τοῦ ἄλλου ἢ φλέγματος. ὁ δὲ χρὼς, φαίνεται λευκότερος. τὸ γὰρ αἷμα ἀπὸ πλήθεος τοῦ φλέγματος, ὑδαρέστερον γίνεται. καὶ οὐκ ἐνὶ ὁμοίως ἐν αὐτῷ τὸ εὔχροον. καὶ διὰ τοῦτο λευκότεροί τε φαίνονται. καὶ καλέεται ἡ νοῦσος, φλέγμα λευκόν. ἢν μὲν οὖν θεραπευθῇ ἀρχομένης τῆς νούσου, ὑγιὴς γίνεται. ἢν δὲ μὴ, ἐς ὕδρωπα μεθίσταται ἡ νοῦσος, καὶ διέφθειρε τὸν ἄνθρωπον.

Ὁκόσοι δὲ σπλῆνα ἔχουσι μέγαν, ὅσοι μὲν εἰσὶ χολώδεες, κακόχροοί τε γίνονται καὶ κακελκέες καὶ δυσώδεες ἐκ τοῦ στόματος καὶ λεπτοί. καὶ ὁ σπλὴν σκληρὸς, καὶ αἰεὶ παραπλήσιος τὸ μέγεθος. καὶ τὰ σιτία οὐ διαχωρέει. ὁκόσοι δὲ φλεγματίαι, ταῦτά τε ἴσον πάσχουσι, καὶ ὁ σπλὴν ἄλλοτε, μείζων γίνεται. ἄλλοτε δὲ, ἐλάσσων. τούτοισι ξυμφέρει, ἢν μὲν ἀκάθαρτοι φαίνονται, καθαίρειν καὶ τὴν κεφαλὴν καὶ τὸ ἄλλο σῶμα. ἢν δὲ μὴ δέονται φαρμακείης, διαιτᾶν. τοῖσι μὲν φλεγματώδεσι, ξηραίνοντα τὸ σῶμα καὶ ἰσχναίνοντα σιτίοισι καὶ ποτοῖσι, καὶ ἐμέτοισι, καὶ γυμνασίοισιν ὡς πλείστοισι, καὶ περιπάτοισι. καὶ τοῦ ἦρος ἐλλεβόρῳ καθαίρειν ἄνω. ὁκόσοι δὲ χολώδεες, ξυμφέρει διυγραίνοντα τῇ διαίτῃ ὑπάγειν τὴν κοιλίην, καὶ τὴν κύστιν καὶ τὴν φλέβα τὴν σπληνῖτιν, ἀφαιρέειν πυκνά. καὶ τοῖσι διουρητικοῖσι φαρμάκοισι χρῆσθαι, ἃ γέγραπται μαλθάσσειν τὸν σπλῆνα. καὶ καθαίρειν

ἔτεος ὥρῃ, καὶ τοῦτο χολήν. ἐνίοισι δὲ τῶν σπληνιώντων, ἀπὸ μὲν τῶν φαρμάκων πίνοντες οὐκ ὠφελέονται, οὐδ᾽ ἀπὸ τῆς ἄλλης θεραπείης ἰσχνότερος οὐδὲ γίνεται αὐτῶν ὁ σπλὴν, ἀλλὰ κρατέεται τὰ προσφερόμενα ὑπὸ τοῦ μεγέθεος τῆς νούσου. προϊόντος δὲ τοῦ χρόνου, ἐνίοισι μὲν ἐς ὕδρωπα περιΐσταται ἡ νοῦσος, καὶ διεφθάρησαν. ἐνίοισι δὲ, καὶ πυΐσκεται. καὶ καυθέντες, ὑγιέες γίνονται. ἐνίοισι δὲ, καὶ ξυγκαταγηράσκει, σκληρός τε ὢν καὶ μέγας. τὸ δὲ νούσημα γίνεται, ὅταν ἐκ πυρετῶν καὶ κακοθεραπείης, χολὴ ἢ φλέγμα ἢ ἀμφότερα ἐς τὸν σπλῆνα καταστηρίξῃ. καὶ πολυχρόνιον μὲν, ἐστὶ τὸ πάθος. θανατῶδες δὲ, οὔ. τῶν φαρμάκων ὅσα δίδοται τοῦ σπληνὸς, τὰ μὲν καὶ διὰ τῆς κύστιος καθαίρει, καὶ ποιέει λαπαρώτερον. τὰ δὲ καθαίρει μὲν, οὔτε διὰ τῆς κύστιος οὐδὲν, ὅ, τι καὶ φανερώτερον, οὔτ᾽ ἄλλῃ οὐδαμῇ. λαπάσσει δὲ, τὸν σπλῆνα. Εἰλεὸς ὅταν λάβῃ, ἡ γαστὴρ σκληρὴ γίνεται. καὶ διαχωρέει οὐδέν. καὶ ὀδύνη κάτω πᾶσαν τὴν κοιλίην ἔχει, καὶ πυρετὸς, καὶ δίψα. ἐνίοτε δὲ ὑπὸ πόνου ἐμέει καὶ χολήν. τοῦτον χρὴ διυγραίνειν, καὶ ἔσωθεν καὶ ἔξωθεν. λούειν τε πολλῷ καὶ θερμῷ. καὶ πίνειν ὅσα τήν τε κοιλίην κινέει, καὶ τὸ οὖρον ὑπάγει. καὶ ὑποκλύζειν ἢν δέχηται. ἢν δὲ μὴ δέχηται τὸ κλύσμα, αὐλίσκον προσθήσας πρὸς ποδεῶνα, ἀσκίου φυσήσας, ἐνιέναι τὴν φῦσαν πολλήν. καὶ ἐπειδὰν ἀρθῇ τὸ ἔντερον ὑπὸ τῆς φύσης καὶ ἡ γαστὴρ, ἐξελὼν τὸν αὐλίσκον, ἐνιέναι παραχρῆμα κλύσμα. καὶ ἢν δέξηται, ὑποχωρήσει καὶ ὑγιὴς ἔσται. ἢν δὲ μὴ οὕτω δέξηται τὸ κλύσμα, ἀποθνήσκει μάλιστα ἑβδομαῖος. ἡ δὲ τοιαύτη νοῦσος γίνεται, ὅταν τῆς κόπρου ξυγκαυθῇ ἀθρόον ἐν τῷ ἐντέρῳ, περὶ τοῦτο περιΐσταται φλέγμα. καὶ τὸ ἔντερον ἅτε τούτων ἀθρόων ἐνεσκληκότων, περιοιδέει. καὶ οὔτε τῶν ἄνωθεν πινομένων φάρμακον δέχεται, ἀλλ᾽ ἀνεμέει, οὔτε τῶν κάτωθεν προσφερομένων κλυσμάτων δέχεται. ἔστι δὲ τὸ νούσημα ὀξὺ καὶ ἐπικίνδυνον. Ὕδερος δὲ γίνεται τὰ μὲν πλεῖστα, ὅταν τις ἐκ νόσου μακρῆς ἀκάθαρτος διαφερῆται πολὺν χρόνον. φθείρονται γὰρ αἱ σάρκες, καὶ τήκονται, καὶ γίνονται ὕδωρ. γίνεται δὲ ὕδρωψ, καὶ ἀπὸ τοῦ σπληνὸς ὅταν νοσέῃ. καὶ ἀπὸ τοῦ ἥπατος. καὶ ἀπὸ λευκοῦ φλέγματος. καὶ ἀπὸ δυσεντερίης. καὶ λειεντερίης. καὶ ἢν μὲν διὰ ἀκαθαρσίης γένηται ὕδρωψ, ἡ μὲν γαστὴρ, ὕδατος πίμπλαται. οἱ δὲ πόδες καὶ αἱ κνῆμαι, ἐπαίρονται. οἱ δὲ ὦμοι καὶ αἱ κληῗδες καὶ τὰ στήθεα καὶ οἱ μηροὶ, τήκονται. τοῦτον ἢν ἀρχόμενον λάβῃς πρὸ τοῦ ὑπέρυδρον γενέσθαι, φάρμακα πιπίσκειν κάτω, ὑφ᾽ ὧν ὕδωρ ἢ φλέγμα καθαίρεται. χολὴν δὲ κινέειν. σιτίοισι δὲ καὶ ποτοῖσι καὶ πόνοισι καὶ περιπάτοισι διαιτᾶν, ὑφ᾽ ὧν ἰσχνὸς καὶ ξηρὸς ἔσται, καὶ αἱ σάρκες ὡς ἰσχυρόταται. ἡ δὲ νοῦσος, θανατώδης, ἄλλως τε καὶ ἢν φθῇ ἡ γαστὴρ μεστωθεῖσα ὕδατος. ὅταν δὲ ἀπὸ σπληνὸς, ἢ ἥπατος, ἢ λευκοῦ φλέγματος, ἢ δυσεντερίης ἐς ὕδρωπα μεταστῇ, θεραπεύειν μὲν, τοῖσιν αὐτοῖσι ξυμφέρει, διαφεύγουσι δὲ, οὐ μάλα. τῶν γὰρ νοσημάτων ὅ, τι ἂν ἕτερον ἐφ᾽ ἑτέρῳ γένηται, ὡς τὰ πολλὰ ἀποκτείνει. ὅταν γὰρ ἀσθενεῖ τῷ σώματι ὄντι ὑπὸ τῆς παρεούσης νούσου, ἑτέρη νοῦσος ἐπιγένηται, προαπόλλυται ὑπὸ ἀσθενείης, πρὶν τὴν ἑτέρην νοῦσον, τὴν ὑστέρην γενομένην, τελευτῆσαι. τὸ δὲ ὕδωρ γίνεται οὕτως. ἐπειδὰν αἱ σάρκες ὑπὸ φλέγματος. καὶ χρόνου. καὶ νόσου. καὶ ἀκαθαρσίης. καὶ κακοθεραπείης. καὶ πυρετῶν διαφθαρῶσι, τήκονται καὶ γίνονται ὕδωρ. καὶ ἡ μὲν κοιλίη, οὐ μεταδιδοῖ ὕδωρ ἐς ἑωυτήν. κύκλῳ δὲ, περὶ αὐτὴν γίνεται. καὶ ἢν μὲν οὖν ὑπὸ τῶν φαρμάκων καὶ τῆς ἄλλης διαίτης ὠφελέηται, καὶ ἡ γαστὴρ λαπάσσεται αὐτοῦ. ἢν δὲ μὴ, ταμὼν ἀφεῖναι τοῦ ὕδατος. τέμνεται δὲ, ἢ παρὰ τὸν ὀμφαλὸν, ἢ ὄπισθεν κατὰ τὴν λαγόνα. διαφεύγουσι δὲ καὶ ἐντεῦθεν ὀλίγοι. Δυσεντερίη ὅταν ἔχῃ ὀδύνη ἔχει κατὰ πᾶσαν τὴν κοιλίην, καὶ στρόφος. καὶ διαχωρέει χολήν τε καὶ φλέγμα, καὶ αἷμα ξυγκεκαυμένον. τούτου καθήρας τὴν κεφαλὴν, φαρμάκῳ πῖσαι ἄνω, ὅ, τι φλέγμα καθαίρει. καὶ τὴν κοιλίην γάλακτι ἑφθῷ διανίψας, τὸ ἄλλο σῶμα θεραπεύειν καὶ ἢν μὲν ἄπυρος ᾖ, τὴν μὲν κοιλίην λιπαροῖσι, καὶ πίοσι, καὶ γλυκέσι, καὶ ὑδαρέσιν. ὑπάγειν αἰεὶ τὰ ἐνεόντα. καὶ λούειν πολλῷ καὶ θερμῷ, τὰ κάτω τοῦ ὀμφαλοῦ, ἢν ὀδύνη ἔχῃ. τὰ δὲ πόματα καὶ τὰ ῥυφήματα καὶ τὰ σιτία προσφέρειν, κατὰ τὰ γεγραμμένα ἐν τῇ φαρμακίτιδι. ἡ δὲ νοῦσος γίνεται, ἐπειδὰν χολὴ καὶ φλέγμα καταστηρίξῃ ἐς τὰς φλέβας καὶ τὴν κοιλίην, νοσέει μὲν τὸ αἷμα καὶ διαχωρέει ἐφθαρμένον. νοσέει δὲ καὶ τὸ ἔντερον, καὶ ξύεται καὶ ἑλκοῦται. γίνεται δὲ αὕτη ἡ νοῦσος, καὶ μακρὴ, καὶ πολύπονος, καὶ θανατώδης. καὶ ἢν μὲν ἔτι τοῦ σώματος ἰσχύοντος θεραπεύηται, ἐλπὶς διαφυγεῖν. ἢν δὲ ἤδη ἐκτετηκότος, καὶ τῆς κοιλίης παντάπασιν ἡλκωμένης, ζωῆς οὐδεμία ἐλπίς. Λειεντερίη, τὰ σιτία διαχωρέει, ἄσηπτα, ὑγρά. ὀδύνη δὲ, οὐκ ἔνι. λεπτύνεται δὲ, καὶ τὸ σῶμα. τοῦτον θεραπεύειν ἐν τοῖσιν αὐτοῖσι, τοῖς ὑπὸ δυσεντερίης ἐχομένοις. ἡ δὲ νοῦσος γίνεται, ὅταν ἐκ τῆς κεφαλῆς καὶ τῆς ἄνω κοιλίης κατάῤῥοος γένηται τοῦ φλέγματος, ἐς τὴν κάτω κοιλίην. ὅταν δὲ τοῦτο, τὰ σιτία ὑπ᾽ αὐτοῦ ψύχεται καὶ ὑγραίνεται. καὶ ἡ ἄφοδος αὐτῶν ἀσήπτων ταχείη γίνεται. καὶ τὸ σῶμα τήκεται. ἅμα μὲν οὐ πεσσομένων τῶν σιτίων ἐν τῇ κοιλίῃ χρόνον ἱκανόν. ἅμα δὲ ὑπὸ τῆς κοιλίης θερμῆς ἐούσης παρὰ φύσιν θερμαινόμενον. Διάῤῥοια δὲ ἡ μακρὴ ὅταν

ἔχῃ, διαχωρέει πρῶτον μὲν, τὰ εἰσιόντα ὑγρά. ἔπειτα φλέγμα. καὶ ἐσθίει μὲν, ἐπιεικῶς. ὑπὸ δὲ τῆς πολλῆς διαχωρήσιος, ἀσθενὴς καὶ λεπτὸς γίνεται. τοῦτον ἄνω ἀποξηραίνειν, ἐλλέβορον πιπίσκων. καὶ τὴν κεφαλὴν καθαίρων φλέγμα. διανίψαι δὲ καὶ τὴν κοιλίην, γάλακτι ἑφθῷ. ἔπειτα τἄλλα σιτίοισι καὶ ποτοῖσι θεραπεύειν. ὑφ᾽ ὧν ξηρανεῖται ἡ κοιλίη καὶ τὸ σῶμα πᾶν. ἡ δὲ νοῦσος ἀπὸ τῶν αὐτῶν γίνεται, ἀφ᾽ ὧν καὶ ἡ λειεντερίη. αὗται αἱ νοῦσοι ἥ τε δυσεντερίη, καὶ ἡ λειεντερίη καὶ διάῤῥοια, παραπλήσιαί εἰσι. καὶ δεῖ αὐτὰς, οὕτως ἰᾶσθαι. τὸν μὲν κατάῤῥοον ἀπολαμβάνειν τὸν ἀπὸ τῆς κεφαλῆς καὶ τῆς ἄνω κοιλίης, ἢ ἀποτρέπειν. τοῦ γὰρ νουσήματος ἡ φύσις ἐντεῦθεν γίνεται, καὶ οὐδεὶς οὐδέν σου μέμψεται τὴν διάνοιαν. σχεδὸν δὲ καὶ τἄλλα νουσήματα, ὧδε δεῖ σκοπεῖν, ὁκόθεν ἑκάστῳ ἡ φύσις γίνεται. καὶ οὕτω σκοπῶν καὶ λαμβάνων τὴν ἀρχὴν τῶν νουσημάτων ἥκιστ᾽ ἂν ἁμαρτάνοιο. Τεινεσμὸς ὅταν λάβῃ, διαχωρέει αἷμα καὶ μύξα. καὶ πόνος ἐν τῇ κάτω κοιλίῃ γίνεται. καὶ μάλιστα ὅταν εἰς ἄφοδον ἔξῃ. τοῦτον ξυμφέρει τὴν κοιλίαν διυγραίνειν καὶ λιπαίνειν, καὶ ἀλεαίνειν. καὶ ὑπάγειν τὰ ἐνεόντα. καὶ λούειν θερμῷ, πλὴν τῆς κεφαλῆς. φιλέει δὲ ἡ νοῦσος αὕτη τὰ σιτία πλείω τελέειν. οἱ γὰρ στρόφοι κενουμένης τῆς κοιλίης ὑπὸ τοῦ αἵματος διεξιόντος καὶ τῆς μύξης, καὶ προπιπτόντων πρὸς τὸ ἔντερον, γίνονται. ἐνεόντων δὲ τῶν σιτίων, ἧσσον δῆξιν παρέχει τῷ ἐντέρῳ. καὶ γίνεται μὲν ἀπὸ τῶν αὐτῶν, ὧν καὶ ἡ δυσεντερίη. ἀσθενεστέρη δὲ καὶ ὀλιγοχρονίη, καὶ οὐ θανατώδης.

Ὅταν δὲ ὑπὸ οἴνου ἢ ὑπ᾽ εὐωχίης χολέρη λάβῃ ἢ διάῤῥοια, τῇ μὲν διαῤῥοίᾳ, ξυμφέρει διανηστεύειν, καὶ ἢν δίψος ἔχῃ, οἶνον διδόναι γλυκὺν, ἢ σέμφυλα γλυκέα. ἐς ἑσπέρην δὲ διδόναι ταῦτα, ἃ καὶ τοῖσιν ὑπὸ φαρμάκου κεκαθαρμένοισιν. ἢν δὲ μὴ παύηται, ἐθέλῃς δὲ παῦσαι, ἔμετον ἀπὸ σιτίου ἢ φακῆς ποιῆσαι. καὶ παραχρῆμα ἀνασπᾶται ἄνω ἢ κάτω ἄφοδος, καὶ ἢν διακλύσῃς χυλῷ φακῶν ἢ ἐρεβίνθων, καὶ οὕτως που παύσεται. Τῇ δὲ χολέρῃ ξυμφέρει. ἢν μὲν ὀδύνη ἔχῃ, διδόναι ἃ γέγραπται ἐν τοῖσι φαρμάκοισι, παύοντα τὴν ὀδύνην. τὴν δὲ κοιλίην θεραπεύειν τήν τε ἄνω καὶ τὴν κάτω, διυγραίνοντα πόμασι, καὶ μαλάσσοντα τὸ σῶμα λουτροῖσι θερμοῖσι, πλὴν τῆς κεφαλῆς. καὶ ὅ, τε ἔμετος, οὕτως εὐπετέστερος γίνεται. καὶ ἢν ἐνῇ τι ὑγρὸν, τὰ προσεστηκότα ἄνω ἀπεμέεται, καὶ ἡ κάτω ὑποχώρησις μᾶλλον διαχωρέει. ἢν δὲ κενώσῃ, ἐμέεται βιαίως, καὶ ὑποχωρέει βιαιότερον. ἐς ἑσπέρην δὲ διδόναι καὶ τούτῳ, ὅσα περ τῷ φαρμακοποτέοντι. γίνεται δὲ καὶ ταῦτα τὰ ἀλγήματα, ὅσα ἐκ ποσίων γίνεται. ἡ δὲ εὐωχίης, ὅταν τὰ σιτία καὶ τὰ ποτὰ πλέον τοῦ εἰωθότος, ἐς τὴν κοιλίην εἰσέλθῃ. καὶ τὰ ἔξωθεν εἰωθότα ὑπερθερμαίνειν τὸ σῶμα, κινέει χολὴν καὶ φλέγμα. Στραγγουρίης, τρόποι μὲν πολλοὶ καὶ παντοῖοι. ξυμφέρει δὲ ἔξωθεν μὲν τὸ σῶμα μαλάσσειν λουτροῖσι θερμοῖσιν. ἔσωθεν δὲ διυγραίνειν, τὴν μὲν κοιλίην, σιτίοισιν ὑφ᾽ ὧν εὔροος ἔσται. τὴν δὲ κύστιν, ποτοῖσιν ὑφ᾽ ὧν τὸ οὖρον ὡς πλεῖστον διαχεῖται. διδόναι δὲ καὶ τῶν διουρητικῶν φαρμάκων, ἃ γέγραπται ἐν τῇ φαρμακίτιδι παύοντα τῆς ὀδύνης. ἡ δὲ νοῦσος ὑπὸ τοῦ φλέγματος γίνεται. καὶ ὅταν μὲν ἡ κύστις ξηρανθῇ, ἢ ψυχθῇ, ἢ κενωθῇ, ὀδύνην παρέχει. ὅταν δὲ ὑγρή τε ᾖ καὶ πλήρης, ἢ καὶ κεχυμένη, ἧσσον. ἡ δὲ νοῦσος τοῖσι μὲν παλαιοτέροισι, μακροτέρη γίνεται. τοῖσι δὲ νεωτέροισι, βραχυτέρη. θανατώδης δὲ, οὐδ᾽ ἑτέροισιν. Ἰσχιὰς δὲ ὅταν γένηται, ὀδύνη λαμβάνει ἐς τὴν πρόσφυσιν τοῦ ἰσχίου, καὶ ἐς ἄκρον τὸ πυγαῖον, καὶ ἐς τὸν γλουτόν. τέλος δὲ καὶ διὰ παντὸς τοῦ σκέλεος πλανᾶται ἡ ὀδύνη. τούτῳ συμφέρει ὅταν ἡ ὀδύνη ἔχῃ μαλάσσειν καθ᾽ ὁποῖον ἂν τυγχάνῃ τοῦ σκέλεος στηρίζουσα ἡ ὀδύνη, ἐν λουτροῖσι καὶ χλιάσμασι καὶ πυρίῃσι. καὶ τὴν κοιλίην ὑπάγειν. ὅταν δὲ λωφήσῃ ἡ ὀδύνη, φάρμακον δοῦναι κάτω. καὶ μετὰ ταῦτα πιεῖν, γάλα ὄνου ἑφθόν. διδόναι δὲ τῆς ὀδύνης ἃ γέγραπται παρὰ τοῖσι φαρμάκοισιν. ἡ δὲ νοῦσος γίνεται, ἐπειδὰν χολὴ καὶ φλέγμα ἐς τὴν αἱμόῤῥοον φλέβα καταστηρίξῃ, ἢ διὰ ἑτέρης νόσου, ἢ ἄλλως ὁκόσον ἂν τοῦ αἵματος ὑπὸ φλέγματος καὶ χολῆς νοσήσῃ ξυνεστηκός. τοῦτο γὰρ πλανᾶται ἀνὰ τὸ σκέλος διὰ τῆς φλεβὸς τῆς αἱμοῤῥόου. καὶ ὅπου ἂν στῇ, κατὰ τοῦτο καὶ ἡ ὀδύνη, ἔνδηλος γίνεται μάλιστα καὶ ἐπίπονος. θανατώδης δὲ οὔ. εἰ δὲ ἐς ἕν τι χωρίον καταστηρίξει ἡ ὀδύνη καὶ στῇ, καὶ τοῖσι φαρμάκοισι μὴ ἐξελαύνηται, καῦσαι καθ᾽ ὁποῖον ἂν τυγχάνῃ ἐοῦσα ἡ ὀδύνη. καίειν δὲ τῷ ὠμολίνῳ. Ἀρθρῖτις νοῦσος ὅταν ἔχῃ, λαμβάνει πῦρ καὶ ὀδύνη τὰ ἄρθρα τοῦ σώματος. λαμβάνει δὲ καὶ ὀξείη. καὶ ἐς ἄλλο τε ἄλλο τῶν ἄρθρων, ὀξύτεραί τε καὶ μαλακώτεραι, καταστηρίζουσιν αἱ ὀδύναι. τούτῳ ξυμφέρει προσφέρειν ἢν ἂν ἡ ὀδύνη ἔχῃ, ψύγματα. καὶ ἐκ τῆς κοιλίης ὑπάγειν τὰ ἐνεόντα, κλύσμασιν ἢ βαλάνῳ. καὶ ῥυφάνεα διδόναι καὶ πιεῖν, ὅ, τι ἂν δοκέῃ σοι ξυνοῖσον. ὅταν δὲ ἡ ὀδύνη ἀνῇ, φάρμακον κάτω πῖσαι. καὶ μετὰ τοῦτο πίνειν ὀῤῥὸν ἑφθὸν, καὶ ὄνου γάλα. ἡ δὲ νοῦσος. γίνεται ὑπὸ χολῆς καὶ φλέγματος, ὅταν κινηθέντα ἐς τὰ ἄρθρα καταστηρίξῃ. καὶ ὀλιγοχρονίη μὲν, γίνεται καὶ ὀξείη. θανατώδης δὲ, οὔ. νεωτέροισι δὲ εἴωθε μᾶλλον ἢ γεραιτέροισι γίνεσθαι. Ποδάγρη βιαιότερον μὲν τῶν τοιούτων ἁπάντων ὁκόσα περὶ τὰ ἄρθρα. καὶ πολυχρονιώτατον, καὶ δυσαπαλλακτότατον, καὶ ἔστι μὲν ἡ νοῦσος αὕτη, τοῦ αἵματος ἐφθαρμένου, τοῦ ἐν τοῖσι φλεβίοισιν, ὑπὸ χολῆς καὶ φλέγματος. ὅσῳ δὲ ἐν λεπτοτάτοισιν ἡ φλεβίοισιν, καὶ ἐν ἀνάγκῃ πεφυκόσι πλείστῃ τοῦ σώματος. καὶ ἐν νεύροισι καὶ ὀστέοισι πουλλοῖσί τε καὶ πυκνοῖσι. τοσούτῳ

δὲ παραμονιμώτατον τὸ ὄβελ· ἡ νούσημα καὶ ἧλυσα παλλακτότατον, ξυμφορεῖ δὲ καὶ ταύτη τὰ αὐτά, ἃ καὶ τῇ αἰθρείτιδι. καὶ μακρὴ μὲν καὶ αὕτη ἡ νοῦσος καὶ ἐπίπονος. θανατώδης δὲ οὔ. ὧν δὲ τοῖσι δακτύλοισιν ἡ ὀδυνὴν ἐγκαταλείπει), καὶ ὅσα τὰς φλέβας τῶν δακτύλων ὑποδῦ τὸ κονδύλῳ ὀλίγον. καίειν δὲ ὦμολίνῳ. Τὸν δὲ ἴκτερον, ὡδε χρὴ θεραπεύειν. ἐξαίφνης μὲν ἡ σῶμα μαλθάσσειν λαξδοῖσι θερμοῖσι. πλὴν ὁκοιλίην δυσχωρέειν, μὴ πλὴν κῦσιν. μὴ τὸ διαρρητικῶν διδόναι, ἃ προγέγραπται. ὧν δὲ ἰχῶρός ἐστι, καθήρειν πλὴν κεφαλῆς, φαρμακὸν τι πίνειν κάτω, ὁ χολὴν καθαίρει. ἔπειτα δὲ τοῖσι διουρητικοῖσι χρῆσθαι. ἡ δὲ νοῦσος γίνεται, ὅταν χολὴ κινηθεῖσα ὑπὸ τὸ δέρμα πάσχῃ τοιοῦτον. ὁ δὲ ἐπισάμενος αὐτὴν διώσεις, οὐκ ἂν ὁμοίως ἐμπίπτοι εἰς αὖθις νουσήματα. καὶ γὰρ νουσήματα εἴωθεν ἀπὸ μικρῶν προφάσεων μεγάλα καὶ πολυχρόνια γίνεσθαι. μὴ ὅσα μὲν σιτίων ἡ ποτῆ ἐγχύματα ἔστιν, ἡ φυσημάτων ἢ φαρμάκων ὅσα ὀδυνῶς ἔνεκα δίδοται, ἀκίνδυνα δίδοι πάντα προσφορέειν ἀεί, ἐὰν ἡσυχὴ τὰ γεγραμμένα προσφορῇς. ὅσα δὲ καθαίρει τῆ φαρμάκων, χολὴν ἢ φλέγμα, ὑπὸ τούτοισιν οἱ κίνδυνοι γίνονται, καὶ αἱ αἰτίαι τοῖσι θεραπεύουσι. φυλάσσεσθαι δὲ χρὴ τὰ μάλιστα, ταῦτα μὲν ὅσα ἡσυχὴ κοιλίην γίνεται νουσήματα, πολλῷ δὲ ἐμπίων καὶ φθινόντων, καὶ τῆ γυναικείων. τοῦτα γὰρ χωρὶς γεγράψεται. φύματα ὅσα φύεται πάντα, ὑπὸ φλέγματος ἢ αἵματος φύει). ὅταν δὲ ὑπὸ χρώματος ἢ πτώματος ἀθροισθῇ, ξυμφορέει δὴ τούτων, τὰ μὲν ἡσυχὴ πλάσσοντα καὶ φαρμακα πιπίσκοντα διαχεῖν. τὰ δὲ ἡσυχὴ πλάσσοντα, παιεῖνειν. καὶ διαχέει μὲν τῆ ἡσυχὴ πλασμάτων ὅσα θρομβώδεα ὑγραίνει, καὶ μὴ πᾶσι ἐς ἑωυτὸ. πεπαίνει δὲ, ὅσα θρομβώδεα ξυωγέει. ὅταν δέ τι τμηθῇ ἢ αὐτόματον ῥαγῇ φαρμάκῳ ἀναγκαθαίρειν ἡ ὑγρόν. ὅταν δὲ πυρέῤῥοῦντα παύσωσι, ὡς ἕλκος ἰήσεται. λέπρη. καὶ κνησμός. καὶ φλύκη. καὶ λιχῆνες. ἢ ἀλφός. καὶ ἀλώπεκες, ὑπὸ φλέγματος γίνονται. ἐσὶ δὲ τὰ τοιαῦτα, αἶγες μᾶλλον, ἢ νουσήματα. κηρίον. καὶ χοιράδες. καὶ φύγεθλα. καὶ σθαφυλαι. καὶ ἀῤῥαξ, ὑπὸ φλέγματος φύεται. τούτοισι τοῖσι φαρμάκοισιν ἀποκαθαίρουσα, ὡδε χρῆσθαι. ὅσοι μὲν χολώδεες εἰσὶ, διδόναι, τὰ ὑφ' ὧν χολὴ καθαίρεται. ὅσοι δὲ φλεγματώδεες, τὰ ὑφ' ὧν φλέγμα. ὅσοι δὲ μελαγχολώδεες, τὰ ὑφ' ὧν μέλαινα χολή. τοῖσι δὲ ὑδροπικοῖσι, τὰ ὑφ' ὧν ὑδωρ. ὅστε δὲ δίδοται φαρμακα ποτὰ ἢ μὴ καθαίρειν μήτε χολὴν μήτε φλέγμα, ὅταν ἐς τὸ σῶμα εἰσέλθῃ, πλὴ σιτία μὲν αὐτὰ παρέχεσθαι δεῖ, ἢ ψύχοντα, ἢ θρομβαίνοντα. ἢ ἐναίροντα. ἢ ὑγραίνοντα. ἢ ξυωγέοντα, ἢ διαχέοντα. ὅσα δὲ ὑπνον ποιέει, ἀζήμιον δεῖ τῷ αἵματι παρέχειν τὸ φάρμακον. Ὅταν ἢ ὦδὶ νοσέοντα ἀφίκηται ἐπὶ τὸν θρόμβον καὶ ἃ πάσχει. καὶ ὑφ' ὅτου. καὶ ποσοῖσιν. καὶ πλὴ κοιλίην ἐς διαχωρέει. καὶ δι' αἰτίαν λῷ τινα διαιτᾶσθαι. καὶ σὺν μέρεσθαι πρῶτα μὲν τὸ νούσημα πότερον ἀπὸ χολῆς ἢ φλέγματος γέγονεν, ἢ ἀμφότερα. μὴ τὸ ὠφελέειν, ἢ τι ἀναγκαίως ἔχει, ὡς τε ὑπὸ τούτων τῶν τόπων, ἢ ἀμφοτέρων γίνεσθαι. ἔπειτα πότερον ἐηρασίης ἢ ὑγρασίης χρήζει. ἢ τὰ μὲν τῶν σωμάτων, ἐηρασίης. τὰ δὲ, ὑγρασίης. ἔπειτα πλὴ νοῦσον, εἴτε ἀῶα λεῖ θεραπεύειν, εἴτε κῶπο. εἴτε ὀλῇ τῆς κύστιος. καὶ εἴτε αὐξέτου ἡ νοῦσος, εἴτε μαραίνεται. εἴτε λύεται. εἴτε μεταπίπτει εἰς ἑτέραν νοῦσον. ὧν δὲ σωματίων, λιμοκτονέειν, καὶ ἐκ τῆς κοιλίης ὑπάγειν τὰ ἐνόντα, ἢ ὑποκλύζοντα, ἢ φάρμακον κάτω διδόντα. καὶ πίνειν ὕδωρ ἢ ὄξος, ἢ ἐρυφεῖν. τὰ φλεγμαίνοντα ψύχειν κατὰ πλάσμασι. τὰ δ' τοιαῦτα κατὰ πλάσματα εἶναι, ἢ τεῦτλα ἑφθὰ αὖ ὕδατι, ἢ σέλινον, ἢ ἐλάτης φύλλα, ἢ συκῆς φύλλα, ἢ βάτου, ἢ βαλαύου, ἢ ῥοιῆς γλυκείης. ἐφθοῖσι δὲ τούτοισι χρῆσθαι. ὠμοῖσι δὲ ῥάκμνου φύλλοισιν. ἢ ἄγνου. ἢ ἐλελισφάκου, ἢ πήγανον. ἢ μάλλα, ἢ γλήχονα χλωρὴν, ἢ πράσια. ἢ σέλινα. ἢ κορίαννον. ἢ ἰσάτιος φύλλα. λῷ δὲ μηδὲν ἀφ' τούτων ἔχῃς, μὴ δὲ ἄλλο τι μηδὲν κατάπλασμα, ἄλφιτον φυρήσας ὕδατι ἢ οἴνῳ, κατάπλαττε. τοσοῦτον δ' χρόνον κατὰ πλάσματα τὰ λ' ὠφελέει, ὁκόσον ἂν χρόνον, ψυχρότερα ἢ ἐ ἕλκος. ὅταν δ' ἡ θρόμβοτορα, ἢ ὁμοίως θρομβᾷ, βλάπτει. τὰ λιπαρὰ πρὸς τὰ φλεγμαίνοντα ἐξυμφορεῖ, ἐδ' πρὸς τὰ ἀναθαρτα, οὐ δὲ πρὸς τὰ σηπόμενα. ἀλλὰ πρὸς μ' τὰ φλεγμαίνοντα, ξυμφορεῖ τὰ λυχνὰ, πρὸς δ' τὰ ἀναθαρτα μ' τὰ σηπόμενα, τὰ σβριμέα, μ' ὅσα δ' ἐξεῖν τινὰ παρεχόμενα, καθαίρει. ὅταν δ' σαρκοφυῆ ᾖ βουλῃ, τὰ λιπαρὰ καὶ τὰ θρομβᾶ μᾶλλον ξυμφορέει, πρὸς ταῦτα γὰρ ἡ σαρξ θάλλει. ὁκόσοισιν ἀνθρώποισι στίγμασιν ἢ ποτοῖσιν ὑγιαίνοντες ἐς δίαιταν χρώντεσι, ἐκ τούτων χρὴ τῶν παρεόντων χρῆσθαι, πρὸς δ' τὸ νοσέοντας σκοδνάζοντα, θρομβα καὶ ψυχρὰ καὶ ὑγρὰ καὶ ξηρά. ἐκ μὲν ψυχρῶν, θρομβά. καὶ θρομβα, ἐκ μὴ θρομβῶν. καὶ ξηρὰ, ἐκ μὴ ξηρῶν. μ' τὰ λοιπὰ κατὰ τὸν αὐτὸν τρόπον. ἀπορέειν δὲ οὐ χρὴ οὐ δὲ τοῖσι παρεῖσι μὲν μὴ διώκασθαι. τὰ ἀπόντα δὲ ζητοῦντα μηδὲν ὠφελέειν τὸν κάμνοντα οἷόν τε εἶναι. εὑρήσεις δὲ ὧν ὀρθῶς σκοπέης ἐξ ὧν τουτέων, οἷσι πρὸς τὸν νοσέοντα χρόνον ὀλίγα. ἐυφήματα δὲ σὺ τοῖσι νούσοισι ἀπάσησι διδόναι, ἢ πίσσίνῳ, ἢ κέγχρου, ἢ ἁλὶ τῶν, ἢ χόνδρου. τούτων ὁκόταν μὲν δίδωσι εἰς διαχώρησιν, λεπτὰ διδόναι, μ' σφεδρότερα καὶ γλυκύτερα, ἢ ἁλυκώτερα, ἢ θρομώτερα. ὁκόσα δὲ ἐσ ἰσχῷ ἢ ἀσκορμοδῶν, παχύτερα, λιπαρώτερα, μ' μετείους ἐφθὰ ποτοῖσι δὲ χρῆσθαι, λῷ μὲν ὑπάγειν ἐβέλῃς πλὴ κοιλίῳ καὶ πλὴ κῦσιν, γλυκὺ οἶνον, ἢ μελίκρητον. λῷ δὲ σύφειν, αὐστηρὸν, λευκὸν, λεπτὸν, ὑδαρέα. λῷ δὲ ἰσχύειν, αὐστηρὸν, μέλανα. ὁκόσοι ἂν οἶνοι

πίνουσιν

πίνουσιν ἀνῆλεως, τούτοισι δίδοναι, ἃ γέγραπται ἐν τῇ φαρμακίτιδι ποτὰ σκιαζόμενα, τοῖσι φαρμακοποτέουσι δίδοναι μᾶλλον ἢ καθαρσιον. τοῖσι μὲν πυρέσσουσιν, ἢ φακὸν, ἢ κέγχρον λεπτὸν, ἢ πισάνην χυλόν. δίδοναι δὲ πισάνῃλω μὲν καὶ κέγχρον, ὡς κοῦφα ἐόντα. χόνδρου δὲ, ὡς ἰχυρότατον πάντων. καὶ ἄλητον, ὡς ἰχυρότερον τούτων. φακὸν δὲ διὰ δέκα σκιάζει. καὶ ὀλίγον δίδοναι, ὡς καὶ κοῦφον ὂν ἐυφήματα καὶ διωφέρει. ἀῶα. παραμίσγειν δὲ ἢ ἄλευρον. ἢ μέλι. καὶ κύμινον, καὶ ἔλαιον. τῷ δὲ φακῷ παραμίσγειν ἢ χλόης χλήχωνος καὶ ὄξους ὀλίγον. τοῖσι δὲ ἀ πύρσισιν, ἄρτου καθαροῦ ἀ ἐσωθεν σὺν σίφλῳ σὺ ζωμῷ. ἢ μάζαν μ' τέμαχος ἐφθόν, ἢ κρέας οἷος ὡς νεωτάτης, ἢ ὄρνιθος, ἢ σκύλακος. ἢ ὄρνιθος ἑφθά. καὶ τοῦτα ἢ ἐλῇτε ἢ λάπαθα ἢ κολοκύντην ἢ ὦρη ἢ. λάχανα δὲ σέλινα, καὶ ἄνηθα, καὶ ὦκιμα. μ' ἢν οἶνον μελίκρατον, παλαιὸν, λευκὸν, ὑδαρέα. ὅταν δὲ ξηραίνῃς ἀ σῶμα, δίδοναι αὖτον. καὶ ὄψα ὁπᾶ καὶ ξηρὰ καὶ θρομότατα τοῦτα πάντα. καὶ κρέων τὰ μέλεα, ὅσα σαρκώδεα. ἰχθύων δὲ τοὺς πετραίους. λάχανα πήγανον. ἢ θύμον. ἢ ὀρίγανον. μ' δὲ οἶνον μέλανα αὐστηρόν. σκιάζειν δὲ τὰ ὄψα, ἁλσὶ καὶ κυμίνῳ, καὶ τοῖσιν ἄλλοισιν ἀρτύμασιν ὡς ἐλαχίστοισι χρῆσθαι. ὅταν δὲ ἀνάκαμψίν ἐκ νόσου ἐβέλῃς, διδόναι τὰ μὲν ἄλλα τοῦτα, ἃ καὶ ὅταν δυσχωρέῃς πλὴ κοιλίῳ. τὰ δὲ κρέα ἀντὶ τῆ χαλβίων ἰχυρότερα. καὶ αὖτι τῆ κωνείων, ὀρνίθεια, καὶ λάχανα. καὶ τούτων σίαι ὁπᾶ καὶ τῆ κρεῶν καὶ τῆ ἰχθύων, καὶ ἐσκιασμένα ὡς ἄριστα. ὁκόσοισι τῆ νουσημάτων ξηρασίη ξυμφορέει, μονοσιτίη ξυμφορέει, καὶ τὰ σιτία καὶ τὰ ποτὰ, ἐλάσσω τελέων ὡς τε ἐλλήρην εἶναι. καὶ τοῦτο πατεῖν καὶ κοιμᾶσθαι ὡς ἐλάχιστα. ὁκόσοισι δ' αὖ ὑγρασίη ξυμφορέει, μὴ ἀσιτέειν. καὶ τὰ σιτία καὶ τὰ ποτὰ, μὴ σύδρα εἶναι. μὴ δὲ πονέειν. καὶ κοιμᾶσθαι ὁκόσα ἂν ἐθέλῃ. ὁκόσων ἐπιθυμέουσιν οἱ κάμνοντες ἢ σιτίων, ἢ ὄψων, ἢ ποτῶν, ὑπαρχέτω ταῦτα, ἐὰν μὴ μέλλῃ τῷ σώματι βλάβος ἔσεσθαι. ὁκότων δὲ σιτίων ἢ ποτῶν προσθήκας ἄρξῃ, ἢ ἀφαιρέειν, καὶ ὀλίγον χρὴ, καὶ τὰς προσθέσιος ποιέεσθαι καὶ τὰς ἀφαιρέσιος. ὁκόσοισι σιτία ἱκανὰ οἷοι τε εἰσὶ τελέειν, ἐυφήματα μὴ διδόναι. ἀποκλείει γὰρ τὸ σιτίον. ὁκόσοι δὲ μὴ οἷοι τε, τούτοισι διδόναι. ἐὰν δέ τι διδόναι βέλῃς κομψῆς ἕνεκα, διδόναι χόνδρου, ἢ πίσσανην πυρίνην. ταῦτα γὰρ τῆ ἐυφημάτων τὰ ἰχυρότερα. διδόναι δὲ, μετὰ λέπτου. τὰ φάρμακα ὅσα ποτὰ, μὴ ὅσα πρὸς τὰ σώματα προσφορέεται μανθάνειν χρὴ, ἀξίως γὰρ ἅπαντος. οὐ γὰρ ἀφ' γνώμης ταῦτα διείσκασιν οἱ ἄνθρωποι, ἀλλὰ μᾶλλον ἀφ' τύχης. οὐδὲ τι οἱ χειροτέχναι. ἢ μᾶλλον οἱ ἰδιῶται. ὅσα δὲ σὺ τῆ τέχνη τῆ ἰητρικῆ γνώμη μανθάνετε μὴ διείσκετε, ἢ μὴ διαχωρέει. καὶ φανερὰ ὅ, τι τοῦτα ὀργάζεται. καὶ ἀφ' τούτων χρὴ, τά τε ἄλλα σκοπεῖν. ἔχει γὰρ ἑκάστα τῆ ἐδεσμάτων, διότι καὶ ὠφελέει καὶ βλάπτει. ἀλλὰ τ' ἄλλα, τὰ μὲν φανερὰ ὁτα τὰ ὄβελ ὀργαλόμενα, ἃ ὀργάζεται. τὰ δὲ, ἀμυδρότερα, τὰ σιτία καὶ τὰ ὄψα σκιάζειν καὶ διδόναι τοῖσιν ἀσθενέουσιν, ὑφ' ὧν μήτε φύσις ἔσται, μήτε ὀξυθυμίη, μήτε τροφος, μήτε λίπω διαχωρέη, μήτε λίπω ξηραίνεται. τοῦτα δὲ γίνεται ὧδε. ὅσα μὲν ἡ κοιλίη κρατέει, καὶ ἡ σῶμα αὐτὰ ἀναδέχεται, ταῦτα μὲν οὔτε φύσιν παρέχει, οὔτε τροφον. λῷ δὲ μὴ κοιλίη κρατέῃ, ἀφ' τούτων καὶ φύσα, καὶ τροφος, καὶ τ' ἄλλα τὰ τοιαῦτα γίνεται. κουφότατα τῆ σιτίων καὶ τῆ ὄψων καὶ τῆ ποτῶν, ὅσα μέρια ἐσιόντα ἐς ἡ σῶμα, ἢ ὀλίγα τελέα τῆ μερίων, μήτε τροφιν, μήτε φύσιν, μήτε ἄλλο τ' τοιούτων μηδὲν. καὶ πίεσταί τε τάχιστα. καὶ πεπτόμενα διαχωρέει. καὶ αὖτα πάσιν τε πλὴ ἡμέρῃ ἐσιόντα ἐς πλὴ κοιλίῃ, ἄλυπότατα τὰ ὄβελ, μ' ὅταν ὀλῇ παλαιοῦ ἐσέλθῃ. βαρέα δὲ, ὅταν μέσια τελεσμένα ἢ ἐλάσσω τῶν μερίων, τελήρωσιν καὶ πόνον παρέχει, μ' μὴ τελέων, μὴ δὲ ὄιον τε ἐσθίειν αὐτὰ μηδὲ πίνειν, ἀλλὰ πόνον παρέχει. ὀλῇ χρόνον δὲ αὖθις αὐτὰ ἢ πίνειν ἢ ἐσθίειν, καὶ οὕτω πόνον παρέχει, μ' οὐ διαχωρέει ἀπὰ λόγου. ἐς ὑγείην ἄειται, ὅσα ὀλίγιστα ἐσιόντα, αὐτάρκεα ὄβελ, καὶ λιμοῦ μ' ὀῖψηκος εἶναι. μ' τελείσιν χρόνοις τὸ σῶμα αὐτὰ δέχεται, καὶ διαχωρέει κατὰ λόγον. ἐς ἰσχὶν δὲ ἄειται, ὅσα σαρκὶ φύει τελείσιν, μ' πυκνοτάτην, μ' τὸ αἷμα παχύνει. καὶ διαχωρέει κατὰ λόγον τῶν ἐσιόντων. καὶ τὸ σῶμα τελείσιν χρόνοις ἀναδέχεται. τὰ λιπαρὰ μ' τὰ πίονα, μ' τὰ τυρώδεα μ' μελιτώδεα, μ' τὰ σιτα μόνα τὰ ὀξυθυμίῃλω ὡς μάλιστα παρέχει, μ' χολέρῃλω. μ' τροφον. μ' φύσιν. μ'

πλησμονὴν. ποιέει δὲ τοῦτο αὐτὸ, καὶ ὅταν πλείω τὶ φάγῃ ἢ πίῃ, ἢ ὅσα οἷά τε πέψαι ἡ κοιλίη. Τοῖσιν ἀσθενέουσιν, ἢν μὲν κατὰ, λόγον τῆς νούσου καὶ τοῦ σώματος δίδως ἃ ἂν δίδως, ὑπαναλίσκει ταῦτα τὸ σῶμα. καὶ οὔτε ἐνδεές ἐστιν, οὔτε πλῆρες. ἢν δὲ ἁμαρτάνης τοῦ καιροῦ ἢ ἔπειτα, βλάβος ἐπ' ἀμφότερα ὅσα τῶν σιτίων ἢ τῶν ὄψων ἢ τῶν ποτῶν τὸ σῶμα ἀναδέχεται, μάλιστα ἀπὸ τούτων, οὔτε στρόφος γίνεται, οὔτε φύσα, οὔτε ὀξυρευγμίη. ὅταν γὰρ ἐς τὴν κοιλίην ἐσέλθη, ἀπ' αὐτοῦ σπᾶ τὸ σῶμα τὸ αὐτῷ ἐπιτήδειον, καὶ ἀσθενέστερον ἤδη τὸ λοιπὸν ἀνάγκη εἶναι, ὥς τε στρόφον, ἢ φύσαν, ἢ ἄλλό τι τῶν τοιούτων ἐν τῇ κοιλίῃ μὴ ποιῆσαι. Τῶν οἴνων καὶ οἱ γλυκέες, καὶ οἱ αὐστηροὶ, καὶ οἱ μελιχροὶ παλαιοὶ, τὴν κοιλίην ὑπάγουσι. μάλιστά τε διουρέονται καὶ στρέφουσι. καὶ οὔτε φύσαν παρέχουσιν, οὔτε στρόφον, οὔτε πλησμονὴν. Κρεῶν τὰ δίεφθα καὶ τὰ ἐξόπτα, ἀσθενέα μὲν πρὸς τὴν ἰσχὺν ἀμφότερα. ἐς δὲ τὴν διαχώρησιν, τὰ μὲν δίεφθα, ἐπιτήδεια. τὰ δὲ ὀπτὰ, στασιμώτερα. τὰ δὲ μετρίως ἔχοντα καὶ ἐψήσιος καὶ ὀπτήσιος, μετρίως καὶ ἐς τὴν ἰσχὺν ἔχει, καὶ ἐς τὴν διαχώρησιν. τὰ δὲ ἐνωμότερα πρὸς μὲν τὴν ἰσχὺν, ἐπιτήδεια. πρὸς δὲ τὴν διαχώρησιν, οὔ. Τῶν σιτίων καὶ τῶν ποτῶν, ἃ προσφορώτατα τῷ σώματι, καὶ μάλιστα αὐτάρκεα καὶ ἐς στροφὴν καὶ ἐς ὑγιείην. καὶ ἀπὸ τούτων αὐτῶν, ὅταν τις αὐτοῖσι μὴ ἐν καιρῷ χρῆται, ἢ πλέοσι τοῦ καιροῦ, αἵτε νοῦσοι καὶ ἐκ νούσων οἱ θάνατοι γίνονται. τὰ δ' ἄλλα σιτία καὶ ποτὰ ὅσα μὴ τοιαύτην δύναμιν ἔχει, σμικρὸν μέν τοι ὠφελέει, ἢν τις καὶ πάντα αὐτοῖσιν ἐν καιρῷ χρῆται. σμικρὰ δὲ καὶ βλάπτει. ἐπ' ἀμφότερα δὲ ἔστιν ἀσθενέα, ὥς τε ἀγαθόν τι ποιῆσαι, καὶ ὥς τε κακόν. ἔστι δὲ τῶν σιτίων καὶ τῶν ποτῶν ἃ τὴν δύναμιν ἔχει ταύτην τάδε. ἄρτος. μάζα. κρέα. ἰχθύες. οἶνος. τούτων μέν τοι τὰ μὲν, μᾶλλον. τὰ δὲ, ἧσσον. Ὁκόσοι ξηρὴν δίαιταν διαιτῶνται, τούτοισι μὴ ξὺν τῷ σιτίῳ τὸ πότον διδόναι, ἀλλὰ μετὰ τὸ σιτίον, διαλιπὼν πουλὺν χρόνον. καὶ οὕτω μὲν ξηρὴ ἡ ἰκμὰς ἀπὸ ξηρῶν σιτίων γινομένη, τὸ σιτίον ξηραίνει. ἢν δὲ ἅμα τῷ σιτίῳ πίνῃ, νοτερωτέρη ἡ στροφὴ γινομένη, ὑγρότερον τὸ σῶμα ποιέει.

Ἄρτος ὁ θερμὸς καὶ τὰ κρέα τὰ θερμὰ αὐτὰ ἐφ' ἑωυτῶν ἐσθιόμενα, ξηραίνει. ἢν δὲ ξὺν ὑγρῷ δίδως, ἢ ἐπιπίνειν παραχρῆμα ἐνθὶ τῷ σιτίῳ, οὐ ξηραίνει. Ἄρτος ὁ καθαρὸς τῶν ἀλεύρων, ἐς ἰσχὺν καὶ κομιδὴν ξυμφορώτερος, ἢ ὁ ἀνδρεκτὸς καὶ πρόσφατος ἢ ἔωλος. καὶ τῶν ἀλεύρων προσφάτων ἢ παλαιοτάτων. Τὰ ἄλφιτα τῶν κριθέων ἀποβρέχων περίχυδα ἐπτισμένων ἰσχυρότερα ἢ βεβρεγμένων. καὶ πρόσφατα ἢ παλαιότερα. καὶ ἡ μάζα προπεφυρημένη ἰσχυροτέρη, ἢ μὴ προπεφυρημένη. Ὁ οἶνος διαχεόμενος καὶ ἀποψυχόμενος καὶ διηθούμενος, λεπτότερος γίνεται καὶ ἀσθενέστερος. Τὰ κρέα τὰ μὲν ἔφθα, ἢν μὲν δίεφθα ποιήσῃς, ἀσθενέστερα καὶ ἐλαφρότερα. τὰ δὲ ὀπτὰ, ἢν ἐξόπτα γένωνται, καὶ τὰ παλαιὰ ἐξ ὄξους ἢ ἁλῶν, ἀσθενέστερα καὶ ἐλαφότερα τῶν προσφάτων. Τὰ ἀσθενέα τῶν σιτίων καὶ τὰ κοῦφα, τὴν μὲν κοιλίην οὐ λυπέει, οὐδὲ τὸ σῶμα, διότι οὐκ ἀνοιδέει θερμαινόμενα, οὐδὲ πληροῖ, ἀλλὰ λαπάσσεται ταχὺ, καὶ πεσσόμενα διαχωρέει. ἡ δὲ ἰκμὰς ἀπ' αὐτῶν τῷ σώματι ἀσθενὴς γίνεται, καὶ οὔτε αὐξάνει, οὔτε ἰσχὺν ἀξίην λόγου παρέχει. τὰ δὲ ἰσχυρὰ τῶν σιτίων, ἀνοιδέει τε ὅταν ἐς τὴν κοιλίην ἐσέλθη. καὶ πλήρωσιν παρέχει. καὶ πέσσεται μὲν σχολαίτερον, καὶ οὐ διαχωρέει. ἡ δὲ ἰκμὰς ἀπ' αὐτῶν ἰσχυροτέρη καὶ ἀκήρατος προσγινομένη, ἰσχὺν τε παρέχει τῷ σώματι πολλὴν, καὶ αὔξην. Κρεῶν κουφότατα ἐς τὸ σῶμα, κύνεια. καὶ ὀρνίθεια. καὶ λαγῶα ἔφθα. βαρέα δὲ τὰ βόεια. καὶ τὰ χοίρεια μετριώτερα. πρὸς δὲ τὴν φύσαν καὶ ἔφθα καὶ ὀπτὰ. ὑγιαίνουσι καὶ ἀσθενέουσι τὰ μήλεια. τὰ δὲ ὕεια εἰς καὶ εὐεξίην μὲν, καὶ ἰσχὺν πονέουσι, καὶ γυμναζομένοισιν ἀγαθὰ. ἀσθενέουσι δὲ καὶ ἰδιώτησιν, ἰσχυρότερα. καὶ τὰ θήρεα τῶν ἡμέρων, κουφότερά ἐστι, διότι καρπὸν οὐχ ὅμοιον ἐσθίει. διαφέρει δὲ τὰ κρέα τῶν κτηνέων, καὶ ὁκόσα καρπὸν ἐσθίει καὶ ὁκόσα μὴ ἐσθίει. καὶ ὁ καρπὸς, οὐ τὸ αὐτὸ ἅπασι ποιέει. ἀλλὰ τὸ μὲν, πυκνὴν τε τὴν σάρκα τοῦ ἱερείου παρέχει καὶ ἰσχυρὴν. τὸ δὲ, αἰραιὴν τε καὶ ὑγρὴν καὶ ἀσθενέα. Ὡς μὲν τὸ ξύμπαν εἰρῆσθαι, ἰχθύες κοῦφον ἔδεσμα, καὶ ἔφθοι καὶ ὀπτοὶ, καὶ αὐτοὶ ἐφ' ἑωυτῶν, καὶ μεθ' ἑτέρων σιτίων. αὐτοὶ δὲ ἐφ' ἑωυτῶν, διαφέρουσιν ὧδε. καὶ οἱ μὲν λιμναῖοι, καὶ πίονες, καὶ οἱ ποτάμιοι, βαρύτεροι. οἱ δὲ ἀκταῖοι θαλάσσιοι, κουφότεροι. καὶ δίεφθοι ὀπτῶν κουφότεροι. ἀπὸ τούτων τὰ μὲν ἰσχυρὰ διδόναι, ὅταν ἀνακομίσαι τινὰ βούλῃ. τὰ δὲ κοῦφα, ὅταν ἰσχνὸν δέοι καὶ λεπτὸν ποιῆσαι. Τὸ λουτρὸν τὸ θερμὸν. τὸ μὲν μέτριον, μαλάσσει τὸ σῶμα καὶ αὔξει. τὸ δὲ πλεῖον τοῦ καιροῦ, τὰ μὲν ξηρὰ τοῦ σώματος, διυγραίνει. τὰ δὲ ὑγρὰ, ἀποξηραίνει. καὶ τὰ μὲν ξηρὰ ὑγραινόμενα, ἀσθενείην καὶ λυποθημίην παρέχει. τὰ δὲ ὑγρὰ ξηραινόμενα, ξηρασίην καὶ δίψος. Λαχάνων δὲ τὰ σκόροδα καὶ ἔφθα καὶ ὀπτὰ, καὶ διουρητικὰ καὶ ὑποχωρητικὰ, καὶ πρὸς τὰ γυναικεῖα σύμφορα. Κρόμυα ἐς τὰ οὖρα ἐπιτήδεια. ὁ γὰρ ὀπὸς, δριμύτατα τινὰ παρέχει, ὥς τε διαχωρέειν, τούτοισιν ὧδε χρῆσθαι, ἀλλὰ τοῖσιν ἀσθενέουσι μὴ προσφέρειν. Σέλινα καὶ ἔφθα καὶ ὠμὰ, διουρητικὰ. καὶ μᾶλλον τὰ ἔλεια τῶν ἡμέρων, ἃ καὶ πλέονα ἔχει δύναμιν. Κορίανον εὐκάρδιον, καὶ διαχωρητικὸν, καὶ ἔφθον καὶ ὠμόν. Ὤκιμον καὶ ὑγρὸν καὶ ψυχρὸν, καὶ εὐκάρδιον. Γράσα τὰ μὲν ἔφθα, διουρητικὰ καὶ διαχωρητικά. τὰ ὠμὰ δὲ, καυματώδεα καὶ φλεγματώδεα. Ῥοιὴ κομιστικὸν καὶ φλεγματῶδες. καὶ ξὺν μὲν τῷ πυρῆνι στάσιμον.

ἄνευ δὲ

ἄνευ δὲ τοῦ πυρῆνος, διαχωρητικόν. Τὰ θερμὰ τῶν σιτίων, ξηρὰ μὲν ἴσασι. τὸ γὰρ ὑγρὸν ἐν τῇ κοιλίῃ, ἀναξηραίνει. ὑγρὰ δὲ ὄντα, διυγραίνοντα τῇ θερμότητι, ὑπάγει. Τὰ στρυφνὰ ξηραίνει καὶ συνάγει τὸ σῶμα. εἰσὶ δὲ καὶ στάσιμα. Τὰ ὀξέα λεπτύνει, δῆξιν ἐμποιέοντα. Τὰ ἁλμυρὰ, διαχωρέει καὶ διουρέεται. Τὰ λιπαρὰ καὶ τὰ πίονα καὶ τὰ γλυκέα, ὑγρασίην μὲν καὶ φλέγμα παρέχει. Κομιστικὰ δὲ, κολοκύντη. καὶ τεῦτλα. καὶ βλῆτα. καὶ λάπαθα, καὶ τῇ ὑγρότητι διαχωρητικά. Κράμβη δὲ, ἔχει τινὰ δριμύτητα ἐς τὸ διαχωρέειν, καὶ ἅμα εὔχυμος. Τυρὸς, καὶ σήσαμα, καὶ σταφὶς, κομιστικὰ καὶ φλεγματώδεα. Γλυκὺς οἶνος καὶ μελιειδὴς, ἄμφω καὶ κομιστικοὶ. καὶ διουρητικοὶ. καὶ φλεγματώδεες. οἱ δὲ αὐστηροὶ, ἐς ἰσχὺν καὶ ξηρασίην ἐπιτήδειοι. οὐρητικοὶ δὲ, καὶ αὐστηροὶ παλαιοὶ, ὅσοι λευκοί τε καὶ λεπτοὶ τυγχάνουσιν. Ἔλαιον καὶ ὅσα ἐλαιώδη, κομιστικὰ καὶ φλεγματώδεα. Λαχάνων τῶν ἐφθῶν διαχωρέει, ὅσα φύσει ὑγρότατα, ἢ δριμύτατά ἐστιν, ἢ θερμότητα ἔχει. διδόναι δὲ ταῦτα, ξύμφορά ἐστιν εἰς ἄφοδον, χλιαρώτερα καὶ τακερώτερα. Σίκυος πέπων, καὶ διουρητικὸν, καὶ διαχωρητικὸν, καὶ κοῦφον. ὁ δὲ ἕτερος πέπων, ψύξιν τινὰ παρέχει. καὶ δίψαν παύει. στροφὴ δὲ ἀπὸ οὐδετέρου τούτων οὐ γίνεται, εἰ μὴ λεπτῆτις. ἀλλ' οὐδὲ φλαῦρον ἀπ' οὐδετέρου, οὐδὲ ἄξιον λόγου. Τὸ μέλι, ξὺν μὲν ἑτέροις ἐσθιόμενον, καὶ στρέφει καὶ εὔχροιαν παρέχει. αὐτὸ δὲ ἐφ' ἑωυτοῦ, λεπτύνει μᾶλλον ἢ κομίζει. καὶ γὰρ διουρέεται καὶ διακαθαίρεται μᾶλλον τοῦ μετρίου. Τὰ διουρητικὰ θερμαινόμενα ἐν τῇ κοιλίῃ, θερμαίνεταί τε ταχὺ, καὶ θερμαινόμενα μαραίνεται καὶ τήκεται. καὶ τὴν διαχώρησιν διὰ τοῦτο ταχείην παρέχει.

Ὅσα δὲ στάσιμα τῶν σιτίων, καὶ θερμαίνεται, καὶ ταχέως θερμαινόμενα ξηραίνεται καὶ συνίσταται. καὶ διὰ τοῦτο περίσκληρα γινόμενα, οὐ διαχωρέει. Τὰ διαχωρητικὰ, ἔγχυλά ἐστι καὶ φύσει θερμὰ. τὰ δὲ οὐρητικὰ, ξηρὰ καὶ ψυχρά. Ὁ σῖτος καὶ ὁ οἶνος, διαφέρουσι μὲν καὶ αὐτοὶ ἑωυτῶν φύσει ἐς ἰσχὺν καὶ ἀσθενείην, καὶ κουφότητα καὶ βαρύτητα. διαφέρει δὲ καὶ χώρη χώρης ἐξ ὁποίης ἀνῆ. καὶ εὔυδρος ἐοῦσα, καὶ ἄνυδρος. καὶ εὐήλιος, καὶ πολύσκιος. καὶ ἀγαθὴ, καὶ φλαύρη. ὥς τε ἅπαντα ταῦτα ξυμβάλλεται ἐς τὸ, ἰσχυρότερά τε ἕκαστα τῶν σιτίων εἶναι, καὶ ἀσθενέστερα.

Ὁκόσοι ὑγιαίνοντες ἀρτοφαγεῖν εἰώθεσαν, ταῦτα διδόναι τούτοισι, καὶ ἐν τῆσι νούσησιν. ὅταν ἢ σιτία ἢ ποτὰ πλέω τοῦ εἰωθότος, ἢν μὴ τὰ εἰωθότα τελέσῃ, ἀπεμέσαι παραχρῆμα ἀρίστον. Ὁ πώρη καὶ ἀκρόδρυα, διὰ τόδε μετὰ τὸ σιτίον λυπηρότερά ἐστι καὶ ὑγιαίνοντι καὶ ἀσθενέοντι, ὅτι βεβρωκότος μὲν, ἀπ' αὐτῶν ἰκμάδας σπᾶ τὸ σῶμα. ἢν δὲ νῆστις ἐσθίῃ, πλείω. Ὅσα τῶν σιτίων, ἢ φύσαν, ἢ καῦμα, ἢ δῆξιν παρέχει, ἢ πλησμονὴν, ἢ στρόφον, οἶνος ἐπιπινόμενος ἄκρητος, ἀπαλλάσσει τῶν τοιούτων. τὸ γὰρ σῶμα διαθερμαινόμενον ὑπὸ τοῦ οἴνου, ἀπαλλάσσεται τὰ ἐνεόντα τῇ θερμότητι, ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν, καὶ τῶν ὁμοίων. ἐνίοτε μὲν, διαταράσσεται ἡ κοιλίη, ἐνίοτε δὲ, ἵσταται. ἐνίοτε δὲ, καὶ κατὰ λόγον διαχωρέει. διότι δὲ ταῦτα οὕτως ἔχει, πρότερον μὲν ἡ κοιλίη ὅταν ὑγροτέρη ἐοῦσα, καὶ ὅταν ξηρότερον ὑποδέχηται τὸ σιτίον, διαφθείρει. ἔπειτα ὅταν μεταβολὴ γένηται, εἴτε ἐκ ψύχεος ἐς θάλπος, εἴτε ἐκ θάλπεος ἐς ψύχος, διαφθείρει. ὥς τε ἀνάγκη τὴν κοιλίην. ἀπὸ τῶν σιτίων αὐτῶν καὶ ποτῶν, δι' αὐτὰ ταῦτα καὶ μαλακωτέρην γίνεσθαι καὶ σκληροτέρην, τῶν σιτίων καὶ τῶν ποτῶν καὶ τῶν ὄψων, πλὴν ἄρτου, καὶ μάζης, καὶ κρεῶν, καὶ ἰχθύων, καὶ οἴνου, καὶ ὕδατος, τ' ἄλλα πάντα, λεπτὰς μὲν καὶ ἀσθενέας καὶ τὰς ὠφελείας παρέχει, ἐς τὴν αὔξησιν, καὶ ἐς τὴν ἰσχὺν, καὶ ἐς τὴν ὑγιείην. λεπτὰ δὲ καὶ ἀσθενέα καὶ τὰ κακὰ ἀπ' αὐτέων γίνεται. Ὁκόσους τῶν νοσεόντων μὴ ξυνεχέως οἱ πυρετοὶ ἔχουσιν, ἀλλὰ διαλείποντες λαμβάνουσι, τούτοισι τὰ σιτία διδόναι μετὰ τὴν λῆψιν, τεκμαιρόμενος μήπως ἐνθὶ νεοβρῶτι ὁ πυρετὸς ἐπιπέσηται. ἀλλ' ἤδη πεπεμμένων τῶν σιτίων, οἶνος καὶ μέλι κάλλιστα κέκριται ἐν ἀνθρώποισιν, ἢν πρὸς φύσιν καὶ ὑγιαίνουσι καὶ ἀσθενέουσι σὺν καιρῷ καὶ μετριότητι προσφέροιντο. καὶ ἀγαθὰ μὲν αὐτὰ ἐφ' ἑωυτὰ. ἀγαθὰ δὲ καὶ συμμισγόμενα, τάτε ἄλλα, καὶ ὅσά γε καὶ ἀξίην λόγου ὠφελείην ἔχει. ὅσα ὑγιαίνουσι ξύμφορα, ταῦτα καὶ νοσέουσι προσφερόμενα, ἰσχυρότερά ἐστι, καὶ δι' αὐτῶν ἀφαιρέοντα τὴν ἀκμὴν διδόναι. ἢ οὐ φέρει αὐτὰ τὸ σῶμα, ἀλλὰ μᾶλλον βλάπτει, ἢ ὠφελέει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΩΝ ΕΝΤΟΣ ΠΑΘΩΝ.

Ην ἡ τῶ πολυμόνος ἀρτηρίη ἑλκωθῆ, ἢ τι ἐραγῆ τῆν φλεβίων τῆν λεπτῶν, τῆν κατα κεκραμμένων ἐς ἣν πολυμόνα, ἢ τῆν συείλων, τῆν δξὺ τῶ πολυμόνες τεταμένων, ἢ συρραχώσιν ἐς ἀλλήλασ', ἢ αἵματος πολυποθῆσι, διακωῶν ταί τε καταρρήγνυνται δξὺ τασι δὲ τασὶν αἰτίασι μάλιστα. δξὺ πελεμπωείλιν. δξὺ σρόμον. δξὺ πῶματα. δξὺ πολυμάς. δι' ἐμέτους βιαίους γινομένους. δξὺ πυρετῶ. τάδε οὖν πάσχει. ἡ μὲν πρῶτον, βὴξ ἴσχει ξηρή. ἔπειτα ὀλίγω ὕσδερον, ἀποπύει ἡ σίαλον, ὑφαμον. τότε δὲ καθαρον. οὕτως ἰῶ μὲν σὺ τάχει παύσηται τῆς νούσου. ἰῶ δὲ μὴ, προϊόντος τῶ χρόνου, ἡ αἷμα πολλὸν χωρεῖ. σὶοτε μὲν καθαρον. ἔστι δ' ὅτε καὶ ὑπόσαπρον. πολλάκις δὲ ἡ φαρὰγξ λανθάνει αἵματος πιμπλαμένη. ἔπειτα θρόμβους αἵματος ἐκβράσσεται καταὐλίγον καὶ θαμνά. σὶοτε δὲ καὶ ὁλμὸ βαρεῖη ἀπ' αὐτῆν γίνεται. καὶ ἡ φαρὰγξ ἔστιν ὅτε τινὸς ἄχνης πιμπλαται. καὶ ῥίγος ἰῆ πυρετὸς ἐπιλαμβάνει, κατ' ἀρχὰς μὲν τῆς νούσου, σφόδρα. προϊούσης δὲ, βλιχρότερον. καὶ ἄλλοτε καὶ ἄλλοτε ἐπιλαμβάνει. καὶ ὀδυνᾶ σὶοτε ἔγκειται σὶ τοῖς σήθεσι. καὶ σὶ τῶ μεταφρενῶ. καὶ σὶ τῆσι πολυθρήσι. καὶ ὁκόταν ἡ αἷμα παύσηται πίνων, σίαλον πολλὸν ἀποπύει ὑγρόν. σὶοτε δὲ καὶ χλιχρὸν. ταῦτα μὲν οὖν οὕτω πάσχει, μέχρι τεσσαρεσκαιδεκαήμερα παρέλθωσιν. μετὰ δὲ ταύτας ἰῶ μὴ παύσηται ἡ νοῦσημα, λεπίδας ἀπὸ τῆς ἀρτηρίης ἀποβήσασα ἀποσσᾶ, οἷσι δὴ ἀπὸ φλυκταινίδων. καὶ ὀδυνᾶ ἐμπίπτει ἐς τὰ σήθεα. καὶ ἐς ἡ μεταφρενον. καὶ ἐς ἡ πολυθρον. καὶ τῆν ὑπολογοβίων ὡς ἕλκος ψαυόμενος ἀλγύει. τούτω ξυμφορέει ἡ συχνίλω ὡς μάλιστα τῶ νοσήματι ἔχειν ἔσω, ἰῶ οὕτως ἔχη. ἰῶ γὰρ τι πονήσῃ, σ', τε πόνος ὀξύτερος, καὶ ἡ βὴξ μᾶλλον ἡ ἡ πρότερον πίεζει. καὶ ἡ ῥίγος καὶ ὁ πυρετὸς μᾶλλον ἔχει. καὶ ἰῶ παρῇ, ἡ ὀδυνᾶ ὀξέη προσίβαλεν. ἀλγύει δὲ καὶ σὶ τῆ ὀδυνῆ, ὁκόταν τοῦδε ξυέφηται. τούτω χρὴ προσφορέειν. σίτια μὲν τὰ αὐτὰ, ἅπερ καὶ τῶ ἐμπυω. ταῦτα δὲ οὐ πολλὰ. πῖνε δ' ὕδωρ τοῖσι χρεόν ἐσθαι. ἰῶ γὰρ ἡ φάγρου. ἡ γαλαιοῦ τὰ μεγάλου τὰ λευκοῦ. ἡ τῆν ἄλλων τῆν ὁμοίων, πεῖσιν σὶ ῥόω καὶ ὀρεγάνω ἡ ρυμνίοις. κρέασ δὲ ἐσθιέτω, ἀλέκτορος, ὀπτὸν. ἀσκάλωνα. ἡ ἀλγὸς ἑφθὸν. καὶ οἶνω αὐσηρῶ ὡς παλαιοτάτω, καὶ ἡδίστω μέλανι χρεέσθω. τοῦδε πάντοισι δὲ μετρίοισι, πολλῶ ταῦτα πυρετῶ μὴ ἔχοντος. ἰῶ δὲ πυρετὸς ἔχη, ῥυφήματα λεπτὰ ῥυφάσθω ἡ κεχυρωμένα χρεέσθω. ἰῶ δὲ σιτία προσφορήσεται, ὀλίγα προσφορέσθω. καὶ ὁπόταν διαχωρήσῃ. κλῶ φαρμάκου σοι δοκέη χρεέσθαι, ὑποκαθῆραι αὖ ἐν τῶ κνιδίῳ κόκκω, ἡ τῆ τιθυμαλίδι. καὶ μετὰ πλὴν καθαρσιν, ἀλεύρου ἑφθοῦ δοῦναι ξυβλίνῃ ἐκρυφῆν λιπαροῦ. ἔπειτα αὖ κακομάζειν ὡς μάλιστα, ὅκως αὖ ἡ κισα λεπτὸς ἡ. πρὸς γὰρ τὴν τοιαύτην νοῦσιν, οὐ ξυμφορέει λεπτὴν εἶναι. καὶ τοῦδε πάντους ὀλίγους ἡ πρῶτον ποιέεσθαι, ὡς μὴ κῆπος ἐπλάβηται. πυελῶ δὲ ἄλλοτε καὶ ἄλλοτε. καὶ ἡ πυελοῦ ἡμέρῃ, ἄσσον ἔσω πολλῶ ἀλεύρου ἑφθοῦ, οὗπερ ῥυβλίον ἐκρυφέτω. ὑσώρῃ δὲ πινέτω. τῆ δὲ ὑσεραίη, ἐλαττον ἢ ὡς μεμαθήκει φαγέτω. ἢ πέτω οἶνον μέλανα, ἡδύν, αὐσηρόν, ὀλίγον. ἡ δὲ λοιπὸν, δὶς ἢ τεσσ τῆς ἡμέρης, τὰ σιτία δίδοναι. οὕτω δίδου τούτω καταὐλίγον, μέχρι καταστήσῃς πῶ κοιλίλω. ἐκ γὰρ τῆν πυρετῶν καὶ τῆς ἀσσίτιης, ἰῶ μὲν ἡ σῶμα, ζωτῆ, ἡ δὲ κοιλίη, οὐκ ἐθέλει δέχεσθαι, ἀθρόον δεξαμένη, φλεγμαίνει. ἀλλὰ καταὐλίγον δίδοναι χρὴ. ἰῶ δὲ ἀθρόον δῶς καὶ ὀλίγα πονήσῃ, τοῖσι πδρι πάτοισιν οὐ διαφύχεται ἡ κοιλίη, ἀτε ἀζρέμα ξωιεσηκότων τῶν βρωτῶν. διὸ καὶ πυρετὸς φλέγει ἐπιγένεται. καὶ τὸ μὲν χειμῶνος, ἥσσον. τὸ δὲ θέρεος, πίνδιωος ὀξαμαρτέιν. τὸν αὖ κακομάζειν δεῖ ὡς μάλιστα, ὅκως αὖ ὡς πεχύτατος ἡ. καὶ πδρι πάτοισι μετέοισι χρεέσθω. καὶ παλαιέτω ἥσσον ἑωυτὸ. καὶ πονεέτω ὀλίγα, ἡ πρῶτον. ἔπειτα δὲ, πολλῶ. πουλλὰ δὲ, οὐδέποτε. τῶτα ἰῶ ποιέη, ὑγιὴς ἔσται τάχιστα. ἰῶ δὲ λεπτὸς γίνηται δξὺ πὶ ταλαιπωείλιν, αὖτέπω καὶ ἡσυχίλω ἐχέτω. οὗτος μήτε πρὸς αὖ ἡμον σοράμη ὑγιὴς ἐὼν ὀξέως, μήτε ἐφ' ἵππον, μήτε ὠδὶ ζώοις ἀνχβῆ. φυλασσέσθω δὲ καὶ βολῶ καὶ ὀξυθυμίλω. πίνδιωος γὰρ τὴν νοῦσον πάλιν ἀνακλαβεῖν, ἀλλὰ φυλασσέσθαι χρὴ, τούτων ἁπάντων. ἰῶ δὲ τὸ σῖτου ἀποκλειοθῆ, ὀρόβους φώσας, τὰ κέλυφα ἀποκαθήραι. ἔπειτα βρέξαι αὐτοὺς σὶ ὕδατι χρῆς ἡμέρας. ἐφ' ἑκάστην δὲ ἡμέρῃ, ἀποχέειν τὸ ὕδωρ, καὶ ἄλλο ἐπιγχέειν. ἔπειτα τῆ τετάρτη ἡμέρῃ ἀποθέσθαι, καὶ ξηρῶναι. ἔπειτα ἀλέσας λεπτὸτατα διασσέιν. καὶ λίνου καθαρὸν φῶσαι, κήλαι λέιον. καὶ σήσαμον φῶσαι κήλαι λεῖον. καὶ ἄλφιτα αὐαλτα καθαρὰ λεπτὰ. καὶ τῶν μὲν ὀρόβων καὶ ἀλφίτων, ἴσον ἑκατέρων ἔστω. τὸ δὲ σησάμου, τέτον μόριον. τὸ δὲ λίνου, ἡμίσυ μοίης μοριδίου. ταῦτα σὶ χάλακτι αἰγείῃ ἐφήσας, ὡς ὑγρότατα τὰ ῥυφέειν. μετὰ δὲ ταῦτα, δίδοναι αὐτῷ ἐς ἄριστον, σῖτα καθαρὰ, καὶ ὁκόσα ἀρὴ τῶν ἰσχυροτέρων. οἶνον δὲ μὴ αὐτὸν πινέτω. δίδοναι δὲ αὐτῷ καὶ τῶν ῥιζέων τῶν πρὸς ταῦτα τὰ ἐρήγματα τῆς κοιλιοσύνης, ἐπ' οἶνου ἐπιέων. δίδοναι δὲ καὶ τὸ σρακόντιον ἐπ' οἴνου ἐπιέων. δίδοναι δὲ καὶ τῆς βάλανος σὶ μέλιτι, καὶ ἡ σρακόντιον ἑψῶν, λείχειν. κλῶ ἡ ἔλαιμα ἡ σὶ τῷ χάλακτι μὴ φάσκειν ὑδατώδες εἶναι ῥυφέειν, χάλα βόειον ὡς πολλιστον πινέτω,

πινέτω, τρίτον μόρος τῶ μελικρήτου προσμίσγων. καὶ οὕτω πάσχοσα ὑγιὴς ἔσται, ἡ δὲ νοῦσος θραπεύσεται πουλὺς. χαλεπὴ γὰρ. ἰῶ δὲ θραπευθεὶς ὑγιὴς γινόμενος, μὴ σὶ φυλακῆ ἔχη ἑωυτὸν, τοῖσι πολλοῖσιν ὑποσροπάσασα ἡ νοῦσος, αὐτὴν ἀπολείσασ' ἐγένετο. οὗτος ἰῶ μὲν τοῦτο τῆς θραπείης ἐπῆλθ, ἄλις. ἰῶ δὲ μὴ, παχώσασ' αὐτὸν γάλακτι, καῦσαι τὰ τε σήθεα καὶ ἡ μεταφρενον. ἰῶ γὰρ τύχης καύσας, ἐλπὶς ἐκφυγέειν τῆς νούσου. Ἡν δὲ ἀρτηρίη ἀποσαθῆ τῆν φλεβῶν τῆν πνευσῶν ἐς ἡ πολυμόνα, τάδε πάσχει. καὶ τὰ μὲν ἀρχὰς μὲν τῆς νούσου, βὴξ ἴσχει ὀξέη. καὶ ῥίγος. καὶ πυρετὸς. καὶ ἡ σίαλον ἀποπύει, πουλύ τε καὶ λευκὸν, καὶ ἀφρώδες. ἄλλοτε δὲ ὕφαιμον. καὶ ὀδύνη πῆ κεφαλῆ καὶ ἡ ῥάχηλον ἴσχει. αὕτη ἡ νοῦσος ἰσχυροτάτη τῆς πρόσθεν. καὶ μέχρι μὲν δέκα ἡμερέων τῆν πρώτων, τοιαῦτα πάσχει. ἔπειτα οἱ πολλοὶ τῆ ἑνδεκάτη, πύα ἀποπτύουσι παχέα βιαίως. ἡμέρῃ δὲ καθαρώτερα ἀποπτύει, ἰῶ φύξιμος ἡ, καὶ τῆ ὀδύνη ἧσσον πονέει, καὶ σὶ τάχει ὑγιὴς γίνεται. ἰῶ δὲ μέλλη πουλυχρόνιος ἡ νοῦσος ἔσεσθαι, τάδε. πύα πολλῶ πλείονα ἀποπτύει, καὶ ὁ ἄλλος πόνος σὶ τῶ σώματι, πολλῶ σὶ πλείων. αἱ δὲ θρόμβαι, βλιχρότεραι ἔχουσιν, ἡ ἡ πρὶν. τῶτον ἰῶ λάβῃς κατ' ἀρχὰς καθῆραι κάτω, ὁ πῶ σκαμωνίης, ἰῶ ἀπύρετος ἡ. μετὰ δὲ πὶ καθαρσιν, προσφορέσθω ταῦτα ἃ καὶ πρόσθεν. καὶ τἄλλα τὰ αὐτὰ προσφορέσθω, ἡσυχίλω ἔχων ὡς μάλιστα τῶ σώματι, καὶ μαλθακὰς κοιμάσθω. ταῦτα μὲν κατ' ἀρχὰς ποιεέτω, μέχρι τῆν δέκα ἡμερέων. ἰῶ δὲ ἔμπυος γένηται, τὰ αὐτὰ ἃ καὶ ὁ πρόσθεν ποιεέτω. ἰῶ δὲ ὑγιὴς γένηται, τῆ δὲ χρὴ ἀπέχεσθαι, σιτίων καὶ ποτῆ. ὀξέων, καὶ ὀρίμεων, καὶ ἁλικῶν, καὶ λιπαρῶν. ταλαιπωείης δὲ ἀπέχεσθαι, καὶ τῆ αὐτῆ ὧν καὶ ὁ πρόσθεν. ταῦτα ἰῶ ποιέη, τάχιστα τῆς νούσου ἀπαλλαγήσεται. ἰῶ δέ τι τουτέων οὐ ποιήσῃ, πενθωῶ ὑσεραίη πάλιν κατασροπάσασ. καὶ ἡ νοῦσος κάκιον ἔχει. καὶ γὰρ οἱ πολλοὶ πολυμορφώγεες ἐόντες διατελέουσιν, ἕως αὖ ἀποθανόωσι. τῶτον ἰῶ μὴ παραχρῆμα τις ἰήσηται, κατασροπάσασης τῆς νούσου, οὐκ αὖ μετὰ ταῦτα ἐχοις ὠφελῆσαι, ἰῶ μὴ τάδε ποιήσῃς. χάλακτι βοέῃ παχώσασ', καῦσαι τὰ σήθεα καὶ ἡ μεταφρενον. ἰῶ γὰρ τύχης καύσας, ὠφελήσεις. ἡ δὲ νοῦσος ἀφ' τῆν αὐτέων ἀμορταίσιν γίνεται, ὧν καὶ ἡ πρόσθεν.

Πολυμονὶς δὲ γίνεται, ἀφ' τῆν δὲ μάλιστα. ὁκόταν ὁ πολυμόνων αἷμα ἐλκύσας ἐφ' ἑωυτὸν, ἡ φλέγμα ἀλμυρὸν, μὴ ἀπὸ πάλιν, ἀλλ' αὐτῆ ξυσραφῆ καὶ ξυμπαγῆ, κατὰ τουτέων φύματα φλεγμαίνεσθαι σὶ τῶ πολυμόνι καὶ ἐμπυοῦσθαι. οὗτος τάδε πάσχει. καταὐλίγον καὶ δξὺ πανὸς τῶ νουσήματος, βὴξ ὀξέη ξηρὴ ἴσχει. καὶ ῥίγος. καὶ πυρετὸς. καὶ ὀδύνη σὶ τοῖσι σήθεσι καὶ σὶ τῶ μεταφρενῶ ἔγκειται. σὶοτε δὲ κὴ σὶ τῶ πολυθρῶ. κὴ ὀρθοπνοίη σφοδρὴ ἐμπίπτει. οὗτος μέχρι μὲν τεσσαρεσκαίδεκα ἡμερέων, τοιαῦτα πάσχων διατελέει. πολλάκις δὲ καὶ πλείονας ἡ δεκατέσσαρας ἡμέρας. ἔπειτα ῥήγνυται πύα καὶ ἀποπτύει πολλὸν. πολλάκις δὲ ἀποπτύει, καὶ οἱ ἀραχνίων κατῶν ἀσ. πολλάκις δὲ κὴ ὕφαιμον. κλῶ μὲν ἀποκαθαρθῆ κὴ ἀποχωρήσῃ σὶ τάχει ὁ πολυμόνων, ἐκφυγέειν ἐν ὅλεθρον. ἰῶ δὲ μὴ προσέχῃ, σίαλον ἐν ἴσχει ἡ νοῦσος, καὶ μετα βάλλει, ἄλλοτε ἀλλοῖα πάσχων. τούτω χρὴ κατ' ἀρχὰς μὲν πρὶν ἡ τὰ πύα ῥαγλῶαι, προσφορέειν τάδε. ὁκόταν αὖῆ ὁ πυρετὸς, λούειν πολλῶ θρμῶ, καὶ ῥυφήμασι πολλοῖς χρέεσθαι πῖσάνης χυλῶ καθέφθω μέλι παραχέασ' ὁκόταν ἑφθὸν ἡ, ῥοφήτω. καὶ οἶνον πινέτω γλυκὺν λευκὸν. ἡ μέλι κρητον ἑφθὸν. ὁκόταν δὲ ἀρξήται πύα ἀποπτύειν, πινέτω τὰ αὐτὰ, ἃ καὶ ὁ πρόσθεν ἔμπυος. καὶ σιτίοισι καὶ ποτοῖσι καὶ ὀψοισι τοῖς αὐτοῖς χρεέσθω, ἀπεχόμενος ὀξέων, καὶ ὀρισμέων, καὶ ἁλυκῶν, καὶ λιπαρῶν, καὶ λαγωνίης, καὶ θωρηξίων, ἰῶ μὴ τῆ νούσω προσφορον ἡ. ἐς χρῶμα δὲ ὀρέων, μελεταῖν, ὁκοίων δή τινων δοκέει σοι δεῖσθαι. τὰ δ' ἄλλα τὰ αὐτὰ ποιεέτω. πινέτω δὲ καὶ γάλα βοὸς καὶ αἰγὸς πῶ ὠρίω. πρόσθεν δὲ ὑποκαθαίρεσθω γάλακτι ὀνείῳ ἑφθῶ. πινέτω δὲ καὶ ἡ ἵππειον γάλα σεσεισμένον ἑκάστης ἡμέρης ἕωθεν τεκτύλιον κύλικα, ἰῶ ἡ δωκᾶς. ἰῶ μὲν οὖν οὕτω μελετώμενος ἐκφύγῃσι, ἄλις. καὶ ἰῶ μὴ φαγῆ τὰ πύα ἐς τὰ σήθεα, αὖτις ἐὼν θραπευέτω ἡσυχίλω ἔχων τῶ σώματι ὡς μάλιστα, καὶ τὰ ξύμφορα προσφορέων ἑωυτῶ. ἰῶ δὲ φαγῆ τὰ πύα ἐς τὰ σήθεα, ὁπηλῶ στι δοκέη ἀποσημαίνειν, ἐκκαίειν μάλιστα τὸ μαὼ ἡ καύσας, ἀφελέσθαι τοῦ πύου ὀλίγον ἡ πρῶτον. τὰ δ' ἄλλα ποιεέτω τὰ αὐτὰ, ἃ καὶ ὠδὶ τῶ πρόσθεν ἐμπύου γενομένου γεγράφαται. Ἡν σὶ πολυμόνι κιρσὸς ἐπιγένηται, βὴξ ξηρὴ ἐπιλαμβάνει. καὶ ῥίγος. καὶ πυρετὸς. κατ' ἀρχὰς μὲν τῆς νόσου, πάνυ σφοδρὰ. ἔχει δὲ καὶ ὀρθοπνοίη. καὶ σὶ τῆ κεφαλῆ σὶέτηκε. καὶ αἱ ὀφρύες δοκέουσιν ἐπικεῖσθαι. καὶ ὀδύνημα κατὰ τὸ χέται ἐς ἡ πρόσωπον, καὶ ἐς τὰ σήθεα, καὶ ἐς τὸν πόδας. πολλάκις δὲ καὶ ἐς πῶ κεφαλῶ ῥέπλει. καὶ σὶ τῆς ὀδυνῆς ὅταν ὁ πόνος ἔχη, οὐ ψῶ ἀται αὐορῶ. τό, τε σῶμα ὑπωχρὸς. καὶ αἱ φλέβες δι' αὐτῶ τείνουσιν, ἡ φλόγιαι, ἡ μέλαναι. τῶτον ὁκόταν οὕτως ἔχη, καὶ ὁ πόνος μάλιστα πέζει, πρῶτον μὲν αἷμα ἀφαιρέειν. ἔπειτα λούειν πολλῶ καὶ θρμῶ. καὶ ὁκόταν δι' ἡμέρης ἔχη, πίνειν δίδοναι κυκεῶνα σὶ οἴνω μέλανι αὐσηρῶ, ὡς ἡδίστω ἔσω ἴσω κράσασ. ψυχρὸν δὲ χρὴ μάλιστα πίνειν ῥοφήμασι χρέεσθ πῖσάνης χυλῶ καθέφθω, μέλι χρηστὸν παραχέασ', ταῦτα χρὴ προσφορέειν, σὶ τῆσι πρώτησι τῆ ἡμέρῃσι τῆσι πεσαρεσκαίδεκα. ἰῶ δὲ ὠδὶ πολλὸν ἡ νοῦσος ἔχη, ὥ, τε πόνος πολλῶν δξὺ σὶ

τῷ σώματι, καὶ ἀδυναμίη ἔνι. τούτῳ δὲ οὕτως ἔχοντι, ταῦτα προσφέρειν, ἃ καὶ τὰ τῷ πτύοντι τὸν πλεύμονα, ὁκόταν αἱ δεκατέσσαρες ἡμέραι παρέλθωσιν. αὕτη ἡ νοῦσος γίνεται, ἀπὸ ταλαιπωρίης καὶ χολῆς μελαίνης. ὁκόταν τὰ κοῖλα φλέβια τὰ διέχοντα ἐν τῷ πλεύμονι, πληθῇ αἵματος ἢ χολῆς μελαίνης, ξυνορήξηται τὰ φλέβια ἐς ἄλληλα, ἅτε ἐν στενοῖσιν ἐόντα καὶ ἐπιπληρωμένα, καὶ ἔξοδον οὐκ ἔχοντα, ὀδύνην παρέχει καὶ φῦσαν ἐν τῷ πλεύμονι. αὕτη ἡ νοῦσος χαλεπή. καὶ θεραπείης δεομένη πουλλῆς. εἰ δὲ μή, οὐκ ἐθέλει ἐκλιπεῖν τὸν κάμνοντα. καὶ ὡς τὰ πολλὰ ἐν τοῖσι πολλοῖσι ξυναποθνήσκει.

Ἢν φλεγμονὴ ἐν πλεύμονι γένηται, γίνεται δὲ μάλιστα ἀπὸ οἰνοφλυγίης καὶ γαστριμαργίης, ἰχθύων κεφάλων, καὶ ἐγχελύων. ταῦτα γὰρ τὴν πιμελὴν πολεμιωτάτην ἔχει πρὸς τὴν φύσιν τοῦ ἀνθρώπου. ἤδη δὲ τὸ νούσημα ἐγένετο ἀπὸ φλέγματος, ὁκόταν μιγὲν τῷ αἵματι, ἐπιρρυῇ ἐπὶ τὸν πλεύμονα. προσπίπτει δέ, καὶ ἐκ κρεοφαγίης, καὶ ὕδατος μεταβολῆς. τάδε οὖν πάσχει. βήσσει ἰσχυρῶς. καὶ τὸ σίαλον ἀποπτύει ὑγρὸν καὶ πολλόν. πολλάκις δὲ καὶ παχὺ καὶ λευκόν, διὰ ἀπὸ βρόγχου. καὶ ὀδύνη πιέζει ὀξείη, ἐς τὰ στήθεα, καὶ τὸ μετάφρενον, καὶ τοὺς κενεῶνας, καὶ τὰ πλευρά. καὶ βρύχεται ὀξύ. καὶ ἐκ τῶν στηθέων καὶ πλευμόνων, διὰ γαστὴρ φυλλίζει. καὶ ἐμέει λάπην ὀξείην. καὶ τὸ ἔμεσμα ἢν ἐκχέῃς χαμαί, ζέει τὴν γῆν ὥσπερ ὄξος ἐπιχέοντι. καὶ τοὺς ὀδόντας αἱμωδιᾷ. καὶ ῥῖγος καὶ πυρετὸς καὶ δίψα ἔχει ἰσχυρή. καὶ ἤν τι θέλῃ λιπαρὸν φαγεῖν, μύζει πρὸς τὰ σπλάγχνα, καὶ ἔμετον ἄγει, καὶ τὸ σῶμα ἅπαν νάρκην ἔχει. ὁκόταν δὲ ἀπεμέσῃ, ἐπ' ὀλίγον δοκέει ῥάων εἶναι. ἔπειτα ἐπειδὰν τῆς ἡμέρης ὀψίτερον γένηται, βρέμει ἡ κοιλίη. καὶ στρέφει. καὶ βορβορύζει. τοῦτον ὁκόταν οὕτως ἔχῃ καὶ δοκέῃ καιρὸς εἶναι, προσαίρειν ὧδε μελέτην. μίξας μέλι, καὶ ἅλα, καὶ ὄξος, καὶ ὕδωρ, ταῦτα ἐγχέας ἐς χυτρίδα χλιαίνειν. καὶ ὀριγάνου κλωνίοισι τοῦ κεφαλοειδέος ταράσσειν. ἐπειδὰν δὲ χλιαρὸν ᾖ, δοῦναι πιεῖν. ἢ λαβόμενος τῆς γλώσσης, ἐγχέειν ἡσυχῇ διὰ σύριγγος. εἶτα κελεύειν συνειλιθέντα ἡσυχίην ἔχειν. ἔπειτα ἢν ἔμετος ἐπέλθῃ αὐτῷ, ἐμέειν προθύμως. ἢν δὲ μὴ ἐπέλθῃ, κατακαθιζόμενος πτερῷ, ἐμείτω. καὶ ἤν τι φλέγματος ἐμέσῃ, ἐπὶ πέντε ἡμέρας τὸ αὐτὸ ποιεέτω. ῥάων γὰρ ἔσται οὕτω ποιῶν. πινέτω δὲ τοῦτο γυμνασάμενος ἢν οἷός τε ᾖ, καὶ λουσάμενος πολλῷ θερμῷ. ἢν δὲ μή, ἀλλὰ λουσάμενος. ὁκόταν δὲ αἱ πέντε ἡμέραι παρέλθωσι, πρωῒ ἐς νῆστις πινέτω, ἐν μελικρήτῳ οἴνῳ, μέλιτι ὀπὸν σιλφίου, ὁκόσον ὄροβον. καὶ σκόροδον φαγέτω, καὶ ῥαφανῖδας νῆστις. καὶ ἄκρητον οἶνον ἐπιρρυμφανέτω μέλανα, ἢ λευκὸν αὐστηρόν. πινέτω δὲ καὶ ἐπὶ σίτῳ, καὶ μετὰ τὸν σῖτον. σιτίοισι δὲ ξηροῖσι καὶ κρέασι κυνείοισι χρεέσθω ἑφθοῖσιν, ἢν τὸ ῥῖγος καὶ ὁ πυρετὸς μὴ ἐπιλαμβάνῃ. οὗτος ἢν ἀπὸ τοῦ τοιοῦδε ἐγχύματος καθαίρηταί τι, ἢν δὲ μή, ἄνω αὐτὸν καθαίρειν, ἐλλεβόρῳ. μετὰ δὲ τὴν κάθαρσιν, ἀλεύρου ἑφθοῦ διδόναι δύο τρυβλία ἐκροφέειν, μέλι παραχέας. οἶνον δὲ τὸν αὐτὸν πινέτω ὑδαρέα, ἢν δὲ μὴ κατ' ἀρχὰς παραγένηται τῇ νούσῳ, πάχυνας αὐτὸν γάλακτι, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον. οὕτω γὰρ ἂν μάλιστα τῆς νούσου ἀπαλλαγείη. ἢν δὲ μὴ καυθῇ, ξυμπαραμένει καὶ οὐ μάλα ἐκλείπει, ἀλλ' ἕως γήρους προσέχει. πολλάκις δὲ καὶ συναποθνήσκει, ἢν μὴ ἐν τῇσι πρώτῃσιν ἡμέρῃσι τεσσαράκοντα ἀποθάνῃ. ἀλλὰ χρεία πολλὴ ὅτι μάλιστα μελεδαίνειν. καὶ ὀρρὸν καὶ γάλα τὴν ὥρην πινέτω βοὸς, καὶ αἰγὸς, καὶ ὄνειον, καὶ ἵππειον. οὕτω γὰρ ἂν ῥήϊστα διάγοι. ἡ δὲ νοῦσος χαλεπή.

Ἐὰν πλεύμων ἀπὸ ἐρυσιπέλατος οἰδήσῃ. τὸ δὲ οἴδημα μάλιστα ἀπὸ αἵματος γίνεται, ὅταν ἐς ἑωυτὸν ὁ πλεύμων ἑλκύσῃ αἷμα καὶ ἔχῃ ἀναλαβών. τὸ δὲ νούσημα θέρεος ἐν ὥρῃ μάλιστα γίνεται. τάδε οὖν ἀπ' αὐτοῦ πάσχει. βὴξ ἐμπίπτει ξηρή. καὶ ῥῖγος. καὶ πυρετός, καὶ ὀρθοπνοίη. καὶ ὁ πόνος ἰσχυρός, ἐν τοῖσι στήθεσι. καὶ τὰς ῥῖνας ἀνοίγει, ὡς ἵππος δραμών. καὶ τὴν γλῶσσαν ἐξαίρει, ὡς κύων θέρεος ὑπὸ τοῦ πνεύματος τοῦ ἐν τῷ καύματι καιόμενος. καὶ οἴδημα κατέχει τὰ στήθεα, καὶ φθέγγεται βραχέως. καὶ ἐρύθημα ἐν τῇ ὄψει. καὶ κνησμὸν φέρει ἐν τῷ σώματι. καὶ ὑπὸ τοῦ πόνου κατακέεσθαι οὐ δύναται, ἀλλ' αὐτὸς ἑωυτὸν ῥιπτεῖ ἀλύων. οὗτος ἐν ἑπτὰ ἡμέρῃσι θνήσκει. πλὴν κατ' ἀρχὰς ὁκόταν ὧδε ἔχῃ, ἰῆσθαι. ἐν τούτοισι ψύχειν μὲν τὸ σῶμα, ἐν ὕδατι ψυχρῷ, βάπτων σεῦτλα καὶ τῷ σώματι ἐπιτιθείς, μάλιστα πρὸς πόνον νέον. ἢ ῥάκια βάπτων ἐν ψυχρῷ ὕδατι καὶ ἐκθλίβων προστιθέναι. κἢν μὲν οὕτω ῥηΐσῃ, ἢν δὲ μή, κεραμικὴ γῇ ψυχρῇ καταπλάσσειν. καὶ ἐν τῇ αἰθρίῃ κοιμάσθω. οὕτω γὰρ ἂν μελετώμενος, πολλάκις ἂν φύγοι τὰς ἑπτὰ ἡμέρας. ὁκόταν δὲ αἱ ἑπτὰ ἡμέραι παρέλθωσι, καὶ ἡ ὀδύνη προσέχῃ, χρίων ἐν ἐλαίῳ τὸ πονέον μέρος ἔσω. καὶ χλιάσματα μάλιστα προστιθεὶ τὰ αὐτά, ἃ καὶ τῇ πλευρίτιδι. καὶ πῖσαι αὐτὸν ἐς ὑποκάθαρσιν. τῷ τοῦ πεπλίου, καὶ τοῦ μηκωνίδος, καὶ τοῦ κόκκου τοῦ κνιδίου. καὶ μετὰ τὴν κάθαρσιν, φακῆς τρύβλιον δοῦναι ῥυφῆσαι. πινέτω δὲ ὕδωρ. τῇ δὲ ὑστεραίῃ, λοῦσαι αὐτὸν πολλῷ καὶ θερμῷ πλὴν τῆς κεφαλῆς. ἔπειτα πῖσαι ὀρίγανον ἐν μελικρήτῳ ἀποβρέξας. ποτοῖσι δέ, ὡς θερμοτάτοισι χρεέσθω. σιτία δὲ προσφερέσθω, τὰ αὐτὰ ταῦτα, ἃ καὶ ὁ ὑπὸ τῆς πλευρίτιδος ἑαλωκώς, ἢν μὴ πυρετὸς προσέχῃ. αὕτη ἡ νόσος χαλεπὴ καὶ παῦροι ἐκφυγγάνουσιν.

Ἢν τὸ στῆθος καὶ τὸ μετάφρενον ἀναρραγῇ. ἀναρρήγνυται δὲ μάλιστα ὑπὸ ταλαιπωρίης, καὶ τάδε πάσχει. βὴξ ἴσχει ὀξείη. καὶ τὸ σίαλον ἐνίοτε ἀποπτύει ὕφαιμον. καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει τὰ πολλά, καὶ ἐν τῷ

στήθεϊ, καὶ ἐν τῷ μεταφρένῳ ὀδύνη ὀξείη ἔνεστι. καὶ ἐν τῷ πλευρῷ δοκέει διὰ λίθος ἐγκέεσθαι. καὶ κεντέεσθαι ὑπὸ τῆς ὀδύνης διαμπερέως, ὥσπερ βελόνη τις κεντοίη. τοῦτον ὁκόταν ὧδε ἔχῃ, παραχρῆμα γάλακτι πιπίσας, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον. καὶ οὕτω τάχιστα ὑγιὴς ἔσται. τὸ δὲ λοιπὸν ἡσυχάζων τῷ σώματι μάλιστα διαιτῆσθαι. ἢν γάρ τι πονήσῃ ἢ ἐπὶ ἅμαξαν ἀναβάς, ἢ ἐφ' ἵππον, ἢ τοῖς ὤμοισιν ἐν ἄχθει ταλαιπωρήσῃ, κινδυνεύσει πάλιν ὑποστροπιάσαι ἡ νοῦσος. καὶ ἢν γένηται, κίνδυνος διαφθαρῆναι, τὸ γὰρ νούσημα ὑποστραφέν, μᾶλλον πιέζει ἢ κατ' ἀρχάς. ἢν δὲ μὴ καυθῇ, τοῖσιν αὐτοῖσιν ἰῆσθαι οἷσι καὶ τὸν ἔμπυον, ῥυφήμασι καὶ ποτήμασι καὶ σιτίοισι. τὸ δὲ ξύμπαν ἡσυχίην ἔχοντα διάγειν τοῖσιν ἐπιτηδείοισιν. ἢν γὰρ οὕτω μελετηθῇ, τάχιστα ὑγιὴς ἔσται. ἡ δὲ νοῦσος χαλεπή.

Ἢν ἐν πλευρῷ φῦμα φύηται καὶ ἔμπυος γένηται, τάδε πάσχει, ῥῖγος ἴσχει καὶ πυρετός. καὶ βὴξ ξηρή, πουλλὰς ἡμέρας. καὶ ἀλγέει τὸ πλευρόν. καὶ ἐς τὸν τιτθόν, καὶ ἐς τὴν κληῖδα, καὶ ἐς τὰς ὠμοπλάτας, ὀδύνη ἴσχει ἀΐσσουσα. οὗτος ὅταν οὕτως ἔχῃ, ἐν μὲν τῇσι πρώτῃσιν ἡμέρῃσι δέκα, ῥυφήμασι χρεέσθω. πτισάνης χυλῷ καθεφθῷ, μέλι παραχέων, ὁκόταν ἑφθὸν τὸ ῥύφημα ᾖ. οἴνῳ δὲ χρεέσθω λευκῷ, γλυκεῖ, ἢ αὐστηρῷ, ἢ ὑδαρεῖ. καὶ ῥυμφάνοντα πλεονάκις τοῦ οἴνου, ἐκπτύειν κελεύειν. καὶ τοῦ ὕπνου κωλύειν, ἕως ἂν αἱ ἕνδεκα ἡμέραι παρέλθωσι. μετὰ δὲ ταύτας τὰς ἡμέρας, σιτίοισιν ὀλίγοισιν ὡς μάλιστα χρεέσθω. κρέασι σκυλακείοισιν, ἢ ἀλεκτρυονίοισι θερμοῖσι. διαζωννύσθαι δὲ χρὴ καλῶς, καὶ τὸν ζωμὸν ῥυμφανέτω. καὶ τοῖσι ῥυφήμασι πρόσθεν χρεέσθω τοῦ σίτου. καὶ μὴ διψήτω, ἕως ἂν ἔμπυον γένηται τὸ πλευρόν. πυΐσκεται δὲ μάλιστα, ἐν τεσσαράκοντα ἡμέρῃσιν ἢ ὀλίγῳ πρόσθεν. τοῦτο δὲ γνώσῃ, ὁκόταν ἔμπυον γένηται τὸ πλευρόν. πῦον γὰρ οὐκ ἀποπτύεται, οὐδ' ἀνεμέεται. τοῦτον ὁκόταν οὕτως ἔχῃ, ὅκου ἂν ἀποσημαίνῃ τὸ οἴδημα, τάμνειν ἢ καίειν. ἔπειτα, ἀφιέναι τὸ πῦον κατ' ὀλίγον. καὶ ἐπειδὰν ἀπαρύσῃς, μοτὸν καθιέναι ὠμολίνου. καὶ αὖθις τῇ ὑστεραίῃ ἐξελών, ἀπαρύσαι κατ' ὀλίγον τοῦ πύους. ἔπειτα, μοτῶσαι. καὶ αὖθις τῇ τρίτῃ, καὶ τῇσιν ἄλλῃσιν ἡμέρῃσι, δὶς τῆς ἡμέρης ἀπαρύειν, ἕως ἂν ξηρανθῇ. διδόναι δὲ καὶ τὰ σιτία καὶ τὰ ὄψα, ὁκόταν προσίηται. καὶ πινέτω ὀλίγον μὴ πολλόν, ἤν τε οἶνον, ἤν τε ὕδωρ. τρωγέτω δὲ καὶ τῆς ὀριγάνου τῆς ἁπαλῆς, ὡς πλεῖστον ἐς μέλι ἀποβάπτων. ἢν δὲ μὴ ἁπαλὴν ἔχῃ, ἀλλ' αὔην λεπτὴν ποιήσας ἐς τὸ μέλι τε μίξας, λείην διδόναι ὡς πλείστην. καὶ μηδὲ ῥιγούτω. καὶ τοῖσι λουτροῖσι λούειν. καὶ μαλθακῶς κοιμάσθω. οὕτω ταύτην τὴν νοῦσον θεραπεύων, τάχιστα ἂν ὑγιέα ποιήσαις. ὁκόταν δὲ ὑγιὴς γένηται, φυλασσέσθω τὸ ψῦχος. τὸ θάλπος. τὸν ἥλιον. καὶ τοῖσι περιπάτοισιν ὀλίγοισι χρεέσθω, μετὰ τὸν σῖτον, ὅκως ἢν μὴ κόπος λάβῃ τὸ σῶμα. ταῦτα ποιέων, ὑγιὴς ἔσται. τούτων τῶν νούσων οὕς τινας ἢν καύσῃς ἐπὶ τὰ καύματα, πρᾶσα τρίψας πουλλά, καταπλάσσειν εὐθὺς μετὰ τὴν καῦσιν, καὶ καταλιμπάνειν μίαν ἡμέρην.

Τρεῖς δὲ εἰσὶ φθίσιες πρώτη. αὕτη μὲν γίνεται ἀπὸ φλέγματος, ἐπὴν ἡ κεφαλὴ φλέγματος πληθεῖσα, νοσήσῃ καὶ θέρμη ἐγγένηται, συσσήπεται τὸ φλέγμα ἐν τῇ κεφαλῇ, ἅτε οὐ δυνάμενον κινέεσθαι, ὥστε ὑποχωρῆσαι. ἔπειτα ὁκόταν παχυνθῇ καὶ συσσαπῇ καὶ ὑπερπλησθῇ τὰ φλέβια, ῥεῦμα ἐπὶ τὸν πλεύμονα ἐγένετο. καὶ ὁ πλεύμων ὁκόταν ἀναλάβῃ, νοσέει παραχρῆμα, ἅτε δακνόμενος ὑπὸ τοῦ φλέγματος, ἁλυκοῦ ἐόντος καὶ σαπροῦ. τάδε οὖν πάσχει. πυρετὸς ἄρχεται βληχρὸς ἐπιλαμβάνειν, καὶ ῥῖγος, καὶ πονέει τὰ στήθεα, καὶ τὸ μετάφρενον. ἐνίοτε δὲ καὶ βὴξ πιέζει ὀξείη. καὶ ἀποπτύει τὸ σίαλον, πουλύ, καὶ ὑγρόν, καὶ ἁλμυρόν. ταῦτα μέν, κατ' ἀρχὰς τῆς νούσου πάσχει. προϊούσης δέ, τό τε γυῖον λεπτύνεται, πλὴν τῶν σκελέων. ταῦτα δὲ οἰδέει. καὶ οἱ πόδες, καὶ οἱ ὄνυχες ἕλκονται. ἐκ δὲ τῶν ὤμων λεπτός, καὶ ἀσθενὴς ὁ φάρυγξ, ὡς χρόνου πίμπλαται. καὶ συρίζει ὡς διὰ καλάμου. καὶ διψῇ ἰσχυρῶς διὰ παντὸς τοῦ νοσήματος. καὶ ἀκρασίη πουλλὴ τὸ σῶμα ἔχει. οὗτος ὁκόταν οὕτως ἔχῃ, ἐνιαυτῷ φθειρόμενος φαύλως θνήσκει. μελετᾶν δὲ χρὴ ὡς μάλιστα καὶ ἀνακομίζειν πρῶτον μὲν πῖσαι ἐλλέβορον. κάτω δὲ ὑποκαθῆραι ἐπιθύμῳ, ἢ πεπλίῳ, ἢ τῷ κόκκῳ τῷ κνιδίῳ, ἢ τῇ τιθυμαλλίδι. ταῦτα χρὴ τετράκις τοῦ ἐνιαυτοῦ δοῦναι, ἄνω δίς, κάτω δίς. διδόναι δὲ καὶ ὄνειον γάλα ἑφθὸν ἐς ὑποκάθαρσιν, ἢ βόειον, ἢ αἴγειον. πινέτω δὲ καὶ ὠμὸν τὸ βόειον γάλα, τρίτον μέρος μελικρήτου ξυμμίσγων. πέντε καὶ τεσσαράκοντα ἡμέρας ξυμπαραμίσγων καὶ τὸ ὀρίγανον. τὴν δὲ κεφαλὴν αὐτοῦ πρόσθεν καθαίρειν. πρὸς τὰς ῥῖνας προστιθεὶς φάρμακον. σιτία δὲ καὶ ὄψα διδόναι, μήτε λιπαρά, μήτε κνισώδεα, μήτε λίην δριμέα. τεκμαιρόμενος δὲ τὸ νούσημα, ταῦτα ποιέειν δεῖ. καὶ περιπάτοισι χρέεσθαι πρὸς τὰ σιτία. τεκμαιρόμενος μὴ ῥιγῶν. τοῦ δὲ χειμῶνος, παρὰ πυρὶ τὴν οἴκησιν ποιεέσθω. οἶνον δὲ πινέτω, αὐστηρόν, μέλανα, ὡς παλαιότατον, καὶ ἥδιστον. ὀλίγον δέ, κἢν δοκέῃ σοι πρὸ τοῦ φαρμάκου πυριῆσαι, καὶ οὕτω δοῦναι τὸ φάρμακον. ἢν δὲ μὴ βούλῃ δοῦναι, πυριήσας, ἔμετον ἐκ τῶν σιτίων καταναγκάσαι ποιήσασθαι, ὡς τὸ πρόσθεν γέγραπται. τούτῳ ἢν ξυμφέρωσι, περιπάτοισι χρεέσθω. ἢν δὲ μὴ ξυμφέρωσιν, ἡσυχαζέτω ὡς μάλιστα τῷ σώματι. οὗτος οὕτω μελετώμενος, ῥήϊστα ἂν διάγοι τῷ

νουσήματι. ἡ δὲ νοῦσος θανασίμη, καὶ παῦροι ταύτην διαφυγγάνουσιν. Φθίσις δευτέρα. Γίνεται δὲ ἀπὸ ταλαιπωρίης. τὰ αὐτὰ δὲ πάσχει ὡς ἐπιτοπλεῖστον, ἃ καὶ ὁ πρόσθεν. ἡ δὲ νοῦσος διαπαύει αὕτη μᾶλλον τῆς προτέρης. καὶ τοῦ θέρεος ἀνίησι. τὸ δὲ σίαλον ἀποπτύει, παχύτερον μὲν τῇ πρόσθεν. καὶ βὴξ πιέζει μάλιστα τοὺς γέροντας. καὶ ὁ πόνος ἰσχυρότερος ἐν τοῖσι στήθεσι. καὶ δοκέει οἷόν περ λίθον ἐν αὐτοῖσιν ἐγκέεσθαι. πονέει δὲ καὶ τὸ μετάφρενον. καὶ ἡ χροιὴ διύγρος αὐτέου ἐστί. καὶ ἢν τι πονήσῃ, φύσει καὶ ἀσθμαίνει. οὗτος ἐκ ταύτης τῆς νούσου, ἐν τρισὶν ἔτεσι μάλιστα θνήσκει. μελετᾶν δὲ χρὴ τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν πρόσθεν. αὕτη ἡ νοῦσος προσέχει τοῖσι πουλλοῖσι, μέχρι τριῶν ἐτέων, ἀλλ᾽ ἀποθνήσκουσιν. ἡ δὲ νοῦσος χαλεπή. Φθίσις τρίτη. Ἀπὸ ταύτης, τάδε πάσχει. ὁ μυελὸς αὐτέου ὁ νωτιαῖος, αἵματός τε μεστὸς γίνεται. φθίνει δὲ ὁμοίως καὶ ἀπὸ τῶν κοίλων φλεβῶν. αὗται δὲ φλέγματος ὑδρωποειδέος ἐμπίπλανται καὶ χολῆς. πάσχουσι δὲ τὰ αὐτὰ, ἀφ᾽ ὁποτέρων ἂν φθίνῃ. καὶ ὁ ἄνθρωπος εὐθὺς μέλας γίνεται καὶ ὑποιδαλέος. καὶ τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς ὑπόπυα, ὠχρά. καὶ αἱ φλέβες αἱ ἐν τῷ σώματι, ὠχραὶ διατέτανται. ἔνιαι δὲ σφόδρα ἐρυθραί. μάλιστα δὲ δῆλαι, αἱ ὑπὸ τῇσι μασχάλῃσι. καὶ ἀποπτύει ὠχρά. καὶ ὅταν αὐτέῳ ἐπίῃ, πνίγεται, καὶ βῆξαι οὐ δύναται ἐνίοτε βουλόμενος. ἐνίοτε δὲ ὑπὸ τοῦ πνίγματος καὶ τῆς προθυμίης τοῦ βήσσειν, ἀθρόον ἐμέει χολήν. ὁτὲ δὲ, λάπην. πολλάκις δὲ, καὶ τὰ σιτία, ὅταν φάγῃ. καὶ ὁκόταν ἀπεμέσῃ, δοκέει κουφότερος εἶναι. εἶτ᾽ αὖθις ὀλίγον χρόνον διαλιπὼν, ἐν τοῖσιν αὐτοῖσι πόνοισι κέεται. οὗτος καὶ φθέγγεται ὀξύτερον ἢ ὑγιαίνων. καὶ ῥῖγος καὶ πυρετὸς διαπαύων, ἐπιλαμβάνει ἱδρώδης. τοῦτον ὁκόταν ὧδε ἔχῃ, βρωτοῖσι, καὶ ῥυφήμασι, καὶ ποτοῖσι, καὶ φαρμάκοισι, καὶ τοῖσιν ἄλλοισι πᾶσι μελετᾶν, ὥσπερ τοὺς πρόσθεν. ἡ δὲ νοῦσος, διαφθείρει μάλιστα ἐνίᾳ ἔτεα, ἔπειτα διαφθείρει φθειρόμενος. παῦροι δὲ φυγγάνουσιν ἐξ αὐτῆς. χαλεπὴ γὰρ ἡ νοῦσος. ἢν δὲ βούλῃ ὧδε ἰῆσθαι αὐτὸν. πρῶτα μὲν πυριῆσαι. καὶ ὁκόταν πυριηθῇ, τῇ ὑστεραίῃ δοῦναι αὐτῷ πιεῖν, μελίκρητον ἢ μέχρι καὶ ὄξος παραχέαι ὀλίγον. καὶ κέλευε ἀπνευστὶ τοῦτο πιεῖν. ἔπειτα τῶν ἱματίων ἀμφιέσαι αὐτὸν, πολλὸν καὶ ὡς πλεῖστον χρόνον. ἢν δὲ μὴ ἀνέχηται ἀλλ᾽ ἐξεμέσαι βούληται, ἐξεμεέτω. ἢν δὲ μὴ ἔμετος ἔχῃ χρόνου ἤδη γινομένου, ἐπιπιὼν ὕδατος χλιαροῦ μεγάλην κύλικα, ἐμεέτω καταματτόμενος πτερῷ. ὁκόταν δὲ ἀπεμέσῃ ὥστε καλῶς ἔχειν, ἡσυχίην ἐχέτω ταύτην τὴν ἡμέρην. ὁκόταν δὲ ὥρη δείπνου ᾖ, δειπνεέτω μάζαν ὀλίγην. καὶ ὄψον ἐχέτω, τάριχος καὶ πράσα. ταῦτα δὲ ἐσθιέτω ὡς πλεῖστα. οἶνον δὲ πινέτω γλυκύν. τὸν δὲ λοιπὸν χρόνον, λουέσθω πᾶσαν ἡμέρην ἅμα ἕωθεν θερμῷ πολλῷ. καὶ μετὰ τὸ λουτρὸν, φυλάσσειν χρὴ ὡς μὴ ῥιγώσῃ, ἀλλὰ κατακλιθεὶς, εὑδέτω ὡς πλεῖστον χρόνον. ὁκόταν δὲ ἀναστῇ εὕδων, περιελθέτω σταδίους εἴκοσι τὸ βραχύτατον, ταύτῃ τῇ ἡμέρῃ. τῇσι δὲ ἄλλῃσιν ἡμέρῃσι, πέντε σταδίους, ἄλλους ὑπερβάλλων βαδιζέτω. ἑκάστης ἡμέρης προστιθεὶς, ἄχρις ἂν ἀφίκηται εἰς τοὺς ἑκατὸν σταδίους. τὴν δὲ κοιλίην ὑποκαθαίρειν δεῖ ἐκ τῆς ἡμέρης χυλοῖσι τεύτλων, καὶ ἀπὸ κράμβης, χόας ἑκάτερα ἑψήσας, ἀπηθῆσαι χρέα ἑκατέρου. εἶτα ξυμμίξας ἅμα, συνεψεῖν τὰ ὀστέα οἱ, τὸ ἀπὸ τῶν νεφρῶν τεταρτημόριον μνᾶς ἐν ἀμφοτέροισιν ἑψεῖν διελών. ὁκόταν δὲ μέλλῃ πίεσθαι πρὸς μὲν τῆς κράμβης τὸν χυλὸν, ἅλας παραβάλλειν. πρὸς δὲ τὸν τῶν τευτλίων, μέλι παραχέειν. ἢν δὲ χόας ἑκατέρου πίνειν ἢ παρεγχέας παρὰ τὴν ἑτέρην κύλικα, πίνειν. παρὰ δὲ τὴν ἑτέρην, ἅλας. ἐκπιεῖν δὲ χρὴ πάντα τὸν χυλόν. ταῦτα μὲν ποιέειν χρὴ, τριήκοντα ἡμέρας. τῷ δὲ δευτέρῳ μηνὶ, ἐσθιέτω ἄρτου καὶ κρέα πίονα ὑὸς, ἑφθὰ, ἄλλο δὲ μηδέν. οἶνον δὲ πινέτω, λευκὸν, αὐστηρόν. καὶ ὁδὸν ὁδοιπορεέτω, μὴ ἐλάσσω σταδίων τριήκοντα, πρὸ τοῦ δείπνου. μετὰ δὲ τὸ δεῖπνον, δέκα. καὶ μὴ ῥιγούτω ἀλλ᾽ ἐσκεπάσθω. ταῦτα ἢν ποιέῃ, ῥήϊον οἴσει τὴν νοῦσον. τῷ δὲ τρίτῳ μηνὶ, κυκεῶνα αἰθινὴν πινέτω. σελίνου ῥίζας. καὶ ἄνηθον. καὶ πήγανον. καὶ μίνθην. καὶ κορίανον. καὶ μήκωνας ἁπαλάς. καὶ ὤκιμον. καὶ φακόν. καὶ ῥοιῆς γλυκείης, καὶ οἰνώδεος χυλόν. εἶναι δὲ χρὴ τὰς γλυκείας, διπλασίας. εἶναι δὲ χρὴ καὶ τοῦ χυλοῦ ξὺν ἀμφοτέρων, ἡμικοτύλιον. καὶ ὕδατος κοτύλης ἥμισυ. ἔπειτα αὐτὰ τρίψας λεῖα, δεῖν ἀπὸ τούτῳ τῷ κεκρημένῳ, καὶ ἐγχέαι ἐς κύλικα. ἔπειτα ἐπιβαλεῖν ἄλευρα ὀρόβων, ὁκόσον ὀξύβαφον. καὶ ἄλφιτον ἴσον. καὶ τυροῦ παλαιοῦ αἰγείου ξύσας τὸ ἴσον τοῖσιν ὀρόβοισι ταῦτα ξυγκυκήσας ἐκπιέτω. ἔπειτα διαλιπὼν ὀλίγον χρόνον, ἀριστάτω ἄρτου. καὶ ὄψον ἐχέτω, τέμμαχος νάρκης. ἢ ῥίνης, ἢ γαλεοῦ. ἢ βατίδος. καὶ κρέα ὑὸς ἐσθιέτω ἑφθά. καὶ παχυνέτω ἑωυτὸν, ἡσυχίην ἄγων ὡς μάλιστα. καὶ πυρίην διὰ δεκάτης ἡμέρης ἐς ἑωυτὸν ἡσυχῇ. τῷ δὲ τετάρτῳ μηνὶ, πυρίην διὰ πέμπτης ἡμέρης ἀτρέμα. καὶ ἐσθιέτω ὄψον ὡς πλεῖστον. ὄψα δὲ χρεέσθω, πυροῖσι καὶ κρέασιν ὀλίγοισιν, οἷος ἑφθοῖσιν. ὁδοιπορεέτω δὲ καὶ σταδίους, ὡς πρόσθεν εἴρηται. ἀρξάμενος δὲ τοῦ τετάρτου μηνὸς, τῇ πρώτῃ ἡμέρῃ, ἀπὸ δέκα σταδίων βαδιζέτω. καὶ καθ᾽ ἑκάστην προστιθέσθω, μέχρις ἂν αὐτῷ ὀγδοήκοντα γένωνται στάδιοι. καὶ περιπατείτω τῆς ἡμέρης, ὀγδοήκοντα σταδίους. μετὰ τὸ δεῖπνον, εἴκοσι. ὄρθρου, τριάκοντα. τὸ δὲ λοιπὸν τοῦ χρό-

νου

νου διαιτάσθω, μάζαν καὶ ἄρτον ἐσθίων ἀμφότερα. καὶ ὄψον ἐχέτω, σελάχια. καὶ κρέα δὲ πάντα ἐσθιέτω, πλὴν βοείων καὶ χοιρείων. ἰχθύων δὲ τῶνδε ἀπεχέσθω, κεστρέος, καὶ ἐγχέλυος, καὶ μελανούρου. ἐσθιέτω δὲ νάρκην. καὶ ῥίνην. καὶ βατίδα. καὶ γαλεόν. καὶ τρυγόνα. καὶ βατράχους. τῶν δὲ ἄλλων, μηδέν. ἢν δὲ δοκέῃ ἀσινέα εἶναι, καὶ κυκεῶνα. ἐπειδὰν θέλῃ καθεύδειν πινέτω ἀπὸ οἴνου μέλανος, ἡδέος, παλαιοῦ, δικότυλον κύλικα. καὶ μεθ᾽ ἡμέρην, τῷ αὐτῷ οἴνῳ χρεέσθω ἐπὶ σιτίῳ. καὶ ὁδοιπορεέτω τῆς ἡμέρης, ἑκατὸν πεντήκοντα σταδίους. μετὰ δεῖπνον, εἴκοσιν. ὄρθρου δὲ, τεσσαράκοντα. οὗτος οὕτως θεραπευόμενος, γίνεται ἐν ἐνιαυτῷ ὑγιής. Αὐαίνεται μυελὸς ὁ κατὰ τὴν ῥάχιν μάλιστα, ὁκόταν τὰ φλέβια ἀποφραχθῇ, τὰ εἰς τὸν μυελὸν τείνοντα, καὶ ἡ ἐκ τοῦ ἐγκεφάλου ἔφοδος. διὰ κάκωσιν δὲ τοῦ σώματος, τάδε πάσχει καὶ νοσέει. γίνεται μάλιστα καὶ ἀπὸ λαγνείης. τάδε οὖν πάσχει. ὀδύνη ὀξέη ἐμπίπτει αὐτῷ ἐς τὴν κεφαλὴν. καὶ ἐς τὸν τράχηλον. καὶ ἐς τὴν ὀσφὺν, καὶ ἐς τοὺς μύας τῆς ὀσφύος. καὶ ἐς τὰ ἄρθρα τῶν σκελέων, ὥστε ἐνίοτε οὐ δύναται ξυγκάμπτειν. καὶ ἡ κόπρος οὐ διαχωρέει, ἀλλ᾽ ἵσταται. καὶ δυσουρέεται. οὗτος κατ᾽ ἀρχὰς μὲν τῆς νούσου, ἡσυχέστερον διάγει. ὁκόσῳ δ᾽ ἂν ὁ χρόνος τῇ νούσῳ ἀπομηκύνηται, πονέει ἅπαντα μᾶλλον. καὶ τὰ σκέλεα οἰδέει ὡς ἀπὸ ὕδερου. καὶ ἕλκεα ἐκφλυσδαίνει ἀπὸ τῆς ὀσφύος. καὶ τὰ μὲν ἄλλα, ὑγιαίνεται. τὰ δὲ ἄλλα, φύεται. τοῦτον ὁκόταν οὕτως ἔχῃ, καθῆραι τὴν κεφαλὴν, τῷ ἱπποθέῳ ὀπῷ, ἢ τῷ κνιδίῳ κόκκῳ. πυριήσας πρῶτον τὸ σῶμα, εὖ μάλα. τῆς δὲ ἐπιούσης μετὰ τὴν κάθαρσιν, πτισάνης δύο τρύβλια ῥυφεέτω, μέλι παραχέας. οἶνον δὲ λευκὸν πινέτω, μαλθακόν. τῇ δὲ ὑστεραίῃ, ὀνείου γάλακτος διδόναι αὐτῷ ἑφθοῦ, μέλι παραχέας ὀκτὼ κοτύλας ἐκπιεῖν. ἢν δὲ μὴ ὄνειον ἔχῃς, βόειον ἢ αἴγειον ἑφθὸν, τρίτην μοῖραν, παραχέας μέλι. καὶ τὴν ὥρην γαλακτοποτεέτω ἐν ὀροβίῳ καὶ γάλακτι, πέντε καὶ τεσσαράκοντα ἡμέρας. σιτίοισι δὲ καὶ ὄψοισι χρεέσθω, ὡς διαχωρητικωτάτοισιν. οἶνον δὲ πινέτω λευκὸν μαλθακὸν μενδήσιον. ὁκόταν δὲ παχύτατος ᾖ, καῦσαι αὐτοῦ ἐς τὴν ὀσφὺν, ἑκατέρωθεν τῶν σπονδύλων τέσσαρας ἐσχάρας. καὶ ἐς τὸ μετάφρενον, δέκα πέντε ἑκατέρωθεν. καὶ ἐς τὸν αὐχένα δύο, μεταξὺ τῶν τενόντων. ἢν γὰρ τύχῃς καύσας καὶ ὑγιέα ποιήσεις. ἡ δὲ νοῦσος χαλεπή.

Αἱ τέσσαρες νοῦσοι αἱ ἀπὸ τῶν νεφρῶν γινόμεναι. ἀπὸ τῆς πρώτης, τάδε πάσχει. ὀδύνη ὀξέη ἐμπίπτει εἰς τὸν νεφρὸν, καὶ ἐς τὴν ὀσφὺν, καὶ ἐς τὸν ὄρχιν τὸν κατὰ τὸν νεφρόν. καὶ οὐρέει πυκνά. καὶ στύφει κατ᾽ ὀλίγον τὸ οὖρον. καὶ ἅμα τῷ οὔρῳ, προσεξέρχεται ψάμμος. καὶ ὁκόταν διίῃ διὰ τῆς οὐρήθρης ἡ ψάμμος, ὀδύνην παρέχει ἰσχυρὴν ἐν τῇ οὐρήθρῃ. ὁκόταν δὲ διεξουρήσῃ, ἡ ὀδύνη ἀνίησιν. ἔπειτα αὖθις ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κέεται. ὁκόταν δὲ οὐρέῃ, καὶ τὸν καυλὸν ὑπὸ τῆς ὀδύνης τρίβει. πολλοὶ δὲ τῶν ἰητρῶν οἱ μὴ συνιέντες τὴν νοῦσον, ὁκόταν ἴδωσι τὴν ψάμμον, δοκέουσι λιθιᾶν τὴν κύστιν. καὶ ταύτην μὲν, οὔ. τὸν δὲ νεφρὸν, λιθιᾷ. αὕτη ἡ νοῦσος γίνεται ἀπὸ φλέγματος, ὁκόταν ὁ νεφρὸς ἐς ἑωυτὸν ἀναλαβὼν φλέγμα, μὴ ἀφίῃ πάλιν, ἀλλ᾽ αὐτοῦ ξυμπωρωθῇ. τοῦτο γίνεται λίθοι λεπτοί, οἷον ψάμμος. τοῦτον ὁκόταν οὕτως ἔχῃ, τῷ ὀπῷ τῆς σκαμμωνίης, ἢ αὐτῇ τῇ ῥίζῃ πυριῆσαι. πρόσθεν δὲ ἅπαν τὸ σῶμα ὑποκαθῆραι. τῇ δὲ ὑστεραίῃ τῷ ἀπὸ τερεβίνθων, λευκῶν χυλῷ ὑποκαθῆραι δύο χοῦσιν, ἅλας δὲ παρεμβαλών, διδόναι πίνειν. μετὰ δὲ ταῦτα ποτοῖσι καὶ βρωτοῖσι καὶ λουτροῖσι μελετᾶν, διδοὺς τὰ αὐτὰ ἃ τῷ στραγγουριῶντι δίδοται φάρμακα. ὁκόταν δὲ ἡ ὀδύνη πιέσῃ, λούειν πολλῷ καὶ θερμῷ. καὶ χλιάσματα προστιθέναι ὅπῃ πονέει μάλιστα. ὁκόταν δὲ ἀποιδήσῃ καὶ ἐξαρθῇ, ὑπὸ τοῦτον τὸν χρόνον τάμνειν κατὰ τὸν νεφρόν. καὶ ἐξελὼν τὸ πῦος, τὴν ψάμμον διουρητικοῖσιν ἰῆσθαι. ἢν μὲν γὰρ τμηθῇ, ἐλπὶς ἐκφυγεῖν. ἢν δὲ μὴ, ἡ νοῦσος τῷ ἀνθρώπῳ συναποθνήσκει. Δευτέρη νοῦσος νεφρῶν. Αἱ μὲν ὀδύναι, ἰσχυρῶς πιέζουσιν ὡς ἐν τῇ πρόσθεν. γίνεται δὲ τὸ νούσημα ἀπὸ ταλαιπωρίης. ὁκόταν ῥαγῇ τὰ φλέβια, τὰ ἐς τὸν νεφρὸν τείνοντα, ἔπειτα ὁ νεφρὸς αἵματος πλησθῇ. οὗτος ὁκόταν ταῦτα πάθῃ, ἐξουρέει αἷμα σὺν τῷ οὔρῳ ἅμα κατ᾽ ἀρχὰς τοῦ νοσήματος. ἔπειτα πύον προϊόντος τοῦ χρόνου. οὗτος ἢν ἡσυχίην ἔχῃ τῷ σώματι, τάχιστα ὑγιὴς ἔσται. ἢν γάρ τι πονήσῃ, αἱ ὀδύναι πολλῷ μᾶλλον ἕξουσιν. ὁκόταν γοῦν ἔμπυος ᾖ ὁ νεφρὸς, ἀποιδέει παρὰ τὴν ῥάχιν. τοῦτον ὅταν οὕτως ἔχῃ, τάμνειν κατὰ τὸ ἀποιδέον. μάλιστα μὲν βαθείην τομὴν κατὰ τὸν νεφρόν. κἢν μὲν τύχῃς ταμὼν, παραχρῆμα ὑγιέα ποιήσεις. ἢν δὲ ἁμάρτῃς, κίνδυνος ἕλκος ἔμμοτον γενέσθαι. ἢν δὲ ξυμφυῇ τὸ ἕλκος, ἐκ πύου ἔσωθεν ἡ κοιλίη ἡ ἀπὸ τοῦ νεφροῦ. κἢν μὲν ῥαγῇ ἔσωθεν καὶ χωρήσῃ κατὰ τὸν ἀρχὸν τὰ πύα, ἐλπὶς ἐκφυγεῖν. ἢν δὲ ψαύσῃ τοῦ ἑτέρου νεφροῦ, κινδυνεύσῃ καταφθαρῆναι. μελετᾶν δὲ φαρμάκοισι καὶ τοῖσιν αὐτοῖσι πᾶσιν, οἷσι καὶ τὸν πρόσθεν. καὶ τὴν δίαιταν τὴν αὐτὴν ἐχέτω. αὕτη δὲ ἡ νόσος χαλεπή. καὶ πολλοὶ ἐκ ταύτης τῆς νόσου ἐς φθίσιν νεφρῖτιδα κατέστησαν. Τρίτη νοῦσος νεφρῶν. Τὸ μὲν οὖρον προσέρχεται, οἷον ἀπὸ κρεῶν βοείων ὀπτῶν χυλός. γίνεται δὲ τὸ νούσημα, ἀπὸ χολῆς μελαίνης, ὁκόταν χολὴ ἐς τὰ φλέβια συῤῥέῃ τὰ τείνοντα ἐς τὸν νεφρόν. καὶ ὁκόταν στῇ, ἑλκοῖ τὰ φλέβια καὶ τὸν νεφρόν. ὑπὸ δὲ τοῦ ἑλκώσιος, τοιοῦτον ὑποχωρέει ἅμα τῷ οὔρῳ. αἱ δὲ ὀδύναι, ἔχουσιν ἐν τῇ ὀσφύϊ. καὶ ἐν τῇ κύστει, καὶ ἐν τῷ περινέῳ. καὶ ἐν αὐτῷ τῷ νεφρῷ, ἐπ᾽ ὀλίγον χρόνον. ἔπειτα ἀνῆκεν ὁ πόνος, καὶ αὖθις ἐπέλαβεν ὀξὺς δι᾽ ὀλίγου. καὶ ἐς τὸ

λεπτὸν τῆς γαστρός ἐστιν ὅτε ὀδύνη ἐμπίπτει. τοῦτον ὁκόταν οὕτως ἔχῃ, ὑποκαθῆραι τὴν κοιλίην, ἐπιθύμῳ, ἢ τῇ σκαμμωνίῃ ῥίζῃ. πίνειν διδόναι τὰ αὐτὰ ἃ καὶ τῷ στραγγουριῶντι. καὶ ὁκόταν ἡ ὀδύνη ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ. χλιάσματα προστιθέντα πρὸς τὸ πονέον μάλιστα. καὶ ῥυφήματι χρεέσθω ἀλεύρῳ ἑφθῷ, μέλι παραχέας. καὶ τῇ ἄλλῃ διαίτῃ χρεέσθω, ὡς διαχωρητικωτάτῃ. καὶ οἶνον πινέτω λευκὸν μένδαιον μελίχρουν. ἢ ἄλλον λευκὸν τὸν ἥδιστον καλῶς κεκρημένον. αὕτη ἡ νοῦσος, οὐ μάλα ἐκλείπει. καὶ τὴν ὥρην ὀῤῥοποτεέτω, καὶ γαλακτοποτεέτω. ἐς κάθαρσιν μὲν τῷ ὀῤῥῷ. τὴν δὲ γαλακτοποσίην ποιεέσθω ἐν ὥρῃ, πέντε καὶ τεσσαράκοντα ἡμέρας. ταῦτ' ἢν οὕτω ποιέῃς, ἐπὶ τὸ κρέσσον διαθήσεις τὴν νοῦσον.

Τετάρτη νοῦσος νεφρῶν. Τὸ μὲν νούσημα γίνεται ἀπὸ χολῆς καὶ φλέγματος. ἐν καιρῷ δὲ τοῦ θέρεος μάλιστα. γίνεται δὲ καὶ ἀπὸ λαγνείης ἡ νοῦσος. οὗτος τάδε πάσχει. ὀδύναι πιέζουσιν αὐτὸν ἐς τὴν λαπάρην, καὶ ἐς τὸν κενεῶνα, καὶ ἐς τὴν ὀσφὺν, καὶ ἐς τοὺς μύας τῆς ὀσφύος. καὶ πάσχει ὁκοῖα γυνὴ ὠδίνουσα. καὶ οὐκ ἀνέχεται ἐπὶ τοῦ ὑγιέος κατακεῖσθαι, ἀλλ' ἄγαν πονέει. καὶ τοῦ κενεῶνος δοκέει κατακρεμᾶσθαι ὡς ἀποῤῥηγνύμενα. ἔπειτα πονέει. ἐπὶ δὲ τὰ πρηνέα ἢν κατακέηται, οὐκ ἀλγέει. οἱ δὲ πόδες καὶ αἱ κνῆμαι αὐτοῦ, ἀεὶ ψυχραί. τὸ δὲ οὖρον μόλις προέρχεται ὑπὸ τῆς φλεγμασίης καὶ παχύτητος τοῦ οὔρου. ἢν μὲν ἐάσῃς αὐτὸ ὀλίγον χρόνον, καταθεὶς ἕως ἂν καταστῇ, ὄψῃ τὸ ὑφεστηκὸς παχὺ, οἷόν περ ἄλευρον. ἢν μὲν χολὴ ἐπικρατέῃ, ὑπόπυῤῥον αὐτὸ ὄψει. ἢν δὲ ἀπὸ φλέγματος ᾖ τὸ νούσημα, λευκὸν καὶ παχὺ ἔσται. καὶ τὸ μὲν πρῶτον ἐς ἐνιαυτὸν, ἢ ὀλίγῳ πλέονα, ἢ ὀλίγῳ ἐλάσσονα χρόνον τοιαῦτα πάσχων διατελέει. ἢν δὲ ἐπιμηκύνηται ἡ νοῦσος, πονέει τε μᾶλλον καὶ ἐμπυοῦται. καὶ ὁκόταν ἔμπυος γενόμενος ἀποιδέῃ, ὅκου ἂν μάλιστα ἀποιδέῃ, τάμνειν ἐς τὸν νεφρὸν καὶ ἀφιέναι τὸ πύα. καὶ ἢν μὲν τύχῃς τάμνων, παραχρῆμα ὑγιέα ποιήσεις. τοῦτον ὁκόταν οὕτως ἔχῃ, τοῖσιν αὐτοῖσι πάθεσι θεραπεύειν, οἷσι κατὰ τὸ πρόσθεν καὶ κατ' ἀρχὰς τῆς νούσου. δεῖ τε καθῆραι καὶ πρὸ τῆς ὑποκαθάρσιος πυριῆσαι καὶ τοῖσι λουτροῖσι πυκνὰ λούειν. ἀλειφέσθω δὲ καὶ θαλπέσθω μᾶλλον. μὴ δὲ ῥιγούτω. καὶ τοῦ ἡλίου ἀπεχέσθω. καὶ μὴ δὲ λαγνευέτω. ταῦτα ἢν ποιέῃ καὶ μὴ τάχιστα ὑγιαίνῃ, οὐ καινὸν, ἡ νοῦσος γὰρ ὡς χαλεπή. ἢν δὲ βούληται ἄνευ φαρμάκων ἰῆσθαι, χρὴ παχὺν ποιῆσαι ἀπὸ διαίτης, ἤν τε ταύτην τὴν νοῦσον κάμνοντα, ἤν τε τῶν προτέρων τινά. τὰ σιτία διελὼν, ἃ μεμαθήκει ἐσθίειν. ἤγουν δώδεκα μερίδας. ἔπειτα μίαν ἀφελὼν μερίδα, τὰ λοιπὰ καταφαγέτω. ὄψον δὲ ἐχέτω, κρέας ὑὸς τετεμμένον. καὶ περιπατεέτω δέκα σταδίους ταύτης τῆς ἡμέρης. τῇ δὲ ὑστεραίῃ καὶ τῇ τρίτῃ μέχρι τῶν δώδεκα ἡμερέων προστιθεὶς μερίδα, ἐλάσσω ἐσθιέτω. καὶ περιπατεέτω δέκα σταδίους ἢ πλείω ἑκάστης ἡμέρης. ὁκόταν δὲ ἐς τὴν ἐσχάτην μερίδα ἀφίκηται τοῦ σιτίου, καὶ ἐς τοὺς ἑκατὸν σταδίους βαδιζέτω. καὶ ἐσθιέτω τὴν μίαν μερίδα μούνην. καὶ ταύτης τῆς ἡμέρης περιπατησάτω τοὺς ἑκατὸν σταδίους. μετὰ δὲ τὸ δεῖπνον, εἴκοσι. ὄρθρου δὲ τεσσαράκοντα. οἶνον δὲ πινέτω, μένδαιον, λευκὸν, αὐστηρόν. ταῦτα δὲ ποιεέτω τρεῖς μῆνας. ἔπειτα τὸν λοιπὸν χρόνον ὑποβαίνων τῶν περιπάτων, καὶ τῶν σιτίων, πλείω ἐσθιέτω. τὸν αὐτὸν τρόπον ὥσπερ ἀφῄρει, οὕτω δὴ προστιθείς. τὸν δὲ περίπατον ἀφαιρέετω, μέχρι τῶν δέκα ἡμερέων. ἔπειτα ἡσυχίην ἐχέτω ὡς μάλιστα. καὶ εὐωχείσθω σιτία τε καθαρὰ, καὶ ὄψα ὡς πιότατα ἐχέτω. καὶ τὰ γλυκέα πάντα, ξύμφορα αὐτῷ. λαχάνων δὲ καὶ ὀξέων πάντων, ἀπεχέσθω καὶ τῶν δριμέων. καὶ ὁκόσα φῦσαν παρέχει. λουέσθω τε πολλῷ καὶ θερμῷ. καὶ μὴ ῥιγούτω. ταῦτ' ἢν ποιέῃ, τάχιστα ὑγιὴς ἔσται.

Ἀπὸ δὲ νεφρίτιδος ἐπιλαμβάνει. ἡ δὲ νοῦσος μεγάλη τῶν φλεβῶν τῶν κοίλων, αἳ τείνουσιν ἀπὸ τῆς κεφαλῆς παρὰ τὰς σφαγὰς διὰ τῆς ῥάχιος, ἐς τὸ σφυρὸν, τὸ ἐκτὸς τοῦ ποδὸς, καὶ ἐς τὸ μεταξὺ τοῦ μεγάλου δακτύλου. τὸ δὲ νούσημα γίνεται μὲν ἀπὸ φλέγματος καὶ χολῆς, ὁκόταν ἐς τὰς φλέβας συῤῥυῇ. αἱ δὲ φλέβες αὗται, αἵματος εἰσὶ πλήρεες. ἢν οὖν τι παρέλθοι ἀλλοῖον ἐς αὐτὰς νοσοῦσι. τάδε οὖν πάσχει. ἢν ἐπὶ τὰ δεξιὰ νοσέῃ ἄρχεται τὴν ὀδύνην παρέχουσα, ἐκ τῆς κοτυληδόνος τοῦ ἰσχίου, κατ' ἀρχάς. ὁκόσῳ δὲ πλείω ὁ χρόνος προΐῃ καὶ ἀπομηκύνηται, ἥ τε ὀδύνη ὀξυτέρη καταβαίνει κατωτέρω. καὶ ὁκόταν ἐς τὸ σφυρὸν ἀφίκηται τὸ ἐκτὸς τοῦ ποδὸς καὶ τὸ μεταξὺ τοῦ μεγάλου δακτύλου, ἄρχεται πάλιν ἐς τὴν κεφαλὴν ἔρχεσθαι. καὶ ὁκόταν ἐς αὐτὴν τὸ ἕλκος στῇ, πιέζει ἰσχυρῶς. καὶ δοκέει ὁ ἄνθρωπος διαῤῥήγνυσθαι τὴν κεφαλήν. καὶ οἱ ὀφθαλμοὶ φλέγματος πληροῦνται, καὶ τὸ πᾶν σῶμα. τοῦτον ὅταν οὕτως ἔχῃ, ἐλατήριον πίσαι, ἢ θαψίης ῥίζαν, ἢ ἐλλεβόρου, ἢ ὀπὸν σκαμμωνίης. μετὰ δὲ τὴν κάθαρσιν ταῦτα προσφέρειν, ἃ καὶ τοῖσι πρόσθεν. ἢν δὲ μὴ ὑπὸ ταύτης τῆς θεραπείης παύηται, γάλακτι παχυνάσας, καῦσαι κάτω τὴν ὠμοπλάτην τὴν δεξιὴν, τέσσαρας ἐσχάρας. καὶ ἐς τὴν κοτυληδόνα τοῦ ἰσχίου τοῦ δεξιοῦ, τρεῖς. καὶ ὑπὸ τὸν γλουτὸν, δύο. καὶ ἐν τῷ μέσῳ τοῦ μηροῦ, δύο. καὶ ὑπὲρ τοῦ γούνατος, μίαν. καὶ ὑπὲρ τοῦ σφυροῦ, μίαν. οὗτος ἢν οὕτω καυθῇ, οὐκ ἀφίησιν οὔτε ἄνω οὔτε κάτω τὴν νοῦσον διαχωρέειν. ἢν δέ κου ἡ ὀδύνη ὀφθῇ, ῥαγεῖσα. ἢν μὲν στηρίξῃ ἐς τὸ σκέλος

πρὶν ἢ καυθῆναι, χωλὸς ἔσται. ἢν δὲ ἐς τὴν κεφαλὴν, κωφὸς ἢ τυφλός. ἢν δὲ ἐς τὴν κύστιν καὶ προχωρέῃ ἅμα τῷ οὔρῳ αἵματος μάλιστα, τεσσαράκοντα ἡμέρας. ἀλλὰ χρὴ ἢν ἐς τὴν κύστιν ῥαγῇ, διδόναι τὰ αὐτὰ φάρμακα, ἃ καὶ τῷ στραγγουριῶντι. καὶ ἤν κου ὀδύνη ἀλιθῇ, καῦσαι. καίειν δὲ χρὴ, τὰ μὲν σαρκώδεα σιδηρίοισι. τὰ δὲ ὀστώδεα καὶ νευρώδεα, μύκησι. πλὴν τάδε πρότερον τούτων χρὴ ποιῆσαι. ἢν κατ' ἀρχὰς τῇ νούσῳ παραγένῃ, ἐς μὲν τὸ ποτὸν χρὴ διδόναι, οἶνον λευκὸν μένδαιον, ὑδαρέστερον ὡς πλεῖστον μεθ' ἡμέρην. καὶ μεθυσκέσθω ἄχρις ἂν αἱμοῤῥαγήσῃ κατὰ τὰς ῥῖνας. ὁκόταν δὲ ἄρξηται ῥέειν, τὸ ἐλάχιστον ἡμέρας ῥέει, δέκα ἢ τρεῖς. ὅταν δὲ αὗται αἱ ἡμέραι διέλθωσι, μηκέτι μεθυσκέσθω, μὴ δὲ ὅταν ἄρξηται ἅπαξ ῥεῖν. πινέτω μέντοι ὀλίγῳ πλέονα τὸν οἶνον ἐπὶ σιτίῳ, ὅκως ἂν ῥέῃ τὸ αἷμα. ἤδη δέ τισι παυσαμένου τοῦ αἵματος, ἐῤῥάγη ἐς τὴν κύστιν καὶ ἐχώρησεν αἷμα καὶ πύα. ἢν γοῦν ῥαγῇ, διδόναι τὰ αὐτὰ φάρμακα, ἃ καὶ τῷ στραγγουριῶντι. καὶ ἀπὸ τοῦ αὐτοῦ οἴνου διδόναι πλέον πιεῖν. οὗτος οὕτω μελετώμενος, καὶ τὰ σιτία προσφερόμενος διαχωρητικὰ, καὶ τὰ ὄψα, τάχιστα ὑγιὴς ἔσται. ἡ δὲ νοῦσος χαλεπή.

Ἄλλη ἀπὸ τῆς ἀριστερῆς φλεβός. τὰ μὲν ἄλλα πλῆθος τὰ αὐτὰ πάσχει, ἃ καὶ ὁ πρόσθεν. ἐς δὲ τὸν σπλῆνα ὀδύνη στηρίζει ὀξέη εὐθὺς, καὶ κατ' ἀρχὰς τοῦ νοσήματος. καὶ ἢν μὴ ξυνίῃ παραχρῆμα πρὶν καταστηρίξῃ ἀλλ' ἢ ἐς τὸν πνεύμονα, μύκησι καῦσαι ὀκτὼ ἐσχάρας, τὰς κεφαλὰς ἀπολαβὼν τοῦ σπληνὸς, ὡς τάχιστα. καὶ ὅκου ἂν ἄλλη ὀδύνη καταστηρίξῃ, καῦσαι. καὶ οὕτω παραχρῆμα ὑγιὴς ἔσται. ἢν δὲ μὴ καυθῇ, ὑγιὴς δὲ γένηται ἀπὸ ταὐτομάτου, τοῖσι πουλλοῖσι μετὰ δυοκαίδεκα ἔτη, ἡ νοῦσος αὖθις τοῦ σπληνὸς, τοῖσι πολλοῖσιν ὕδερον ἐποίησεν. ἀλλὰ χρὴ παραχρῆμα θεραπεύειν ὡς τὴν πρόσθεν. καὶ ἢν δοκέῃ, καῦσαι ὥσπερ δὴ καὶ τὸν πρότερον. ἢν ἡ ὀδύνη καθεστήκῃ ἐν τοῖσιν αὐτοῖσιν ἄρθροισιν. ἢν δὲ μὴ οὕτω μελετηθῇ, τὸ λοιπὸν τηκόμενος θνήσκει. ἡ γὰρ νοῦσος χαλεπή.

Περὶ δὲ τοῦ φλέγματος, τὰς αὐτὰς γνώμας ἔχω, ἃς καὶ περὶ χολῆς, καί φημι τὰς ἰδέας αὐτοῦ πολλὰς εἶναι. καὶ τὸ μὲν ἐπιδήμιόν ἐστι, τὸ δὲ, νεώτατον. οὗ καὶ ἡ ἴησις ῥάστη. ἐμέτους γὰρ δεῖ ποιέεσθαι μετὰ τὸ σιτίον ἡμέρας δύο ἢ τρεῖς προσαιρεσθῶντα καὶ ἡσυχάζοντα, ἢν εἰωθῇ τὰς πρόσθεν ἡμέρας, μονοσιτέειν καὶ ταλαιπωρέειν. ἢν δὲ μὴ τοιαύτῃ διαίτῃ χρεέσθω. πρῶτον λουέσθω πολλῷ καὶ θερμῷ, ὁκόταν μέλλῃ ἔμετον ποιέεσθαι. καὶ ἐσθιέτω μάζαν φυστήν. καὶ ἄρτον ἐξόπτον ἐν ὠλ.ν. ἕλκει γὰρ ἂν μᾶλλον ταῦτα τὸ φλέγμα. ὄψοισι δὲ χρεέσθω, καὶ λαχάνοισι δριμέσι. καὶ τὰ λιπαρὰ καὶ τὰ γλυκέα καὶ ὀξέα. ταῦτα πάντα ἐπιτήδεια ξυμμεμιγμένα προσφέρεσθαι, καὶ τοῖσι λαχάνοισι πᾶσι χλωροῖσι χρεέσθω. καὶ πινέτω ἐπὶ τῷ σιτίῳ ὀλίγον. πυκνὰ, οἶνον γλυκύν. καὶ πλακοῦντος ἐπιφαγέτω ἐπὶ τελευτῆς, καὶ μέλι καὶ σῦκα. καὶ ὁκόταν δειπνήσῃ, πινέτω λάβρως τὰς κύλικας. καὶ ὁκόταν ἤδη πλήρης ᾖ, κατακοιμηθήτω ὀλίγον, εἶτα ἐπεγερθεὶς ἐμεέτω, πιὼν οἴνου μεγάλην κύλικα, καὶ ἐν χλιαρῷ ὕδατι κεκρημένην. ἕλκει γὰρ μᾶλλον τὸ φλέγμα ἐκ τῶν σαρκῶν καὶ τὸν χυμὸν, καὶ ξηραίνει μᾶλλον τὸ σῶμα. ἐξεμεέτω δὲ, ἕως ἂν τὰ σῦκα ἐξεμέσῃ, ὕστατα γὰρ ταῦτα ἐξιμέθ. ταῦτα μὲν τῇδε. τῇ δὲ ὑστεραίῃ, συνεχέτω ἑωυτὸν, μέχρι δείπνου. καὶ δειπνεέτω ἄρτον τὸν αὐτὸν πυρίτην. τὸ δὲ ὄψον ἔστω ἀπὸ τῶν ἰσχυροτέρων. οἶνον δὲ πινέτω μέλανα αὐστηρόν. αὕτη μὲν οὖν τοῦ ἐπιδημίου φλέγματος ἡ ἴησις. ἢν δὲ δυνατὸς ἐὼν ἐσθίειν καὶ πίνειν, καὶ ἥδεται τοῖσι σιτίοισιν, εἶτα τὰ σκέλεα βαρύνοιτο, κἂν ἡ χροιὴ μετηλλαγμένη ᾖ, τούτῳ φαίην ἂν ἐν τῇ κοιλίῃ φλέγμα τὸ λυπέον εἶναι. ἀλλὰ χρὴ ὁκόταν οὕτως ἔχῃ, μέλιτι καὶ οἴνῳ γλυκεῖ, καὶ ἐλαίῳ, καὶ νίτρου ὁκόσον κλείει οἷος ἀστράγαλος παραμίξας. ταῦτα γὰρ τῇ φύσει τοῦ ἀνθρώπου εὐμενέστατα εἰς τὸν κλυσμόν. μέτρον δὲ χρὴ ἑκάστου εἶναι. τοῦ μὲν οἴνου κοτύλην. ἡμικοτύλιον δὲ ἐλαίου. καὶ μέλιτος ἴσον. ἢν δὲ μὴ κλύζειν βούλῃ, δίυγρον χρὴ τὸν ἄνθρωπον ποιῆσαι, πυριήσαντα ἐν ὑγρῇ τῇ πυρίῃ. τάχα γὰρ ἂν καὶ οὕτως ὑποκενωθῇ ἡ κόπρος. ὑπὸ γὰρ τῆς ὑπερξηρασίης τῶν σιτίων, ταῦτα πάσχει. ἢν μὲν οὖν τις ἐσθίῃ τὰ σιτία λίην ἔγχυλα, οὐδ' ἂν ἴσως πάσχῃ ταῦτα οὕτω σφόδρα. ἢν δὲ καὶ πάσχοι ποτὲ, ὀλίγης ἂν ἰήσιος δέοιτο. τοῦτον οὕτως ἰώμενος, τάχιστα ἂν ὑγιέα ποιήσῃς.

Ἢν δὲ τύχῃ παλαιότερον ἐὸν φλέγμα, λευκὸν δὲ καλέεται τοῦτο τὸ φλέγμα, πάσχει τάδε. βαρύνει τὸν ἄνθρωπον μᾶλλον, καὶ ἰδέην ἀλλοίην ἔχειν τοῦ ἐπιδημίου δοκέεται ὠχροτέρην. καὶ οἰδέει οἰδήματι πᾶν τὸ σῶμα, καὶ τὸ πρόσωπον ἐρεύθει. καὶ τὸ στόμα ξηρόν. καὶ δίψα ἐπέχει. καὶ ὁκόταν φάγῃ τὸ πνεῦμα πυκνὸν ἐπιπίπτει αὐτῷ. οὗτος τῆς αὐτῆς ἡμέρης, ποτὲ μὲν, γίνεται ῥάων, ποτὲ δὲ, πονέει ἐξαπίνης, καὶ δοκέει ἀποθανέεσθαι. τούτῳ ἢν μὲν ἡ γαστὴρ αὐτομάτη ταραχθῇ, ἐν τουτέῳ ὑγιὴς ἔσται. ἢν δὲ μὴ ταραχθῇ αὐτομάτη ἡ κοιλίη, καθαίρειν δεῖ διδόντα τοῦ κνεώρου, ἢ τοῦ ἱπποφέως ἢ τοῦ κνιδίου κόκκου, ἢ τῆς μαγνήσσης λίθου. καὶ μετὰ τὴν κάθαρσιν, φακῆς δοῦναι τρυβλίον ῥοφέειν, ἓν ἢ δύο. συνεψέσθω δὲ ἐν τῇ φακῇ σκόροδα. καὶ τεῦτλον λιπαροῦ ἀνήθου τρυβλίον, ἐπ' ἀλφίτων περιπάσαντα. πινέτω δὲ οἶνον μέλανα αὐστηρόν τε καὶ ἰσχυρόν. τῇ δὲ ὑστεραίῃ, περιπατείτω σταδίους εἴκοσι τὸ ἑωθινόν. ἐλθὼν δὲ, φαγέτω ἄρτον μικρὸν ἐξοπτὸν καὶ ὄψον ἐχέτω σκόροδα ἑφθά. καὶ πινέτω τοῦ αὐτοῦ οἴνου ὀλίγον ἀκρητέστερον. ἐ-

τα βαδιζέτω σταδίους τριήκοντα. καὶ ὁκόταν ὥρη ᾖ, δειπνεέτω ὁκόσον περ καὶ εἴθισο ἀριστῆν. ὄψον δὲ ἐχέτω μάλιστα μὲν, πόδας συὸς καὶ κεφαλάς. εἰ δὲ μὴ, ἀλεκτρυόνος κρέασιν, ἢ ὑὸς περιμμένοισι χρεέσθω. ἰχθύων δὲ, σκορπίῳ, ἢ δρακοντίῳ, ἢ κόκκυγι, ἢ καλλιωνύμῳ, ἢ κωβιῷ, ἢ τῶν ἄλλων ἰχθύων, ὁκόσοι τὴν ἴσην δύναμιν ἔχουσι. λαχάνοισι δὲ χρεέσθω, σκορόδοισι μόνοις, καὶ ἄλλῳ τῶν λαχάνων μηδενί. ταῦτα δὲ ὡς πλεῖστα τρωγέτω, καὶ ὠμὰ, καὶ ὀπτὰ, καὶ ἑφθὰ, αἰεὶ πλέω ἑκάστης ἡμέρης. καὶ ταλαιπωρεέτω πρὸς τὰ σιτία τεκμαιρόμενος καὶ διὰ ὀλίγου πλέον. τοῦτο τὸ νούσημα μάλιστα γίνεται, θέρεος ὥρῃ ἀπὸ ὑδροποσίης, ἔτι δὲ καὶ ὕπνων πολλῶν. κρίνεται δὲ ἐν διήκοντα ἡμέρῃσιν, εἰ θανάσιμον, ἢ οὔ. ταῦτα μὲν ποιεέτω, ὁκόταν αἱ τριάκοντα ἡμέραι παρέλθωσιν. ἐν δὲ τῇσι πρώτῃσι τῶν ἡμερέων, ῥοφήμασι διαχρεέσθω, φακῇ ἑφθῇ, ἐπιεικεστέρῃ τῷ ὄξει. καὶ πτισάνῃ ὀξείῃ. πινέτω δὲ χλιαρὸν μελίκρητον, ἀλφίτων ἐπιπάσσων ὀλίγα, ἵνα γοῦν ὠργισμένον τὸ σῶμα ᾖ πρὸς τὴν φαρμακοποσίην. καὶ εὑδέτω ὑπαίθριος ταύτας τὰς ἡμέρας. καὶ ἢν σοι δοκέῃ τοῦ αἵματος ἀφελεῖν ἀπὸ τῆς ὀσφύος, σικύην προσβαλεῖν, καὶ τὰς ἐν τῇ ὀσχῇ φλέβας σχάσαι τὰς παχυτάτας. οὗτος οὕτω θεραπευόμενος, τάχιστα ὑγιὴς ἔσται. Γίνεται ἀπὸ φλέγματος μάλιστα ἐς ὕδερον, τρόπῳ τοιῷδε. ἡ πιμελὴ συντήκεται, καὶ γίνεται ὑπὸ τοῦ καύματος τοῦ ἐν τῷ φλέγματι ἐόντος, ὕδωρ. γνώσῃ δὲ τοῦτο, ὅς τις δυνατός ἐστιν ἰῆσθαι καὶ ὅς τις μή. ἕως γὰρ αὐτῆς ἐπὶ τῷ ἤτρῳ ἔχει πιμελὴν, ἀδύνατόν ἐστιν ἰηθῆναι. γνώσῃ δὲ τούτοισι μάλιστα, εἰ ἔπεστι πιμελὴ ἐπὶ τῷ ἤτρῳ ἢ οὔ. ἢν μὲν πυρετοὶ ἐπιγίνωνται καὶ μὴ δύναται ἀνίστασθαι, καὶ ὁ ὀμφαλὸς ἔξω ὑπέχῃ πεφυσημένος, φάναι μηκέτι ἐπεῖναι πιμελήν. ἢν δὲ πυρετὸς μὴ ἐπιγίνηται, καὶ ἀδύνατος ᾖ ἀνίστασθαι καὶ ὁ ὀμφαλὸς μὴ ὑπέχῃ, φάναι ἐπεῖναι πιμελήν, καὶ ἰήσιμον εἶναι. τούτῳ ξυμφέρει τὴν κοιλίην ξηραίνειν. διδόναι μὲν ἄρτον αὐτοπυρίτην, δίωλον θερμόν. ὄψον δὲ λαγωοῦ κρέας. καὶ κυνὸς τελείου. καὶ ὄϊος. καὶ ὑὸς ὡς ὀπτά. καὶ ἀλεκτρυόνος ὡς ὀπτὰ καὶ θερμά. καὶ πολύποδας ἐσθιέτω ἑφθοὺς, ἐν οἴνῳ μέλανι αὐστηρῷ. οἶνον δὲ πινέτω μέλανα ὡς παχύτατον καὶ στρυφνότατον. ἰχθύων δὲ χρεέσθω, κωβιῷ, δράκοντι, καλλιωνύμῳ, κόκκυγι, σκορπίῳ, καὶ ἄλλοισι τοῖσι τοιούτοισι, πᾶσι ἑφθοῖσι, ἑώλοισι, καὶ ψυχροῖσιν. ὡς ξηρότατοι γὰρ οὗτοι μάλιστά εἰσι. καὶ ἐς τὸν ζωμὸν μὴ ἐμβαπτέσθω. καὶ ἄναλτοι ἔστωσαν οἱ ἰχθύες. λαχάνων δὲ χρεέσθω, ῥαφανίοισι καὶ σελίνοισι. ὀπτήτω δὲ φακῆν τῷ ὄξει ἐπιεικεστέρην, καὶ ἐσθιέτω. καὶ περιπατεέτω καθ' ἡμέρην. καὶ μετὰ τὸ δεῖπνον καὶ ὄρθρου καὶ ὄλιος εὑδέτω. καὶ πρωῒ διεγειρέσθω. κἢν μὲν ὑπὸ τούτων καθίσηται, ἅλις. ἢν δὲ μὴ, πίσαι αὐτὸν κνέωρον, ἢ ἱπποφεὼς τὸν ὀπόν. ἢ κνίδιον κόκκον. καὶ μετὰ τὴν κάθαρσιν, φακῆς δύο τρυβλία ἐπιρροφεέτω. καὶ ἄρτον μικρὸν καταφαγέτω. οἶνον δὲ πινέτω μέλανα, στρυφνὸν ὀλίγον. πινέτω δὲ φάρμακον δὶς τῆς ἡμέρης, ἕως ἂν λαπαρὸς γένηται. ἢν δὲ τὸ οἴδημα καθεστήκῃ ἐν τῇ ὀσχῇ, καὶ τοῖσι μηροῖσι, καὶ τῇσι κνήμῃσι κατασχᾶν χρὴ ὀξέϊ τῷ μαχαιρίῳ πολλὰ πυκνά. ταῦτα ἢν ποιέῃς ταχὺ ὑγιέα ποιήσεις.

Ὕδερος.

Ὁ δὲ ὕδερος ἀπὸ τῶνδε γίνεται. ὁκόταν θέρεος ὥρῃ διψήσας, ὕδωρ πουλὺ πίῃς. ἔπειτα ἐκ τῶνδε γίνεσθαι φιλέει μάλιστα. καὶ ὁ πνεύμων ἐκπλησθῇ, ἀφίησιν αὖθις ἐς τὰ στήθεα. καὶ ὁκόταν ἐν τοῖσι στήθεσι γένηται, καῦμα παρέχει σφόδρα ὥστε τήκειν τὴν πιμελὴν, τὴν ἐπὶ τῇσιν ἀρτηρίῃσιν ἐνεοῦσαν. καὶ ἢν ἅπαξ ἄρξηται τήκεσθαι τὸ στέαρ πουλὺ πλέον, ἐν ὀλίγῳ χρόνῳ τὸν ὕδερον ἐποίησε. γίνεται δὲ καὶ ἢν φύματα ἐν τῷ πλεύμονι ἐμφυῇ, καὶ πλησθῇ ὕδατος, καὶ ῥαγῇ ἐς τὰ στήθεα. ὡς δὲ γίνεται καὶ ἀπὸ φυμάτων ὕδερος, τόδε μοι μαρτύριον, καὶ ἐν βοΐ, καὶ ἐν κυνὶ, καὶ ἐν ὑΐ. μάλιστα γὰρ τῶν τετραπόδων ἐν τούτοισι γίνεται φύματα ἐν τῷ πλεύμονι ἅπερ ἔχουσιν ὕδωρ. διατάμων γὰρ, γνοίης τάχιστα. ῥεύσεται γὰρ ὕδωρ. δοκέει δὲ καὶ ἐν ἀνθρώπῳ γίνεσθαι τοιαῦτα πολλῷ μᾶλλον, ἢ ἐν προβάτοισιν, ὁκόσῳ καὶ τῇ διαίτῃ ἐπινόσῳ χρεόμεθα μᾶλλον. ἐγένοντο δὲ πολλοὶ καὶ ἔμπυοι φυμάτων ἐγγινομένων. τάδε οὖν κατ' ἀρχὰς τῷ νουσήματι ἐπιγίνεται. βὴξ ξηρή. καὶ ὁ φάρυγξ δοκέει κέρχνειν. καὶ ῥῖγος καὶ πυρετὸς ἐπιγίνεται, καὶ ὀρθοπνοίη. καὶ ὠχρὸς ἐπιεικέως. καὶ οἱ πόδες οἰδέουσι. καὶ οἱ ὄνυχες ἕλκονται. καὶ ἕως μὲν ᾖ ἐν τῇ ἄνω κοιλίῃ ὁ ὕδερος, ἐν ᾗ ὁ πόνος ὀξύς. ἐπειδὰν δὲ ἐς τὴν κάτω κοιλίην ἔλθῃ, δοκέει ῥάων εἶναι. ἔπειτα πάσχει προϊόντος τοῦ χρόνου, οἷα περ πρόσθεν, πιμπλαμένης τῆς κοιλίης. ἔστι δ' ὅτε καὶ ἀποιδέει πρὸς τὸ πλευρὸν, καὶ δηλοῖ ᾗ χρὴ τάμνειν. ἢν δὲ μὴ ἀποδηλοῖ, λούσας πολλῷ καὶ θερμῷ τῶν ὤμων λαβόμενος, σεῖσον. εἶτ' ἀκροᾶσθαι ἐν ὁκοτέρῳ ἂν τῶν πλευρέων μᾶλλον κλύζηται. ξυνεὶς δὲ, τάμνειν τὴν πλευρὴν τὴν τρίτην, ἀπὸ τῆς νεάτης μέχρι τοῦ ὀστέου. εἶτα τρυπῆσαι πρῶτον τρυπάνῳ φυλλητηρίῳ. καὶ ὁκόταν τρυπηθῇ, ἀφεῖναι τοῦ ὕδατος ὀλίγον. καὶ ὁκόταν ἀφῇς, μοτῶσαι ὠμολίνῳ. καὶ ἄνωθεν ἐπιθεῖναι σπόγγον μαλθακόν. εἶτα καταδῆσαι ὅπως μὴ ἐκπέσῃ ὁ μοτός. ἀφιέναι δὲ χρὴ δυοκαίδεκα ἡμέρας τὸ ὕδρωπα, ἅπαξ τῆς ἡμέρης. μετὰ δὲ τὰς δυοκαίδεκα ἡμέρας, τῇ τρισκαιδεκάτῃ ἅπαν ἀφιέναι τὸ ὕδωρ. καὶ τὸν λοιπὸν χρόνον ἢν ὑποτείνηται ὕδατος ἀφιέναι. καὶ τὴν κοιλίην τοῖσι σιτίοισιν ἀποξηραίνειν. τάδε δὲ δεῖ μετὰ τὴν τμῆσιν διδόναι. σκευάσας ὀποῦ σιλφίου δραχμῆς σταθμόν. καὶ ἀριστολοχίης. κνήκου ὁκόσον ἀστρά-

γαλον ἐλάφου. καὶ φακῶν καὶ ὀρόβων πεφρυγμένων ἄλφιτα καθαρὰ ὁκόσον ἡμιχοίνικον ἑκατέρων, ξυμφυρῆσαι ταῦτα μέλιτι καὶ ὄξει. εἶτα πλάσαι κόλλικας ἑξήκοντα, καὶ καθ' ἑκάστης ἡμέρης τρίβων ἕνα, διεῖναι οἴνου μέλανος ἡμικοτυλίῳ, αὐστηρῷ ὡς ἥδιστα. εἶτα διδόναι νήστει πιεῖν. τὴν δὲ ἄλλην δίαιταν καὶ ταλαιπωρίην, τὴν αὐτὴν κελεύειν διατελέσθαι, ἣν καὶ τὸν πρόσθεν χρόνον. καὶ ἢν οἰδήσῃ τὰ αἰδοῖα καὶ τοὺς μηροὺς θαρσέως καταχᾶν. τοῦτον ἢν οὕτω μελετᾷς, τάχιστα ὑγιῆ ποιήσεις.

Ὕδερος ἀπὸ τοῦ ἥπατος.

Ἀπὸ τοῦ ἥπατος ὕδερος γίνεται, ὁκόταν ἐς τὸ ἧπαρ φλέγμα ἐπιγένηται. καὶ ἀναλάβῃ τὸ ἧπαρ καὶ ὑγρανθῇ, εὐθὺς οὖν καῦμα τούτῳ παρέχει, καὶ φῦσαν ἐμποιέει. ἔπειτα δὲ χρόνῳ, ὕδατος πίμπλαται. κἄπειτα διηγμὸς ἐς τὸ σῶμα ἐμπίπτει. καὶ οἴδημα ἐν τῇσι κνήμῃσι, καὶ ἐν τοῖσι ποσὶν ἔνεστι. καὶ τὸ ἧπαρ σκληρὸν καὶ οἰδέει. καὶ αἱ κληῗδες λεπτύνονται. τούτῳ ὁκόταν οὕτως ἔχῃ, κατ' ἀρχὰς τοῦ νοσήματος διδόναι αὐτέῳ ἢν ἀλγέῃ τὸ ἧπαρ, ὀρίγανον τρίβων. ὀπόν τε σιλφίου, ὁκόσον ὄροβον, διεὶς ἐν οἴνῳ λευκῷ, ἡμικοτυλίῳ πίνειν. καὶ γάλα αἰγὸς τρίτον μέρος μελικρήτου παραμίσγων τετρακότυλον κύλικα. σιτίων δὲ ἀπεχέσθω τὰς πρώτας ἡμέρας δέκα. αὗται γὰρ κρίνουσι τὸ νούσημα εἰ θανάσιμον ἢ οὔ. ῥυμφανέτω δὲ πτισάνης χυλὸν, καὶ ἑφθὸν μέλι παραχέων. οἶνον δὲ πινέτω λευκὸν μαλθακὸν, ἢ ἄλλον τὸν ἥδιστον ὑδαρέα. ὁκόταν δὲ αἱ δέκα ἡμέραι παρέλθωσι, σιτία προσφερέσθω καθαρά, καὶ ὄψον ἐχέτω, καὶ ἀλεκτρυόνος κρέα ὀπτὰ θερμά. ἐχέτω δὲ καὶ σκύλακος ἑφθά. ἰχθύσι δὲ γαλαίῳ καὶ νάρκῃ χρεέσθω ὀπτοῖσιν. οἶνον δὲ τὸν αὐτὸν πινέτω. κἢν μὲν ἀπὸ τούτων καύσηται, ἅλις. ἢν δὲ μὴ, ἐπεὶ γοῦν αὐτὸς ἑωυτοῦ παχύτατος ᾖ, καὶ τὸ ἧπαρ μέγιστον, καῦσαι μύκησιν. οὕτω γὰρ ἂν τάχιστα ὑγιέα ποιήσαις. καῦσαι δὲ χρὴ ἐσχάρας ὀκτώ. ἢν δὲ ὁ ὕδερος ἐσδύηται, καὶ ῥαγῇ ἐς τὴν κοιλίην, τοῖσιν αὐτοῖσιν ἰῆσθαι, οἷσι καὶ τὰ πρόσθεν φαρμάκοισι καὶ ποτοῖσι, καὶ βρωτοῖσι, καὶ ταλαιπωρίῃσιν. οἶνον δὲ πινέτω μέλανα αὐστηρόν. ἢν δέ σοι δοκέῃ ἀφίστασθαι τοῦ ἥπατος, καῦσαι ὅκου φανῇ σιδηρίῳ. καὶ ἀφιέναι τοῦ ὕδατος κατ' ὀλίγον. καὶ ἰῆσθαι ὡς καὶ τὰ λοιπὰ πρόσθεν. ἢν δὲ μὴ ὑπὸ τούτων ὑγιὴς γένηται, φθειρόμενος θνήσκει χρόνῳ. ἡ γὰρ νοῦσος χαλεπή, καὶ παῦροι ταύτην διαφυγγάνουσιν.

Ὕδερος ἀπὸ τοῦ σπληνός.

Ὁ δὲ ὕδερος ὁ ἀπὸ τοῦ σπληνὸς, γίνεται τρόπον τοιόνδε, καὶ ἀπὸ τῆς τοιαύτης προφάσιος μάλιστα, ὁκόταν φάγῃ σύκων χλωρῶν καὶ μήλων ὀπώρην πολλήν. πολλοὶ δὲ ἤδη καὶ ἀπὸ τροφῆς βοτρύων πουλλῶν καὶ πουλλοῦ γλεύκους, τὴν νοῦσον ἔλαβον. κἢν μὲν οὖν μέλλῃ ἐς τὸ νούσημα ἐμπεσεῖσθαι, παραχρῆμα ἐν τοῖσι πόνοισιν ἐστίν. ὀδύναι τε γὰρ ὀξεῖαι ἐν τῷ σπληνὶ καθεστᾶσι. μεταπίπτουσι δὲ καὶ ἐς τὸν ὦμον, καὶ ἐς τὴν κληῗδα, καὶ ἐς τὸν τιτθὸν, καὶ ἐς τὸν λαγόνα. καὶ πυρετοὶ ἔχουσιν ἰσχυροί. καὶ μικρόν τι κἢν φάγῃ, ἡ γαστὴρ πίμπλαται. καὶ ὁ σπλὴν αἴρεται καὶ ὀδύνην παρέχει. τοῦτο ἢν χρονίσῃ τὸ νούσημα, τὸν μὲν ἄλλον χρόνον, ἧσσον πονέει. ὁκόταν δὲ ὀπώρη ᾖ καὶ φάγῃ ταύτην, ἀντὶ τοῦ πρόσθεν μᾶλλον πονέει. τούτῳ ὁκόταν ὧδε ἔχῃ, κατ' ἀρχὰς μελετᾶν, ἄνω μὲν ἐλλέβορον δοῦναι. κάτω δὲ, κνέωρον, ἢ ἱπποφεὼς ὀπὸν, ἢ κνίδιον κόκκον. καὶ γάλα ὄνειον, ὀκτὼ κοτύλας μέλι παραχέων. κἢν μὲν ἀπὸ τουτέων καθίσηται, ἅλις. ἢν δὲ μὴ, ὁκόταν μέγιστος ᾖ ὁ σπλὴν καὶ οἰδέῃ μάλιστα, καῦσαι μύκησι τὰς κεφαλὰς ἀπολαβών. ἢ σιδηρίοισι μετὰ φυλακῆς πουλλῆς καὶ τηρήσιος, ὅκως μὴ πέρην διακαύσῃς. ταῦτα δὲ κατ' ἀρχὰς ποιέειν τοῦ νοσήματος, καὶ τήνδε τὴν δίαιταν προσφερέσθω, πυρετοῦ μὴ ἔχοντος. ἄρτῳ μὲν χρεέσθω πυρίνῳ ὀπτῷ, ἢ τῶν σκληρῶν πυρῶν, διπυρίτην. ὄψον δὲ ἐχέτω, τάριχος γαδειρικὸν, ἢ σαπέρδην. καὶ κρέας τεριμμένον οἰός. καὶ τὰ ὀξέα καὶ τὰ ἁλμυρὰ πάντα ἐσθιέτω. καὶ πινέτω οἶνον αὐστηρὸν κἂν ὡς μελάντατον. τῶν δὲ γλυκέων ἀπεχέσθω. ἢν δὲ ἐξανίσταται καὶ δύνηται, παλαιέτω ἐπ' ἄκρων τῶν ὤμων. καὶ ταλαιπωρεέτω περιόδοισι πολλῇσι δι' ἡμέρης. καὶ διαχεέσθω ἅπερ εἴρηται. Ἢν δὲ ὕδερος γένηται, ἰῆσθαι κατὰ ταῦτα καὶ τοῖσιν αὐτοῖσιν, οἷς καὶ τὸν πρόσθεν. ὁ δὲ ὕδερος ἀπὸ τῶνδε γίνεται. θέρεος ὥρην, ἢν ὁδοιπορέων ὁδὸν μακρὴν, ἐπιτύχῃ ὀμβρίῳ ὕδατι καὶ στασίμῳ, καὶ πίῃ αὐτοῦ ἐπασσύδην, πουλλόν. ἢν οὖν αἱ σάρκες ἀναπίωσι καὶ ἴσχωσιν ἐν ἑωυτῇσι τὸ ὕδωρ, ὑποχώρησις δὲ μὴ γένηται μηδεμή, τάδε πάσχει. ἢν μὲν ᾖ ἐν τῇ σαρκὶ, καῦμα παρέχῃ, ἔν τε τῇ κοιλίῃ καὶ ἐν τῷ σώματι. ὥς τε τὸ στέαρ τὸ ἐπὸν τῇ κοιλίῃ, τήκεται. οὗτος τέως μὲν ἢν βαδίζῃ, οὐδὲν δοκέει κακὸν ἔχειν. ὁκόταν δὲ παύσηται βαδίζων καὶ ὁ ἥλιος δύῃ, παραχρῆμα τὸν πόνον παρέχει πουλύν. προϊούσης δὲ τῆς νούσου, λεπτύνεται σφόδρα. ἢν δὲ καὶ ἀσιτίη ἐπιγίνηται, πουλλῷ πλέον λεπτύνεται. ἢν δὲ τὰ σιτία μὲν ἐσθίειν μὴ δύνηται, ταλαιπωρέειν δὲ ἀδυνάτως ἔχῃ καὶ ἐπὶ πλέον σίνεται, τοῖσι πολλοῖσι τουτέων καὶ οἴδημα καθίσταται ἐς ὅλον τὸ σῶμα. καὶ τῷ μὲν λεπτῷ ἡ χροιὴ πελίη γίνεται. καὶ ἡ γαστὴρ μεγάλη. καὶ δίψα ἔχει ἰσχυρή. καὶ τὰ σπλάγχνα αὐτέου ξηραίνεται ὑπὸ τῆς θέρμης. τοῦ δὲ χρόνου προϊόντος, ἐς μὲν τὸ ἐσθίειν πρόθυμος ᾖ, καὶ ἐσθίει ὅπερ ἄν τις διδῷ. καὶ πίνει. καὶ ἀλγέει οὐδέν. ἢν δὲ τὸ οἴδημα κατέχῃ, ἡ χροιὴ γίνεται τουτέῳ ὠχρή. καὶ διὰ τοῦ σώματος φλέβες διατέτανται μέλαιναι πυκναί. θυμαίνει δὲ καὶ λυπέεται ἐπὶ παντὶ, οὐδενὸς νεωτέρου ἐόντος. ἡ δὲ γαστὴρ δι' ὕδρωπος καὶ μεγά-

λη ὥσπερ λαπτήρ. καὶ τοῦ χρόνου προϊόντος, τὰ σιτία οὐ προσίεται. ἀλλὰ δοκέει αὐτῷ ὄζειν σικύου ἀγρίου ἀπὸ τῆς βδελλυγμίης. τοῦτον ὁκόταν οὕτως ἔχῃ, διδόναι τοῦ κνεώρου, ἢ τοῦ ἱπποφέως τὸν ὀπὸν, ἢ τὸν κνίδιον κόκκον. ταῦτα δὲ τὰ φάρμακα, οὕτω διδόναι χρή. τὸ μὲν κνέωρον διὰ ἕκτης ἡμέρης. τὸν δὲ τοῦ ἱπποφέως ὀπὸν, δι᾽ ὀγδόης. τὸν δὲ κνίδιον κόκκον, διὰ δεκάτης ἡμέρης. διδόναι δὲ τὰ αὐτὰ χρὴ, ἕως ἂν ἐκκαθαρθῇ, καὶ λαπαρὸς γένηται. τὰς δὲ μεταξὺ τῶν ἡμερέων, διαχέειν τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸ πρόσθεν. μάλιστα δὲ τοῦ ὕδατος τοῦ αὐτοῦ πίνειν διδόναι ὑπότε καὶ τὸ νόσημα ἔλαβεν, ὡς πλεῖστον ὅκως ταράξῃ αὐτέου τὴν κοιλίην καὶ ὑποχωρήσῃ σφόδρα. οὕτως γὰρ μάλιστα ὑγιέα ποιήσεις. ἢν δέ σοι δοκέῃ, καὶ κλύζειν θαμινὰ, τοῦ κνεώρου τρίψας, ἥμισύ τε ποιήσας, μέλιτος παραμίξας τρίτον μέρος κοτύλης διεῖναι. καὶ τευτλίου τέταρτον κοτύλης. εἶθ᾽ οὕτω κλύζειν. καὶ ὀνείου γάλακτος ἑφθοῦ τῇ ὑστεραίῃ δοῦναι, ὀκτὼ κοτύλας μέλι παραχέων, ἢ ἅλας παραβαλὼν, πίνειν. καὶ μετὰ τὴν κάθαρσιν, τοῖσιν αὐτοῖσι χρεέσθω, οἷσι καὶ ὁ πρόσθεν. καὶ τὰς μεταξὺ τῶν ἡμερέων, σιτίοισι καὶ ποτοῖσι τοῖσιν αὐτοῖσι χρεέσθω, καὶ τοῖσι περιπάτοισιν ὁμοίως. οὕτω θεραπευόμενος, ἐν τάχει τῆς νούσου ἀπαλλαγήσεται ῥηϊδίως ἢ ἐξάμηνος. ἢν δὲ ἀμελείη τις ἐπιγένηται καὶ μὴ παραχρῆμα μελετηθῇ, ἐν τάχει ἀποθνήσκει. καὶ τὸν καταλεπτυνόμενον, τοῖσιν αὐτοῖσι χρῆσθαι πρὸς ἴησιν. προϋγρῆναι δὲ χρὴ πρότερον αὐτοῦ τὸ σῶμα πυριήσαντα ὅκως ἢν μᾶλλον τῶν φαρμάκων ὑπακούειν. ἀλλὰ χρὴ παραχρῆμα μελετᾶν. ἢν δὲ μὴ, τοῖσι πολλοῖσι ξυγγηράσκει ἡ νοῦσος. κλύζειν δὲ χρὴ καὶ τοῖσδε, ὁκοτέρην ἂν βούλῃ τῶν νούσων. οἴνου λευκοῦ δύο κοτύλας λαβὼν, καὶ μέλιτος ἡμικοτύλιον. καὶ ἐλαίου ἡμικοτύλιον. νίτρου τεταρτημόριον. αἰγυπτίου ὀποῦ, σικύου ἀγρίου τῶν φύλλων κόψας καὶ ἐκπιέσας τοῦ χυλοῦ κοτύλην, ταῦτα μίξας πάντα, ἐς τι χυτρίδιον ἐγχέαι, καὶ ἐπιζέσας οὕτω κλύζειν.

Νοῦσος ἡπατῖτις.

Ἡ δὲ νοῦσος γίνεται ἀπὸ χολῆς μελαίνης, ὁκόταν ἐπιῤῥυῇ ἐς τὸ ἧπαρ. προσπίπτει δὲ μάλιστα μετοπώρου, ἐν τῇσι μεταβολῇσι τοῦ ἐνιαυτοῦ. τάδε οὖν πάσχει. ἐς τὸ ἧπαρ ὀδύνη ὀξείη ἐμπίπτει αὐτῷ. καὶ ἀπὸ τὰς νεάτας πλευρὰς, καὶ ἐς τὸν ὦμον, καὶ ἐς τὴν κληῗδα, καὶ ἀπὸ τὸν τιτθόν. καὶ πνὶξ ἔχει ἰσχυρή. καὶ ἐνίοτε ἀπεμέει πελιδνὴν χολήν. καὶ ῥῖγος καὶ πυρετὸς τὰς πρώτας ἡμέρας βληχρότερος ἔχει. καὶ ψαυόμενος, ἀλγέει τὸ ἧπαρ. καὶ ἡ χροιὴ ὑποπέλιδνος αὐτέου. καὶ τὰ σιτία ἃ πρόσθεν ἐβεβρώκει, πνίγει αὐτόν. καὶ προσπίπτει, καίει καὶ στρέφει τὴν κοιλίην. ταῦτα μὲν πάσχει κατ᾽ ἀρχάς. τῆς δὲ νούσου προϊούσης, οἵ τε πυρετοὶ ἀφιᾶσι, καὶ ἐπ᾽ ὀλίγων σιτίων πίμπλαται. ἐν δὲ τῷ ἥπατι, ἡ ὀδύνη μούνη λείπεται. καὶ αὕτη ποτὲ μὲν ἰσχυρή, ποτὲ δὲ ἥσσω διαπαύουσα. ἐνίοτε δὲ ὀξείη λαμβάνει. καὶ πολλάκις ἐξαπίνης ἀφῆκε τὴν ψυχήν. τούτῳ ξυμφέρει ὁκόταν μὲν ἡ ὀδύνη ἔχῃ, τά τε ἄλλα καὶ μὴν καὶ τὰ χλιάσματα προστιθέναι ταῦτα, ἃ καὶ τῇ πλευρίτιδι. ὁκόταν δὲ ἀνῇ ὁ πόνος, λούειν αὐτὸν πολλῷ, καὶ θερμῷ. μελίκρητόν τε διδόναι πίνειν. καὶ οἶνον λευκὸν γλυκὺν, ἢ αὐστηρὸν, ὁκότερον ἂν ξυμφέρῃ. καὶ ῥοφήματα ταῦτα, ἃ καὶ τῷ ἀπὸ πλευρίτιδος ἑαλωκότι. ὑπὸ δὲ τῆς ὀδύνης τάδε χρὴ διδόναι πίνειν. ἀλεκτορίδος ᾠοῦ ἑφθοῦ τὸ ὑγρὸν ῥίψας, παραχέας τε στρύχνου χυλοῦ ἡμικοτύλιον, καὶ μελίκρητον ἐν ὕδατι πεποιημένον, ἢ μέσου ἡμικοτυλίου, τούτοισι διεὶς, διδόναι πίνειν, καὶ παύσει τὴν ὀδύνην. διδόναι δὲ καὶ ἑκάστης ἡμέρης, ἕως ἂν ἡ ὀδύνη παύσηται. πινέτω δὲ καὶ σιλφίου ὀπὸν, ὁκόσον ὄροβον. καὶ ὀρίγανον τρίβων, διεῖναι οἴνῳ λευκῷ. καὶ οὕτως πίνειν νῆστις. ἐπιπινέτω δὲ, καὶ τὰ ἐν τῇ πλευρίτιδι διδόμενα φάρμακα, εἵνεκα τῆς ὀδύνης. πινέτω δὲ καὶ γάλα αἰγὸς, τρίτον μέρος μὲν παραμίσγων. τοῦ δὲ γάλακτος ἔστωσαν τέσσαρες κοτύλαι. τοῦτο ἕωθεν πινέτω ὁκόταν τ᾽ ἄλλα μὴ πίνῃ. σιτίων δὲ ἀπεχέσθω, ἕως ἂν κριθῇ ἡ νοῦσος. κρίνεται δὲ μάλιστα ἐν ἑπτὰ ἡμέρῃσι. ταύτῃσι γὰρ δηλοῦται, εἰ θανάσιμος ἢ οὔ. ἢν δὲ καὶ πνῖγμα προσίσηται, τάδε χρὴ διδόναι, ὅκως ἂν ἀπεμέσῃ. μέλι. καὶ ὕδωρ. ὄξος. ἅλας. ταῦτα μίξας ἐγχέαι ἐς χυτρίδιον καινόν. εἶτα χλιαίνειν καὶ ταράσσειν ὀριγάνου κλωνίοισι τῆς κεφαλοειδέος ἔξω τῷ καρπῷ. ὁκόταν δὲ χλιανθῇ, ἐκπιεῖν δοῦναι χλιαρόν. εἶτα περιβαλὼν ἱμάτια ἐᾶν. περιστείλας ἕως ἂν ὑδρώσῃ μάλιστα. καὶ ὁκόταν ἔμετος αὐτὸν ἔχῃ, ἐμεέτω προθύμως, καταματτευόμενος πτερῷ. ἢν δὲ μὴ δύνηται ἐμέσαι, ἐπιπιὼν μελικρήτου χλιαροῦ κύλικα δικότυλον, οὕτως ἐμεέτω. καὶ ἢν τι ἀπεμέσῃ χολῆς ἢ φλέγματος, αὖθις τὸ αὐτὸ χρὴ ποιέειν, ἐῶν τέσσαρας ὥρας. ὠφελήσει γάρ. μετὰ δὲ τῆς νούσου τὴν κρίσιν, μελετᾶν σιτία ὀλίγα διδοὺς ταῦτα δὲ καὶ καθαρά. κὴν μὲν ἄρτον θέλῃ ἐσθίειν, ἄρτον θερμὸν ὡς μάλιστα καθαρὸν ἐσθιέτω. ἢν δὲ μᾶζαν, ἄτριπτον ἐσθιέτω, πρότερον προφυρήσας. ὄψον δὲ ἐχέτω, σκυλακίου ἑφθὰ, ἢ πελιάδος, ἢ ἀλεκτορίδος νεοσσοῦ ἑφθοῖσι πᾶσιν. ἰχθύων δὲ, γαλαίῳ. νάρκῃ. τρυγόνι τε καὶ βατίσι τῇσι μικρῇσι, πᾶσι ἑφθοῖσι. λουέσθω δὲ καὶ ἡμέρης ἑκάστης, καὶ τὸ ψῦχος φυλασσέσθω. καὶ περιπατεέτω ὀλίγα, τέως ἐν ἀσφαλείῃ. ταῦτα δὴ ἢν φυλάσσηται, οὐχ ὑποστρέψει τὴν νοῦσον δὶς πάλιν. καὶ γὰρ ἡ τοιαύτη νοῦσος, χαλεπὴ δὴ καὶ χρονίη.

Ἄλλη ἡπατῖτις.

Αἱ μὲν ὀδύναι πιέζουσι κατὰ τὰ αὐτὰ ἐς τὸ ἧπαρ. καὶ ἡ χροιὴ διαφέρει τῆς πρόσθεν. σιδηροειδὴς γάρ ἐστιν. ἐν δὲ τῷ καιρῷ τοῦ θέρεος μάλιστα ἐμπίπτει. γίνεται

δὲ ἀπὸ κρεοφαγίης βοείων κρεῶν, καὶ ὑπὸ οἰνοφλυγίης. ταῦτα γὰρ πάντα τὴν τοιαύτην τοῦ ἔτους ὥρην, πολεμιώτατα τῷ ἥπατι. καὶ χολὴν μάλιστα προσίστησι πρὸς τὸ ἧπαρ. τάδε οὖν πάσχει. ὀδύναι ὀξεῖαι ἐπιπίπτουσι, καὶ οὐκ ἐκλείπουσιν οὐδὲ μίαν ὥρην, ἀλλ᾽ αἰεὶ μᾶλλον πιέζουσιν. ἔστι δ᾽ ὅτε καὶ ἐμέει χολὴν ὠχρήν. καὶ ὁκόταν ἐμέσῃ, ἐπ᾽ ὀλίγον δοκέει ῥᾴων εἶναι. ἢν δὲ μὴ ἀπεμέσῃ, ἐς τοὺς ὀφθαλμοὺς ἡ χολὴ καθίσταται, καὶ ὠχροὶ γίνονται σφόδρα. καὶ οἱ πόδες οἰδέουσι. ταῦτα πάσχει. ποτὲ μὲν, σφόδρα. ποτὲ δὲ, ἧσσον. ὁκόταν δὲ αἱ ἡμέραι παρέλθωσιν ἐν ᾗσι κρίνεται τὸ νούσημα, ὅτε πόνος ἐλαττόνως ἔχῃ, ἢν ἀναμάρτητος ᾖ, διαιτῆσθαι χρὴ τοιαύτῃ διαίτῃ, ἣ καὶ πρόσθεν. ἢν γὰρ μεθυσθῇ παρὰ καιρὸν, ἢ λαγνεύσῃ, ἢ ἄλλο τι ποιήσῃ μὴ ἐπιτήδειον, τὸ ἧπαρ παραχρῆμα γίνεται σκληρὸν αὐτέῳ, καὶ οἰδέει, καὶ σφύζει ἀπὸ τῆς ὀδύνης. καὶ ἤν τι περιδύσῃ, πονέει ἐξαπίνης τὸ ἧπαρ καὶ τὸ σῶμα ἅπαν. τοῦτον ὁκόταν οὕτως ἔχῃ, καὶ αἱ πρῶται ἡμέραι παρέλθωσι, πυριῆσαι. ἔπειτα ὑποκαθῆραι τῷ σκαμμωνίῳ. ἢν δὲ ἡ κοιλίη ξυγκεκαυμένη ᾖ, κλύσαι ἐν τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν πρόσθεν, ὅ, τι ἄξει καλῶς. καὶ μετὰ τὸν κλυσμὸν, ὀνείῳ γάλακτι ἑφθῷ ὑποκαθῆραι, ὀκτὼ κοτύλῃσι. μέλι δὲ παραχέων, διδόναι πίνειν. διδόναι δὲ καὶ τὸ αἴγειον γάλα, τρίτον μέρος μελικρήτου παραμίσγων τὸ ἑωθινὸν, τετρακότυλον κύλικα. διδόναι δὲ καὶ ἑφθοῦ τοῦ αἰγείου δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγων, ἢ αὐτὸ μόνον μέλι παραχέων. διδόναι δὲ καὶ τὸ ἵππειον γάλα τὸν αὐτὸν τρόπον τῷ ὀνείῳ. κὴν μὲν ἀπὸ τούτων μελετωμένη ἡ νοῦσος ἐξέλθῃ, ἅλις. ἢν δὲ μὴ, τάμνειν τοῦ δεξιοῦ ἀγκῶνος, τὴν εἴσω φλέβα, καὶ ἀφαιρέειν τοῦ αἵματος. ἢν δέ σοι μὴ δοκέῃ, ὀνείῳ γάλακτι ἀποκαθῆραι. βοείου γάλακτος ὠμοῦ, διδόναι δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγων ἑκάστης ἡμέρης, ἐπὶ ἡμέρας δέκα. εἶτα ἄλλας δώδεκα, ἕκτον μέρος τοῦ μελικρήτου παραχέων, πίνειν διδόναι. τὸ δὲ γάλα αὐτὸ τὸ λοιπὸν διδόναι ἕως ἂν ἀναπαυθῇ, δύο κοτύλας. ἢν δὲ μὴ δὲ οὕτω παύηται, καῦσαι χρὴ, ὁκόταν μέγιστον τὸ ἧπαρ γένηται, καὶ ἐξεστήκει μάλιστα. καῦσαι δὲ ἐν πυξίνοισιν ἀτράκτοισι, βάπτων ἐς ἔλαιον ζέον. προστιθέναι δὲ, ἕως ἄν σοι δοκέῃ καλῶς ἔχειν, καὶ κέκαυσαι. ἢ μύκησιν ὀκτὼ ἐσχάρας καῦσαι. ἢν γὰρ τύχῃς καύσας, ὑγιέα ποιήσεις, καὶ τὸν λοιπὸν χρόνον, ῥᾷον διάξει. ἢν δὲ μὴ τύχῃ καυθεὶς, ἀπὸ τῶν ἄλλων λοιπὸν ὑγιὴς μὴ γενόμενος, φθειρόμενος ἀποθνήσκει.

Ἡπατῖτις ἄλλη.

Τὰ μὲν ἄλλα, πλῆθος τὰ αὐτὰ πάσχει τῇσι πρόσθεν. ἡ δὲ χροιὴ μέλαινα. τοῦ δὲ ἥπατος ἡ χολὴ, φλέγματος καὶ αἵματος πλησθεῖσα, ὡς λογιζόμεθα, διαῤῥήγνυται. καὶ ὁκόταν διαῤῥηχθῇ, τάχιστα μαίνεται. καὶ ἀγανακτεῖ. καὶ διαλέγεται ἀσύνετα. καὶ ὑλακτέει ὡς κύων. καὶ οἱ ὄνυχες, φοινίκεοι εἰσί. καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐ δύναται ὁρῆν. καὶ τρίχες αἱ ἐν τῇ κεφαλῇ, ὀρθαὶ ἵστανται. καὶ πυρετὸς ὀξὺς ἐπιλαμβάνει. τούτῳ χρὴ προσφέρειν τὰ αὐτὰ, ἃ καὶ τοῖσι πρόσθεν. οἱ δὲ πολλοὶ, ἀποθνήσκουσιν ἐν τῇσιν ἕνδεκα ἡμέρῃσι. παῦροι δὲ διαφυγγάνουσιν.

Σπληνὸς νοῦσος πρώτη.

Γίνεται δὲ ἡ τοιαύτη νοῦσος, ὑπὸ θερμασίης τοῦ ἡλίου χολῆς κινηθείσης, ὁκόταν ἑλκύσῃ ἐφ᾽ ἑωυτὸν χολὴν ὁ σπλήν. τάδε οὖν πάσχει. πυρετὸς ὀξὺς ἐπιγίνεται κατ᾽ ἀρχάς. προϊούσης δὲ τῆς νούσου ἀφίησι, σπλὴν κατ᾽ αὐτὸν τὸν σπλῆνα. ταύτῃ δὲ αἰεὶ θέρμην ἔχει, καὶ ὀδύνη ἄλλοτε καὶ ἄλλοτε ἐμπίπτει ὀξείη, καὶ ἐς τὴν λαπάρην, καὶ ἐς τὴν κοιλίην. τὰ δὲ σιτία κατ᾽ ἀρχὰς, προΐεται μὲν, διαχωρέει δὲ οὐ μάλα. προϊούσης δὲ τῆς νούσου, ἥ τε χροιὴ ὠχρὴ γίνεται, καὶ ὀδύνη ἰσχυρὴ ἐμπίπτει. καὶ αἱ κληῗδες λεπτύνονται. καὶ τὰ σιτία οὐχ ὁμοίως προΐεται, ὥσπερ κατ᾽ ἀρχάς. καὶ ἀπὸ ὀλίγου πίμπλαται. ὁ δὲ σπλὴν ἄλλοτε καὶ ἄλλοτε μέγας τῆς αὐτῆς ἡμέρης, καὶ ἄλλοτε ἐλάσσων γίνεται. τοῦτον ὁκόταν οὕτως ἔχῃ, πῖσαι ἐλλέβορον κάτω, ὑποκαθῆραι τε τῷ κνιδίῳ κόκκῳ. ἐς ἑσπέρην δὲ μετὰ τὴν κάθαρσιν, φακῆς δοῦναι τρυβλίον ῥοφέειν ὀξυτέρης. καὶ τευτλίων ζυβλίον ῥυπαρὸν, ἄλφιτα παραπάσας. τῇ δ᾽ ὑστεραίῃ καὶ τῇ τρίτῃ, ἄρτον μικρὸν δοῦναι. ὄψῳ δὲ, φακῇ χρεέσθω. καὶ ὑὸς κρέας ἐν τῇ φακῇ ἑφθὸν τετριμμένον. οἶνον δὲ πινέτω αὐστηρὸν, μέλανα, ἀκρητέστερον κατ᾽ ὀλίγον. καὶ ἡσυχίην ἐχέτω ταύτας τὰς ἡμέρας, πλὴν ἔνδον ὀλίγα περιπατεέτω ἐν τῇ σκιῇ. τὸν δὲ λοιπὸν χρόνον τάδε χρὴ προσφέρεσθαι. σιτίον μὲν ἄρτον αὐτοπυρίτην. ὄψον δὲ ἐχέτω, κρέας κυνὸς μέζονος. ἢ αἰγὸς. ἢ οἰὸς τετριμμένον. καὶ τάριχος γαδειρικὸν, ἢ σαπέρδην. καὶ τὰ ὀξέα καὶ τὰ ἁλμυρὰ πάντα προσφερέσθω, καὶ τὰ στρυφνά. πινέτω δὲ οἶνον κῷον ὑπόστρυφνον ὡς μελάντατον. τῶν δὲ γλυκέων καὶ λιπαρῶν ἀπεχέσθω, καὶ κνισωδέων. καὶ σίλφιον μὴ προσφερέσθω. μὴ δὲ σκόροδα. μὴ δὲ κρέας χοίρειον. μὴ δὲ κεστρέα. μὴ δὲ τενέαρον. μὴ δὲ τάριχος. μήτε ἔγχελυν. μήτε λάχανον. μὴ δὲ ἑφθὸν ἄνευ ὄξους. ζωξίμων ᾖ, ῥαφανίδι χρεέσθω. καὶ σελίνῳ, ἐς ὄξος βάπτων. καὶ οἴνῳ ἄλφιτα φυρῶν, ἐσθιέτω. καὶ τοῦ οἴνου ῥοφεέτω ἄκρητον. ἢν δὲ βούληται, καὶ τὸν ἄρτον ἐς τὸν οἶνον ἐνθρυπτόμενος, ἐσθιέτω θερμόν. διδόναι δὲ καὶ ἰχθύων. σκορπίον. δράκοντα. κόκκυγα. κωβιόν. καλλιώνυμον. τούτους ἑφθοὺς καὶ ψυχροὺς διδόναι. διδόναι δὲ καὶ ἃ μέλλει τὸν σπλῆνα λεπτύνειν ἑκάστης ἡμέρης, ἀσφοδέλου τοῦ καρποῦ, ἢ ἰξοῦ τὰ φύλλα. ἢ αἰγὸς κέρας. ἢ ἄγνου καρπόν. ἢ πήγανον. ἢ ἡδυόσμου ῥίζην. τούτων τρίβων ὅ, τι ἂν βούλῃ, διδόναι ἐν οἴνῳ αὐστηρῷ, νήστει. ἢν δὲ δυνατὸς ᾖ, ἀναγκάζειν αὐτὸν πρίειν ξύλα τριήκοντα ἡμέρας. καὶ

ἀπ᾿ ἄκρων τῶν ὤμων παλαιέτω. καὶ περιπατείτω δι᾿ ἡμέρης. καὶ ὄψιος εὑδέτω. πρῶϊ δὲ ἐγειρέσθω. καὶ διαχρεέσθω ἃ προείρηται. ἢν δὲ μὴ ὑπὸ τούτων ῥηΐσῃ, καῦσαι τὸν σπλῆνα μύκησι, δέκα ἐσχάρας μεγάλας, ὁκόταν μέγιστος ᾖ ὁ σπλὴν καὶ ἐξηρμένος μάλιστα. ἢν γὰρ τύχῃς καύσας ὡς δεῖ, ὑγιέα ποιήσεις, πλὴν οὐκ ἐν τάχει. ἡ δὲ νοῦσος δέεται θεραπείης. χαλεπὴ γὰρ καὶ χρόνιος, ἢν μὴ παραχρῆμα μελετηθῇ. Ἄλλη νοῦσος σπληνός. Γίνεται μὲν ἀπὸ τῶν αὐτῶν, ἀφ᾿ ὧν καὶ ἡ πρόσθεν. πάσχει δὲ ὑπὸ τούτου τοῦ νοσήματος, τάδε. ἡ γαστὴρ φυσᾶται. μετὰ δὲ καὶ ὁ σπλὴν οἰδεῖ, καὶ σκληρός ἐστι. καὶ ὀδύναι ὀξεῖαι ἐμπίπτουσιν ἐς τὸν σπλῆνα. ἡ δὲ χροιὴ, τρέπεται καὶ ὁρᾶται μέλας. ἔπωχρος. σιδιοειδής. καὶ ἐκ τοῦ στόματος κακὸν ὄζει. καὶ τὰ οὖλα κακὸν ὄζει. καὶ τὰ ἀπὸ τῶν ὀδόντων ἀφίσταται. καὶ ἐκ τῶν κνημέων ἕλκεα ἐκρήγνυται, ὁποῖα περ ἐπινυκτίδες. τὰ δὲ γυῖα λεπτύνεται. καὶ ἡ κόπρος οὐχ ὑποχωρέει. τοῦτον ὁκόταν οὕτως ἔχῃ, μελετᾶν τοῖσιν αὐτοῖσι φαρμάκοισι καὶ ἐδέσμασι, καὶ ποτῷ, καὶ ταλαιπωρίῃσι, καὶ τοῖσιν ἄλλοισι πᾶσι. καὶ κλύζειν ὁκόταν μὴ θέλῃ ἡ κόπρος διαχωρέειν. ἐν τούτοισι μέλιτος ἡμικοτύλιον. καὶ νίτρου αἰγυπτίου, ὁκόσον ἀστράγαλον οἰός. ταῦτα τρίψας διεῖναι ἀπὸ τεύτλων ἑφθῶν ὕδατι τέσσαρσι κοτύλῃσιν. εἶτα οὕτω κλύζειν. ἢν δὲ μὴ ὑπὸ τούτων ἡ νοῦσος καθίστηται, καῦσαι αὐτοῦ τὸν σπλῆνα ὡς τὸν πρόσθεν. καὶ ἢν τύχῃς καύσης, ὑγιέα ποιήσῃς. Ἄλλη νόσος σπληνός. Γίνεται μὲν τοῦ ἔτεος, ἔαρος ὥρῃ μάλιστα. ἀπὸ δὲ αἵματος. ὁκόταν γὰρ ἐμπλησθῇ ὁ σπλὴν αἵματος, ἐκρήγνυται ἐς τὴν κοιλίην. καὶ ὀδύναι ὀξεῖαι ἐς τὸν σπλῆνα ἐμπίπτουσι, καὶ ἐς τὸν τιτθὸν, καὶ ἐς τὴν κληῗδα, καὶ ἐς τὸν ὦμον, καὶ ὑπὸ τὴν ὠμοπλάτην. ἡ δὲ χροιὴ τοῦ γυίου, μολιβδοειδής. καὶ ἀμυχὰς ἐν τῇσι κνήμῃσι λαμβάνει. καὶ ἕλκεα μεγάλα γίνεται ἐξ αὐτέων. καὶ τὰ κάτω ὑποχωρέοντα ἅμα τῷ πρώτῳ, αἱματώδεα καὶ ἰώδεα. καὶ ὑπέρχεται ἡ γαστὴρ σκληρή. καὶ ὁ σπλὴν καθὰ λίθος ἐστίν. οὗτος τῶν πρόσθεν θανατωδέστερος, καὶ ἐξ αὐτέου παῦροι διαφυγγάνουσι. τοῦτον ὁκόταν ὧδε ἔχῃ, τοῖσιν αὐτοῖσι θεράπευε, οἷσι καὶ τὸν ἔμπροσθεν, πλὴν ἄνω φάρμακον μὴ δῷς. κάτω δὲ τοῦ κόκκου τοῦ κνιδίου, δοῦναι τῇ ὑστεραίῃ. καὶ ἱππείου γάλακτος ἑφθοῦ ὀκτὼ κοτύλας μέλι παραχέων. εἰ δὲ μὴ, βοείῳ ἢ αἰγείῳ ἑφθῷ, δύο χοεῦσι μέλι παρὰ τὴν ἑτέρην κύλικα. ἐναλλὰξ δὲ πίνειν χρή. ἐς δὲ τὴν ἑτέρην διδόναι μετὰ τὴν κάθαρσιν ταῦτα ἃ καὶ τῷ πρόσθεν, μετὰ τὸ φάρμακον. καὶ ἢν δοκέῃ, τοῦ αἵματος ἀφελεῖν ἀπὸ τοῦ ἀγκῶνος τοῦ ἀριστεροῦ τῆς εἴσω φλεβός. τὰς δὲ λοιπὰς τῶν ἡμερέων διδόναι νήστει ἑκάστης ἡμέρης βοείου γάλακτος τέσσαρας κοτύλας, τρίτον μέρος ἅλμης παραμίσγων. σιτίοισι δὲ, καὶ ποτοῖσι. καὶ τοῖσιν ἄλλοισι, τοῖσιν αὐτοῖσι θεραπεύειν, οἷσι καὶ τὸν πρόσθεν. ἀπέχεσθαι δὲ λαγνείης καὶ οἰνοφλυγίης, καὶ τοῦτον καὶ τὸν πρόσθεν. καὶ ἢν σοι δοκέῃ, καὶ καῦσαι ὁκόταν παχύτατος καὶ μέγιστος ὁ σπλὴν γένηται. καὶ ἢν τύχῃς καύσας τοῦ καιροῦ, ὑγιέα ποιήσεις. ἢν δὲ μὴ ὑπὸ ταύτης τῆς ἰήσιος ὑγιὴς γένηται, φθειρόμενος χρόνῳ θνήσκει. ἡ γὰρ νοῦσος λίην ἐστὶ χαλεπή. Ἄλλη νοῦσος σπληνός. Προσπίπτει καὶ αὕτη ἡ νοῦσος, ἔαρος μάλιστα. ὁκόταν φλέγμα ἀναλάβῃ ὁ σπλὴν ἐς ἑωυτὸν, καὶ μέγας παραχρῆμα γίνεται καὶ σκληρός. εἶτ᾿ αὖθις καθίσταται. καὶ ὅταν μὲν ἐξηρμένος ᾖ, ὀδύναι ὀξεῖαι ἐμπίπτουσιν. ὁκόταν δὲ λαπαρὸς ᾖ, ἀνώδυνός ἐστι. καὶ ὁκόταν χρόνος γένηται τῇ νούσῳ, ἀμαυροτέρη δοκέει, καὶ ἐπανίσταται, καὶ ταχέως καθίσταται. οὗτος ὁκόταν οὕτως ἔχῃ, κατ᾿ ἀρχὰς τοῦ νοσήματος τὰ σιτία οὐ δύναται προσίεσθαι. καὶ ταχέως καταλεπτύνεται, καὶ ἀκρησίην ἔχει τὸ σῶμα πουλλήν. τὸ δὲ νούσημα, ἢν μὴ παραχρῆμα θεραπευθῇ, ἢ αὐτόματον καταστῇ, διαλιπὼν πέντε μῆνας ἢ ἕξ, αὖθις ἐπανίσταται. διαλιμπάνει δὲ μάλιστα τὸν χειμῶνα. τοῦτον κατ᾿ ἀρχὰς ἢν λάβῃς, καῦσον δέκα ἐσχάρας ἐς τὸν σπλῆνα, καὶ παρ᾿ εὐθὺ ὑγιέα ποιήσεις. ἢν δὲ μὴ καύσῃς. τοῖσιν αὐτοῖσι φαρμάκοισιν ἰῆσθαι, οἷσι καὶ τὸν πρόσθεν, καὶ ἐδέσμασι, καὶ ποτοῖσι, καὶ ταλαιπωρίῃσιν. οὕτω γὰρ ἂν τάχιστα ὑγιέα ποιήσῃς. τούτου δὲ ἡ χροιὴ γίνεται ἔκλευκος, ἀρτιύπωχρος, καὶ αὐχμηρή. Ἄλλη νοῦσος σπληνός. Γίνεται μετοπώρου μάλιστα ἀπὸ χολῆς μελαίνης. γίνεται δὲ ἀπὸ λαχανοφαγίης ῥωξίμων πολλῶν καὶ ὑδροποσίης. πάσχει δὲ τάδε. ὁκόταν τὸ νόσημα λάβῃ, ἀλγέει τὸν σπλῆνα σφόδρα. καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει. καὶ ἀσιτίη ἔχει αὐτόν. τό, τε γυῖον ξυμπίπτει ταχέως. ὁ δὲ σπλὴν, μέγας μὲν πάνυ οὐ γίνεται, σκληρὸς δέ. καὶ παρεκπίπτει παρὰ τὰ σπλάγχνα, καὶ μύζει προσκείμενος. τοῦτον ὁκόταν οὕτως ἔχῃ, τοῖσιν αὐτοῖσιν ἰῆσθαι καὶ φαρμάκοισι καὶ βρωτοῖσι καὶ ταλαιπωρίῃσιν, οἷσιν ἂν καὶ τὸν πρόσθεν. καὶ ἢν σοι παρέξῃ, καῦσαι αὐτὸν, τρόπον ὃν περ καὶ τοὺς ἄλλους. αὕτη ἡ νοῦσος τοῖσι πολλοῖσιν ἢν παραχρῆμα μελετηθῇ, ἐν τάχει ἐξέρχεται. Ἴκτεροι τέσσαρες. Ὁ μὲν τοῦ θέρεος μάλιστα ἐπιλαμβάνει χολῆς κινηθείσης. ἵσταται δὲ ἡ χολὴ, ὑπὸ τῷ δέρματι καὶ ἐν τῇ κεφαλῇ. ὥστ᾿ εὐθὺς ἀλλοχροέει τὸ σῶμα. καὶ γίνεται ὠχρὸν ὁκοῖον περ σίδιον. καὶ οἱ ὀφθαλμοὶ ὠχροί. καὶ ἐν τῇ κεφαλῇ ὑπὸ τὰς τρίχας, οἷον φλοῦς ὕπεστι. καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει. καὶ οὐρέει ὠχρὸν τὸ οὖρον. καὶ ὑφίσταται ὑπ᾿ αὐτῷ παχὺ ὑπόθερον. καὶ τὸ ἔσθειν ἕως ἂν νῆστις ᾖ πρὸς τὴν καρδίην καὶ τὰ σπλάγχνα μύζει. καὶ ὁκόταν τις αὐτῷ προσφθέγξηται ἢ ἐρωτήσῃ, ἄσῃ τε καὶ λυπέεται. καὶ οὐκ ἀνέχεται ἀκροώμενος. ὁ δὲ ἀπόπατος προϊὼν, ὠχρόλευκος. καὶ κάκοδμος. οὗτος ὁκόταν ὧδε ἔχῃ, θνήσκει μάλιστα,

σκει μάλιστα,

σκει μάλιστα, ἐν τῇσι τεσσαρεσκαίδεκα ἡμέρῃσιν. ἢν δὲ ταύτας διαφύγῃ, ὑγιαίνεται. μελετᾶν δὲ αὐτὸν χρὴ, ὧδε. ὁκόταν ὁ πυρετὸς ἀνῇ, λούειν πολλῷ καὶ θερμῷ. πίνειν τε διδόναι μελίκρητον. καὶ ῥοφήμασι διαχρεέσθω, πτισάνης χυλῷ μέλι παραχέων. καὶ μὴ συνεψεῖν τὸ μέλι, ἕως ἂν αἱ δεκατέσσαρες ἡμέραι παρέλθωσιν. αὗται γὰρ κρίνουσιν ἢν θανάσιμον ᾖ οὔ. μετὰ δὲ ταῦτα, λούειν δὶς τῆς ἡμέρης, καὶ διαχρεῖν τὸ πρῶτον ὀλίγοισιν ἅσσα ἂν μάλιστα προσίηται. ἔπειτα πλέω μέντοι διδόναι. πινέτω δὲ οἶνον λευκὸν ὡς πλεῖστον δι᾿ ἡμέρης. καὶ ἢν σοι δοκέῃ, προϊόντος τοῦ χρόνου, ὠχρὸς εἶναι καὶ ἀσθενής, ἔμετον κελεύειν ποιέεσθαι ἀπὸ τῶν σιτίων, ὡς ἐν ταῖς ἄνω νούσοισιν ἔχει. καὶ ἢν μὲν ἀπὸ τούτων παύσηται, ἅλις. ἢν δὲ μὴ, ἐλλέβορον πῖσαι. μετὰ δὲ τὴν τοιαύτην κάθαρσιν, ἑσπέρην φαγέτω, μᾶζαν μαλθακὴν, ἢ ἄρτου τὸ ἐντός. ὄψον δὲ ἐσθιέτω, νεοσσὸν ἀλεκτορίδος δίεφθον εὐζωμευμένον κρομύῳ, καὶ κοριάνῳ, καὶ τυρῷ, καὶ ἁλὶ, καὶ σησάμῳ, καὶ σταφίδι λευκῇ. οἶνον δὲ πινέτω, λευκὸν, αὐστηρὸν, ὡς παλαιότατον. τὴν δὲ κάτω κοιλίην ὑποκαθῆραι. τῇ δὲ ὑστεραίῃ, χυλῷ ἀπὸ ἐρεβίνθων λευκῶν, μέλι δὲ χρὴ τῷ χυλῷ παραχέαι, χρεέσθω, καὶ ἐκπιέτω δύο κοτύλας τοῦ τοιούτου χυλοῦ. τῇ δὲ τρίτῃ ἀρξάμενος ἀφ᾿ ἑκάστης ἡμέρης πινέτω τόδε τὸ ὕδωρ, ἀπὸ τῶν δὲ ἑψήσας. μαράθρου ῥίζας λεπτὰς, πλῆθος ὁκόσον τρισὶ δακτύλοισι περιλαβεῖν τὴν δραχμίδα ἐμβάλλειν καὶ ἑψεῖν, ἐν δύο χοεῦσιν ὕδατος. ἑψεῖν δὲ ἕως ἂν λειφθῇ τὸ ἥμισυ. καὶ ἐρεβίνθων λευκῶν χοίνικα ἐν δυσὶ χοεῦσι. καὶ τούτου δὲ πιέτω τὸ ἥμισυ. ταῦτα ὁκόταν λειφθῇ διηθήσας ἐξαιθριάσαι, καὶ ἀμφότερα μίξας τοῦτο τῷ ὕδατι, καὶ τὸν οἶνον κρήσας, πινέτω. καὶ αὐτὸ τὸ ὕδωρ μοῦνον ἢν θέλῃ, πινέτω ὡς πλεῖστον. καὶ ἄλλο ὕδωρ μὴ πινέτω. ἢν δὲ τοῦτο τὸ ποτὸν μὴ προσίηται, τόδε σκευάσας ἔπω διδόναι. ἰσχάδων λευκῶν χοίνικα ἑψήσας ἐν δυσὶ χοεῦσι, διηθῆσαι καὶ ἐξαιθριάσαι. ἔπειτα τὸ ὕδωρ τοῦτο πινέτω ἤν τε ψιλὸν αὐτὸ βούληται, ἤν τε σὺν τῷ οἴνῳ κιρνάς. πινέτω δὲ μὴ ἀθρόον πουλὺ, ἀλλὰ κατὰ φορὰν, ἡμικοτύλιον, ὅκως μὴ διάρροια αὐτῷ ἐπιγίνηται. καὶ διαλιπὼν χρόνον ὀλίγον, πινέτω. ἀγαθὰ δὲ καὶ τάδε διδόναι πίνειν, νήστει ἑκάστης ἡμέρης, τρίβοντα λεῖα καὶ διέντα. κοτύλῃ οἴνου παλαιοῦ λευκοῦ. σελίνου καρπόν. σικύου σπέρμα. μαράθρου καρπόν. αἰθιοπικὸν κύμινον. ἀδίαντον. κόρυον τὴν ποίην. ἀσταφίδας λευκάς. ταῦτα πίνων κἀκεῖνα, ὠφεληθήσεται, καὶ τάχιστα ὑγιὴς γενήσεται. Ἄλλος ἴκτερος. Οὗτος ἐπιλαμβάνει χειμῶνος ἐν ὥρῃ, ἐκ μέθης καὶ ῥῖγος. ἄρχεται δὲ τὸ πρῶτον, ῥῖγος ἐπιλαμβάνειν. ἔπειτα καὶ πυρετὸς κατέχει. τὸ δὲ ὑγρὸν τὸ ἐν τῷ σώματι, πήγνυται ἐν τῷ δέρματι. τοῖσι δὲ δείκνυται ὅτι οὕτως ἔχει. πελιδνόν ἐστιν αὐτοῦ τὸ σῶμα καὶ ὑπόσκληρον. καὶ αἱ φλέβες διὰ τοῦ σώματος τέτανται ὠχραί. μείζονες δὲ καὶ παχύτεραι ἢ πρόσθεν εἰσί. τέτανταί τε ὑπομελάντεραι καὶ ἄλλαι φλέβες. καὶ ἢν τάμνῃ τις τινὰ αὐτῶν, ῥεύσει ἐξελεύσεται τὸ αἷμα ὠχρὸν, ἐὰν περ ὠχραί ἔωσιν αἱ φλέβες. ἢν δὲ μέλαιναι ἔωσι, μέλαν τὸ αἷμα ῥεύσεται. καὶ τὸ ἱμάτιον πρὸς τῷ χρώματι προσκείμενον, οὐκ ἀνέχεται ὑπὸ τοῦ κνησμοῦ. οὗτος πρόθυμός ἐστι πρὸς τὸ πορεύεσθαι καὶ φοιτᾶν, ἀλλ᾿ ὑπὸ τῆς ἀσθενείης αὐτοῦ τὰ σκέλεα ὑποφέρεται. καὶ διψῇ σφόδρα. αὕτη ἡ νοῦσος, οὔπω ἧσσόν ἐστι τῆς προτέρης θανασίμη. προέρχεται δὲ πλείω χρόνον, ἢν μὴ ἐν τῇσι πρώτῃσιν ἡμέρῃσιν ἔπειτα ὑγιὴς γίνηται. ἢν δὲ ἡ νοῦσος απομηκύνηται, καὶ γίνηται ὄγδοος ἢ ἔνατος συμπίπτει εἰς νοῦσον. καὶ ἡ νοῦσος καὶ ἡ ἀλγηδὼν, πιέζει μᾶλλον. καὶ ἀνίστασθαι οὐ δύναται. καὶ οἱ πολλοὶ ἐν τούτῳ τῷ χρόνῳ παραχρῆμα φθείρονται. τοῦτον ὁκόταν οὕτως ἔχῃ, κατ᾿ ἀρχὰς μὲν τῆς νούσου ἢν παραγένηται, ὁκόταν ἤδη αἱ ἑπτὰ ἡμέραι παρέλθωσιν, ἐλλέβορον πῖσαι. τὴν δὲ κάτω κοιλίην, χυλῷ ὑποκαθῆραι, ὡς ἐν τῷ πρόσθεν. καὶ τἄλλα τὰ αὐτὰ διδόναι φάρμακα. διδόναι δὲ καὶ κανθαρίδας, ἄνευ πτερῶν καὶ κεφαλῆς, τέσσαρας τρίβων, καὶ διεὶς οἴνῳ λευκῷ ἡμικοτυλίῳ. ἤδη δὲ καὶ μέλι παραχέαι ὀλίγον. εἶτα οὕτω διδόναι πιεῖν. τοῦτο πινέτω δὶς ἢ τρὶς τῆς ἡμέρης. προϊούσης δὲ τῆς νούσου, λουτροῖσι καὶ πυριήμασι θεραπεύειν. ἐσθιέτω δὲ ἅσσα προσίεται. οἶνον δὲ πινέτω, λευκὸν, αὐστηρόν. καὶ τἄλλα τὰ αὐτὰ προσφερέσθω, ἃ καὶ τῇ πρόσθεν. αὕτη ἡ νοῦσος, χρονίη καὶ χαλεπὴ, ἢν μὴ κατ᾿ ἀρχὰς καλῶς μελετηθῇ.

Ἄλλος ἴκτερος. Ἐπιδήμιος οὗτος καλέεται, διότι πᾶσαν ὥρην ἐπιλαμβάνει. γίνεται δὲ ἀπὸ πλησμονῆς μάλιστα καὶ μέθης. καὶ ἐπειδὰν ῥιγώσῃ, εὐθέως δὲ τὸ σῶμα ἀλλοιοτρέπει καὶ γίνεται ὠχρόν. καὶ οἱ ὀφθαλμοὶ σφόδρα ὠχροί. καὶ ὑπὸ τὰς τρίχας καὶ ὑπὸ τοὺς ὄνυχας ἡ νοῦσος ἐπέρχεται. καὶ ῥῖγος καὶ πυρετὸς βληχρὸς ἔχει. καὶ ἀσθενέει τὸ σῶμα. καὶ ἐν τῇ κεφαλῇ ὀδύνη ἔχει. καὶ οὐρέει ὠχρὸν καὶ παχύ. οὗτος ὁ ἴκτερος, ἧσσον θανατώδης τῶν πρόσθεν. καὶ θεραπεύεται μελετώμενος ἐν τάχει. τοῦτον ὁκόταν οὕτως ἔχῃ, σχάσαι αὐτοῦ τὸν ἀγκῶνα καὶ ἀφαιρέειν τοῦ αἵματος. ἔπειτα πυριήσας, πῖσαι ἐλατήριον. κάτω δὲ αὖθις ὑποκαθῆραι τῇ τρίτῃ, ὀνείῳ γάλακτι. τὰ δὲ ἄλλα ῥοφήματά τε καὶ πόματα καὶ ἐδέσματα, τὰ αὐτὰ διδόναι, ἃ καὶ τῷ πρόσθεν. καὶ καθαίρειν αὐτοῦ τὴν κεφαλὴν θαμινά. καὶ ἀπὸ χαλαρίου πίνειν. καὶ λούειν αὐτὸν, πολλῷ καὶ θερμῷ, ξύων τὴν
* σάρκα. ἐν οἴνῳ λευκῷ διδόναι πίνειν. καὶ ἐς τὰ ἄλλα πάντα τοῖσιν αὐτοῖσι χρεέσθω, καὶ ἐν τάχει ὑγιὴς ἔσται. Ἄλλος ἴκτερος. Γίνεται μὲν ἀπὸ φλέγματος. ἄρχεται δὲ χειμῶνος μάλιστα

ἐπιλαμβάνει. καὶ ἡ χροιὴ αὐτέου λευκή. καὶ τὰ στήθεα αὐτέου πλήρεα γίνεται φλέγματος. καὶ πτύει τὸ σίαλον. καὶ ὁκόταν ἀποχρέμπτηται, λυγμὸς αὐτῷ γίνεται. καὶ οὐρέει λευκὸν καὶ παχύ. καὶ ὑπὸ αὐτῷ ὑφίσταται, ὁκοῖον ἄλευρον. οὗτος ὁ ἴκτερος, οὐκ ἔστι θανατώδης, καὶ ἐν τάχει ὑγιαίνεται. τοῦτον ὁκόταν οὕτως ἔχῃ, πίσαι κνίδιον κόκκον. καὶ μετὰ τὴν κάθαρσιν πτισάνης χυλὸν, μέλι παραχέας, δοῦναι ἐκροφέειν τέσσαρας κοτύλας. τὴν δὲ ἄνω κοιλίην ἐμετοποιεύμενος, κάθαρσιν παρεχέτω ὡς ἐν τῇσι πρόσθεν. οὕτω γὰρ ἂν ῥήϊστα τὸ φλέγμα ἀπάγοι τοῦ πλεύμονος καὶ τῶν ἀρτηριῶν. καὶ ἀναχωρισμὸν σκευάζειν αὐτῷ θαμινά. οὗτος ἐνίοτε καὶ πυρεταίνει βληχρῷ πυρετῷ. καὶ φρίκη λεπτὴ ἐπιγίνεται. καὶ τἄλλα μελετᾶν οἷσι καὶ τοὺς πρόσθεν ἰκτέρους. καὶ φαρμάκοισι. καὶ πυρίῃσι. καὶ λουτροῖσι. καὶ ἐδέσμασι. καὶ ποτοῖσι. καὶ ῥοφήμασιν. οὕτω γὰρ ἂν μάλιστα ὑγιέα ποιήσεις.

Νούσημα ὃ πῦρ καλεῖται τίφος. Τίφος μὲν τὸ νούσημα καλέεται. ἐπιλαμβάνει δὲ θέρεος ἐν ὥρῃ, ὁκόταν ὁ κύων τὸ ἄστρον ἐπιτέλλῃ, χολῆς κινηθείσης ἀνὰ τὸ σῶμα. αὐτίκα οὖν αὐτὸν πυρετοὶ ἔχουσιν ἰσχυροί. καὶ καῦμα ὀξύ. καὶ ὑπὸ τοῦ βάρεος ἀσθενείη. καὶ ἀκρασίη τῶν σκελέων καὶ τῶν χειρῶν. ἀχρεῖα γὰρ μάλιστα γίνεταί οἱ. καὶ ἡ γαστὴρ ταράσσεται. καὶ τὰ ὑποχωρέοντα δυσώδεα. καὶ στρόφος ἰσχυρὸς ἐπιγίνεται. ταῦτά τε πάσχει. καὶ ἤν τις ἀνακαθίζειν θέλῃ αὐτὸν, οὐ δύναται ὀρθοῦσθαι. οὐ δὲ τοῖσιν ὀφθαλμοῖσιν ἀνορῆν δύναται ὑπὸ τοῦ καύματος. καὶ ἤν τις αὐτὸν ἐρωτᾷ, ὑπὸ τοῦ πόνου οὐ δύναται ἀποκρίνασθαι. ὁκόταν δὲ μέλλῃ ἀποθνήσκειν, ὀξύτερά τε ὁρῇ, καὶ φθέγγεται θαρσαλέως. καὶ πιεῖν καὶ φαγεῖν αἰτέει. καὶ ἢν δῷ τις καταφαγεῖν, ἐν τάχει μεθῇ καὶ τὴν ψυχὴν, ἢν μὴ ἐξεμέσῃ. τούτῳ ἡ νοῦσος αὕτη κρίνεται, ἐν ἑπτὰ ἡμέρῃσιν ἢ δεκατέσσαρσι. πολλοὶ δὲ διαφεύγουσι καὶ ἐς τὰς εἰκοσιτέσσαρας. ἢν γοῦν ταύτας διέλθῃ, ὑγιὴς ἔσται. καὶ γὰρ ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι, δηλοῦται εἰ θανάσιμος, ἢ οὔ. τοῦτον ὁκόταν οὕτως ἔχῃ, ὧδε ἰῆσθαι. ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων, λουτροῦ μὲν ἀπέχεσθαι. ἀλείφειν δὲ, οἴνῳ καὶ ἐλαίῳ χλιαίνων ἐς κοίτην. καὶ σιτίων ἀπέχεσθαι. ῥοφήματα δὲ λεπτὰ ψυχρὰ διδόναι. οἶνον δὲ πινέτω, μέλανα, αὐστηρὸν, ἢν ξυμφέρῃ αὐτῷ. ἢν δὲ μὴ, λευκὸν, ὑδαρὸν, αὐστηρόν. ἢν δ' ἰσχυρῶς πιέζῃ τὸ καῦμα, ἀθρόον δὶς ἢ τρὶς πίνειν, κέλευε ἐξεμέειν. ταῦτα δὶς ἢ τρὶς ποιήσας. καὶ ὁκόταν τὸ καῦμα ἔχῃ, ῥάκεα βάπτων, ὕδατι ψυχρῷ προστιθέναι, ἣν μάλιστα φῇ καίεσθαι. ἢν δὲ φρίκην ἔχῃ τὸ σῶμα, ἀνιέναι τὰ ψύγματα. οὗτος ὁκόταν πονῇ, μάλιστα ὑπὸ τῆς τοιαύτης ὀδύνης, ἄφνως κινδυνεύσει καταλιπεῖν τὴν ψυχήν. ἀλλὰ διδόναι χρὴ αὐτῷ τῆς ὀδύνης τὰ φάρμακα μετὰ σπουδῆς, τὰ αὐτὰ ἃ καὶ ὑπὸ τῆς πλευρίτιδος ἐχομένῳ. ὁκόταν δὲ ἐξαναστῇ, ἀνακομίζειν σιτίῳ, καὶ ποτῷ, καὶ λουτροῖσιν ὡς τάχιστα. ἡ γὰρ νοῦσος χαλεπὴ καὶ παῦροι διαφεύγουσιν.

Ἄλλος τίφος. Ἐπιλαμβάνει μὲν τὸ νούσημα πᾶσαν ὥρην. γίνεται δὲ δι' ὑγρασίην τοῦ σώματος, ὁκόταν τὰ σιτία ὑγρὰ ἐόντα, καὶ τὸ ποτὸν πουλὺ, αἱ σάρκες ἀναπίωσι καὶ πλαδαραὶ γίνωνται, ἀπὸ τούτων τὸ νούσημα γίνεται μάλιστα. ἄρχεται οὖν ὁ πυρετὸς τριταῖος ἢ τεταρταῖος κατ' ἀρχὰς γινόμενος. καὶ πόνος ἰσχυρὸς ἐν τῇ κεφαλῇ ἐνίσταται. ἐνίοτε δὲ καὶ ἐν τῷ σώματι διαλείπων. καὶ ἐμέει σίαλον. καὶ βρύχεται πυκνά. καὶ ἀλγέει τὰς χώρας τῶν ὀφθαλμῶν. καὶ τὸ πρόσωπον ἀφύει. καὶ ἐς τοὺς πόδας οἴδημα κατέρχεται. ἐνίοτε δὲ καὶ ὅλον τὸ σῶμα ἀποιδέει καὶ ἐς τὰ στήθεα καὶ ἐς τὸ μετάφρενον ἐνίοτε ἡ ὀδύνη φοιτᾷ. καὶ ἡ γαστὴρ τετάρακται. καὶ τοῖσιν ὀφθαλμοῖσιν ὀξυορέει ἰσχυρῶς. καὶ τὸ σίαλον ἀποπτύει πολλὸν καὶ ἀφρῶδες. καὶ ἐν τῇ φάρυγγι δοκέει ἐνέχεσθαι. καὶ κέρχνει αὐτόν. πολλάκις δὲ καὶ φλεγμαίνει ὁ φάρυγξ. τοῦτον ὁκόταν οὕτως ἔχῃ, καὶ οὕτως ὁ πόνος πιέζῃ, καὶ ὀρθόπνοια ἰσχυρὴ ἐμπίπτῃ. ἔστιν ὅτε καὶ πολλάκις ἐξαπίνης ὑπὸ τοῦ πόνου τὴν ψυχὴν ἀφῆκεν ἐν ἑπτὰ ἡμέρῃσιν, ἢ ἐν δεκατέσσαρσι. πουλλοὶ δὲ διαφέρουσι καὶ ἕως τῶν εἰκοσιτεσσάρων ἡμερέων. πολλάκις δὲ καὶ ἐξαπίνης ἡ νοῦσος ἀφῆκε. καὶ δοκέει ὑγιὴς εἶναι. ἀλλὰ φυλάσσεσθαι χρὴ, ἄχρις ἂν αἱ τέσσαρες καὶ εἴκοσιν ἡμέραι παρέλθωσιν. ἢν γὰρ ταύτας διαφύγῃ, οὐ μάλα θνήσκει. τούτῳ ὁκόταν ὧδε ἔχῃ, ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων, χρὴ ῥοφήματα διδόναι, ἄλητον κάθεφθον, μέλι λεπτὸν παραχέων. πίνειν δὲ διδόναι, μέλανα οἶνον κατ' ὀλίγον, ὅκως ἂν βούληται κεκρημένον. σιτία δὲ μὴ προσφέρειν, πρὶν ἂν αἱ ἡμέραι παρέλθωσι. πολύποδας δὲ ἐν οἴνῳ ἑφθοὺς διδόναι ἐσθίειν. καὶ τὸν ζωμὸν ῥυμφάνειν. καὶ ῥαφανίδας τρώγειν πολλάς. καὶ καρδάμου καρπὸν φώσας, ἀλέσαι καὶ σῆσαι λεπτά. εἶτα πινέτω οἶνον μέλανα, ἐπιβαλὼν στρυφνόν. καὶ ἄλφιτα λεπτὰ ὀλίγα διδόναι πίνειν ἕωθεν. λουτροῦ δὲ ἀπεχέσθω, μέχρις ἂν αἱ ἡμέραι παρέλθωσιν. οἴνῳ δὲ καὶ ἐλαίῳ χλιήνας, ἀλείφειν ἐς κοίτην, καὶ ἐκμάσσειν. καὶ γλυκυσίδης καρποῦ δέκα κόκκους ἑψῶν ἐν οἴνῳ μέλανι, διδόναι πίνειν. καὶ γογγυλίδας διέφθους ποιέων, ῥυμφανέτω τὸν χυλὸν, ἀρτύσας τυρῷ ἀνάλτῳ, καὶ μήκωνι, καὶ ἁλὶ, καὶ ἐλαίῳ, καὶ σιλφίῳ, καὶ ὄξει. ἢν δὲ καὶ φάρμακον βούλῃ πίσαι, τοῦ κνιδίου κόκκου πίσαι. καὶ μετὰ τὴν κάθαρσιν, ἀλεύρου ἑφθοῦ καὶ λιπαροῦ δοῦναι δύο τρυβλία ἐκροφέειν. οἶνον δὲ πινέτω τὸν αὐτόν. καὶ τῶν φαρμάκων καὶ ῥυφημάτων καὶ σιτίων ὅ τι ἂν διδῷς, ὀνήσειεν, ἤν τε κατὰ ἕν, ἤν τε κατὰ πλείω προσφέρῃς. καὶ οὕτω τάχιστα ὑγιέα ποιήσεις. ἡ δὲ νοῦσος χαλεπή. καὶ παῦροι διαφυγγάνουσιν.

Ἄλλος τίφος. Γίνεται μὲν καὶ οὗτος, διὰ τόδε. ὁκόταν ἡ χολὴ σαπεῖσα μιγῇ τῷ αἵματι ἀνὰ τὰς φλέβας καὶ τὰ ἄρθρα, ὁκόταν τὸ αἷμα στῇ, ἐνίσταται μὲν ἐν τοῖσιν ἄρθροισι. κατασκήπτει δὲ ἐνίοτε, καὶ εἰς τὸ ἄλλο πᾶν σῶμα. καὶ ὀδύνας παρέχει ὀξείας. καὶ οἱ πουλλοὶ ἐκ τῆς τοιαύτης νούσου, χωλοὶ γίνονται, ὁκόταν ἀπολειφθεῖσα ἐν τοῖσιν ἄρθροισιν ἡ χολὴ παγωθῇ. ἡ δὲ ὀδύνη διαλείπουσα ἐπιλαμβάνει, καὶ διὰ τριῶν ἡμερέων, καὶ διὰ τεττάρων. τοῦτον ὁκόταν ὧδε ἔχῃ, μελετᾶν οὕτως. τῆς ὀδύνης ἐπικρατούσης ἐν τῷ σώματι, χλιάσματα χρὴ ποιέειν καὶ προστιθέναι, ἐλαίῳ ὑπαλείψας. ὁκόταν δὲ ἀνῇ, δοῦναι αὐτῷ ἐλλέβορον, πυριήσας πρόσθεν ἅπαν τὸ σῶμα. τῇ δὲ ὑστεραίῃ, ὀῤῥὸν αἰγὸς ἑψήσας, δοῦναι πιεῖν, δύο χόας, παρὰ τὸν ἕτερον χόα, μέλι παραχέας. παρὰ δὲ τὸν ἕτερον, ἅλας παραβαλών. εἶτα κύλικα παρὰ κύλικα παραλλάσσων, πινέτω ἕως ἂν ἐκπίῃ ἅπαν. εἰς ἑσπέρην δὲ μετὰ τὴν κάθαρσιν, φακῆς τρυβλίον ῥοφεέτω. καὶ τεύτλων τρυβλίον λιπαρῶν ἄλφιτα παραπάσας, ἐκπιέτω. καὶ νεοσσοῦ ἀλεκτορίδος κρέας, ἢ πελιάδος, ἢ τρυγόνος, ἢ ὄϊος, ἢ ὑὸς πίον τρωγέτω. τὸν δὲ ἐλλέβορον, δι' ἕκτης ἡμέρης διδόναι. καὶ ἤν κου τῶν ἄρθρων ἀφιδίσκηται καὶ μὴ θέλῃ ἀφίστασθαι, σικύην προσβαλὼν, ἀφαιρέειν τοῦ αἵματος. κατακεντῶν ἀκίδι ξιφώνῳ, ἐς τὰ γούνατα, καὶ ἐν τοῖσι γούνασιν ἐν οἷς τὸ οἴδημα. τῶν δὲ ἄλλων ἄρθρων μηδὲν κεντιώσῃς. τὰς δὲ μεταξὺ τῶν ἡμερέων, σιτίον προσφερέσθω. ἄρτον μὲν, ὡς ὀπτότατον. μάζαν δὲ, ψαιστὴν ὡς μάλιστα. ὄψα δὲ ἐχέτω ὡς μάλιστα μὲν ὀπτά. ὀρνίθεια δὲ, ἄναλτα. εἰ δὲ μὴ, καὶ ἑφθὰ, ἐζωμευμένα, πλὴν ἄνευ τυροῦ, καὶ σησάμου, καὶ ἁλός. ἰχθύεσι δὲ χρεέσθω, τοῖσι σαρκωδεστάτοισιν. ὀπτοῖσι δὲ, τὸν ἴσον τρόπον τοῖς κρέασιν ἑψῶν, δι' ὀριγάνου πάσας, ἐλαίῳ αὐτὰ ὑποχρίσας. οἶνον δὲ πινέτω λευκὸν, ἢν ξυμφέρῃ. ἢν δ' οὐ ξυμφέρῃ, μέλανα. καὶ ἐν περιόδοισι ταλαιπωρεέτω δι' ἡμέρης. καὶ μετὰ τὸ δεῖπνον, καὶ ὄρθριος. ὀῤῥὸν δὲ καὶ γάλα τὴν ὥρην πινέτω ἀεί. ἢν δέ σοι δοκέῃ, καὶ ὄνειον γάλα διδόναι ἀφεψήσας. καὶ ἢν ὑγιὴς γένηται, ἐν φυλακῇ αὐτὸν εἶναι τοῦ ψύχεος καὶ τοῦ πνίγεος. καὶ τῶν σιτίων, μὴ λίην ἐμπιπλάσθω. κίνδυνος γὰρ αὖθις ὑποστροπιάζειν τὴν νοῦσον. αὕτη τοιγαροῦν ἡ νοῦσος οὕτω θεραπευομένη, ἐν ἓξ μησὶν, ὑγιὴς γίνεται. ἐν δὲ τῷ τῶν τοσούτων μηνῶν τῷ διαστήματι κρίνεται ἤν τε θανάσιμος, ἤν τε μή. ἢν καὶ παραχρῆμα θεραπεύηται, πλὴν ἡ νοῦσος χαλεπή. καὶ τοῖσι πλείστοισι συναποθνήσκει.

Ἄλλος τίφος. Γίνεται μὲν τὸ νούσημα ἐν ὀπώρης καιρῷ, ὁκόταν τις πληθῇ παντοίης ὀπώρης. τοῖσι δὲ πουλλοῖσι καὶ ἀπὸ τῶνδε ἐγένετο ἡ τοιάδε νοῦσος. φαγόντες πλακοῦντος καὶ σησάμης καὶ τῶν ἄλλων μελιτωθέντων ἀπλέως. τὸ γὰρ μέλι τὸ ἑφθὸν, καυματῶδές ἐστι, καὶ προσπλάσσεται τῇ κοιλίῃ. ἔπειτα ὁκόταν καταπεψηθῇ ἐν τῇ κοιλίῃ, ἀναζέεται. καὶ ἐξαπίνης ἡ γαστὴρ αἴρεται. καὶ πίμπραται. καὶ δοκέει διαῤῥήγνυσθαι. ἔπειτα δὲ ἐξαπίνης διάῤῥοια ἔσω γίνεται. καὶ ὁκόταν ἅπαξ ἄρξηται χωρέειν, πολλὰς ἡμέρας καθαίρεται. καὶ πουλλοὶ μετὰ ταύτην τὴν κάθαρσιν, ὑγιέες ἐγένοντο. ὁκόταν οὖν παύσηται αὐτόματος, καθαιρόμενος φακῶν χυμοῦ, ἀναγκάσαι αὐτὸν ἐκπιεῖν βίᾳ ἢ μάχρα, ἅλας παραβάλλων. μετὰ δὲ τὴν κάθαρσιν τοῦ χυμοῦ, ἐς ἑσπέρην, φακῆς τρυβλίον ῥοφεέτω ψυχρῆς ἀνάλτου. σίλφιον δὲ ἐπιξέσθω πουλύ. καὶ τεύτλου τρυβλίον, ἀνήθου λιπαροῦ, ἄλφιτα παραπάσσων. οἶνον δὲ πινέτω, μέλανα αὐστηρὸν κατ' ὀλίγον. τὸ δὲ λοιπὸν τοῦ χρόνου, ταὐτὰ ποιεέτω. καὶ σιτία προσφερέσθω, ἄρτον ἐξοπτόν. μάζαν τε ψαιστὴν ὡς μάλιστα. τὰς δὲ πρώτας τῶν ἡμερέων, ἄλευρον φαγέτω κάθεφθον, ἀποψύχων, καὶ μέλι παραχέων. οἶνον δὲ πινέτω μέλανα στρυφνὸν, ἕως ἂν καταστῇ ἡ νοῦσος, ταῦτα προσφερέσθω. ὁ δὲ ὑπὸ τῆς ὀπώρης ληφθεὶς τῇ νούσῳ, φῦσαν παρέχει, καὶ στρόφον, καὶ ὀδύνην. καὶ τὰ σιτία οὐκ ἐθέλει διαχωρέειν. καὶ ἡ γαστὴρ μεγάλη καὶ σκληρὴ αὐτοῦ ἐστι. καὶ ῥῖγος καὶ πυρετὸς ἔχει. τούτῳ ἢν μὲν αὐτομάτη ταραχθῇ ἡ κοιλίη, ἐν εἴκοσιν ἡμέρῃσι τὸ ἐλάχιστον καθαίρεται. καὶ ὁκόταν παύσηται καθαιρόμενος, ὑγιὴς παραχρῆμα ἔσται. ἢν δὲ μὴ καθαρθῇ, καθαίρειν αὐτὸν, τῷ ἱπποφεῷ ὀπῷ, ἢ τῷ κνιδίῳ κόκκῳ. ἐς ἑσπέρην δὲ ταῦτα διδόναι, καὶ τῷ αὐτομάτως καθαιρομένῳ. τῇ δ' ὑστεραίῃ, ἢν μὲν πυρετὸς ἔχῃ, ἡσυχίην ἐχέτω. διδόναι δὲ αὐτῷ πίνειν τὸν αὐτὸν οἶνον, ὡς ἐν ψυχροτάτῳ ὕδατι. ἢν δὲ μὴ ἔχῃ πυρετὸς, διαιτήσθω δίαιταν μὴ ὑγρὴν, ἀλλ' ἰσχυροτέρην. καὶ περιπατεέτω πρὸς τὰ σιτία τεκμαιρόμενος. ὑπὸ τουτέου τοῦ νοσήματος, πολλοῖσιν ἤδη ὕδερος ἐξεγένετο. καὶ ἢν δοκέῃ σοι κλύζειν, τοῖσιν αὐτοῖσι κλύσον, οἷσι καὶ τὸν ὑδεριῶντα. ἢν δὲ βούλῃ τοῖσι δὲ κλύζειν, ἐν μελικρήτου κοτύλῃ ποιέειν θαψίης ἐγχύσαι, εἶτα οὕτως ἐγκλύσαι. οὗτος οὕτω θεραπευόμενος, τάχιστα ὑγιὴς ἔσται.

Ἄλλος τίφος. Γίνεται μὲν τὸ νούσημα, ὁκόταν τὸ ὑγρὸν τὸ ἐν τῷ σώματι σαπῇ. καὶ ἀναξηρανθῇ μᾶλλον τοῦ καιροῦ. γίνεται οὖν τὴν ἰδέην, ὁκόταν τῷ νουσήματι ἔχηται, δίυγρος. ὑπόχλωρος. διαφανής. κύστει ἐοικὼς ὕδρου, πλὴν οὐκ οἰδέει, ἀλλὰ λεπτὸς καὶ σκελιφρός ἐστι καὶ ἀσθενής. μάλιστα δὲ τοῦ σώματος λεπτύνεται τὰς κληῖδας. καὶ τὸ πρόσωπον ἰσχυρῶς κάτισχνος. καὶ οἱ ὀφθαλμοὶ ἔγκοιλοι σφόδρα. ταῦτα μὲν ὑπὸ τοῦ νοσήματος πάσχει. ἡ δὲ χροιὴ τοῦ σώματος μέλαινα ἦ. τὰ δὲ αἴτιά ἐστιν, ἐς τὰ φλέβια καὶ ἐς τὸ δέρμα, ὁκόταν χολὴ μέλαινα ὑπέλθοι, καὶ ἐπὶ τούτοισιν ὁκόταν θέρμη ἐπιγένηται, ἀνάγκη οὖν ὑπὸ τοῦ θερμοῦ ξυγκέεσθαί τε καὶ ἀναξηραίνεσθαι τὰ φλέβια, ὥστε τὸ αἷμα ἐκχωρέειν κατὰ τὰ φλέβια. τάδε οὖν πάσχει. οὗτος λεπτὸς γίνεται. καὶ κάτισχνος ἰσχυρῶς. καὶ τοῖσιν ὀφθαλμοῖσιν ἀραιὰ καρδαμύσσει, καὶ τὰς μυίας ἀπὸ τοῦ ἱματίου θηρεύει. καὶ βάρος

τῶν σιτίων ἐστὶν, ἢ ὑγιαίνων. καὶ λύχνου ἀποσβεσμένου τῇ ὀσμῇ ἥδεται. καὶ ἐξονειρώσσει θαμινά. πολλάκις δὲ καὶ βαδίζοντι αὐτῷ, ἐξέρχεται ἡ γονή. τοῦτον ὁκόταν οὕτως ἔχῃ, καθαίρειν τὴν κοιλίην τῷ μέλανι ἐλλεβόρῳ, τὴν ἄνω δηλονότι. τὴν δὲ κάτω, ὀπῷ σκαμμωνίης. μετὰ δὲ τὴν κάθαρσιν, τὰ αὐτὰ διδόναι, ἃ καὶ τοῖσιν ἄλλοισι. καὶ ὀῤῥὸν. καὶ γάλα βοὸς, ἢ αἰγὸς διδόναι τὴν ὥρην. διδόναι δὲ καὶ ὄνειον γάλα ἀφεψῶν ἐς ὑποκάθαρσιν. οὗτος οὕτω μελετώμενος, μάλιστα ἐν δυσὶν ἔτεσιν ὑγιὴς γίνεται. σιτία δὲ ἃ βούλεται προσφερέσθω. ἀνωχεέσθω δὲ ὡς μάλιστα καὶ περιπατεέτω, πρὸς τὰ σιτία τεκμαιρόμενος. αὕτη ἡ νοῦσος λαμβάνει πρεσβυτέρον εἰκοσαέτεος. ὁκόταν δὲ λάβῃ, ἢν μὴ κατ' ἀρχὰς τοῦ νοσήματος μελετηθῇ, οὐκ ἐκλείπει, εἰ μὴ εἴκοσιν ἔτεα παρέλθῃ, ἀλλὰ προσέχει. ἔπειτα ἐνίοισι μελετωμένοισιν ἐξέρχεται. ἡ δὲ νοῦσος χαλεπή. Εἰλεοί. Εἰλεοὶ δὲ τάδε τὰ νουσήματα καλέεται. γίνεται δὲ ἀπὸ τῶνδε μάλιστα. ἢν τοῦ χειμῶνος θερμῇ τῇ διαίτῃ καὶ ὑγρῇ χρέεται, καὶ μήτε περιόδοισι ταλαιπωρέῃ πρὸς τὰ σιτία τεκμαιρόμενος. πιμπλάμενος δὲ, εὕδει ἀεί. εἶτα ἐξαπίνης ἀναγκασθῇ βαδίσαι μακρὴν ὁδὸν, ψύχεος ἐόντος. εἶτα ῥιγώσῃ περὶ τὰ ὀστέα. τάδε οὖν πάσχει. φῦσα ἐγγίνεται ἐν τῷ σώματι παντί. καὶ ἡ χροιὴ αὐτέου γίνεται, μολιβδοειδής. καὶ ῥιγοῖ αἰεί. ὥστε οἱ θερμὸν καταχυθὲν, οὐ δοκέεται θερμὸν εἶναι. τὸ δὲ σῶμα λουόμενον αὐτοῦ, λεπίζεται ἀπὸ τοῦ θερμοῦ. μάλιστα δὲ ἡ ὄψις. καὶ ἢν τῷ δακτύλῳ τοῦ σώματος ὑποπιέζῃς, ἐνθλάσεις. καὶ σημαίνεταί σοι ὥσπερ ἐν σταιτί. μάλιστα δὲ ἐν τοῖσι πόδεσιν ἐνθλᾶται. τὰ δὲ σκέλεα βαρέα αὐτοῦ. καὶ ἢν περιφοιτέῃ, φέρει. καὶ ἢν πρὸς ἔπος βαδίζῃ, πνευστιᾷ σφόδρα. καὶ αἱ ὠλέναι δοκέουσιν ἀποκρέμασθαι. καὶ δίψαν ἔχει τὰς νύκτας. τὰ δὲ σιτία ὠμὰ διαχωρέει, ἅσσα κατα φάγῃ. τοῦτον ὁκόταν οὕτως ἔχῃ, πυριήσας αὐτὸν, κνεώρου διδόναι πίνειν, ἢ τοῦ ἱπποφαέω ὀποῦ, ἢ τοῦ κνιδίου κόκκου. μετὰ δὲ τὴν κάθαρσιν ταῦτα διδόναι, ἃ καὶ τοῖσι πρόσθεν. τῇ δὲ ὑστεραίῃ, ὀνείου γάλακτος ἑφθοῦ χόα διδόναι, δὶς ἐκπιεῖν, ἅλας παρεμβάλλων. ἐς ἑσπέρην δὲ, δειπνεέτω ἄρτον. ὄψον δὲ ἐχέτω, ὀΐος κρέα ἑφθά. καὶ πουλύποδας ἑφθοὺς ἐν οἴνῳ μέλανι. καὶ τὸν ζωμὸν ῥυφανέτω. καὶ φακῆν ἐχέτω, ὧδε ἐσκευασμένην. κοτύλην φακοῦ ἑψήσας, ψῆσαι λείην. ἔπειτα ἄλευρον παραμίξαι. καὶ σίλφιον ἐπιξέσαι, καὶ ἅλας ἐμβαλεῖν. καὶ ὄξος ἐπιχέαι. καὶ σκόροδα πρὸς τούτοις συνεψεῖν. ἔπειτα ὕδωρ ἐπιχέας ζέσαι δὶς ἢ τρίς. καὶ τορύνην ἅμα αὐτοῖς. ἔπειτα ἀφελὼν, ἑψήσθω. ἔστω δὲ μὴ λίην παχείη. ἐμβεβλήσθω δὲ καὶ ἡ γλήχων ἑψομένη τῆς εὐωδίης εἵνεκα. τὰς δὲ μεταξὺ τῶν ἡμερέων, ἐμέτους ποιεέσθω διὰ ἕκτης ἡμέρης. πυριήσθω δὲ χρὴ ἄλλοτε καὶ ἄλλοτε πρὸ τοῦ ἐμέτου καὶ τῆς φαρμακοποσίης. καὶ διὰ τρίτης ἡμέρης, λουέσθω ἢν συμφέρῃ. εἰ δὲ μὴ ἀλειφέσθω, καὶ περιπατεέτω ἢν δυνατὸς ᾖ, πρὸς τὰ σιτία τεκμαιρόμενος. καὶ ἀκτῆς φύλλα καὶ κονύζης τῆς λειοπαλέος ἑψῶν, διδόναι ἐσθίειν. οὕτω δ' ἂν μελετώμενος, ῥήϊστα διάγοι. καὶ ἡ νοῦσος ἐκλείπει ἐν ἐνιαυτῷ. πολλοῖσι δὲ ἤδη ὑγιέσι γινομένοισι, διὰ δύο ἐτέων ἡ νοῦσος ὑποτροπιάζει. ἀλλὰ χρὴ ἢν ὑποτροπιάσῃ, τὴν αὐτὴν ἴησιν ἰῆσθαι. ἢν δὲ ῥῖγος ὑποτροπιάσῃ, οἴδημα μὲν οὐκ ἐπιγίνεται. λεπτὸς δὲ γίνεται καὶ κάτισχνος. ἄρχεται δὲ λεπτύνεσθαι, ἀπὸ τοῦ προσώπου. καὶ τὴν χροιὴν ἔκλευκος γίνεται, μᾶλλον ἢ τὸ πρόσθεν. τούτῳ ὕδερος ἐνίοτε ἐγένετο ἐν τῇ κοιλίῃ. ἢν οὖν ἐπιγένηται, τάμνειν αὐτὸν οὐ χρή. ἀποθανέεται γάρ. θεραπεύειν δὲ τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν ἀπὸ σπληνὸς ὑδεριῶντα. τοῦτον μάλιστα μὲν κατ' ἀρχὰς βούλεσθαι, ἢν μὴ καὶ οὕτω ταχέως ὑγιέα ποιήσῃς. ἡ δὲ νοῦσος δέεται μελέτης πολλῆς. χαλεπὴ γάρ. Ἄλλος εἰλεὸς ἰκτερώδης. Ἐπιλαμβάνει μάλιστα μὲν θέρεος ὥρην ἐν ἑλώδεσι χωρίοισιν οὗτος. μᾶλλον δὲ ἀπὸ ὑδρωποσίης. πολλοὶ δὲ ἤδη τῷ τοιούτῳ συνεχώσθησαν καὶ ὑπὸ τὸν ἥλιον εἰληθέντες, τὴν κεφαλὴν ἀλγήσαντες. ἀλλὰ παραπλήσια τοῖσι πρόσθεν πάσχουσι, πλὴν τῆς χροιῆς. καὶ γὰρ ὠχρὸς γίνεται, οἷον σίδιον. καὶ οἱ ὀφθαλμοὶ ἔστιν ὅτε ἰκτεροῦ πίμπλανται. τοῦτον ὁκόταν οὕτως ἔχῃ, θεραπεύειν χρὴ τοῖσιν αὐτοῖσιν. οἷσι καὶ τὸν πρόσθεν. διδόναι τὸ ἀπὸ ἐρεβίνθων λευκῶν ὕδωρ ἑψῶν πίνειν. καὶ ἐν τῷ οἴνῳ διακερνᾶν καὶ διδόναι. καὶ τὴν κεφαλὴν αὐτέου καθαίρειν τῷ τετραγώνῳ. οὗτος ἧσσον τοῦ προτέρου θανατώδης. καλέεται δὲ εἰλεὸς ἰκτερώδης. Εἰλεὸς αἱματίτης. Τὰ μὲν ἄλλα πάσχει πλῆθος τὰ αὐτὰ τοῖσι πρόσθεν. ἄρχεται δὲ μετοπώρου γίνεσθαι τὸ νούσημα. τάδε δὲ ἐν τῷ νουσήματι προσγίνεται. ἐκ τοῦ στόματος κακὸν ὄζει ἀπὸ τῶν ὀδόντων, καὶ τὰ οὖλα ἀφίσταται. καὶ ἀπὸ τῶν ῥινῶν αἷμα ῥέει. ἐνίοτε δὲ καὶ ἐκ τῶν σκελέων ἕλκεα ἐκφλαυδάνει. καὶ τὰ μὲν, ὑπαίνεται. τὰ δὲ ἄλλα, προσγίνεται. καὶ ἡ χροιὴ μέλαινα, καὶ λεπτόδερμος. περιφοιτῆν δὲ καὶ ταλαιπωρέειν πρόθυμος. τοῦτον ὁκόταν οὕτως ἔχῃ, τούτοισιν ἰῆσθαι, οἷσι καὶ τοὺς πρόσθεν. καὶ κλύζειν τοῖσδε. σικύου τοῦ ἀγρίου πέντε φύλλα ψῆσαι λεῖα, καὶ παραμίξαι μέλιτος ἡμικοτύλιον. καὶ ἁλῶν δραξάμενος τῇ μιῇ χειρὶ, καὶ ἐλαίου, ἡμικοτύλιον. καὶ ἀπὸ τεύτλων ἑφθῶν τοῦ χυλοῦ τέσσαρας κοτύλας. διδόναι δὲ ἐς ὑποκάθαρσιν ὀνείου γάλακτος ἑφθοῦ, κοτύλας ὀκτὼ, μέλι παραχέων. πινέτω καὶ βόειον τὴν ὥρην, τεσσαράκοντα ἡμέρας. πινέτω δὲ καὶ τὸ ἕωθεν τοῦ βοείου γάλακτος, δύο κοτύλας. σῖτον μελικρήτου παραμισγοντας καὶ μεταξὺ τῶν ἡμερέων. αὕτη ἡ νοῦσος. δέεται πουλλῆς ἰήσιος. εἰ δὲ μὴ, οὐκ ἐξέρχεται, ἀλλὰ ξυναποθνήσκει τῷ αἰῶνι. καλέεται δὲ εἰλεὸς αἱματίτης. Τὰ παχέα καλούμενα νοσήματα. Ἐκ δὲ τῶν παχέων καλουμένων νουσημάτων, τάδε μά-

λιστα

λιστα γίνεται. ὁκόταν φλέγμα καὶ χολὴ μιχθῇ κατὰ τὸ σῶμα, ῥέει ἐς τὴν κοιλίην. καὶ ὁκόταν ἀλισθῇ ἐν τῇ κοιλίῃ, ἀείρεται. ἄνω τε καὶ κάτω ἀναζέει. ὥσπερ κῦμα. καὶ ῥῖγος. καὶ πυρετὸς ἐπιλαμβάνει. καὶ ἐν τῇ κεφαλῇ ἡ ὀδύνη καθέστηκε. καὶ ὁκόταν πρὸς τὰ σπλάγχνα ἡ ὀδύνη κατάσχῃ, πνῖγα παρέχει. ἐνίοτε δὲ ἐμέει λάπην ὀξείην. ἐνίοτε δὲ καὶ ἁλμυρήν. καὶ ὁκόταν ἀπεμέσῃ, πικρὸν τὸ στόμα δοκέει αὐτῷ εἶναι. ἐν δὲ τῇσι πλευρῇσιν ἐρυθήματα κατέχεται ἅτε δὴ τοῦ φλέγματος ἐν τῇ κοιλίῃ ἐόντος, τὸ αἷμα ὑπὸ θερμασίης ἀλισθὲν, προσέπεσεν ἐς τὰ πλευρά. καὶ ἐρυθήματα παρέχει ἐν τῇσι πλευρῇσι. καὶ θέρμα ἐνέχει μάλιστα τὰς πλευράς. καὶ τὸ μετάφρενον αὐτοῦ ἔγκυρτον γίνεται. καὶ ὁκόταν πονῇ μάλιστα, οὐκ ἀνέχεται ψαυόμενος τοῦ σώματος. ἀλγέει γὰρ ὁκοῖον παρ' ἕλκος. καὶ αἱ σάρκες πάλλονται ὑπὸ τῆς ἀλγηδόνος. καὶ οἱ ὄρχιες ἕλκονται. καὶ ἐς τὴν καθέδρην, καὶ ἐς τὴν κύστιν, θέρμη τις καὶ ὀδύνη ἐμπίπτει. καὶ οὐρέει παχὺ ὁκοῖον περ ὕδρωπος. καὶ ἐκ τῆς κεφαλῆς αἱ τρίχες ῥέουσι. καὶ οἱ πόδες ἀεὶ ψυχροί. καὶ ἡ ὀδύνη πιέζει μάλιστα τὰς πλευρὰς, καὶ τὸ μετάφρενον, καὶ τὸν τράχηλον. πρὸς δὲ τῷ δέρματι δοκέει οἱ τι προσέρπειν. ἡ δὲ νοῦσος ὁτὲ μὲν, πιέζει. ὁτὲ δὲ, ἀνίησι. προϊούσης δὲ τῆς νούσου, συνεχέστερον πιέζει. καὶ τῆς κεφαλῆς τὸ δέρμα παχὺ καὶ ἐρυθρόν ἐστιν. οὗτος μέχρι μὲν ἓξ ἐτέων, τοιαῦτα πάσχων διατελέει. ἔπειτα ἱδρώς τε πουλὺς καταχέεται καὶ κάκοδμος γίνεται. πολλάκις δὲ καὶ ὀνειρώσσει. τὸ δὲ λάγνευμα τούτου, ὕφαιμον προέρχεται ὑποπελιδνόν. τοῦτο τὸ νόσημα γίνεται, διὰ θερμασίην τοῦ ἡλίου καὶ ὑδροποσίην. τοῦτον τοιγαροῦν ὁκόταν οὕτως ἔχῃ, τοῦ κνεώρου διδοὺς ὑποκαθαίρειν, ἢ τοῦ κνιδίου κόκκου. ἢ τοῦ ἱπποφαέω. δίδου δὲ πίνειν καὶ γάλα ὄνειον ἑψήσας ὀκτὼ κοτύλας μέλι παραχέων. τῇ δὲ ὑστεραίῃ μετὰ τὴν κάθαρσιν τὰ αὐτὰ προσφέρειν, ἃ καὶ τοῖσιν ἄλλοισι. τὰς δὲ πρώτας ς ἡμέρας, ἀνωχεέσθω τὰ αὐτὰ, ἃ καὶ ὅστις ὑπὸ ὕδερου ἑάλω. καὶ πονεέτω περιόδοισιν ἢν δυνατὸς ᾖ. ἢν δὲ ἀδύνατος ᾖ ὑπὸ τῶν πυρετῶν καὶ ἐσθίειν μὴ δύνηται τὰ σιτία, χρεέσθω ῥυφήματι φακῆ. ποτῷ δὲ οἴνῳ μέλανι ὡς αὐστηροτάτῳ. αὕτη ἡ νοῦσος ἐπιλαμβάνει μάλιστα μετοπώρου, καὶ ὀπώρης ἐούσης. οὗτος ἢν μὲν ἰηθῇ ἐν τοῖσιν ἓξ ἔτεσιν. εἰ δὲ μὴ προσέχει καὶ ἄχρι τῶν δέκα ἐνιαυτῶν. πουλλοῖσι δὲ καὶ ξυναποθνήσκει, ἢν μὴ παραχρῆμα μελετηθῇ. Τὰ δὲ τοιάδε παχέα τῶν νουσημάτων γίνεται ἀπὸ χολῆς. ὁκόταν χολὴ ἐσέλθῃ τὸ ἧπαρ ἐπιῤῥυῇ, καὶ κατὰ τὴν κεφαλὴν κατάσχῃ. τάδε οὖν πάσχει τὸ ἧπαρ. οἰδέει καὶ ἀναπτύσσεται πρὸς τὰς φρένας ὑπὸ τοῦ οἰδήματος. καὶ εὐθὺς ἐς τὴν κεφαλὴν ὀδύνη ἐμπίπτει. μάλιστα δὲ ἐς τοὺς κροτάφους. καὶ τοῖσιν ὠσὶν οὐκ ὀξὺ ἀκούει. πολλάκις δὲ καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ ὁρᾷ. καὶ φρίκη καὶ πυρετὸς ἐπιλαμβάνει. ταῦτα μὲν κατ' ἀρχὰς τοῦ νουσήματος αὐτῷ γίνεται. διαλιμπάνοντα. ὁτὲ μὲν, σφόδρα. ὁτὲ δὲ, ἧσσον. ὁκόσῳ δ' αὖ ὁ χρόνος τῇ νούσῳ προΐῃ, ὅ, τε πόνος πλείων ἐν τῷ σώματι. καὶ αἱ κόραι σκίδνανται τῶν ὀφθαλμῶν, καὶ σκιαυγέει. καὶ ἢν προσφέρῃς τὸν δάκτυλον πρὸς τοὺς ὀφθαλμοὺς, οὐκ αἰσθήσεται, διὰ τὸ μὴ ὁρῆν. τούτῳ δ' ἂν γνοίης ὅτι οὐχ ὁρῇ, ὅτι οὐ σκαρδαμύσσει προσφερομένου τοῦ δακτύλου. καὶ τὰς κροκίδας ἀφαιρέει τοῦ ἱματίου, ἢν περ ἴδῃ, δοκέων φθεῖρας αὐτὰς εἶναι. καὶ ὁκόταν τὸ ἧπαρ μᾶλλον ἀναπτυγῇ πρὸς τὰς φρένας, παραφρονέει. καὶ προφαίνεσθαί οἱ δοκέει πρὸ τῶν ὀφθαλμῶν, ἑρπετὰ καὶ ἄλλοια παντοδαπὰ θηρία. καὶ ὁπλῖται μαχόμενοι. καὶ αὐτὸς ἐν αὐτοῖς δοκέει μάχεσθαι. καὶ τοιαῦτα λέγει, ὡς ὁρέων μάχας καὶ πολέμους. καὶ ἐπέρχεται. καὶ ἀπειλέει, ἢν μή τις αὐτὸν ἐῇ ἐξιέναι. καὶ ἢν ἀναστῇ, οὐ δύναται ἀείρειν τὰ σκέλεα, ἀλλὰ καταπίπτει. καὶ οἱ πόδες αὐτοῦ αἰεὶ ψυχροί. καὶ ὁκόταν καθεύδῃ, ἀναΐσσει ἀπὸ τοῦ ὕπνου, καὶ φοβέεται ὁκόταν ἐνύπνια ἴδῃ φοβερά. τάδε δὲ γινώσκομεν ὅτι ἀπὸ ἐνυπνίων ἀΐσσει, φοβέεται ὁκόταν ἔννοος γένηται, καὶ ἀφηγέεται τὰ ἐνύπνια, ὁκοῖα καὶ τῷ σώματι ἐποίει, καὶ τῇ γλώσσῃ ἔλεγε. ταῦτα μὲν, οὕτω πάσχει. ἔστι δ' ὅτε καὶ κέεται ἄφωνος ὅλην τὴν ἡμέρην καὶ τὴν νύκτα, ἀναπνέων πολλὸν τὸ πνεῦμα ἀθρόον. ὁκόταν δὲ παύσηται παραφρονέων, εὐθὺς παραχρῆμα ἔννοος γίνεται. καὶ ἢν ἐρωτῇ τις αὐτὸν, εὐθὺς ἀποκρίνεται. καὶ γινώσκει πάντα τὰ λεγόμενα. εἶτ' αὖθις ὕστερον ὀλίγῳ χρόνῳ, ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κεῖται. αὕτη ἡ νοῦσος προσπίπτει μάλιστα ἐν ἀλλοδημίῃ. καὶ ἤν κου ἐρήμην ὁδὸν βαδίζῃ, ὁ φόβος αὐτὸν λάβῃ ἐκ φάσματος. λαμβάνει δὲ καὶ ἄλλως. τοῦτον ὁκόταν οὕτως ἔχῃ, πίσαι τοῦ μέλανος ἐλλεβόρου πέντε ὀβολοὺς στήσας. διδόναι δὲ ἐν οἴνῳ γλυκεῖ, ἢ κλύζειν αὐτὸν ἐν τούτοισι. νίτρου αἰγυπτίου, ὁκόσον ἀστράγαλον οἷος. τοῦτο ψῆσαι λεῖον. καὶ παραμίξαι μέλιτος καλλίστου. ἡμικοτύλιον δὲ ἑψήσας ἐνθυμίαν, καὶ ἡμικοτύλιον ἐλαίου, καὶ ἀπὸ τεύτλων ἑφθῶν ὕδατος τέσσαρας κοτύλας ἐξαιθειάσας. ἢν δὲ βούλῃ ἀντὶ τεύτλου ὄνειον γάλα ἑψήσας, παραμίξαι. ταῦτα μίξας κλύζειν, ἤν τε πυρετὸς ἔχῃ, ἤν τε μή. ῥυφήμασι δὲ χρεέσθω, πτισάνῃ καθεφθῷ, μέλι παραχέων. πινέτω δὲ καὶ μέλι καὶ ὕδωρ καὶ ὄξος συγκεράσας ἅμα, ἕως ἂν κριθῇ ἡ νοῦσος. κρίνεται δὲ ἐν δεκατέσσαρσιν ἡμέρῃσι. τὸ μακρότατον, ἤν τε θανάσιμον, ἤν τε οὔ. πουλλοῖσι δὲ ἤδη ἡ τοιαύτη νοῦσος πεπαυμένη, πάλιν ὑπεξοπίασεν. ἢν οὖν ὑποτροπιάσῃ, κίνδυνος αὐτὸν διαφθαρῆναι. κρίνεται δὲ ἡ νοῦσος ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν θανάσιμος, ἢ οὔ. ἢν δὲ ταύτας ἐκφύγῃ, οὐ μάλα θνήσκει, ἀλλὰ τοῖσι πουλλοῖσι μελεδαινομένη ἐξέρχεται. ὁκόταν δὲ παύσηται ἡ νοῦσος, μελέτῃ χρεέσθω καλῇ. ἡσύχως προσάγων, ὁκόσα ἡ κοιλίη προσδέξηται καὶ μὴ ξυγκαυθῇ, μήτε διάῤῥοια ἐπιγίνηται. ἀμφότερα γὰρ δοκέει, κινδυνώδεα εἶναι.

λευκοῖς τ καρπόν. πρίσματα· ὑ χαλβάνην μέλιτι ἀναφυρήσας, ὑπόθυμιᾶν. Αἰγὸς κυν ρᾶθους, καὶ λατωῦ τείχες ἐλαίῳ φώκης δεύσας, ὑπόθυμιᾶν. Φώκης τῆς πιτύης ῥ δέρμα κάψας λεῖον, καὶ ὠσπόν· καὶ βρύα ὁμοῦ λεῖα μέξας τῷ ἐλαίῳ τῆς φώκης ἀποθυμιήσας, ὑπόθυμιᾶν. Αἰγὸς κυν ρᾶθους ὑ φώκης τὸ πνεύμονος, καὶ κέδρου πρίσματα ὑπόθυμιᾶν. Βόλβιτον· κράτος πρίσματα· καὶ ἄστραλτον ὑπόθυμιᾶν. Λ καύθης ἀγνοπίτης καρπόν, καὶ κέδρου πρίσματα, ὑ μυρσίνης φύλλα ξηρὰ· τοῦτα ποιήσας λεῖα, κύρω τε ὑπὸ βαλανίδος βάσας, ὑπόθυμιᾶν. Ἀρώματα ἐς μύρον ἐμβαλλόμενα ὑπόθυμιᾶν. Γίγαρτα κάψας λεῖα· καὶ κεδρίδες. καὶ ῥητίνῃ πιτυΐνῃ ὁμοῦ μέξας ἐλαικῇ ἐφθῷ δεύσας ὑπόθυμιᾶν. Υγιείσης. Βόλβιτον κεκαμμένον, ὑ σισμηλόν· ὄξους ῥ ἡμισυ. Τὸ ἑρπυλλ ῥ ἡμισυ ἐμβάλλων, πυελῷ βληχρῶς· ἐπὶν ὑ πυιήσης, φάκελον πίνειν, καὶ ῥοφεῖν καὶ ἀπεμεῖν, δοῦναι ἄλητον· ὑ ἐπιπίνειν οἶνον· τῇ δ ὑσδραίη, κάκνον δοῦναι κατάποτον. τῇ δὲ ἑτέρῃ διουρητικόν. ὀρεξίνους λευκοὺς δύο τεῖψαι· τῆς δὲ σαρκίδος τεῖον, ἐπιχέαι ἡμισυ ἐλελίσφακον· καὶ τὸ λίνον ἀποθλίψαι τουτέοις ἀμφοτέροις μέξαι καὶ ἄλφιτον, διδόναι δὶς τῆς ἡμέρης, οἴνῳ κεκραμένῳ, κοτύλησι τέσσερσιν. ἐλαίης τερεβινθίνης μικροτύλια· αὐτῆς φύλλα ὅσον χεῖρα πολεῖ ῳ· ταῦτα ἐψέειν ἐγχέαι ἐς κρατῆρα ὕδρ μὲν πυελῷ· ὀ ὄρακος ὕδρ μοῖς ὠδὶ δίφρου καθίζεσθαι ἀποδιηκαλύψαι ἱματίοις τῆς ἀκτῆς φύλλα ὅσον χεῖρα πολεῖν· καὶ τῆς μυρσίνης ῥ ἴσον ἐμβάλλων ἐς ὕδωρ, ἐψήσας καὶ ἀποχέας ῥ ὕδωρ, ἐμβάλλων κειβῶν ἄχυρα, ἐψήσας ἐμβαλε ἐς ὄρακος. ἔπειτα τουτέῳ πυελῷ· ὁ σὰν δυὼ ἡμέρας ὕδρ μότητα ἀνέχειν μάλιστα. Ὀξος· ἔλαιον· ὕδωρ· μέλι κεράσας, ταῦτα ἀπάζεσον στρόβορα· ἔπειτα λαβὼν κύσιν, χωρέουσαν ὡσεὶ χοᾶ· ἡ ἀσκὸν ὡς λεπτοδέρματον ἐγχέαι, καὶ περιελίξαι ῥάκει ἐρείῳ, πυελῷ· ὁκόταν ὑ θλιβῶν ῥ ὄρακος γένηται, ἕτερον περιελίσσειν τῆς πίτυος ἢν φλοιόν· καὶ τῷ δοῦ τὰ φύλλα ἐμβάλλων, ἐψήσας ἰσχυρῶς, ἀποχέαι τε ῥ ὕδωρ, καὶ κειβῶν ἄχυρον, ἔλαι· ἔλαιον ἐπιχέαι· ὁκόταν δὲ σωθῇ σης ἐμβαλὼν ἐς ὄρακος, πυεῖα. λωτοῦ πρίσματα καὶ κυπαρείσσου, ὕδωρ ἐπιχέαι ὑ ἔλαιον ἔλαι, ἕως ἂν ξωνεψήσῃς· ἔπειτα ἐμβαλὼν ἐς ὄρακος, πυεῖα. Ἀρώματα ἐς ῥ ὕδωρ ἐμβαλλόμενα ἐψήσας ὅσον χοίνικα· καὶ τῷ ὕδατι τούτῳ πύρρινα ἐψήσας, ἢν αὐ ἢν δόπον κνικίδα κάψαι, καὶ ῥάκμου ἢν φλοιὸν ἐφεψήσας ἰσχυρῶς, πίτυρα πύρρινα φύρησον τῷ ὕδατι, καὶ παχμὶ μέξον ἔλαιον· ἔπειτα ἡ μόσπον ποιήσας ἄρτον ὅσον δίχοινικα, ὀπτήσας ἐς ὄρακος, πυεῖα. Κράμβλω καὶ πράσεα ἀφεψῶν τῷ χυμῷ ποίησον τὶ ἴσον ῥόπον. Κειβῶν ἄχυρα σωεψῶν, ἔλαιον ἐπιχέαι· ἐς ὄρακος σκίλλων, πυεῖα. Σκύλλης τὰ φύλλα ἀφεψῶν, ἢν αὖ ἢν ποίῃ ῥόπον πυεῖα· καὶ τοῦτα δὴ ὧδε μίγνυσθαι, ὑγραίνει πυεῖα, ὡς γέγραπται. ὧδε δὲ ζούλη ξηροὺς ἄρτους ποιέων, καὶ ὀξύπους, καὶ ἡ μόσπες, πυεῖα· πυεῖα δὲ καὶ ὀ ὄρακος ἐς ὄρακος ἐπελίσσων, ἢ αὐτοῖς τοῖς ῥάκεσι θύρ μαίνων· καὶ τοῖς φακοῖς τοῖς ὀσπρακένοις, ἢ ὕδωρ ἐγχέων ζεῖν. προστίθει ὁ πρὸς τὸν πόδας, τῆς ἴρεως πὶ ῥίζαν, κάπων ἢ ἀφεψῶν ἢν αὐ ἢν ῥόπον πυεῖα. Ἢν ὑδωρ ἐπῇ σθαι, σὺ τῇσι μήζοισι, τὰ ἐπιμήνια ἐλάσσω γίνεται, ἢ ἡκιστα, καὶ ὀλ πολέος χρόνου· καὶ κυΐσκεται ἐκάστοτε. ἔτι δὴ μὲν οὐ μικρῷ πολέον· ἐπειδὲν δὲ οὗτος ὁ χρόνος γένηται, καὶ διαφθείρη, καὶ ὕδωρ σὺ αὐτῇ γίνεται πουλύ, τοῦτον δὲ χρὴ, λαλακτοποτέειν· καὶ τῆν μηκώνων πίνειν, ἕως ἂν κυῆσθαι ἀρχηται· ῥ ἐμβρυον· ὡς ἐπὶ τοπουλὺ δὲ πρὸ τουτέου διαφθείρεται, καὶ ὀβλαμβλοῦται· καὶ ἄμαστος ῥέουσιν αἱ μῆδραι· ταῦτα δὲ πάσχει, οὐδέν τι μᾶλλον ἐκ πόνου, ἢ ἄλλως· τοῦτο δ' ἂν γνοίης, ὅτι ὕσροφ ἔστιν ἀφάσσων τῷ σαρκτύλῳ· ὄψει γὰρ ῥ σῶμα αὐτῶν, ἰχνὸν καὶ ἀφανιζόμενον· ὠδὶ πολέον ὑ γράσης. ἰῶ δὲ αὐτῇ μὴ κατ' ἀρχὰς ἀλλ' ὅθ' ἡ κενούμενον μὴ διαφθείρεται τε καὶ ἀποπίγηται. ἢ τε γαστὴρ ἡ νείαιρα ἐπαινοιδέει· καὶ ἀλγέει ἀπομόνη ὡς πρ ἐλκεος· καὶ πυρετὸς αὐτῷ καὶ βρυγμὸς λαμβάνει· καὶ ὀδοὺ ἰῶ ἔχει ἐς αὐτὰ τὰ καὶ δία, ἢ πὶ νείαιραν γαστέρα, καὶ τὰς ἰξύας, καὶ τὸν κοκκύγα· καὶ πὶ ὀσφῦ· ὀξεῖά τε καὶ ἐπερχή· ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ αὐτῷ θρ μῷ· καὶ ὅπη αὖ ὀδυνᾶται λαμβάνῃ τῆν χλιασμάτων πειρώμενος ὅ τι μάλιστα προσδέχηται πρὸς τιθέναι· καὶ φαρμακον πῖσαι κάθαρτήριον κάπω· διαλιπὼν δὲ χρόνον ὅσον αὖ δοκέῃσι καιρὸς εἶναι καὶ πυιήσας, προστιθέναι τῆς κυκλαμίνου· ἀποδήσας ὅσον πρ, σύθες ἐς ὄρακος· καὶ τῷ μέλιτι θεύων, προστιθέναι πρὸς ῥ σῶμα τῆν ὑσδρέων· καὶ τῆς κυπαρείσσου κάταξύσας, καὶ τέγεσα σὺ ὕδατι, προστιθέναι ὡσαύτως· ἐλάσσω δὲ χρόνον μὴ ὀλ πολέος τῆτο ὅσῳ μᾶλλον δέκνυει καὶ ὀβελκοῖ· καὶ μήλῳ ποιησάμενος κάταπτρίνλιω, κάρδιόν· καὶ τῷ σαρκτύλῳ ὡσαύτως· καὶ τῆν ποτημάτων πειρώμενος ὅ τι ἀν προσδέχηται, πίσσειν· καὶ ξυγκοιμάσθω τῷ ἀνδρί· ὡς μάλιστα τῆν καιρῶν πασιέντων· ἰῶ γὰρ ξυλλαβὴ πὶ γονὴ, καὶ κυΐση, καὶ τέκνῳ, ὑ τεκνοκαθαίρεται· καὶ τὰ πρόσθεν ὑπ' αὐτῷ ξυν αὐτῷ· καὶ ὧδε ἂν μάλιστα ὑγιὴς γένοιτο.

Ἢν σκιρρώθωσιν αἱ μῆδραι, τό, τε σῶμα σκιρρὸν γίνεται, καὶ τὰ ἐμμήνια κρήπτεται· ὁκόταν δὲ προφανῆ ὡς πρ φάμος, καὶ ἡ γονὴ οὐ γίνεται τούτου τῆ χρόνου· ἰῶ δὲ καὶ ἐσαφάσης ἢν σάκτυλον, σκιρρὸν ῥ σῶμα εὑρήσεις τῆν μηδρέων· ὁκόταν ὧδε ἔχῃ, τῆς κυκλαμίνου χρὴ τεῖψαντα καὶ ἄλος

καὶ ἅλας, καὶ σύκου ὠμοῦ μέζονα καὶ ἀνασοιοῦντα μέλιτι, προστιθέναι· καὶ πυελίζοντα, κλύζειν τοῖσι κεκαθαρτηρίοισιν· ἐσθιέτω δὲ πὶ λινοξώστιν, καὶ κράμβλα σ' ἑφθὰς, καὶ ἢν χυλὸν, ῥοφείτω· καὶ βδρ μῷ λουέσθω. Ἢν σκιῤῥώθωσιν αἱ μῆδραι, πάτε ἐπιμήνια κρύπτεται, καὶ ῥ σῶμα αὐτέων ξυμμύει· καὶ οὐ κυΐσκεται· ὅταν ὧδε ἔχῃ, ἰῶ ἐσφάσης τῷ σακτύλῳ ὄψει σῶμα ῥηχύ· καὶ ἢν σάκτυλον οὐκ ἐσίησι· καὶ πυρετὸς αὐτῷ λαμβάνει, καὶ ῥιγμός· καὶ ὀδυνᾶται ἔχει πὶ νείαιραν γαστέρα, καὶ ἢν κοιλίῃσι, καὶ τὰς ἰξύας· πάσχει δὲ ταῦτα, ἰῶ σὺ αὐτῇ διαφθαρῇ σκιρρὸν ῥ ἔμβρυον. ἔστι δ' ὅτε καὶ ἐκ τόκου γίνεται· πολλάκις δὲ καὶ ἄλλως. ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ ταύτην, πολλῷ καὶ βδρ μῷ, καὶ πυελῷ· ὅταν δὲ νεοπυελύντος ἢ νεολούτος ῥηγμός ἢ, πὶ μήλιν κάθεις, ἀνασταμοῦ· καὶ ἀνάῤῥωσε ῥ σῶμα αὐτέων· καὶ τῷ σακτύλῳ ὡσαύτως· ἢ προστιθέναι ὡς πρ ὠδὶ τῆς προτέρης γέγραπται· καὶ τῆν ποτημάτων ὡσαύτως πίπισκειν· καὶ βδρ μῷ δύειν ῥ ἀν ἢν ῥόπον, ὡς πρ καὶ πρότερον. Ἢν αἱ μῆδραι πρὸς τοὺς πλευρὰς προπέσωσι, βηξὶ ἔχειν καὶ ὀδυνᾶσθαι ῥ πλευρὸν, ὅτ' σφάῤῥα· ἢ ἀπόμοιον πονεῖν ὡς πρ ἕλκος· καὶ καταφθίνει· καὶ δοκέει πολλὴ πλευμονίη εἶναι καὶ ἀπᾶται· ἢ φυγὴ γίνεται· καὶ τὰ ἐμμήνια ὅλως οὐ προφαίνεται, σὶ ἡσι δὲ προφανέντα, οἴχεται· τότε δὲ χλυόμενα ἀσθενέα τε καὶ ὀλίγα, ἢ ἡκιάω, ἢ ἢ πρὸ τῆ γονὴ γίνεται, τουτέου τῆ χρόνου· ὅταν ὧδε ἔχῃ, φάρμακον χρὴ πίσαι κάτω ἐλατήριον, καὶ πίσας αὐτὴ πολλῷ ἢ βδρ μῷ, καὶ τῆν χλιασμάτων ὅ τι αὖ μάλιστα προσδέχηται, προσέχειν καὶ τῷ στόμα ὑφ' ὧν κάθαιρεται ἄμα· καὶ λίνου σῶμα φάψας καὶ κάψας· καὶ σήσας, καὶ τῆν μικκῶν τῆν λευκῶν, καὶ ξυλ ἀλφίτοις λεπτοῖς· καὶ τερμίνθου ἀγνίου, σὺν ξεσας ῥ ῥοῦπον καὶ πὶ ἄλμυρ, ταῦτα μίσγειν τῷ τυρῷ δύο, σὺ δὲ τῆν ἄλλων· τὴν δὲ ἀλφίτων ἑώλων ἀνάλτων, νήσειν δίσθυ πίνειν σὶ οἴνῳ. ἐσοδρίης δὲ κυκεῶνα παχὺ μέλι ἐπιχέων, δίλου· ἢ τῆν πομάτων ὁ, τι αὖ μάλιστα προσδέχηται, πίπισκειν καὶ πυελῆν πυκνά· τῷ βδρ μῷ δὲ αἰωνᾶν· τῇ κυρτῇ ἡ ουχῇ μαλάσσοντα ἀποθέειν ἀφ' ὅ πολυρροῦ· καὶ ἀναλέειν ῥ πολυρροῦ, τειν ἡ πολοτεμ· καὶ γαλακτοποτέειν, ῥ ὄφιον γάλα ὅτι πλέϊστον ἐφ' ἡμέρῃσι τεσσαράκοντα· σιτίοισι δὲ χρᾶσθαι, ὡς μαλθακωτάτοισιν· ἢ δὲ ποῦσος, ἀβρ χεῖ τε καὶ θαναπώδης· καὶ ὀλίγαι καὶ μελεδωνόμεναι διαφθείρουσιν αὐτήν. Ἢν ῥ σῶμα ξυμμύσῃ, γίνεται ἰχυρὸν, ὡς πρ ὀβριμον· καὶ ἰῶ ἐσαφάσῃ τῷ σακτύλῳ, ὄψει σκληρὸν καὶ ξωνεψαμμένον· καὶ ἢν σάκτυλον οὐκ ἐσίησι· καὶ τὰ ἐπιμήνια ἀποκερύφαται· καὶ πὶ μήλιν οὐ δέχεται τουτέου τ χρόνου· ἢ ὀδυνᾶται ἔχει πὶ νείαιραν γαστέρα, καὶ πὶ ὀσφῦ, καὶ ἢν κοιλίῃσι· ἔστι δ' ὅτε καὶ ἄλλως προσίσταται, καὶ πυίγει· ὁκόταν οὖν ὧδε ἔχῃ, φάρμακον πῖσαι κάτω· καὶ λούειν πολλῷ καὶ βδρ μῷ· καὶ προστιθέναι ἀπὸ πρ μαλθάσσει ῥ σῶμα· καὶ πὶ μήλιν καθίσαι, καὶ ἀνασταμοῦ· καὶ ἢν σάκτυλον ὡσαύτως, καὶ ἀλωλῦ· ὁκόταν οὖν μαλθακὴν ἢ, προστιθέναι, ὁκόταν καθαίρεσθαι μα· καὶ τῆν ποτημάτων διδόναι πειρώμενον, ὅ τι αὖ προσδέχηται· καὶ πὶ κρεκύβλιον ἐσθιέτω· καὶ ἢν χυλὸν ῥοφείτω. Ἢν παραλιξάνωνται αἱ μῆδραι, καὶ ῥ σῶμα αὐτέων λεξὶν γίνεται· καὶ τὰ ἐπιμήνια αὐτῇ, τότε μὲν κρύπτεται, τότε δὲ προφανέντα οἴχεται· καὶ οὐκ ὁμοίως γίνεται, ἀλλὰ ἡκιάω τε καὶ ἐλάσσω, ἢ πρὸ τῆ· καὶ ἡ γονὴ οὐκ ἐπίνεται· τουτέου τῆ χρόνου, καὶ ὀδυνᾶται ἔχει πὶ νείαιραν γαστέρα, καὶ τὰς ἰξύας· καὶ πὶ ὀσφῦ· καὶ ἰχίεα, καὶ ἐφέλκεται αὐτό· ὁκόταν ὧδε ἔχῃ, φάρμακον χρὴ πίσαι ἐλατήριον· καὶ λούειν βδρ μῷ καὶ πυελῆν· ὁκόταν δὲ νεοπυελύντος ἢ νεολούτος ἢ, ῥ σάκτυλον ἐσαφάσουσα, ἀπορβούτω καὶ περιθυμιάτω ῥ σῶμα τῆν μηδρέων· καὶ ὑποθυμιάσθω τοιάδε· καὶ τῆν ποτημάτων διδόναι πειρώμενος, ὅ τι αὖ μάλιστα προσδέχηται· σιτίοισι δὲ χρήσθω μαλθακοῖσι· καὶ σκόροδα ἐσθιέτω, ἐφθὰ καὶ ὠμά· καὶ τῷ αὐσβρὶ συγκοιμάσθω· καὶ ὠδὶ τῆ ὑγιὲς ἰχίον, ἡ κατακείσθω· ῥ δὲ ἕτερον πυελιάσθω· ῥ δὲ νοῦσος, δύσα πάλακτος. Ἢν πριαθώσιν αἱ μῆδραι, ἢ, τε γαστὴρ αἴρεται καὶ φυσᾶται· καὶ οἱ πόδες οἰδίουσι, καὶ τὰ κοῖλα τῆ προσώπου· ἢ χροιὴ δὲ ἀκμὴς γίνεται· καὶ τὰ ἐπιμήνια οὐ γίνεται τούτου τῆ χρόνου· καὶ ἀσθενέϊ· καὶ ἀλγέει· καὶ ὁκόταν αὖ ἐσῃ ἢ προσέλθῃ, ἐς πὶ ὀρθοπνοίαν αὐτῷ ἴσχει· καὶ ὁ, τι αὖ φάγῃ ἢ πίῃ, λυπεῖ αὐτήν· καὶ σέσει τε καὶ δυσπνοέϊ μᾶλλον, ἢ πρὶν φαγεῖν· πολλάκις δὲ καὶ πυίγεται· ὁκόταν ὧδε ἔχῃ, φάρμακον πῖσαι κάτω, καὶ τῷ βδρ μῷ λούειν, ἢ πυελῷ· διαλιπὼν δὲ χρόνον τινὰ, προστιθέναι ὑφ' ὧν καθαρθείη, καὶ διήθησαι· πυελῷ δὲ ὡς πυκνότητα ῥ ὅλον σῶμα· τότε δὲ καὶ κάτω τὰ αἰδοῖα ὑποθυμιάσθω τοιάδε· κάτω δὲ τοὺς ῥίνας, τὰ ἡκιστα. καὶ ποτήματα διδόναι, ὅσα καθαίρει ὑσδρὰ σὰ καὶ ἐλάσσεις· ἢ πὶ λινοξώστιν ἐσθιέτω· καὶ ῥ κάλα πινέτω, ὡς πρ ὠδὶ τῆ πολυρροῦ εἴρηται· ἢ δὲ νοῦσος, χρονίη. Ἀλλὴ θρα πεία· Ἢν θρομβεθῶσιν αἱ μῆδραι ῥ σῶμα αὐτέων γίνεται, οἷ ὀρόβων μέζον· καὶ ἰῶ ἐσαφάσῃς, ὄψει ὧδε ἔχον· καὶ τὰ ἐπιμήνια ὁ γίνεται· οὐ δὴ γονὴ ἡκιστ' ἐχεῖ. τέως ἂν ὧδε ἔχῃ· ὁκόταν δ' ὧν ὧδε ἔχῃ, τῆς κυκλαμίνου ῥ φλοιὸν ἐπελεπίζοντα, μὴ σκόρ. δου, μὴ ἄλαο· μὴ σύκον· μὴ μέλι· ὀλίγον· τουτα τεῖψαι· μὴ ξυμμέξαι ποιήσας βάλανον, προσθέναι πρὸς ῥ σῶμα τ μηδρέων· μὴ τῆν ἄλλων προσθετῆν τῆν μηδρέων τὰ προσήκοντα, ὁκόσα ὀλιγὴν ὀρμὴν ἔδει· καὶ ἐσθιέτω καὶ ὀφ' ὧν καθαίρεται αἷμα· καὶ τῆν ποτημάτων διδόναι, ὅτι μὴ ὑσδρὰς καθαίρει, καὶ

περιξύσας πάντα, καὶ περιαλείψας κύστιος δέρματι ἢ ὑμένι, διαχύειν τὸ στόμα τῶν μητρέων. Ἢν περιεστραφῶσιν αἱ μῆτραι, τά τε ἐπιμήνια οὐ γίνεται, καὶ ἡ γονὴ οὐκ ἐσπίπτεται. καὶ ὀδύνη ἴσχει τὴν νείαιραν γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας. καὶ ἢν ἐσαφάσσῃ τῷ δακτύλῳ, οὐκ ἂν δύναιτο τοῦ στόματος θιγεῖν τῶν μητρέων, ἀλλ᾽ ἀνακεχώρηκεν ἰσχυρῶς. ὁκόταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίσαι, ὑφ᾽ οὗ καθαίρεται ἄνω καὶ κάτω, κάτω δὲ μᾶλλον. καὶ πυριῆν τό, τε στόμα καὶ τὰς μήτρας ὡς μάλιστα. καὶ λούειν τῷ θερμῷ, δὶς τῆς ἡμέρης. καὶ τῶν πωμάτων, ὅ, τι ἂν μάλιστα προσδέχηται, πειρώμενος δίδου. καὶ ξυνευδέτω τῷ ἀνδρί, ὡς πυκνότατα. καὶ τὴν κράμβην ἐσθιέτω. Ἢν μὴ κατὰ χώραν μένωσι κινηθεῖσαι αἱ μῆτραι, ἔνθα δὲ προσπίπτουσιν ὀδύνας παρέχωσι, καὶ ἀφανέες γίνονται. ὅτε δὲ ἐξίσχωσιν ὥσπερ ἕδρη. ὁκόταν μὲν ὑπτίη κατακειμένη τύχῃ, κατὰ χώρην μένουσιν. ὅταν δὲ ἀναστῇ ἢ ἐπικύψῃ, ἢ ἄλλο τι κινηθῇ, ἐξέρχονται. πολλάκις δὲ καὶ ἡσυχίην ἔχουσι. ταύτην χρὴ ὡς ὅτι μάλιστα, ἡσυχάζειν, καὶ μὴ κινεῖσθαι. καὶ τὴν κλίνην κεῖσθαι πρὸς ποδῶν ὑψηλοτέρην. καὶ τοῖσιν αὐτέοισι χρῆσθαι, ὥσπερ ἐν τοῖσιν ἐπάνω. καὶ τοῖς στρυφνοῖσιν αἰωνεῖν. καὶ ὑποθυμιῆν τὰ κακώδεα. ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα. καὶ τοὺς ῥοιοὺς διὰ τοῦ ὀμφαλοῦ ξύσαντα, μέσην πίσσαν χλιήναντα ἐν οἴνῳ, ἢ τις ἂν μάλιστα ἁρμόζῃ. καὶ μὴ πιέζον λίαν προστιθεὶς ὡς προσωτάτω. ὁκόταν δέ τι προστιθῇς ἐκ τῆς ὀσφύος ἐπαναδῆσαι ταινίῃ πλατείῃ, ἀναλαβὼν ὡς ἂν μὴ ἐξολισθαίνῃ, ἀλλὰ μένῃ. καὶ ποιέειν τὸ δοκέον. καὶ τῶν μηκώνων ἔξω τοῦ πυρῶν, καὶ τοῖσιν ἀλφίτοισι πιπίσκειν, ὥσπερ ἐν τῇ πρὸς τὸ πλευρὸν προσπτώσει γέγραπται. τῶν πωμάτων πειρώμενος ὅτι ἂν μάλιστα προσδέχηται πιπίσκειν. σιτίοισι δὲ ὡς μαλθακωτάτοισι χρήσθω. καὶ μετὰ ἀνδρὸς ὡς ἔτι μάλιστα κοιμάσθω. Ἢν ἀναχάνῃ τὸ στόμα τῶν μητρέων μᾶλλον ἢ ὡς πέφυκε, τά τε ἐπιμήνια γίνεται πλείω. καὶ κακίω. καὶ ὑγρότερα. καὶ διὰ πλείονος χρόνου. καὶ ἡ γονὴ αὐτῆς οὐχ ἅπτεται, οὐδὲ ἐμμένει, ἀλλὰ πάλιν ἐκχεῖται ἔξω. καὶ ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ τὸ στόμα τῶν μητρέων εὑρήσεις ἀνακεχηνός. καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ἀπὸ τῶν ἐπιμηνίων. καὶ πυρετός, καὶ ῥῖγος, καὶ ὀδύνη ἴσχει τὴν νείαιραν γαστέρα, καὶ τοὺς κενεῶνας, καὶ τὰς ἰξύας. πάσχει δὲ ταῦτα μάλιστα μέν, ἢν τι ἐν αὐτῇ χυθῇ, καὶ διαφθαρὲν σαπῇ. πάσχουσι δὲ καὶ ἐκ τόκων. αἱ δὲ καὶ ἄλλως. ὁκόταν γοῦν ὧδε ἔχῃ, φάρμακον χρὴ πιπίσκειν, ὑφ᾽ οὗ ἄνω καθαίρεται. καὶ ὁκόταν ἡ ὀδύνη ἔχῃ τῶν χλιασμάτων προστιθέναι. καὶ τῷ θερμῷ λούειν. καὶ διαλιπὼν κλύζειν, ὥσπερ ἐπὶ τῆς προτέρας γέγραπται. καὶ τῶν πωμάτων διδόναι, ὅ, τι ἂν μάλιστα προσδέχηται. καὶ ὑποθυμιῆν, ὁκόσα ξηραίνει. καὶ τῶν πολυπόδων ἐσθιέτω. καὶ τὴν λινόζωστιν. Ἢν λίαν θέωσιν αἱ μῆτραι, τά τε ἐπιμήνια πλείω γίνεται, καὶ κακίω. καὶ ὑγρότερα. καὶ πυκνότερα. καὶ ἡ γονὴ οὐκ ἐμμένει, ἀλλὰ πάλιν ἐξέρχεται. καὶ ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, ὄψει τὸ στόμα λεῖον. καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ἀπὸ τῶν ἐμμηνίων. καὶ πυρετός. καὶ ῥῖγος. καὶ ὀδύνη ἐς τὴν νείαιραν γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας. μάλιστα μὲν ἢν τι ἐν αὐτῇ διαφθαρὲν σαπῇ, καὶ ἐκ τόκου, καὶ ἄλλως. ὅταν ὧδε ἔχῃ, θεραπεύειν χρή, ὁκοῖον ἂν ἡ ὀδύνη ἔχῃ. ὥσπερ ἐπὶ τῆς προτέρης γέγραπται. Ἢν αἱ μῆτραι κατὰ γαστέρα κλιθῶσι, τὸ ἰσχίον ὀδύνη ἔχει, ὀξείη τε καὶ σφοδρή, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας. καὶ τὸ σκέλος ἐπισκάζει. ὁκόταν ὧδε ἔχῃ, φάρμακον χρὴ πίσαι ἐλατήριον. τῇ δὲ ὑστεραίῃ ὑποθυμιῆν τῶν τε κριθέων χοίνικας δύο, καὶ ἐλαίης φύλλα κατακνήσας πυκνά. καὶ κνίδας κατακόψας καὶ σήσας. καὶ ὑοσκυάμου τριταία χοίνικος, ταῦτα μίξας καὶ ἐλαίῳ περιποιήσας ὅσον ἡμικοτύλιον ἐν χύτρῃ, ὑποθυμιῆν ἐπὶ τέσσαρας ἡμέρας, τρὶς τῆς ἡμέρης. τῆς δὲ νυκτὸς, γάλα βοὸς, καὶ μέλι καὶ ὕδωρ πινέτω. καὶ θερμῷ λουέσθω. Ἢν ἐς τὴν κεφαλὴν τραπῶσιν αἱ ὑστέραι, σημεῖον τόδε. τὰς φλέβας τὰς ἐν τῇ ῥινί, τάς τε ὑπὸ τοῖς ὀφθαλμοῖς ἀλγεῖν δοκεῖ. ταύτην χρὴ λούειν θερμῷ πολλῷ, καὶ κατὰ τῆς κεφαλῆς. δάφνην τε καὶ μυρσίνην ἑψῶν ἐν τῷ ὕδατι. καὶ ῥοδίνῳ μύρῳ τὴν κεφαλὴν ἐγχριέσθω. καὶ ἐπιθυμιάσθω τὰ εὐώδεα. καὶ τὴν κράμβην ἐσθιέτω, καὶ τὸν χυλὸν ἐπιρροφείτω. Ἢν ἐς τὰ σκέλεα καὶ τοὺς πόδας τραπῶσι, γνώσῃ ἐν τῷδε. τοὺς μεγάλους δακτύλους τῶν ποδῶν, σπᾶται ὑπὸ τοὺς ὄνυχας. καὶ ὀδύνη ἴσχει τὰ σκέλεα καὶ τοὺς μηρούς. ὁκόταν ὧδε ἔχῃ, χρὴ λούειν αὐτὴν, πολλῷ καὶ θερμῷ. καὶ πυριῆν, ὅ, τι ἂν μάλιστα προσδέχηται. καὶ ὑποθυμιῆν τὰ κακώδεα. καὶ τῷ μύρῳ τῷ ῥοδίνῳ ἀλείφεσθαι. Ἢν γυνὴ ὑστέρας ἀλγέῃ ἀσιτέουσα, καὶ πυρετὸς αὐτὴν, καὶ ῥῖγος λαμβάνῃ, μήκωνος λευκῆς, ὅσον πεμπτημόριον ἡμιχοινικίου, καὶ κνιδίου καρποῦ τὸ ἴσον, καὶ τυροῦ αἰγείου ὅσον ἡμιχοίνικα ξύσας, ὁμοῦ τε μαλθάξας σὺν οἴνῳ παλαιῷ, ἔπειτα ἑψήσας, διδόναι ῥυφάνειν. Ἢν ἐκ τόκου ῥόος λαμβάνῃ, καὶ τὰ σιτία ἐν τῇ γαστρὶ μὴ ἐμμένῃ, ἀσταφίδος χρὴ μελαίνης καὶ ῥοιῆς γλυκείης τὰ ἔσω τρίψαντα, καὶ θρίφα πιτύην διεὶς οἴνῳ μέλανι, χρέο, τυρὸν ἐπιξύσας αἴγειον. καὶ ἄλφιτα πυρῶν πεφωσμένα ἐπιβάλλων, κεράσας εὔκρατον, δὸς πιεῖν. Ἢν αἷμα ἐμέῃ ἐκ τόκου, τοῦ ἥπατος ἡ σύριγξ τέτρωται, καὶ ὀδύνη ἐς τὰ σπλάγχνα φοιτᾷ, καὶ τὴν καρδίην, καὶ σπᾶται. ταύτην χρὴ λούειν, πολλῷ καὶ θερμῷ. καὶ τῶν χλιασμάτων, ὅ, τι ἂν μάλιστα προσδέχηται προστιθέναι. καὶ πιπίσκειν ὄνου γάλα, ἐπὶ ἡμέρας πέντε. μετὰ δὲ ταῦτα πιπίσκειν βοὸς μελαίνης, ἀσιτέουσαν ἐπὶ ἡμέρας τεσσαράκοντα. ἐς δὲ τὴν ἑσπέρην, σησαμὸν τριπτὸν πιπίσκειν.

ἡ δὲ νοῦσος ἐπικίνδυνος. Ἢν γυνὴ διὰ παλαιοῦ μὴ κυΐσκηται τῶν ἐπιμηνίων ἐμφαινομένων ὁκόταν ἢ τριταίη ἢ τεταρταίη, στυπτηρίην λείην τρίψας, διεὶς μύρῳ εἰρίῳ ἀναπορπίζων προστίθει. καὶ ἐχέτω κείμενον ἡμέρας τρεῖς. τῇ δὲ τρίτῃ ξύσας βοὸς χολὴν, καὶ ἐν ῥάκει ἐπιθεὶς, διεὶς ἐλαίῳ τὸ ξύσμα καὶ ἀναδεύσας προστίθει. καὶ ἐχέτω ἡμέρας τρεῖς. τῇ δὲ ἑτέρῃ ἀνδρὶ ξυνελθέτω. Λίνου τὸ σχιστὸν ταύτης τῆς καλάμης ὅσον δραχμίδα κόψας λεπτὰ καταβρέξας τε ἐν οἴνῳ λευκῷ ὡς ἥδιστα τὴν νύκτα, ἔπειτα ἀπηθήσας χλιαίνων ἐν χυτριδίῳ, εἰρίον ὡς μαλθακώτατον ἐμβάπτων τὸ μὲν προστιθέναι, τὸ δὲ ἀφαιρέειν. Ἢν βούλῃ ὑστέρας καθῆραι, πρῶτον μὲν χρὴ ὑποθυμιῆσαι κριθὰς ἐν ἐλαίῳ δεδευμένας, ἐπ᾽ ἀνθράκων. τῇ δὲ ὑστεραίῃ ὄϊος χρὴ κρέας ἑψεῖν, κριθιδίῳ ἐξηθειασμένον. τὸ δὲ κριθίον εἶναι, ὅσον χρέα. καὶ καθεψεῖν σφόδρα. ἐπειδὰν δὲ ἑφθὰ ᾖ, ἀκροχλίαρα κατεσθιέτω. καὶ τὸν ζωμὸν ἐπιρροφείτω. τῇ δ᾽ ὑστεραίῃ, λιβανωτόν. καὶ γλήχωνα λεῖον ποιήσας ἀναδεύσας μέλιτι εἰρίῳ ἀναπορπίζων, προστίθει, ἐπὶ τρεῖς ἡμέρας. Ἢν δὲ ἐς τὴν ἕδρην τραπῶσι, καὶ τὰ ὑποχωρήματα κωλύωσιν ὑποχωρέειν, ὀδύνας ἴσχουσι τήν τε ὀσφὺν, καὶ τὴν νείαιραν γαστέρα, καὶ τὰς ἰξύας. ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν, τῷ θερμῷ. καὶ πυριῆν τὴν ὀσφύν. καὶ ὑποθυμιῆν τὰ κακώδεα. καὶ προστιθέναι ὁκόσα καθαίρει τε καὶ ἐλαύνει τὰς ὑστέρας. καὶ πιπίσκειν ὅ, τι ἂν μάλιστα προσδέχηται. Ἢν ἑλκωθῇ τὸ στόμα ἢ φλεγμήνῃ, σμύρναν καὶ στέαρ χήνειον, καὶ κηρὸν λευκόν. καὶ λιβανωτὸν ἐν λαγωοῦ θριξί, τῆσιν ὑπὸ τὴν γαστέρα μίξας, καὶ λεῖα ποιήσας ἐν εἰρίῳ ὡς μαλθακωτάτῳ προστιθέσθω. Ἢν τὰ ὕστερα μὴ δύνηται ἀποφυγεῖν, παραχρῆμα μὲν χρὴ ἀσιτέειν. ἄγνου δὲ πέταλα λεῖα τρίψαντα ἐν οἴνῳ καὶ μέλιτι, ἔλαιον ἐπιχέας ἀναχλιήνας, δίδου πιεῖν, ὅσον κοτύλην.

Ἢν φλεγμήνωσιν αἱ ὑστέραι τῆς ἀκτῆς τὰ φύλλα ὡς ἁπαλώτατα ἐν πυρῶν κριμνοῖς ἑψήσας σητανίοις ἀκροχλίαρον δίδου ῥοφεῖν. Ἢν μετακινηθῶσιν αἱ μῆτραι, κισσὸν ὡς ξηρότατον τρίψας, καὶ λειότατον διήσας ἐς ὀθόνιον προσίσχειν λιπαρόν, καὶ προσφέρειν ἄλλο μηδέν. πιεῖν δὲ διδόναι πυροὺς προκωνίας. καὶ μήκωνα ὀπτήν. καὶ ἐλελίσφακον. καὶ κύπειρον, καὶ ἄννησον. ταῦτα τρίψας λεῖα, διεὶς οἴνῳ, καὶ τῶν κυρηβίων τῶν ἀπὸ τῶν κριθῶν, διδόναι δὶς τῆς ἡμέρης ἐφ᾽ ἑκάτερον ἡμικοτύλιον. Ἢν τὰ ἐπιμήνια μὴ γίνηται ἐν τῷ καθεστηκότι χρόνῳ, κράμβης πέταλα, καὶ πήγανον τρίψας λεῖα. ἔπειτα ἄχυρα ἀπὸ τῶν κριθῶν ὅσον χοίνικα βρέξας ὡς ἂν τέγγηται, ἐξαιθριάσον. ἕωθεν δὲ ποιήσας ὅσον κοτύλην διεῖναι τὴν κράμβην, καὶ τὸ πήγανον. ἔλαιον αὐτοῖς ἐπιχέας καὶ ἀνταράξας δοῦναι πιεῖν. ἔπειτα πουλύποδα πνίξας ἐν οἴνῳ λευκῷ, δὸς φαγεῖν, καὶ τὸν οἶνον ἐκπιεῖν. ἢν δὲ βούλῃ τῶν ἰχθύων ἑψῶν τῶν εὐωδεστάτων, διδόναι ἐσθίειν, καὶ τὸν ζωμὸν ῥυμφάνειν. Ἢν ἀφθήσῃ τὰ αἰδοῖα, μύρα ἑψήσας ἐν οἴνῳ, διακλυζέσθω αἰδοῖα. ἔπειτα ῥοιῆς γλυκείης σίδια ἑψήσας ἐν οἴνῳ, καὶ σμύρνης καὶ ῥητίνης ὁμοῦ μίξας, διεὶς οἴνῳ, ὀθόνιον ἐμβάπτων, προστιθέναι. Ἢν στραγγουρίη λάβῃ τῆς σικύης ἀποταμὼν τὸ στόμα καὶ τὸν πυθμένα, ἐπιθεὶς ἀνθρακιὴν, τρίβε τῇ σικύῃ τῆς μυρσίνης ἐπὶ τὸ πῦρ ἐπιπάσας. περικαθίσας ἐπὶ τὴν σικύην. καὶ ἐνθέσθω ἐς τὸ αἰδοῖον τὸ ἄκρον τῆς σικύης, ὡς ἐσωτάτω, ὅκως ἂν ἡ ἀτμὶς ὡς πλείστη ἐς τὰ αἰδοῖα ἀποπέμπηται. καὶ τῶν οὐρητικῶν πωμάτων, διδόναι νήστει. Ἢν δὲ ἐς τὴν καρδίην προϊστάμεναι πνίγωσιν αἱ ὑστέραι καὶ μὴ ἀφιστῶνται, πράσου καρπὸν τρίψας. καὶ γλήχωνος διεὶς ὕδατος κυάθοις τρισί. καὶ ὄξεος λευκοῦ κυάθῳ, καὶ μέλιτος τρίτῳ μορίῳ κυάθου, χλιαίνων. νήστει δίδου ῥυμφάνειν. Ἢν ἐκ τόκου ἢ τρωσμοῦ ῥῖγος λαμβάνῃ, ἀρκεύθου τὸν καρπὸν καὶ ἐλελισφάκου ὁμοῦ τρίψας, διεὶς ὄξεος λευκοῦ κυάθου. ἐπιχέας τε ἐπὶ οἴνου λευκοῦ κεκρημένου κύλικα, κατελίξας, ἔασον κεῖσθαι. ἕωθεν δὲ ἀπηθήσας, χλιήνας πιεῖν δίδου. ἢν ἀνεμέωσιν αἱ μῆτραι, καὶ ἢν ἄνεμος ἐγγένηται τῇ νηδύϊ καὶ πόνος ἢ ἐλελίσφακον καὶ κύπειρον κόψας τέγξαι τὴν νύκτα ἕωθεν ἀπηθήσας, τὸ καθαρὸν εἰς χύτρην ἐγχέας, κρίμνα πύρινα ἐμβαλὼν, καὶ ὄξος λευκὸν ὅσον κύαθον, ἐπιχέας ὀπὸν σιλφίου ὅσον κύαθοι, ἐμβαλὼν καὶ ἑψήσας εὐωμότερον δίδου ῥυμφάνειν. Ἢν ἐν τοῖς αἰδοίοις δυσοσμίη ᾖ, καὶ κίων ἐγγένηται, καὶ ὀδύνη ἔχῃ, τὴν μὲν ὀδύνην παύσει, σελίνου καρπὸς ἐν οἴνῳ διδόμενος νήστει. τὴν δὲ δυσοσμίην, ἄννησον τὸν αὐτὸν τρόπον διδόμενον. τὸν δὲ κίονα χρὴ ἀποτάμνειν. Ἢν ἕλκεα ἐγγένηται ἐν τοῖσιν αἰδοίοισι. καὶ ξυσμὸς λαμβάνῃ, ἐλαίης φύλλα καὶ κισσοῦ, καὶ βάτου. καὶ ῥοιῆς γλυκείης τρίψας, ἐν οἴνῳ τε διεὶς παλαιῷ, ἔπειτα λαβὼν σπέρμα ποταμίην προσθεῖναι καὶ καταπλάσαι τοῖσι φύλλοισι. καὶ ἐχέτω τὴν νύκτα. ἕωθεν δὲ ἐξελομένη μυρσίνην ἐν οἴνῳ ἀφεψοῦσα τῷ οἴνῳ, διακλυζέσθω τὰ αἰδοῖα. Ἢν τὴν γονὴν μὴ δέχηται τῶν γυναικείων κατὰ φύσιν γινομένων, ὑμὴν ἐπίπροσθεν τούτου γίνεται. γίνεται δὲ καὶ δι᾽ ἄλλων. γνώσῃ δὲ τόδε. ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, ἅψῃ τοῦ προβλήματος. ταῦτα χρὴ πρόσθεμα ποιήσαντα, ῥητίνην καὶ ἄνθος χαλκοῦ, μέλιτι διεὶς, ὀθόνιον ἀρδαλώσας προσθεῖναι ὡς ἐσωτάτω ῥάμμα ἐνδήσας ἀπὸ τοῦ ἄκρου. ὁκόταν γοῦν ἐξέλληται τὴν μυρσίνην ἐν οἴνῳ ἀφεψῶν, τῷ οἴνῳ χλιερῷ κλυζέσθω.

Ἢν ἄσθματα λαμβάνῃ γυναῖκα, θείου ὅσον κύαμον, καὶ καρδάμου τὸ ἴσον, καὶ πήγανον. καὶ κυμίνου αἰθιοπικοῦ, ταῦτα τρίψας λεῖα. καὶ διεὶς ἐν οἴνῳ πίνειν δοῦναι νήστει. δεῖ δὲ καὶ τῶν σιτίων ἀπέχεσθαι, καὶ μὴ πυκνὰ ἐσθίειν. Ἢν τίκτουσα ἐξανεμωθῇ, ἢ πρόβειος ἢ αἰγὸς ἐς τέφρην ἐγκρύψας, διδόναι ἐσθίειν ξηρότερον ἐπὶ τέσσαρας ἡμέρας. καὶ οἶνον πινέτω παλαιόν. Ἢν τὰς ἰξύας ἀλγέῃ, ἀνη-

σον. καὶ κύμινον αἰθιοπικὸν πινέτω. καὶ θερμῷ λουέσθω. καὶ ἀπόθερμον πινέτω. Ἢν τὰ ἐπιμήνια πίνηται, ὄστρακον παχὺ κατακαύσας, καὶ λεῖον ψήσας, καὶ ὀρίγανον ἑψήσας ἐν χηνὸς ἐλαίῳ λεῖον ποιήσαι. καὶ ξυμμίξας τῷ ὀστράκῳ ἐν ὀθονίῳ, χλιαρὸν προστιθέσθω. Ἢν ξυμμύσωσιν αἱ μῆτραι, καὶ τὰ ἐπιμήνια μὴ φαίνηται, κολοκυντίδα ἀγρίην. καὶ φύλλον. κύμινον αἰθιοπικόν. νίτρον. ἅλας θηβαϊκόν. καὶ νέβρεω. καὶ ἄλευρον. καὶ σμύρναν, καὶ ῥητίνην. ἅπαντα ζέσας ταῦτα, ὁμοῦ τε μίξας λεῖα, ποιῶν βάλανον, προστιθέσθω. Ἢν πρὸς τὰ σπλάγχνα φαπείσαι(?) πνίγωσιν, οἶνον κέδρινον, καὶ κύμινον αἰθιοπικόν, πινέτω. καὶ θερμῷ λουέσθω. καὶ ἀπόθερμον πινέτω. Ἢν τὰ ἐπιμήνια μὴ γίνηται, χηνὸς ἔλαιον, καὶ νέτωπον. καὶ ῥητίνην ξυμμίσγουσα ἡ γυνή, προστιθέσθω, ἐρίῳ ἀναπορίζουσα. Ἢν δὲ μᾶλλον τοῦ προσήκοντος ἔρχωνται, σούσινον καὶ βάτου γλῶσσαν ἐν ἐρίῳ προστιθέσθω. Ἢν μετακινηθεῖσαι προπέσωσί που αἱ ὑστέραι, κριθὰς πτίσας λείας ἔξω τοῖς ἀχύροις πρόσβαλλε. καὶ ἐλάφου κέρας οἴνῳ δεύσας, ὑποθυμιῆν τὰς ὑστέρας. Ἢν μὴ δύνηται ἀποφυγεῖν, μαράθου ἐν οἴνῳ καὶ ἐλαίῳ, καὶ μέλιτι ἀναζέσαντα δοῦναι πιεῖν. Ἢν τὰ ἐπιμήνια μὴ φαίνηται καὶ βούλῃ αὐτὰ καταπαῦσαι, πυρῶν κρίμνα καὶ κριθὰς ἑψεῖν, ἔλαιον ἐπιχέαντα. εἶτα διδόναι ἐσθίειν. Ἢν φλεγμήνωσιν αἱ μῆτραι, κοτυληδόνος φύλλα καὶ πράσα ἑψῶν πυρίνοις, ἔλαιον ἐπιχέων, δίδου ἐσθίειν.

Ἢν κινηθεῖσαί που προπέσωσι, καὶ ὀδύνην παρέχωσιν, ἐλαίης ψώρην καὶ δάφνης, καὶ κυπαρίσσου πρίσματα ἑψήσας ἐν ὕδατι ἐς ὀθόνιον ἐμβαλών, προστίθει. Ἢν ὑστέρα ἀλγέῃ, καὶ πρὸς τὴν κύστιν ἡ ὀδύνη, πράσου καρπὸν τρίψας ἐν ὕδατι, πιεῖν διδόναι νήστει. καὶ χλιάσματα προστιθέναι. Ἢν αἱ μῆτραι προσέχωσι, περινίψας αὐτὰς ἐν ὕδατι χλιαρῷ, καὶ ἀλείψας ἐλαίῳ καὶ οἴνῳ, πάλιν ἐνθεῖναι. καὶ ἀναδῆσαι ἐκ τῶν ἰξύων. καὶ ὑποθυμιῆν τὰ κακώδεα. καὶ ἢν μὴ δύνηται οὐρέειν, λούσας θερμῷ καὶ πυριήσας. ὑποθυμιήσας κυπαρίσσου πρίσματα, καὶ τῶν οὐρητικῶν πομάτων διδόναι πίνειν.

Ἢν ῥόος γένηται, ὑποθυμιήσας στρυφνοῖσιν, ἐνίοτε περιξέσας, ἐνδήσας ἐρίῳ προστίθει. ἡ δὲ ὄνις ἔσω ξηρή. Ἢν ἐν τοῖσιν αἰδοίοισιν ἕλκεα γένηται, βόειον στέαρ ἐπαλείφειν καὶ προστιθέναι. καὶ τῆς μυρσίνης ἐν οἴνῳ ἀφεψῶν, διακλύζειν. Ἢν ἐκ τόκου τὸ στόμα ἑλκωθῇ, ῥόδων ἄνθος τρίψας λεῖον, οἴνῳ δεύσας ἐν λαγωοῦ θριξί, προστιθέναι καὶ διακλυζέσθω τοῖσι στρυφνοῖσι. Ἢν τὰς ὑστέρας ἀλγέῃ, σκορόδων μώλυζαν, καὶ νῖτρον ὀπτόν. καὶ κύμινον λεῖα ποιήσας, μέλιτι δεύων, προστίθει. καὶ τῷ θερμῷ λουέσθω. καὶ ἀπόθερμον πινέτω. Ἢν ἀφθήσῃ τὰ αἰδοῖα, στέαρ βοός. καὶ βούτυρον. καὶ χηνὸς ἔλαιον καὶ σούσινον μίξας, διαχρίειν τὰ αἰδοῖα τουτέοισι. καὶ διακλυζέσθω χλιαρῷ ὕδατι. Ἢν προσιστάμεναι πνίγωσιν, ἐλλύχνιον χλιήνας, ἀποσβέσας, ὑπέχειν ὑπὸ τὴν ῥῖνα, ὅκως ἂν τὸν καπνὸν ἕλκῃ. ἔπειτα σμύρναν διεὶς, μύρῳ ἐρίῳ ἀναδεύσας προστίθει. καὶ πιεῖν δίδου ῥητίνην ἐλαίῳ διεῖσα. Ἢν τὸ χορίον μὴ ὑποχωρέῃ, κόνυζαν τρίψας ἐν ἐρίῳ ποιήσας πρόσθεμα προστιθέναι. καὶ τὴν ἴγνυν οἴνῳ διατρίψας δοῦναι πιεῖν. Ἢν τὴν κεφαλὴν ἀλγέῃ, καὶ τὴν νειαίραν γαστέρα, καὶ τὰς ἰξύας, χολὴ ἐν τῇσι μήτρῃσιν ἔνι. ταύτῃ γοῦν χρὴ δοῦναι φάρμακον, ὃ καθαίρειν ἄνω τε καὶ κάτω δύναται. καὶ λούειν θερμῷ. καὶ προστιθέναι, ὅσα χολὴν καθαίρει. καὶ ἄννησον. καὶ μελάνθιον διεὶς οἴνῳ, δίδου πιεῖν. Ἢν ῥόος ἐπίῃ τοι, καρκίνους ποταμίους ἀποπνίξας ἐν οἴνῳ, τὸν οἶνον διδόναι πίνειν καὶ ὑποθυμιῆν ὅσα ξηραίνει καὶ προστιθέναι. Ἢν ῥοῦς ἐπιγένηται, τῶν πράσων ὅσον δεσμίδα τρίψας ἐν οἴνῳ δίδου πίνειν. καὶ τοῖσι ξηροῖσι καὶ τοῖσι στρυφνοῖσι χρήσθω. Ἢν ῥοῦς ἐπιγένηται, ἡ μανίλια(?) κατακαύσας, καὶ κόψας λείην, διασήσας τε, διεὶς οἴνῳ, πιπισκέτω. τοῖσι δ᾽ ἄλλοισι τὸν αὐτὸν τρόπον χράσθω. Ἢν ῥοῦς ἐπιγένηται, καὶ πολυχρόνιος ἤδη, σηπίην κατακαύσας καὶ τρίψας λεῖον, οἴνῳ διεὶς εὐώδει, πίσον. καὶ ὑποθυμιήσας, ξήραινε καὶ προστίθει ὅτι ἂν ἀποστύφῃ. Ἢν καθῆραι τὰς ὑστέρας βούλῃ, νίτρον. κύμινον. σκόροδον. καὶ σῦκα λεῖα ποιήσας, μέλιτι δεύσας προστίθει. καὶ θερμῷ λουέσθω. καὶ ἀπόθερμον πινέτω.

Ἢν ἀλγέῃ τὰς ὑστέρας, κυκλαμίνου τὴν ῥίζαν ἐν οἴνῳ λευκῷ πιπίσκειν νήστει. καὶ θερμῷ λουέσθω. καὶ ἀπόθερμον πινέτω. Ἢν γάλα ἀποσβεσθῇ, τὰ μὲν ἄλλα τὸν αὐτὸν τρόπον θεράπευε. πιπίσκειν δὲ δίδου, τὸν καρπὸν τοῦ μαράθου. καὶ τὰς ῥίζας ἐπτισμένας, καὶ βούτυρον ἑψήσας ὁμοῦ. ὁκόταν δὲ ἑφθὰ ᾖ, ψύξας δὸς πιεῖν. ἀγαθὸν δὲ καὶ τὸ ἱππομάραθρον. καὶ τὸ ἱπποσέλινον συνεψόμενα.

Ἢν γάλα ἀποσβεσθῇ, πράσα τρίψας διεὶς ὕδατι, δοῦναι πιεῖν. καὶ θερμῷ λουέσθω. καὶ τῶν πράσων καὶ τῶν κράμβων ἐσθιέτω συνεψοῦσα τοῦ κυτίσου τὰ φύλλα, καὶ τὸν χυλὸν ῥοφείτω. Ἢν γάλα ἀποσβεσθῇ πράσα τρίψας, διεὶς ὕδατι δοῦναι πιεῖν. καὶ θερμῷ λουέσθω. τὸν ἐλελίσφακον ἑψοῦσα. καὶ τῶν κεδρίνων ἢ τῶν ἀρκευθίδων παρεμβάλλουσα, ἀποχέουσα τὸν χυμόν, καὶ οἶνον ἐπιχέουσα, πινέτω ἐς τὰ λοιπὰ ἄλευρον ἐμβάλλουσα. καὶ βολβόν. καὶ ἐλαίου μικρὸν ἐπιχέουσα, ἐσθιέτω. καὶ τῶν δριμέων. καὶ τῶν ὀξέων, καὶ ἁλμυρῶν, καὶ ὠμῶν λαχάνων, πάντων ἀπεχέσθω. τὸ δὲ καρδάμον ἐν οἴνῳ πινόμενον, ἀγαθόν. καὶ γὰρ τὸ γάλα καθαίρει. καὶ θερμῷ λουέσθω, καὶ ἀπόθερμον πινέτω. Ἢν βούλῃ γυναῖκα κυῆσαι, καθῆρον αὐτήν, καὶ τὰς μήτρας. ἔπειτα δίδου τὸ ἄνηθον ἐσθίειν νήστει. καὶ οἶνον ἐπιπίνειν ἄκρητον. καὶ προστιθέναι νίτρον ἐρυθρόν. κύμινον. καὶ ῥητίνην. μέλιτι δεύσας, ἐν ὀθονίῳ, πρόσθες. καὶ ὁκόταν τὸ ὕδωρ ἀποῤῥυῇ, τοὺς μέλανας πεσσοὺς προστιθέσθω μαλθακτηρίους, καὶ τῷ ἀνδρὶ ξυνευνούτω. Ἢν βούλῃ ἔγκυον ποιῆσαι γυναῖκα, καθήρας αὐτὴν καὶ τὰς μήτρας,

προστιθέναι τῇσι μήτρῃσι ῥάκος, καταξηράνας ὡς λεπτότατον. καὶ μέλιτι δεύσας, καὶ βαλάνους ποιήσας, ἀποβάπτων ἐς ὀπὸν συκῆς, προστιθέναι, μέχρις ἂν στομωθῇ. ἔπειτα ᾗ μᾶλλον ἔσωθεν. ἐπεὶ δ᾽ ἂν δὲ ἀποῤῥυῇ τὸ ὕδωρ διανιζομένη οἴνῳ καὶ ἐλαίῳ, συνευδέτω τῷ ἀνδρί. πινέτω δέ, καὶ ὁκόταν μέλλῃ καθεύδειν, βλήχωνα ἐπὶ κεδρίνῳ οἴνῳ. Ἐκβόλιον ἐμβρύου καὶ μητρέων. Σικύου ἀγρίου τὸν ὀπόν, ὅσον πόσιν ἐς μᾶζαν ἐμπλάσσειν προσθεῖναι, προνηστεύσασαν ἐπὶ δύο ἡμέρας. Σταφίδος ἀγρίης ὅσον δύο δραχμὰς διεὶς ἐν μελικρήτῳ, δοῦναι πιεῖν πειρητήριον. Μέλαιναν σκορόδου ἀποζέσας, προσθεῖναι πρὸς τὰς μήτρας. τῇ δ᾽ ὑστεραίῃ, τὸν δάκτυλον διεῖσα καὶ ἐσαφάσουσα. σκοπείτω. καὶ ἢν μὲν ὀρθὸν τὸ στόμα, εὖ ἔχει. εἰ δ᾽ οὔ, πάλιν προστιθέσθω. Ἕτερον πειρητήριον. Νέτωπον ὀλίγον ἐν ἐρίῳ ἑλίξας, προσθεῖναι. καὶ ἐρωτᾶν ὅθεν ἂν τοῦ στόματος ὄζῃ. Πρόσθετα. Σκορπίου θαλασσίου τὴν χολὴν ἐς ἔριον ἐνρήξας καὶ ξηρήνας, ἐν σκιᾷ προστίθει. Γλήχωνα ξηρὸν λεῖον ποιήσας μέλιτι δεύσας, προστιθέναι ἐν ἐρίῳ. Σικύου σπέρμα καὶ ὄστρακον κατακαύσας, οἴνῳ τε δεύσας, ἐν λαγωοῦ θριξίν, ἐν ἐρίῳ προστιθέναι. Στυπτηρίην αἰγυπτίην ἐρίῳ καταλίξας, προστίθει. Κανθαρίδας οἴνῳ δεύσας ἐν ἐρίῳ προστίθει. Τὴν ἀρτεμισίην ποίην, οἴνῳ δεύσας προστίθει. Μελάνθιον τρίψας ἐν οἴνῳ, ἐρίῳ προστίθει. Νεοτόκῳ. Ῥόδινον μύρον καὶ κηρόν, ἐν ἐρίῳ, προστίθει. Βόλβιτον τὸ ἐκ τῶν πυρῶν τρίψας ἐν οἴνῳ δεύσας, ἐν ἐρίῳ προστίθει.

Οἴνου λευκοῦ παλαιοῦ τὴν τρύγα κατακαύσας καὶ καταδεύσας ἐν οἴνῳ λευκῷ, καὶ τρίψας, ἐν ἐρίῳ προστίθει. Χαλβάνην. νέτωπον καὶ μίσυ ἐν ῥοδίνῳ μύρῳ, ἐν ὀθονίῳ προστίθει. Ἐλατήριον ὡς δύο πόσιας καὶ κηρίον ἐν οἴνῳ, ἐν ὀθονίῳ προστίθει. Βούτυρον καὶ στυπτηρίην, μέλιτι δεύσας, ἐν ὀθονίῳ προστίθει. Ὀπὸν σκαμμωνίης καὶ στέαρ ἐν μάζῃ, συναναμίξας οἴνῳ, δεύσας, ἐν ὀθονίῳ προστίθει. Ἢν μὴ θέλῃ κυΐσκεσθαι, μίσυος ὅσον κύαμον διεὶς ὕδατι δίδου πίνειν, καὶ ἐνιαυτὸν οὐ κυΐσκεται. Ἢν βούλῃ γυναικὸς ἐμπειρηθῆναι εἰ ἔστι παιδίουσα εἴτε καὶ μή, τῇ ἐρυθρᾷ λίθῳ, τοὺς ὀφθαλμοὺς ὑπαλεῖψαι. καὶ ἢν μὲν ἐσέλθῃ τὸ φάρμακον, παιδίουσα γίνεται, ἢν δὲ μή, οὔ. Ἢν παιδίου ἀφθᾷ τὰ αἰδοῖα, ἀμύγδαλα λεῖα τρίψας, καὶ βοὸς μυελὸν ἐν ὕδατι ἑψῶν, καὶ ἄλητον ἐμβαλὼν μικρόν, διαχρίειν τὰ αἰδοῖα. καὶ διακλύζειν τῷ ὕδατι τῷ ἀπὸ τῶν μύρτων. Ἢν παρθένος λιθιήσῃ, τῶν φύλλων διδόναι τῆς αἰθιοπικῆς ῥίζης ἐν σταθμῷ, ἐν οἴνῳ παλαιῷ, διδοὺς ἐπὶ ἡμέρας δέκα. τὸ δὲ λοιπὸν διηθῶν ἐν ὕδατι ἐπὶ εἰκοσιν ἡμέρας. καὶ λούειν δὶς τῆς ἡμέρης, πολλῷ καὶ θερμῷ. Καταπλάσματα. Σκόροδον. ἀνδράχνην. σέλινον. λωτοῦ καὶ κέδρου πρίσματα. λεῖα ὁμοῦ μίξας, διεὶς μελικρήτῳ, κατάπλασμα ποιέων, καταπλάσσε. Βάτου φύλλα. μυρσίνης φύλλα. ὁμοῦ λεῖα διεὶς, μελικρήτῳ ξυμφυρήσας ἀλφίτοις καταπλάσσε. Ἀκτῆς φύλλα. μυρσίνης φύλλα. τοῦ μίνθου τὰ ἁπαλώτατα, τὸν αὐτὸν τρόπον καταπλάσσε. Λωτοῦ πρίσματα. συκαμίνου φύλλα ὁμοῦ λεῖα μίξας, διεὶς ὕδατι ἀσταφίδος καταπλάσσε. Ὑποθυμιήσεις. Οἶος στεῖς. ἢ αἰγὸς ξηρὰς κόψας, καὶ κριθὰς πεφωσμένας καὶ ὀρνεισμένας ἐν ἐλαίῳ δεύσας, θυμία. Ἐλάφου κέρας, καὶ ἐλαίας τὰς μήπω ἐχούσας ἔλαιον, ὁμοῦ λεῖα μίξας, θυμία. Ῥοῦν τὴν ἐρυθρὴν καὶ ἄλφιτα πεφωσμένα ἐλαίῳ δεύσας ὑποθυμία. Ἄλφιτον καὶ βόλβιτον καὶ ἄχυρα, ἐλαίῳ δεύσας, ὑποθυμία. Λωτοῦ πρίσματα, καὶ ῥοῦ φύλλα, καὶ κυπαρίσσου ξηρῆς πρίσματα, οἴνῳ μέλανι δεύσας αὐστηρῷ ὑποθυμιῆν. Χαλβάνην. μάνναν. ῥητίνην μύρῳ δεύσας ὑποθυμιῆν. Αἰγὸς κέρας, καὶ κηκίδα. καὶ στέαρ ὑὸς καὶ κεδρία, ὑποθυμία. Ὄνων τὴν ἐπὶ τῷ ποδὶ γῆν, ξύσας, καὶ ὀνίδας οἴνῳ μέλανι δεύσας, ὑποθυμιῆν. Κλυσμοί. Μυρσίνης φύλλα καὶ δάφνης καὶ κισσοῦ ἐν ὕδατι χλιηρῷ κλύζειν. Ῥοῦ φύλλα, καὶ ῥοιῆς, καὶ βάτου, ἐν μελικρήτῳ ἀφεψῶν, ἀποχέων κλύζειν. Τῆς ἀκτῆς τὰ φύλλα καὶ τοῦ ἐχίνου ἀφεψῶν ὕδατι ἀποχέας, ἀκροχλιήρως κλύζειν. Μαράθρου ῥίζαν κόψας, ἐν ὕδατι ἀφεψῶν, καὶ κράμβης ἐπιχέας ἔλαιον, ἔπειτα ἀποχέας κλύζειν. Οἰνάνθην καὶ κύπερον, καὶ ἀσταφίδας ἀφεψῶν ἐν μελικρήτῳ, κλύζειν. Μάλαγμά τι ἐν ὕδατι ζέσας ἀποχέας τὸ ὕδωρ, ἀκροχλίηρον κλύζειν. Κυπαρίσσου πρίσματα καὶ μαράθρον ἐν γλυκεῖ κεκρημμένῳ ὕδατι ἀφεψῶν κλύζειν. Ἕρπυλον καὶ λευκοΐου τὴν ῥίζαν ἀφεψῶν ἐν μελικρήτῳ κλύζειν. Ὑπερικόν. καὶ σχῖνον. καὶ κεδρίνας ἐν ὕδατι ἀφεψῶν, ἀκροχλίηρον κλύζειν. Κηρίον. καὶ βούτυρον. καὶ ῥητίνην, καὶ χηνὸς ἔλαιον, ἐν ὕδατι ἀφεψῶν, κλύζειν. Πυριήσεις. Αἴρας φώξας καὶ καταλέσας, ἕψε ἐν ὀξυκράτῳ ἀκρατεστέρῳ. ὁκόταν δὲ ἑψήσῃς ἐνδήσας εἰς ὀθόνιον. πυριῆν. Φακοὺς φώξας καὶ περιπτίσας, καὶ ποιήσας ἄλευρα χονδρώδη, ὕδατι ἀφεψήσας ἐνδήσας εἰς ὀθόνιον προστίθει. Ὀρόβους τὸν αὐτὸν τρόπον ποιέων, πυριῆν. ἀγαθὸν δὲ καὶ ἐλελίσφακος τὸν αὐτὸν τρόπον γινόμενος. Ἐλελίσφακον καὶ ὑπερικὸν ἀφεψῶν ἐν ὕδατι, ἐν τῷ ἀφεψήματι ἄχυρα κριθῶν ἑψήσας ἐς ὀθόνιον, πυρία. Λωτοῦ πρίσματα καὶ κυπαρίσσου ἀφεψῶν ἐν ἀσταφίδος ἀποβρέγματι, ἐνδήσας ἐς ὀθόνιον, πυρία. Ἐλαίης φύλλα, καὶ μυρσίνης καὶ κισσοῦ, καὶ δάφνης ἑψῶν ἐν ὕδατι ἀποχέας τὸ ἀφέψημα ἕψε ἐν αὐτέῳ ἄχυρα κριθῶν. ἔπειτα ἐνδήσας ἐς ὀθόνιον πυρία. Κυπαρίσσου πρίσματα, καὶ κέδρου, καὶ πίτυρα κριθῶν, ὁμοῦ μίξας ἐν ἀποβρέγματι ἀσταφίδος, φυρήσας καὶ ποιήσας ἄρτον, ὀπτήσας θερμὸν ἐς ῥάκος ἐνδήσας, πυρία. Λευκοΐου τὸν καρπὸν ἢ τὰς ῥίζας ἀφεψήσας ὕδατι, καὶ τῷ ὕδατι φυρήσας πίτυρα πυρῶν ἄρτον ποιήσας

θερμὸν, ἐς ῥάκος ἐνειλίξας, πυρία. Τὸν δὲ πτύλον ἐν ὕδατι ἀφεψήσας, τῷ ἀφεψήματι πίτυρα πύρινα ἐμβαλὼν, τὸν αὐτὸν τρόπον πυρία. Σπόγγους θερμαίνων καὶ προστιθείς. καὶ εἰρίοισι μαλθακοῖσι, καὶ ῥάκεσι δρέοισιν, καὶ ὀστρακίνοισιν ἀγγείοισιν ὕδωρ ἐπιχέων, καὶ θυλακίοισι τὸν αὐτὸν τρόπον, καὶ τὸ ἀφέψημα τὸ ἐγχέων, πυριῆν. Καθαρτήριον. Ἢν γυναῖκα μὴ δυναμένην τεκεῖν, κυῆσαι θέλῃς ποιῆσαι, σκέψασθαι χρὴ ἐν τοῖσι καταμηνίοισιν, ἤν τε χολώδης, ἤν τε φλεγματώδης ᾖ. γνώσῃ δὲ τόδε πρότερον. ψάμμον ἐμβαλὼν εἰς τὸν ἥλιον λεπτὴν ξηρὴν, ὁκόταν τὰ καταμήνια γίνωνται, ἐν τῷ ἡλίῳ ἀποχέας τοῦ αἵματος, ἔα ξηρανθῆναι. καὶ ἢν μὲν χολώδης ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα, χλωρὸν γίνεται. ἢν δὲ φλεγματώδης, οἷον μύξα. τουτέων δὲ, ὁκότερον ἂν ᾖ, καθήρας τὴν κοιλίην, ἤν τε ἄνω ἤν τε κάτω δοκέῃσοι δεῖσθαι, εἶτα διαλιπὼν ἡμέρας ὀλίγας, τὰς ὑστέρας καθαίρειν. Ὑστερέων πυρίαι. Ἢν σκληραὶ ἔωσιν αἱ ὑστέραι, καὶ μὴ κυΐσκηται, οἶνον ὡς ἥδιστον ἴσον κεράσας, ὡσεὶ δία ἡμίχοα ἀττικά. καὶ μαράθου ῥίζας. καὶ τὸν καρπὸν τοῦ μαράθου τετάρτην μοίρην. καὶ ῥοδίνου ἀλείμματος ἡμικοτύλην. ταῦτα ἐγχέας ἐς ἐχῖνον, καὶ τὸν οἶνον ἐπιχέας. τοῦ δὲ ἐχίνου φυπῆσαι τὸ ἐπίθεμα, καὶ ἐνθέντα κάλαμον πυριῆν. τὸν δὲ κάλαμον σὺν τῷ ἐπιθέματι ἀφαιρέεσθαι. ἢν δὲ αὐτοῦ τοῦ ἐπιθέματος ἀφαιρέῃς, καυθήσεται. ἐπὴν δὲ πυριήσηται, τὴν σκίλλαν προστίθεσθαι, ὡς κάτω γέγραπται. προστίθεσθαι δὲ, ἔστ᾽ ἂν φῇ μαλακὸν εἶναι τὸ στόμα καὶ εὐρύ. καὶ ἢν μὲν ἑλκωθῇ, καὶ φλεκτῆνες ὦσιν ἐν τῇ καθάρσει. ἢν μὲν ἄκρα τὰ χείλεα ἑλκωθῇ, ἄννησον καὶ χήνειον ἔλαιον ἐν ῥοδίνῳ ἐλαίῳ τρίψας, ἐς εἰρίον ἐνειλίξας, στέαρ βοὸς λαβὼν παχύτερον τοῦ μεγάλου δακτύλου ποδός. μῆκος δὲ ἓξ δακτύλων, χρίσας τῷ φαρμάκῳ περιελίξας τῷ εἰρίῳ τὸ φάρμακον ἀναπασσίσας, τὸ ἔσχατον τῆς σαρκὸς ὃ μέλλει ἔξω εἶναι, λίνῳ δήσας, ἐνθὲς τὸ ψιλὸν τῆς σαρκὸς, ἐς τὰς μήτρας, οὗ ἂν τὸ ἕλκος. Γυναικεῖα καθαρτήρια. Ἢν μὴ πορεύηται ἡ κάθαρσις, λαβὼν σικύης ἐντεριώνην, ὅσον διώβολον, καὶ ἀρτεμισίην ποίην, καὶ λιβανωτοῦ ὀβολὸν τρίψας, ἐν μέλιτι μίξας ἐς εἰρίον ἐνειλίξας, πρόσθες πρὸς τὸ στόμα τῆς μήτρης, τῆς ἡμέρης πεντάκις τοῦτο ποιῶν.

Τὸ ἀμπέλιον ῥίζων χλωρὸν, ἐν μέλιτι μίξας ἐς εἰρίον ἐνειλίξας προστιθέναι τὸν αὐτὸν τρόπον. Τῆς κυπαρίσσου τὸν καρπὸν, καὶ σικυώνης ἐντεριώνης, καὶ λιβανωτὸν τρίψας, ἐν τῷ αὐτῷ τε μέλιτι ἐνειλίξας ἐν εἰρίῳ, πρόσθες τὸν αὐτὸν τρόπον. Τῆς κυπαρίσσου τὸν καρπὸν, καὶ λιβανωτὸν τρίψας, ἐν τῷ αὐτῷ τε μέλιτι ἐνειλίξας ἐν εἰρίῳ πρόσθες. Ἀβρότονον ὅσον διώβολον τρίψας, ἐν μέλιτι ἐς εἰρίον ἐνειλίξας προστίθει. Ἐλατηρίου ὀβολὸν, καὶ σμύρνης ὀβολὸν τρίψας. καὶ μέλιτι ἐς εἰρίον ἐνειλίξας, προστίθει. Ἢν γυνὴ μὴ κυΐσκηται καθαρτήριον. Ταύρου οὖρον ξυλλέξαι ὅσον τρεῖς κοτύλας. ἔπειτα λαβὼν ἀρτεμισίην ποίην, ἢ παρθένιον, ἢ ἀδίαντον, καὶ δάφνην χλωρὴν, καὶ κέδρου πρίσματα, κόψον λεῖα ὁμοῦ. εἶτα ὀρύξας βόθρον, ἐγκαύσας τε ἄνθρακας, καὶ ἐπιθεὶς χύτραν, ἐγχέαι τὸ οὖρον τοῦ ταύρου. καὶ ἔμβαλλε τὰ κεκομμένα ἐν ὅλμῳ. ἔπειτα περιθεὶς δίφρον, ἐπίθες τῆς ἀρτεμισίης ποίης, ἢ ὕσσωπον, ἢ ὀρίγανον. εἶτα ἐπικαθίσας τὴν γυναῖκα, πυριῆσον ἕως ἂν ἱδρώσῃ. ὅταν δὲ ἱδρώσῃ, λοῦσαι θερμῷ. ἐς δὲ τὸ λουτρὸν ἐμβάλλειν τὴν ἀρτεμισίην. καὶ δάφνην. εἶτα πρόσθετον ποιῆσαι. ἢ ἀρτεμισίην, ἢ βολβίον ἐν οἴνῳ λευκῷ τρίψας εἰρίῳ ἐνειλίξας προστιθέτω. ταῦτα ποιέειν ἐφ᾽ ἡμέρας τρεῖς. εἶτα καὶ μάθω παρὰ ἀνδρί. Προσθετὸν κυητήριον. Ἐκνίδου καὶ λιβανωτοῦ βαλάνιον ποιήσας ἐν μέλιτι, πρόσθες. Προσθετὸν καθαρτήριον μαλθακτικόν. Ἰσχάδας λαβὼν ἑψήσας, ἕως ἂν τὰς κεγχραμίδας ἀποβάλλῃ, τοῦτο ἀποπιέσας ὡς λειότατον, προσθέσθω ἐν εἰρίῳ καὶ ῥοδίνῳ μύρῳ. Ἕτερον δριμύτερον. Κράμβης. πηγάνου. ἑκάτερον ἴσον τρίψας, χρῶ τὸν αὐτὸν τρόπον. Ἕτερον προσθετὸν μαλθακόν τε καὶ καθαρτήριον. Χηνὸς μυελὸν, ἢ βοὸς, ἢ ἐλάφου, ὅσον κύαμον παραχέοντα μύρου ῥοδίνου, καὶ γάλα γυναικὸς, τρίβειν ὥσπερ τὸ μαλθακὸν φάρμακον τρίβεται. εἶτα ὑπαλείφειν ἐκ τούτου, τὸ στόμα τῆς μήτρης. Ἕτερον χλιερὸν καθαρτήριον. Χηνὸς μυελὸν ὅσον κάρυον. ῥητίνης σχινίνης, ἢ τερεβινθίνης, ὅσον κάρυον ταῦτα τήξας ἐν μύρῳ ῥοδίνῳ ἐπὶ πυρὸς μαλθακοῦ, καὶ ποιήσας ὥσπερ κηρωτὴν. εἶτα τουτέῳ χλιερῷ, ἐναλείφειν τὸ στόμα τῆς μήτρης καὶ τὸν κτένα καταβρέχειν. Καταπαστικὸν καθάρσιος καὶ στατικόν. Γλυκυσίδης κόκκους τοὺς μέλανας ἢ ἐρυθροὺς τρεῖς ἢ τέσσαρας τουτέους τρίβοντας ἐν οἴνῳ, δοῦναι πιεῖν. ἢν δὲ μᾶλλον καταπαῦσαι θέλῃς τῶν μελάνων κόκκων τῆς γλυκυσίδος τρίψας, τὸν αὐτὸν τρόπον δὸς πιεῖν. Ἕτερον καθαρτήριον καὶ καταπαστικόν. Δαφνίδος εἴκοσι τὰς πλείστας. καὶ σεσέλιος ἥμισυ ὀξυβάφου, τρίψας μετὰ οἴνου, πινέτω. Ταύρου χολὴν ὅσον δία ἡμιωβόλια ἀττικὰ τρίψας, ἐν οἴνῳ δοῦναι πιεῖν νήστει. καὶ περιπλάσσων καταπότια δίδου. Ἄλευρον σιτάνιον. σμύρνης ὅσον διώβολον. κρόκου τὸ ἴσον. καστορίου ὀβολὸν, ταῦτα τρίψαντα, μύρῳ ῥοδίνῳ προστιθέσθω. Ἕτερον καθαρτήριον. Κνίδης καρποῦ καὶ μαλάχης χυλὸν ἐν στέατι χηνὸς τρίψαντα, προσθεῖναι. Ἢν μὴ καθαρθῇ, τῆς πάλης τῆς ἐκ τόκου ὅσον τοῖς τρισὶ δακτύλοις ἑψήσας, μέλιτι ἐγχέαι καὶ συμπλάσαι τὴν κοιλίην, καὶ δοῦναι πιεῖν. Ὑστέρας ἀναστομωτήριον τὸ αὐτὸ καὶ καθαρτικόν. Κανθαρίδας τρίβε πέντε, ὄξος λευκὸν παραχέων. καὶ μὴ ὑγρὸν πάνυ ποίει. ἀλλ᾽ ὡς ἐκμάσσεσθαι δάκτυλον. λαβὼν δὲ σύκου λευκοῦ πίονος, αὐτοῦ τῆς κεγχραμίδων, καὶ τοῦ δέρματος διπλάσιον ξυμμίξας μέρος τῆς κανθαρίδος, ξυβίον ποιήσας, εἰρίῳ λεπτῷ κατελίξασα προσθέσθω. Καθαρτήριον. Ἢν ἐκ τόκου μὴ καθαρθῇ, τοῦ σιφύλλου ἐν οἴνῳ λευκῷ πίνειν. τοῦτο δὲ καὶ τὰ καταμήνια καταῤῥήγνυσι, καὶ ἔμβρυον ἐκβάλλει.

ἐκβάλλει. Μητρέων καθαρτήριον. Ὁκόταν παιδίου ἐναποθανόντος αἷμα ἐμμένῃ, κολοκυντίδα ἀγρίην τρίψας ἐν μέλιτι, λειχέτω, ἢ προσθέτω. Αἵματος καθαρτικόν. Αἷμα ἐξελάσεις ἐκ μητρέων, λευκοΐου καρπὸν τρίβων λεῖον, οἴνῳ διεὶς, διδόναι πίνειν. Αἷμα ὡσαύτως ἐξελάσεις ἐκ μητρέων. Ῥοῦ τὸν καρπὸν, ὁκόταν ἐρυθρὸς ᾖ, τρίβων κόκκους ὅσον ἑξήκοντα χλωροὺς, καὶ κυνόροδα ἐρυθρὰ περιλέπων, τὸ ἐρυθρὸν διδόναι πίνειν ἐν οἴνῳ. Ὅταν τὸ αἷμα ῥαγῇ, προσθετὸν καθαρτήριον.

Ἢν τὰ γυναικεῖα μὴ φαίνηται, στύρακα, καὶ ὀρίγανον τρίψας λεῖα. καὶ ξυμμίξας, ἐπίχεον καὶ χηνὸς ἔλαιον. ἔπειτα προστιθέσθω. Προσθετὸν καθαρτικὸν, ὥς τε μήτρας ἐκκαθαίρειν, καὶ κενοῦν.

Ἀψινθίου ῥίζαν, τρίψας λείην. καὶ περιμίξας μέλι, προσθεῖναι σὺν ἐλαίῳ. Προσθετὰ ὑστερέων καθαρτικὰ ἀναστομωτήρια καὶ ὕδωρ ἄγοντα. Σκίλλας ὅσον ἑξαδάκτυλον τὸ μῆκος. πάχος δὲ ὡς ὁ μικρὸς δάκτυλος. τουτέου περιξύσας ὅσον δύο δακτύλους, λεῖον ποιήσας, καταλείψας τὸ λοιπὸν εἰρίῳ ῥυπαρῷ. καὶ τὸ μὲν ἀπεξεσμένον, πρὸς τὸ στόμα τῶν ὑστερέων ἐᾶν προσκεῖσθαι ἡμέραν καὶ εὐφρόνην. λουσαμένη δὲ καὶ ἀφαιρουμένη, διανιζέσθω ὕδατι εὐώδει. Καθαρτικὸν μαλθακὸν, ὅπερ ὕδωρ ἄγει καὶ φλέγματα. χλωρά τε ὕφαιμα καταμήνια καταπαύει ἢν μὴ πολυχρόνια ᾖ, καὶ τὸ στόμα μαλθάσσει. Μύρον ναρκίσσινον. κύμινον ὃ ἐσθίομεν. σμύρναν τε καὶ λιβανωτόν. ἀψίνθιον. κυπάρισσον. ἅλας. ῥόδινον, ἄλειφα. τῶν μὲν ἄλλων, χοῦ ἑκάστου. τοῦ δὲ ναρκισσίνου, τέσσαρας μοίρας. εἶτα ὀθόνιον ὠμόλινον ξυμμίξας ἅπαντα καὶ ποιήσας βάλανον, περὶ τῷ πτερῷ ῥάκος λεπτὸν περιθεὶς, καταδῆσαι καὶ ἐμβάψαι ἐς ἄλειφα λευκὸν αἰγύπτιον, προσθεῖναι. καὶ ἐᾶν ὅλην ἡμέραν προσκεῖσθαι. εἶτα λουσαμένη καὶ ἀφαιρουμένη, διανιζέσθω ἐν ὕδατι εὐώδει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΓΥΝΑΙΚΕΙΩΝ ΠΡΩΤΟΝ.

Α᾽δὲ ἀμφὶ γυναικείων νούσων, ὧδε φημί. γυναῖκα ἄτοκον ἐοῦσαν, ἤν τε τοκάδα, χαλεπώτερον καὶ θᾶσσον ἀπὸ τῶν καταμηνίων νοσέειν. ὁκόταν γὰρ τέκῃ, εὐροώτεραί οἱ τὰ φλέβια ἐστὶν ἐς τὰ καταμήνια. εὔροα δέ σφιν ποιέει ἡ λοχίη, κάθαρσίς τις ἐοῦσα. καὶ ἢν καταῤῥαγῇ τοῦ σώματος τὰ πλησιάζοντα μάλιστα, τῆς τε κοιλίης καὶ τῶν μαζῶν καταῤῥήγνυται. καταῤῥήγνυται δὲ καὶ τὸ ἄλλο σῶμα. ὑπὸ τοῦ δὲ γίνεται, εἴρηταί μοι ἐν τῇ φύσει τοῦ παιδίου τοῦ ἐν τόκῳ. καταῤῥαγέντος δὲ τοῦ σώματος, ἀνάγκη τὰς φλέβας μᾶλλον στομοῦσθαι καὶ εὐροωτέρας γίνεσθαι ἐς τὰ καταμήνια. καὶ τὰς μήτρας μᾶλλον στομοῦσθαι, οἷα τοῦ παιδίου χωρήσαντος διὰ σφέων, καὶ βίην καὶ πόνον παρασχόντος. καὶ τουτέων ὧδε ἐχόντων, τὰ καταμήνια ἀπημαντότερον καθαίρεται ἡ γυνὴ, ἐπὴν λοχίων ἔμπειρος γένηται. εἰ δὲ καί τι πάθημα τῇ γυναικὶ γένοιτο τῇ ἤδη τετοκυίῃ, ὥς τε τὰ καταμήνια μὴ δύνασθαι ἐλθόντα εὖ καθαρθῆναι, ῥηϊτέρως τὸν πόνον οἴσει, ἢ εἰ ἄτοκος ᾖ. ἠθάδες γὰρ αἱ μῆτραι, καὶ τὸ σῶμα ἐπὶ πλεῖον πληροῦσθαι, ἅτε ἐν γαστρὶ ἐχούσῃ, καὶ ἅμα εὐρυχωρίη πολλή ἐστιν ἐν τῷ σώματι. πλείων δὲ ἡ εὐρυχωρίη γίνεται καὶ τῷ αἵματι, ἐπὴν τέκῃ, οἷα τοῦ σώματος καταῤῥαγέντος. καὶ ἐν εὐρυχωρίῃ ἐὸν τὸ σῶμα, ἀπονώτερον γίνεται, ἢν μὴ ὑπερπιμπλῶνται αἱ φλέβες καὶ ὑπερπονέωσιν. ἀτόκῳ δὲ ἐούσῃ, τοῦ τε σώματος οὐ ξυνήθεος ἐόντος, ἐπὴν πληρωθῇ, καὶ ἰσχυροτέρου τε καὶ στερεωτέρου καὶ πυκνοτέρου ἐόντος, ἐπὴν λοχίων ἔμπειρος γένοιτο, καὶ τῶν μητρέων ἀναστομωτέρων ἐουσῶν, τὰ ἐπιμήνια ἐπιπονωτέρως χωρέει, καὶ τὰ παθήματα προσπίπτει πλείονα, ὥς τε διὰ τοῦτο τὰ καταμήνια ἀποφράσσεσθαι ἐὰν ἢν ἄτοκος ᾖ. ἔχει δὲ ὧδε ὥς μοι καὶ πρὶν εἴρηται. φημὶ τὴν γυναῖκα ἀραιοσαρκοτέρην καὶ ἁπαλωτέρην εἶναι, ἢ τὸν ἄνδρα. καὶ τούτου δὲ ὧδε ἔχοντος, ἀπὸ τῆς κοιλίης ἕλκει τὴν ἰκμάδα. καὶ τάχιον καὶ μᾶλλον τὸ σῶμα τῆς γυναικὸς ἢ τὸ τοῦ ἀνδρός. καὶ γὰρ εἴ τις ὑπὲρ ὕδατος, καὶ διὰ χωρίου ὑψηλοῦ δύο ἡμέρας καὶ δύο εὐφρόνας θείη εἴρια καθαρὰ, καὶ εἷμα καθαρὸν καὶ βεβυσμένον εὖ σταθμῷ ἴσον τοῖσιν εἰρίοισιν, ἀνελὼν εὑρήσει στήσας πολλὸν βαρύτερα τὰ εἴρια ἢ τὸ εἷμα. ὅτι δὲ τοῦτο γίνεται αἰεὶ ἀποχωρέει ἐς τὸ ἄνεκας ἀπὸ ὕδατος ἐν ἀγγείῳ εὐρυστόμῳ ἐόντι, καὶ τὰ μὲν εἴρια, ἅτε ἀραιά τε καὶ μαλθακὰ ἐόντα, ἀναδέξεται τοῦ ἀποχωρέοντος πλέον. τὸ δὲ εἷμα ἅτε πλῆρες ἐὸν καὶ βεβυσμένον, ἀποπληρώσεται τὸ πολλὸν οὐκ ἐπιδεχόμενον τοῦ ἐπιχωρέοντος. οὕτω δὴ καὶ ἡ γυνὴ, ἅτε ἀραιοτέρη ἐοῦσα, ἕλκυσε πλείονα ἀπὸ τῆς κοιλίης τῷ σώματι τὴν ἰκμάδα καὶ θᾶσσον, ἢ ὁ ἀνήρ. καὶ ἅτε ἁπαλοσάρκῳ ἐούσῃ τῇ γυναικὶ ἐπὴν πλησθῇ τοῦ αἵματος τὸ σῶμα, ἢν μὴ ὑποχωρέῃ ἀπ᾽ αὐτέου, πληρευμένων τῶν σαρκῶν καὶ θερμαινομένων, πόνος γίνεται. θερμότερον γὰρ τὸ αἷμα ἔχει ἡ γυνή. καὶ διὰ τοῦτο θερμοτέρη ἐστὶ τοῦ ἀνδρός. ἢν δὲ τὸ πλεῖον ἐπιγινόμενον ἀποχωρέῃ, οὐ γίνεται ὁ πόνος, καὶ ἡ θέρμη ἀπὸ τοῦ αἵματος. ὁ δὲ ἀνὴρ στερεοσαρκότερος ἐὼν τῆς γυναικὸς, οὔτε ὑπερπίμπλαται τοῦ αἵματος ἐς τὸ ἄνω τῆς κοιλίης τόσον, ὥς τε ἢν μὴ ἀποχωρέῃ τι τοῦ αἵματος καθ᾽ ἕκαστον μῆνα, πόνον χρὴ ἔσεσθαι. ἕλκει τε ὁκόσον ἐς τροφὴν τοῦ αἵματος. τό, τε σῶμα οἱ οὐχ ἁπαλὸν ἐὸν, οὐχ ὑπερπονέει, οὐδ᾽ ὑπερθερμαίνεται ὑπὸ πληθώρης ὡς τῇ γυναικί. μέγα δὲ ξυμβάλλεται ἐς τοῦτο τῷ ἀνδρί, ὅτι ταλαιπωρέει μᾶλλον τῆς γυναικός. ἡ γὰρ ταλαιπωρίη, ἀπάγει τι τῆς ἰκμάδος. Ἐπὴν οὖν γυναικὶ ἀτόκῳ ἐούσῃ, κρυφθῇ τὰ ἐπιμήνια, καὶ μὴ δύνηται ὁδὸν ἔξω εὑρεῖν, ἡ νοῦσος γίνεται. τοῦτο

δὲ ξυμβαίνει, ἢν τῶν μητρέων τὸ στόμα μεμύκῃ, ἢ ἰθυνθῇ, ἢ ξυστραφῇ τι τοῦ αἰδοίου. ἢν γὰρ τουτέων τι ᾖ, οὐ δυνήσεται ἔξοδον εὑρεῖν τὰ ἐπιμήνια, πρὶν ἂν αἱ μῆτραι ἐς τὴν φύσιν τὴν ὑγιηρὴν μεταστέωσι. γίνεται δὲ τὸ νόσημα τοῦτο μάλιστα ταύτῃσιν, αἵ τινες στενοχώρους τὰς μήτρας ἔχουσιν, ἢ τὸν αὐχένα πρόσω τοῦ αἰδοίου κείμενον. ἢν γὰρ τουτέων θάτερον ᾖ, καὶ μὴ μίσγηται ἡ γυνὴ τῷ ἀνδρὶ, καὶ κενωθῇ ἡ κοιλίη μᾶλλον τοῦ καιροῦ ἀπὸ τουτέου τοῦ παθήματος, στρέφονται αἱ μῆτραι, ἅτε γὰρ ἰκμαλέαι εἰσὶ κατὰ σφέας οἷα μὴ λαγνευομένης. εὐρυχωρείη τέ σφισιν ἐστὶν, ἅτε τῆς κοιλίης κενωτέρης ἐούσης ὥστε στρέφεσθαι. ἅτε ξηροτέρης καὶ κουφοτέρης ἐούσης τοῦ καιροῦ. καὶ ἔστιν ὅτε στρεφομένων σφῶν τυγχάνει τὸ στόμα παραστρέφειν ἅτε τοῦ αὐχένος πρόσω τοῦ αἰδοίου κειμένου. ἢν γὰρ ἰκμαλέαι ἐῶσιν αἱ μῆτραι ἀπὸ λαγνείης καὶ κοιλίη μὴ κενῶται, οὐ ῥηϊδίως στρέφονται. τοῦτ' οὖν αἴτιον γίνεται ὥστε αὐτὰς ξυμμύειν, οἷα μὴ λαγνευομένης τῆς γυναικός. Ἐν δὲ τοῖσι τριταίοισιν, ἄριστα μὲν πείσεται, ἢν οἱ κατελθόντα ἐξαγάγῃ τὰ προϋπάρχοντα. εἰ δὲ μὴ, πείσεται τάδε ἡ γυνὴ, πνίξ τέ οἱ ἄλλοτε καὶ ἄλλοτε ξυμπεσεῖται. καὶ πῦρ λήψεται ἄλλοτε, καὶ φρίκη, καὶ ὀσφύος ἄλγημα. ταῦτα πείσεται, ἐν τοῖσι τριταίοισιν ἐπιμηνίοισιν, ἢν μὴ οἱ ἐξίῃ. Ἐν δὲ τοῖσι τεταρταίοισιν, ἢν μὴ οἱ ἐξιόντα, τοῖσί τε προτέροισιν ἔξοδον ποιήσῃ. καὶ τότε μὲν τρίτα πονήματα πάντα μᾶλλον πονήσει, καὶ μάλιστα ἐν τῷ χρόνῳ τῶν καταμηνίων. ἔπειτα ἧσσον. πολλάκις δὲ καὶ δοκέει ἄπονος εἶναι. ἔσται δὲ αὐτῇ τοῖσι τεταρταίοισι, καὶ τάδε τὰ σημεῖα. οὐρήσει τε πολὺ παχὺ, ἄλλοτε καὶ ἄλλοτε. καὶ ἡ γαστὴρ αὐτῆς σκληρὴ ἔσται. καὶ μείζων, ἢ τὸ πρόσθεν. καὶ βρύξει τοὺς ὀδόντας. καὶ ἀσιτήσει. καὶ ἀγρυπνήσει. τοιαῦτα πείσεται, αὐτῇ τοῖσι τεταρταίοισι καταμηνίοισι. μελεδαινομένη δὲ, καὶ ἐν τουτέοισιν ὑγιαίνει. Καὶ ἐν τοῖσι πεμπταίοισιν, ἢν μή οἱ πουλλὰ τὰ ἐπιμήνια κατίῃ, καὶ ὁ πόνος ἰσχυρότερος προσπίπτῃ. Ἐν δὲ τοῖσιν ἑκταίοισιν, ἤδη ἀνίητος ἔσται. καὶ κατὰ μὲν πρότερα σημεῖα μᾶλλον πονήσει. ἔπειτα δὲ ἐπ' αὐτοῖσι καὶ τάδε. ἀλύξει τε καὶ ῥιψεῖ ἑωυτὴν, ἄλλοτε καὶ ἄλλοτε. καὶ λειποθυμήσει. καὶ ἐμέσει φλέγμα. καὶ δίψα ἰσχυρή μιν λήψεται. ἅτε καιομένης τῆς κοιλίης ἀπὸ τῶν μητρέων ἐουσέων πληρέων αἵματος. καὶ ψαυομένη ἀλγήσει. καὶ μάλιστα τὸ ἦτρον. καὶ πυρέξει ἄλλοτε καὶ ἄλλοτε ὀξέως. καὶ βορβορύξουσιν αἱ μῆτραι ἄλλοτε καὶ ἄλλοτε, ἅτε τοῦ αἵματος ἐγκλυδωμένου, καὶ διαχωρέοντος ἐν αὐτῇσι. καὶ ἡ κοιλίη οὐ διαχωρήσει κατὰ τρόπον. ὅτε ἡ κύστις διαθήσει τὸ οὖρον. ἐπὴν οἱ αἱ μῆτραι προσπέσωσι πρὸς τὸν στόμαχον τὸν οὐρώδεα ἐόντα. καὶ ἐς τὴν κοιλίην ἐμβάλλωσιν, ἀλγέει τὴν ῥάχιν. καὶ τὸ νῶτον πᾶν. καὶ τὴν γλῶτταν αὐτῆς χαλινοῦται, καὶ ἀσαφῆ ταύτην ἔχει. καὶ λειποθυμίη ἔστι δ' ᾗσι καὶ ἀφωνίη. καὶ δάκνεται τὸν στόμαχον. καὶ ξανθὴ ἡ χολὴ ἐξείσι. καὶ πνεῦμα προσπαῖον. καὶ ἀλύει. καὶ ῥίπτει ἑωυτήν. καὶ ἐμπίπραται. ἐπὴν δὲ μεταστέωσι καὶ εἰρύσει ἡ κύστις τὸ λεπτὸν τοῦ αἵματος τοῦ ἀπὸ τῶν μητρέων, τότε τὸ οὖρον διαρρέεται ἐρυθρὸν, καὶ πονέει μὲν τὸ ἄλλο σῶμα, μάλιστα δὲ τὸν τράχηλον, καὶ τὴν ῥάχιν, καὶ τὴν ὀσφῦν, τούς τε βουβῶνας. καὶ ἐς τοῦτο ἐλθούσῃ αὐτῇ, ἥ τε γαστὴρ αἴρεται, καὶ τὰ σκέλεα ὑπὸ τοῦ χρεὼν διοιδίσκεται, καὶ αἱ κνῆμαι, καὶ οἱ πόδες. καὶ ὁ θάνατος ἔπεισι. καὶ ἡ μὲν ταύτης οὕτω τελευτᾷ ἐς ἓξ μῆνας τὰ ἐπιμήνια ἀδηλεύμενα, γίνεται δὲ καὶ ταῦτα. Ἔστιν ᾗσι τῶν γυναικῶν ἐπὴν δίμηνα ᾖ, τὰ καταμήνια ἐν τῇσι μήτρῃσι πολλὰ ἐόντα, ἔρχεται ἐς πλεύμονα, ἐπὴν ἀποληφθῇ, καὶ πάσχῃ πάντα, ἅπερ ἐν φθινάδι εἴρηται. καὶ οὐχ οἷόν τε ἐστὶ περιεῖναι. γίνεται δὲ καὶ τάδε. ἔστιν ᾗσι διάπυα γίνονται τὰ ἐπιμήνια χρονίζοντα, ἐπὴν γένηται δίμηνα ἢ τρίμηνα. τοῦτο δὲ μάλιστα γίνεται, ἢν ξυγκαῇ ἀπὸ τοῦ πυρός. σημεῖα δὲ ἐστὶν, ἢν διάπυα ᾖ, ὀδύναι τε ἐμπίπτουσιν ἐς τὸ ἦτρον, ἰσχυραὶ καὶ σφύξιες, καὶ ψαυομένη οὐκ ἀνέχεται. καὶ ἢν μέλλῃ βελτιόνως ἔχειν, ῥήγνυται αὐτῇ τὰ ἐπιμήνια κατὰ τὸ αἰδοῖον. καὶ χωρέει πύον καὶ αἷμα ὀζόμενον γε, χωρέει, αὐτίκα ἡμέρας ἑπτὰ, ἢ ὀκτὼ, ἢ ἐννέα. ἐν δὲ τῷ πρὶν χρόνῳ, πονέεται ὡς εἴρηται ἔμπροσθεν. ἐπὴν δὲ ἀποκαθαρθῇ, ἄριστον μὲν ἢν μὴ γένοιτο ἕλκεα. ἢν δὲ ὑπολείπηται ἕλκεα, πλείονος δεήσει θεραπείης, ὅκως τὰ ἕλκεα μὴ μυδήσῃ, καὶ κοίλωμα γένηται. ἄφορος δὲ ἔσται, καὶ ἢν ῥαΐσῃ, ἢν μεγάλα ᾖ τὰ ἕλκεα γενόμενα ἐν τῇσι μήτρῃσιν, ἢν δὲ μὴ οἱ κατὰ τὸ αἰδοῖον χωρήσῃ τὰ ἐπιμήνια διάπυα γενόμενα ἐς τὰ ὑπὲρ τοῦ βουβῶνος, ξυμβήσεται κατὰ τὴν λαπάρην ῥαγῆναι ὑπὲρ φύματος. ἅτε τοῦ πύου διαρραγέντος, καὶ κείνῃ χωρήσει πυώδεα ὀδμαλέα. καὶ ἢν τοῦτο γένηται οὐ περιγίνεται ἡ γυνή. ἢν δὲ καὶ περιγίνηται, ἀεὶ ἄφορος ἔσται. ταύτῃ γάρ οἱ τὸ λοιπὸν ἡ ὁδὸς γίνεται, τοῖσιν ἐπιμηνίοισιν ἔξω. τὸ γὰρ στόμα τῶν μητρέων, πρὸς τοῦτο τὸ χωρίον προσπέπτωκε. γίνεται δὲ καὶ τόδε. ἔστιν ᾗσιν ἐπὴν δίμηνα, ἢ τρίμηνα, ἢ χρονιώτερα ᾖ τὰ ἐπιμήνια, καὶ προσπέσῃ πρὸς τὴν λαπάρην, μὴ διαπύων τῶν καταμηνίων ἐόντων, ὡς φῦμα γίνεται ὑπὲρ τοῦ βουβῶνος, ἀκέφαλον, μέγα, ἐρυθρόν. καὶ τῶν ἰητρῶν πολλοὶ ἤδη οὐκ εἰδότες τοῦτο ὅ τι ἐστὶν, ἔταμον, καὶ ἐς κίνδυνον ἤγαγον οὕτως. τὸ δὲ ὡς φῦμα γενόμενον, γίνεται τρόπῳ τοιῷδε. ἐπαυείσκεται τοῦ αἵματος ἡ σὰρξ, ἅτε προσκειμένου τοῦ στόματος τῶν μητρέων τῇ λαπάρῃ. καὶ πιμπλᾶται ἀπ' αὐτέου, καὶ ἐξίσταται, ἅτε πληρευμένη τοῦ αἵματος ἡ σάρξ. καὶ ἔστιν ὅτε, ἢν μεταστῇ τὸ στόμα τῶν μητρέων, καὶ γένηται κατὰ τὸ αἰδοῖον, καὶ χωρέουσι διὰ τοῦ αἰδοίου τὰ καταμήνια, καθίσταται τὸ ἐξεστηκὸς κατὰ τὴν λαπάρην. διαδιδοῖ γὰρ ἐς τὰς μήτρας. αἱ δὲ, ἔξω ἐχάλαζεν. ἢν δὲ μὴ στραφῇ τὸ αἰδοῖον κατὰ τὸ στόμα τῶν μητρέων, διαπύει κατὰ τὴν λαπάρην, καὶ ταύτῃ ὁδὸς γίνεται τοῖσι καταμηνίοισι. καὶ οἱ κίνδυνοι οἱ αὐτοί εἰσιν, οἱ καὶ πρόσθεν εἰρημένοι. τρέπεται δὲ καὶ ἐς

ἔμετον.

ἔμετον. ἔστιν ᾗσι καὶ κατὰ τὴν ἕδρην, ὥσπερ μοι εἴρηται, ἐν τοῖσι παρθενίῃσι νούσοισι. καὶ σημεῖα καὶ πόνους τοὺς αὐτοὺς δείκνυσι, τοῖσι κεῖθι εἰρημένοισιν. ὅσον δὲ ταύτην τὴν ὁδὸν ποιέεται τὰ ἐπιμήνια, τῇσι γυναιξὶν, ἢ τοῖσι παρθένοισιν, ὁκόταν τὰ ἐπιμήνια κρυφθῇ, ὀδύνη ἕξει τὴν νειαίρην γαστέρα, καὶ δοκέει τι ἐγκεῖσθαι βάρος, καὶ τὰς ἰξύας ἐκπάγλως πονέει, καὶ τοὺς κενεῶνας. Ἢν δὲ τὰ ἐπιμήνια παντάπασι μὴ χωρέοντα, γίνηται ἀπὸ νόσου ἢ παχέα, καὶ γλίσχρα, ἢ κολλώδεα. χρὴ οὖν πρῶτον τὴν κοιλίην καθῆραι, ἄνω τε καὶ κάτω. ἔπειτα τὰς ὑστέρας προσθετῷ, ἀφ' οὗ αἷμα καθαίρεται καὶ διαλείπειν. καὶ πίσαι ὑφ' οὗ αἷμα ἴῃ. πινέτω δὲ καὶ κρηθμὸν ἐν οἴνῳ τῷ ἀπὸ δαιδός. ἢν δέ οἱ ῥόος μὴ γίνηται, ἔσται ὥστε δοκέειν ἐγκύμονα εἶναι. καὶ μισγομένη ἀνδρὶ, ἀλγέειν, ὥστε δοκέειν ἐγκεῖσθαί τι. καὶ βεῖθος ἐν τῇ γαστρὶ ἐπιφέρεται. καὶ ἡ γαστὴρ πρόκειται, καὶ ἱμείρεται ἠδελφισμένως ὡς ἐν γαστρὶ ἔχουσα. καὶ καρδιώσσει, ἐπὴν ἡμέραι πεντήκοντα μάλιστα ἐῶσι. καὶ πόνος ἔχει, ἄλλοτε καὶ ἄλλοτε τῆς γαστρὸς τὸ κατὰ τοῦ ὀμφαλοῦ, τόν τε τράχηλον, καὶ τοὺς βουβῶνας, καὶ τὴν ὀσφῦν. καὶ ἐπὴν μῆνες δύο ἢ τρεῖς γένωνται, ἔστιν ὅτε ἐρράγη οἱ κατὰ τὸ αἰδοῖον τὰ καταμήνια ἀθρόα, καὶ δοκέει ὥσπερ σάρκα εἶναι τὰ ἀπιόντα, ὡς ἐκ διαφθορᾶς, καὶ μέλαινα. ἔστι δ' ᾗσι καὶ ἕλκεα γίνεται ἐν τῇσι μήτρῃσι. καὶ δεήσεται προσέχειν τῇ μελέτῃ. πολλῇσι δὲ συμβαίνει, ὥστε δοκέειν, ἓξ μῆνας ἔχειν ἐν γαστρὶ, ἢ καὶ ὀλίγῳ ἐλάσσονα χρόνον. καὶ ἡ γαστὴρ πρόκειται, καὶ τἄλλα οἱ δοκέει γίνεσθαι ὥστε ἐν γαστρὶ ἐχούσῃ. ἔπειτα οὖν ᾗσι διαπύοντα, ἐρράγη ὑπὲρ τοῦ βουβῶνος ἅμα πέμπτῳ ἢ ἕκτῳ μηνὶ, καὶ ὁδὸν ταύτῃ ἐποιήσατο. ἔστι δὲ καὶ ᾗσιν ἕλκεα γίνεται ἐν τῇσι μήτρῃσι καὶ κάτω ὑπὲρ τοῦ βουβῶνος. καὶ κινδυνεύσει ἀποθανεῖν. ἢν δὲ καὶ περιγένηται ἄφορος ἔσται. ἔστι δὲ ᾗσι καὶ κατὰ τὸ αἰδοῖον ῥήγνυται, καὶ χωρέει αὐτέῃ σεσηπότα καὶ πυώδεα. καὶ ἀπὸ τουτέων ἕλκεα ἐγίνεται ἐν τῇσι μήτρῃσι, καὶ κινδυνεύσει. καὶ χρὴ, ὅκως μὴ τὰ ἕλκεα παλαιὰ γένηται, ἰῆσθαι προσέχοντα. ἄφορος δὲ καὶ αὐτὴ γίνεται, ἤν γε καὶ ἰηθῇ. ἢν δὲ μή οἱ ῥαγῇ τὰ καταμήνια διαιρεχθέντα ἓξ μῆνας, πείσεται πάντα ἅπερ τῇ ἀτόκῳ τὰ καταμήνια ὁδὸν οὐ δυνάμενα εὑρεῖν. καὶ ἢν μὲν θεραπευθῇ, ὑγιὴς ἔσται. ἢν δὲ μὴ, διαρκέσασα καὶ ἐς ὀκτὼ μῆνας, θνήσκει. πολλῇσι δὲ γίνεται ἢν τὰ καταμήνια φλεγματώδεα χωρέοντα αὐτῇ πολλὸν χρόνον, καὶ ἐλάσσονα εἶναι τῶν ὑγιηρῶν. ὑγιὴς δὲ γίνεται ἐν κόσμῳ τῷ προσήκοντι ἰηθεῖσα. Ἢν δὲ τὰ ἐπιμήνια γυναικὶ χωρέει μὲν, ἐλάσσονα δὲ τοῦ δέοντος χωρέει, ἅτε τοῦ στόματος τῶν μητρέων παρακεκλιμένου ὀλίγον τοῦ αἰδοίου, ἢ ἁρμοῖ μεμυκότος ἐς τοῦτο, ὥστε χωρέειν μὲν, ἀποφράσσεσθαι δὲ ἀπ' αὐτέων, καὶ αἱ δίοδοι ἃς πρὶν ᾔσθοντο ἐπὴν κατέλθῃ ἐς τὰς μήτρας, τὰ μέτρια τελείως τοῦ αἵματος ἐπικειμένου τῷ στόματι αἰεὶ προσέρχεται δὴ κατ' ὀλίγον. καὶ ἐπὴν αἱ ἡμέραι παρέλθωσιν ᾗσι καθαίρεσθαι μεμαθήκει, καὶ εἰρχθῇ τὸ αἷμα ἐν τῇσι μήτρῃσι τὸ ὑπολειφθὲν, καὶ ἑτέρα ὑποκατιόντα ἐπιμήνια μὴ ἐξωθῇ τὸ ὑπάρχον αἷμα, ἀλλ' αἰεὶ βαρύνει κατ' ὀλίγον. ἔς τε τοὺς πρώτους μῆνας, ἢ αὐτίκα δύο, ἢ αὐτίκα τρεῖς, μὴ ἐσιεῖ κάρτα. ἐπὴν δὲ οἱ μῆνες πλείονες γένωνται, ἔτι μᾶλλον πονήσεται. καὶ οὐκ ἴσχει ἐν γαστρὶ, μέχρις ἂν οὕτως ἔχῃ. καὶ πῦρ λήψεταί μιν μάλιστα τὰς ἡμέρας ἐν τῇσι καθαίρεσθαι μεμαθήκει, ἢ πεδανόν. εἰκὸς δὲ ἐστὶ καὶ ἐν τῷ μεσηγὺ χρόνῳ πυρεταίνειν. καὶ φρίσσειν. καὶ καρδιώσσειν, καὶ ἀνάγειν αὐτίκα τὸ πλῆθος ἀνὰ πᾶσαν ἡμέρην. καὶ ἀλγέει ἄλλοτε καὶ ἄλλοτε τὸ σῶμα, καὶ μάλιστα τὴν ὀσφῦν, καὶ τὴν ῥάχιν, καὶ τοὺς βουβῶνας. τά τε ἄρθρα τῶν χειρῶν καὶ τῶν ποδῶν. ταῦτα δὲ οὐχ ὁμοῦ ἀλγέει, ἀλλ' ἄλλοτε καὶ ἄλλοτε, ὅπῃ ἂν βρίσῃ τὸ αἷμα τὸ ἀποκεκλεισμένον, καὶ μὴ δυνάμενον ᾖ ἐν τῇσι μήτρῃσι. καὶ ὅπῃ ἂν στηρίξῃ τοῦ σώματος, οἴδημά ἐστιν. ὅτε γίνεται καὶ σπασμὸς ἰσχυρὸς τῶν ἄρθρων τοῦ σώματος, καὶ τῶν ἄλλων σημείων τῶν προειρημένων, φαίνεταί οἱ ἄλλοτε ἄλλο ἐστὶν ὅτε. αὕτη ἢν μὲν θεραπευθῇ κατὰ τρόπον, ὑγιὴς ἔσται. εἰ δὲ μὴ, ἡ νοῦσος ἑπτάμηνος ἢ καὶ χρονιωτέρη γινομένη, θανατώδης εἴη ἄν. ἢ χωλώσειεν. ἢ ἀκρατέα τινὰ τῶν μερέων ποιήσειεν. ἢν ὑπορίγεος καὶ ἄσιτος τὸ αἷμα ἔνθα ἂν ἐπέλθῃ, πῆξιν ἴσχει πρὸς τὰ νεῦρα. τοῦτο δὲ τὸ νόσημα γίνεται μᾶλλον τῇσιν ἀνάνδροισιν. ἢν δὲ μὴ ἐμπειροτόκῳ ταῦτα τὰ νοσήματα ἐμπίπτῃ τὰ εἰρημένα ἢ ἅσσα μέλλει εἰρήσεσθαι, πουλυχρονιώτερα ἔσται καὶ ἧσσον ἐπίπονα. τὰ δὲ σημεῖα ταῦτα καὶ τελευταὶ αἱ αὐταὶ γίνονται τῇ τε ἀτόκῳ, καὶ τῇ λεχοῖ ἐμπείρῳ, ἢν μὴ θεραπεύωνται. χρὴ δὲ αὐτίκα τὴν θεραπείην ποιέεσθαι. εἰ δὲ μὴ, ἐπιφαίνεται αὐτίκα τὰ νοσήματα. ἢν δὲ τὰ ἐπιμήνια πλείονα τοῦ δέοντος χωρέῃ καὶ παχύτερα, διὰ τοῦ σώματος φύσει τε εὐρέος ἐόντος, καὶ τοῦ στόματος τῶν μητρέων πλησίον τοῦ αἰδοίου κειμένου, καὶ ἐπὶ τουτέοισιν ἀνδρί τε ξυνίῃ πολλὰ καὶ εὐωχέηται ἐσάπαξ ποτὲ, πολλὰ κατελθόντα καὶ χωρέοντα εὔξυν, ἐπευρύνει μᾶλλον τὸ στόμα τῶν μητρέων βιασάμενα. καὶ ἢν ἐπὶ τουτέοισι μὴ ἐπιπέσῃ κενεαγγείη, ἀλλ' αὖθις πολλά τε ἀλέα, καὶ τὸ σῶμα εὐρὺ ποιέει καὶ τὸ σῶμα, ἅτε εὐωχεομένης ἱμειρομένης τε καὶ συνεούσης ἀνδρὶ, εὔροον ἢ αὐτίκα τὰς μήτρας, καὶ ἀλέα ἐπιφέρηται, ἄχρους τε ἔσται μέχρις ἂν οὕτως ἔχῃ. καὶ ἢν ὕστερόν τι νόσημα ἢ πάθημα ἐπιπίπτῃ, ὥστε ψυχωθῆναι τὸ σῶμα, ὁμοίως ἅτε μῆτραι κατὰ τὸ εἰωθὸς εὐρύστομοι ἐοῦσι. καὶ τὸ σῶμα εὔροον ἐπ' αὐτὰς ἐστιν. καὶ μετὰ ταῦτα πῦρ ἔχει. καὶ ἀσιτέει. καὶ ἀλύει. καὶ λεπτὴ, καὶ ἀμενηνὴ, καὶ τὴν ὀσφῦν ἐκ τῶν ἐπιμηνίων πονήσει. καὶ τοῦ χρόνου προϊόντος ἢν μὴ θεραπευθῇ, πάντα μιν μᾶλλον πονήσει, ἐν τῷ μεταξὺ χρόνῳ. καί οἱ ἔσται κίνδυνος ἀφόρῳ τε γενέσθαι, ἢ ψυχωθεῖσαν ὑπὸ χρόνου τε καὶ τῆς νόσου ἤν τι οἱ ξυμπέσῃ καὶ ἄλλο νόσημα, ἐπὶ τουτέῳ θανεῖν αὐτήν. χωρέει δὲ τὰ καταμήνια παχύτερα. καὶ πλεῖστα τῶν ἡμερέων τῇσιν ἐν μέσῳ. ἀρχόμενα δὲ καὶ τελευτῶντα, ἐλάσσονα καὶ λεπτότερα. μέτρια δὲ ἐστὶ πάσῃ γυναικὶ χωρέειν ἢν

ὑγιαίνῃ τὰ ἐπιμήνια ἐλθόντα, ὅσον κοτύλαι δύο ἀττικαὶ, ἢ ὀλίγω πλέονα, ἢ ἐλάσσονα, ταῦτα δὲ ἐφ' ἡμέρας δύο ἢ τρεῖς. ὁ δὲ πλείων χρόνος ἢ ἐλάσσων, ἐπίνουσος καὶ ἄφορός ἐστι. τεκμαίρεσθαι δὲ χρὴ ἐς τὸ σῶμα τῆς γυναικὸς ὁρέοντα, καὶ ἐρωτᾶν πρὸς τὸ πρότερον ξυμβαλλόμενον, εἴτε ἐπίνοσος ἀεὶ, εἴτε μή. ἢν γὰρ ἐλάσσονας ἢ πλέονας ἡμέρας τοῦ μαθέος φοιτᾷ, ἢ αὐτὰ ἐλάσσονα, ἢ πλείονα ἔῃ, ἐπίνοσά ἐστιν, ἢν μὴ ἡ φύσις αὐτὴ νοσηρὴ καὶ ἄφορος ᾖ. ἢν δὲ τοῦτο ᾖ καὶ μεθίστηται ἐπὶ τὸ ὑγιηρότερον, ἄμεινον. χωρέει δὲ αἷμα, οἷον ἀπὸ ἱερείου. καὶ ταχὺ πήγνυται, ἢν ὑγιαίνῃ ἡ γυνή. ᾗσι δὲ ἐν φύσει ἐστὶ πλέονα καθαίρεσθαι τεσσάρων ἡμερέων, καὶ πολλὰ κάρτα χωρέει τὰ ἐπιμήνια, αὗται λεπταὶ γίνονται, καὶ τὰ ἔμβρυα αὐτέων, λεπτά. καὶ ἀμαλδύνεται. ᾗσι δὲ τριῶν ἡμερέων ἔλασσον ἡ κάθαρσις γίνεται, ἢ ὀλίγα χωρέει, αὗται παχεῖαι, καὶ εὔχροοι, ἀνδρικαί τε, οὐ μὴν εὐτόκοι εἰσιν, αἱ δὲ οὐδὲ κυΐσκονται. Ἢν δὲ πνὶξ προσῇ ὀξαπίνης. γίνεται δὲ μάλιστα τῇσι μὴ ξυνιούσῃσιν ἀνδράσι. καὶ τῇσι γεραιτέρῃσι μᾶλλον, ἢ τῇσι νεωτέρῃσι. κουφότεραι γὰρ αἱ μῆτραι σφέων εἰσί. γίνεται δὲ μάλιστα τότε, ἐπὴν κενεαγγήσῃ. καὶ ταλαιπωρήσῃ πλέονα τοῦ μαθήσιος. αὐανθεῖσαι αἱ μῆτραι ὑπὸ τῆς ταλαιπωρίης, στρέφονται, ἅτε κεναὶ ἐοῦσαι καὶ κοῦφαι. εὐρυχωρίη γάρ σφιν ἐστὶν ὥστε στρέφεσθαι, ἅτε τῆς κοιλίης, κενεῆς ἐούσης. στρεφόμεναι δὲ, ἐμβάλλουσι τῷ ἥπατι. καὶ ὁμοῦ γίνονται. καὶ ἐς τὰ ὑποχόνδρια ἐμβάλλουσι. θέουσι γὰρ καὶ ἔρχονται ἄνω πρὸς τὴν ἰκμάδα. ἅτε ὑπὸ τῆς ταλαιπωρίης ξηρανθεῖσαι μᾶλλον τοῦ καιροῦ. τὸ δὲ ἧπαρ ἰκμαλέον ἐστίν. ἐπὴν δὲ ἐμβάλλωσι τῷ ἥπατι, πνίγα ποιέουσιν ὀξαπίνης ἐπιλαμβάνουσαι τὸν διάπνουν, τὸν περὶ τὴν κοιλίην. καὶ ἅμα τε ἄρχονται ἔστιν ὅτε προσβάλλειν πρὸς τὸ ἧπαρ, καὶ ἀπὸ τῆς κεφαλῆς φλέγμα καταρρέει ἐς τὰ ὑποχόνδρια ὡς πνιγομένης. καὶ ἔστιν ὅτε ἅμα τῇ καταρρύσει τοῦ φλέγματος, ἔρχονται ἐς χώρην ἀπὸ τοῦ ἥπατος, καὶ παύεται ἡ πνὶξ. κατέρχονται δὲ καθελκυσθεῖσαι ἰκμάδα καὶ βαρυνθεῖσαι. Τρυσμὸς δὲ ἀπ' αὐτέων γίνεται ἐπὴν χωρέωσιν ἐς ἕδρην τὴν σφῶν αὐτέων. ἐπὴν δὲ ἔλθωσιν ἔστιν ὅτε ἡ γαστὴρ μετ' ἐκεῖνα ὑγροτέρη γίνεται, ἢ ἐν τῷ πρὶν χρόνῳ. χαλᾷ γὰρ ἤδη ἡ κεφαλὴ τοῦ φλέγματος ἐς τὴν κοιλίην. ἐπὴν δὲ πρὸς τῷ ἥπατι ἔωσιν αἱ μῆτραι, καὶ τοῖσιν ὑποχονδρίοισιν, καὶ πνίγωσι, καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν ἀναβάλλῃ, καὶ ψυχρὴ γίνεται. εἰσὶ δὲ αἳ καὶ πελιδναὶ γίνονται. ἡ δὲ καὶ τοὺς ὀδόντας βρύχει. καὶ σίαλα ἐπὶ στόμα ῥέει. καὶ ἐοίκασι τοῖσιν ὑπὸ τῆς ἡρακλείης νόσου συνεχομένοισιν. ἢν δὲ χρονίσωσιν αἱ μῆτραι πρὸς τῷ ἥπατι καὶ τοῖσιν ὑποχονδρίοισιν, ἀποπνίγεται ἡ γυνή. ἔστι δ' ὅτε ἐπὴν κενεαγγήσῃ ἡ γυνὴ καὶ ἐπιταλαιπωρήσῃ, αἱ μῆτραι στρεφόμεναι πρὸς τῆς κύστιος, τὸν στόμαχον προσπίπτουσι, καὶ στραγγουρίην ποιέουσιν. ἄλλο δὲ οὐδὲν κακὸν ἴσχει. καὶ ἐν τάχει ὑγιαίνει θεραπευομένη. ἔστι δ' ὅτε καὶ αὐτομάτη. ἔστι δ' ᾗσιν ἐκ ταλαιπωρίης ἢ ἀσιτίης, πρὸς ὀσφὺν ἢ πρὸς ἰσχία προσπεσοῦσαι, πόνους παρέχουσιν. Ἢν δὲ γυνὴ τὸ σῶμα φλαύρως ἔχῃ, καὶ ἴῃ χολώδεα τὰ καταμήνια, εὔγνωστά ἐστι τῷδε. μέλανα ἐστὶ κάρτα. ἔστι δ' ὅτε μέλανα ἢ λαμπρά. καὶ κατ' ὀλίγα ἔρχεται, καὶ ταχύτατα πήγνυται. καὶ ὁ γόνος ἀμαλδύνεται ἀμφοῖν τοῦ τε ἄρρενος καὶ τοῦ θήλεος, καὶ οὐκ ἴσχει ἐν γαστρί. καὶ ἀρχομένης μετὰ τῆς νόσου, καθαίρεται τὰς ἡμέρας ἃς μεμαθήκει οὐ πλέονας. προϊόντων δὲ τῶν ἐπιμηνίων, πλείονας ἡμέρας καθαίρεται, καὶ ἐλάσσονα τὰ καταμήνια καθ' ἑκάστην ἡμέρην φαίνεται. πυρετοί τε ἐπιγίνονται πλάνιται. ὀξέες. ξὺν φρίκῃ καὶ ἀσιτίη, ἄλλοτε καὶ ἄλλοτε. καὶ καρδιωγμός. καὶ πονήσει μάλιστα ἐπὴν πλησιάζωνται τὰ καταμήνια αὐτέῃ. ἐπὴν δὲ ἀποκαθαρθῇ καὶ ῥηΐσῃ ἐπ' ὀλίγον χρόνον πρὸς τὰ πρόσθεν. ἔπειτα δὲ αὖθις ἐς τὸ αὐτὸ καταστήσεται. μελεδαινομένη δὲ ἐν τάχει ὑγιαίνει. ἢν δὲ μὴ θεραπεύηται καὶ ὁ χρόνος προΐῃ, πάντα μὲν μάλα πονήσει τὰ πρόσθεν εἰρημένα, καὶ ὀδύνη λήψεται. τοτὲ μὲν τὴν γαστρὸς, τὸ κάτω τοῦ ὀμφαλοῦ. τοτὲ δὲ, τοὺς βουβῶνας. τοτὲ δὲ, τὴν ὀσφὺν τε καὶ κοχώνην. τοτὲ δὲ, τὸν τράχηλον τοτὲ δὲ, πνὶξ προσπεσεῖται ἰσχυρή. καὶ πρὸ τῶν ὀφθαλμῶν ζόφος ἔσται οἱ καὶ δεινὸς διὰ τῆς καθάρσιος ἄνω στελλομένης καὶ ἀνιούσης. ἢν γὰρ τὸ σῶμα φλαύρως ἔχῃ, γυναικὶ τὰ καταμήνια ἐλάσσω γίνεται. καὶ ᾗσιν ἂν τὸ σῶμα ἐμπλέον ᾖ, τὰ καταμήνια ταύτῃσι πλείονά ἐστι. τῇ δὲ χολώδεα τὰ καταμήνια ἢν ἔρχηται, ὀλιγοψυχίη ἐμπίπτει. καὶ ἀποσιτίη ἄλλοτε καὶ ἄλλοτε. καὶ ἀλυσμός. καὶ ἀγρυπνίη. καὶ ὀρρωδέει θαμινά. καὶ οὐκ ἐθέλει περιπατέειν. καὶ ἀθυμέει. καὶ ἐμβλέπειν οὐ δοκέει. καὶ δέδιεν. καὶ ἢν μελεδαίνηται ἐκ τουτέων, ὑγιὴς ἔσται. ἢν δὲ ὁ χρόνος προΐῃ, ἔτι μᾶλλον πονήσει. ξυμβαίη δ' ἂν ἄριστα, ἢν ἔμετος χολώδης ἐπιγένηται. ἢν ἡ κοιλίη ταραχθῇ μὴ ἰσχυρῶς, καὶ ὑπίῃ χολώδεα, καὶ ῥόος ἐπιγένηται αὐτῇ, μὴ ἰσχυρός. ἢν μὲν γάρ τι τουτέων ἐπιπέσῃ ἰσχυρὸν ἐπὶ σῶμα τετρυχωμένον, κινδυνεύσει. ἢν δὲ ἠρεμέως ἀποκαθαίρηται τοῦ χολώδεός τι ἢ πᾶν τὸ λυπέον, ὑγιὴς γίνεται. ἢν δὲ μήτε μελεδαίνηται, μήτε μηδὲν τουτέων γένηται, θνήσκει ἡ γυνή. ὡς δὲ ἐπὶ τὸ πλεῖστον ξυμβαίνει ῥόον ἐμπίπτειν χολώδεα ἐκ τοιουτέου νοσήματος, ἢν ῥόος γένηται κατὰ μὲν πρῶτα, ὀλίγα οἱ τὰ φαινόμενα ἔσται. ἀνὰ πάσας δὲ τὰς ἡμέρας ὡς ἐπίπαν, πλέονα ξυμβαίνει. ὁκόταν δὲ ὁ χρόνος προΐῃ ὡς ἐπὶ τὸ πλέον, καὶ ἡ νοῦσος ὀξείη γένηται, καὶ αἱ μῆτραι δάκνονται ὑπὸ τῆς καθάρσιος τοῦ χολώδεος χωρεούσης καὶ ἑλκοῦνται. ἔτι δὲ καὶ ἐν τούτῳ ὑγιαίνει μελεδαινομένη, ἢν οἱ ἔρχηται ὁ ῥόος. ἢν δὲ φλεγμαίνωσιν αἱ μῆτραι ὑπὸ τῶν ἑλκέων, ἔτι ὀξυτέρη ἡ νοῦσος ἔσται. καὶ πολλά τε καὶ ὁμαλέα καὶ πυώδεα ἐλεύσεται ἀπ' αὐτέων τῶν μητρέων ἤδη ἀπιόντα. καὶ ἑκάστοτε, οἷον ἀπὸ κρεῶν. καὶ τὰ πρότερον εἰρημένα ἅπαντα μὲν μᾶλλον πονήσει. καὶ τὰ ἕλκεα ἔτι μᾶλλον ἀγριώτερα ἔσται μέχρι μὲν ὑπενείκῃ. εἰ δὲ καὶ ἰνθῇ, ἄφορος ἔσται ἀπὸ τῶν οὐλέων.

Ἢν δὲ γυνὴ τὸ σῶμα φλαύρως ἔχῃ, καὶ ἢν φλεγματώδεα τὰ ἐπιμήνια χωρέῃσι. γνωστὸν δὲ ἐστὶν ἢν χωρέῃ φλεγματώδεα. ὑμενώδεά τε γὰρ φαίνεταί οἱ καὶ ὥσπερ ἀράχνια διατείνεται, καὶ ὑπόλευκά ἐστι. τοῦτο δὲ γίνεται, ἢν οἱ τὸ σῶμα ἢ κεφαλὴ, φλέγματος πεπληρωμένα ᾖ, καὶ τοῦτο μὴ ὑποκαθαίρηται, μήτε κατὰ τὰς ῥῖνας, μήτε κατὰ τὴν ἕδρην, μήτε κατ' οὐρήθρην, ἀλλ' ἐν τοῖσι καταμηνίοισι, καὶ ἐν τῷ παράχρω τοῦ αἵματος ξὺν τῇ καθάρσει ἐξωθέει. καὶ ἢν ταῦτα ὧδε ἔχῃ, ἐπὶ μὲν δύο ἢ τρεῖς μῆνας οὐδὲν νοσέει. ἐπὴν δὲ ὁ χρόνος πλείων γένηται, καὶ μὴ μελεδαίνηται, μᾶλλον πονήσει, καὶ πυρετὸς ἐπιλήψεται πλάνος, καὶ ἀσιτήσει ἄλλοτε καὶ ἄλλοτε. καὶ καρδιώξει. καὶ πονήσει, μάλιστα ἐπὴν οἱ πλησιάζῃ τὰ ἐπιμήνια. ὁκόταν δὲ ἀποκαθαρθῇ ῥηΐζει ἀπὸ ὀλίγων χρόνων πρὸς τὰ πρόσθεν. ἔπειτα ἐς τὸ αὐτὸ καθίσταται. καὶ ἢν μὴ μελεδαίνηται, ἀλλὰ χρόνος προΐῃ γένηται πάνθ' ὅσα τῇ χολώδεα ἐχώρεε τὰ καταμήνια, ἄχρις οὗ ὁ ῥόος οἱ ἔλθοι. ἐπὴν δὲ ταύτῃ, καὶ ῥόον φλεγματώδεα γίνεσθαι, ἢ ἄλλα ἅσσα ἐστὶ ὀρέῳ, ὀλίγῳ ὑδρέον. καὶ ἢν προσεπιγένηται αἰεὶ, πορεύεται ἀνὰ πάσας τὰς ἡμέρας, ὁτὲ μὲν, ἀθρόα, ὁτὲ δὲ, ὀλίγα. καὶ ἔστιν ὅτε, οἷον ἀπὸ κρεῶν ὕδωρ χωρέει. ὁτὲ δὲ, οἷον ἰχώρ. καὶ ἐν αὐτέῳ θρόμβοι πολλοὶ αἵματος ἐπίνονται. καὶ ξύει τὴν γῆν ὡς ὄξος. καὶ δάκνει τῆς γυναικὸς οἷ ἂν ἐπιψαύσῃ. καὶ ἑλκοῖ τὰς μήτρας. καὶ ἐλθοῦσα ἐς τοῦτο, τὰ μὲν ἄλλα πάσχει ταύτῃ ὡς ἡ προτέρη. ἧσσον δὲ τὴν κεφαλὴν ἐκείνης πονήσει, καὶ τὰ ἕλκεα, οὔτε δυσειδέα, οὔτε μεγάλα, οὔτε πυώδεα, οὔτε ὁμαλέα ὁμοίως κείνῃ γίνεται. ἀλλὰ ταύτῃ ἧσσον. ἐπιμελαινομένη δὲ, ὑγιαίνει καὶ προσεληλυθείης τῆς νούσου. καὶ οὐ μάλα ἀποθνήσκει. φορὸς δὲ οὐ δύναται εἶναι ὧδε ἔχουσα. Ὁκόσαι δὲ ξυνοικέουσαι οὐ δύνανται ἐν γαστρὶ ἔχειν, πυθέσθαι χρὴ, εἴ σφιν ἐπιγίνεται τὰ καταμήνια, ἢ οὔ. καὶ γίνεται πυώδεα ἢ ψυχρά. ἢν μὲν οὖν φῇ, αὐτίκα ἄπεισιν ἡ γονὴ ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ, ἢ τῇ ἕκτῃ, ἢ τῇ ἑβδόμῃ. ἢν μὲν οὖν φῇ αὐτίκα ἀπιέναι ὅταν εὐνασθῇ, τὸ στόμα οὐκ ὀρθόν ἐστι τῆς μήτρης. ἀλλ' ἰλλοῦται καὶ οὐ λάζυται τὴν γονήν. ἢν δὲ φῇ δευτεραίην, ἢ τριταίην, ἢ ὑστεραίην, ὀξυγρασμένη ἐστί. καὶ ἡ γονὴ ἐκπλαύεται. ἢν δὲ ἑκταίην καὶ ἑβδομαίην, ἡ γονὴ κατασήπεται. κατασαπεῖσα δὲ, ἀπέρχεται. τοῦ μὲν οὖν ἀρχὴν μὴ προσδέχεσθαι τὴν γονὴν, τῆς ὑστέρης τὸ στόμα θεραπευτέον πρῶτον, ὅκως ὀρθὸν ἔσται. τοῦ δὲ καταπλώεσθαι, δευτεραίην καὶ τριταίην ὑστέρην καὶ κεφαλήν. τοῦ δὲ κατασήπεσθαί τε καὶ ἀπέρχεσθαι καὶ ἡ ὑστέρη καὶ τὸ σῶμα ἅπαν ἔνυγρον ὄν. τουτέων ἕκαστα γινώσκειν, ὧδε χρή. ὁκοίης δὲ χρήζει καθάρσιος, γνώσηται ὧδε. Ὅταν τὰ ἐπιμήνια γίνεται ῥάκος πτύξας ὅσον σπιθαμῆς, ἐπιπαννύσαι ἐπὶ σποδίην λεπτήν. κἄπειτα ποιέειν ἐπὶ τούτῳ ὡς ἐπιρρυῇ τὰ ἀπιόντα. ἔστω δὲ δύο τὰ ζυγία, χωρὶς ἐφ' ἑκάτερα, τὸ μεθ' ἡμέρην τε καὶ νύκτωρ. καὶ τὰ μὲν ἡμερήσια πλώειν χρὴ τῇ ὑστεραίῃ. τὰ δὲ νύκτωρ, ὁκόταν αὐτέοισιν ἡμέρη καὶ νύκτωρ γένηται, ἐπὶ τῇσι σποδίῃσι κειμένοισιν. ἐν δὲ τῇ πλύσει, σκέπτεσθαι ὁκοῖα ἄσσα γίνηται τὰ ῥάκεα πλυθέντα. ὅταν ἐν ἡλικίῃ τέρσηται. κράτιστον δὲ ἐν σκοτιαίῳ χωρίῳ. ἢν μὲν οὖν φλέγμα ᾖ τὸ κωλύον, μυξώδεα τὰ ῥάκεα ἔσται. ἢν δὲ δι' ἅλμην τε καὶ χολὴν, πυῤῥά τε καὶ ὑποπέλιδνα. ταῦτ' ὅτῳ ἐσίδων, καὶ γνώμῃ σκεθρῇ βασανίσας ὅλον τε τὸ σῶμα ἀθρέειν, ἤν τε πολλῆς καθάρσιος δοκέῃ δεῖσθαι, ἤν τε καὶ μή. ἀποσκεψάμενος ἐς τὴν χροιὴν, καὶ τὴν ἡλικίην, καὶ ῥώμην, καὶ ὥρην καὶ οἵῃ διαίτῃ χρέονται. ἰνῆσιν δὲ καὶ τοῦ σώματος παντὸς, καὶ τὰς ὑστέρας, καὶ τὸ στόμα ἰῆσθαι. καὶ ἢν μεμυκὸς ᾖ, ἀνεστομῶσαι. ἢν δὲ λοξωθέωσιν, ὀξιθώειν χρή. ἢν δὲ ὑγραὶ ἔωσιν, αὐαίνειν. καὶ τἆλλα δρᾶν ἐναντίον. σχεδὸν δὲ πάσῃσιν ἡ πολλὴ θεραπείη ἡ αὐτή ἐστι, πλὴν τοῦ καταπλάσαι τὰ ἐμμήνια. ὅσῃσι γὰρ γίνεται οὐδὲν, δεῖ ταύτῃσι καταπλάσαι. ἀλλ' ὅτι κακὸν ἐν τοῖσιν ἐπιμηνίοισιν ἔνι, τοῦτο ἀφαιρέειν χρὴ, ὅταν φλεγματώδεά τε καὶ ὑμενώδεα καὶ χωροειδέα καὶ λεπτὰ ἢ λευκὰ καὶ θρομβοειδέα, καὶ ὅταν μέλανά τε, καὶ ἀνθρακώδεα. ἢ ξοφοειδέα. ἢ δριμέα. ἁλμυρά. θολερά. πυώδεα. αὗται πᾶσαι αἱ προφάσιες, ὑπὸ τεξαιρεῖται. κωλύουσι γὰρ λαμβάνειν ἐν γαστρί. ὁκόσα μὲν οὖν φλεγματώδεα καὶ ὑμενοειδέα τῶν ἐπιμηνίων ἐστὶ, καὶ αὗται σαρκώδεές εἰσι. καὶ ταύτῃσι τὸ στόμα ἔξυγρον. καὶ πτύελον πουλὺ, καὶ γλίσχρον. καὶ ἢν ὀξέος γεύηται ἢ δριμέος, τὸ πτύελον ἐν τῷ στόματι, πλαδωδέστερόν τε ἔσται καὶ ἄναλτον. καὶ πρὸς πᾶν ὅ, τι ἂν φάγωσιν ἢ πίωσιν, ὄχλος καὶ προσίσταται αὐτέοισιν καὶ ἀείρεται καὶ ἡ κοιλίη. καὶ ναυσίη. καὶ ἀλυσμὸς πουλύς. ἀπό τε κεφαλῆς ῥεῦμα καταρρέει, καὶ πάντ' ἐπιπλάσσεται. καὶ πολλὴ ὑγρασίη ἐπάγεται. καὶ τὰ ὑποφθάλμια πελιδνὰ καὶ πεφυσημένα. ταύτας χρὴ ὅλας πυριῆν, καὶ πυκνὰ ἐμέειν, καὶ ἀπὸ σιτίων καὶ ἀπὸ νήστιος. μαλάσσειν δὲ τὴν κάτω κοιλίην. φαρμάκοισι δὲ πάμπαν κούφοισιν, ὁκόσα ἥκιστα χολὴν ἄγει. καὶ μονοσιτέειν, καὶ γυμνάζεσθαι συχνά. καὶ ὡς ξηροτάτῃ τροφῇ διαιτᾶσθαι. καὶ ποτῷ ἐλαχίστῳ ἀκρητεστέρῳ. κοιλίη δὲ εὔλυτος ἀμείνων διαφυλάσσεσθαι. τὰς δὲ ὑστέρας χρὴ ἢν μὴ πρὸς ταύτην τὴν δίαιταν ἐνακούωσι, καθαίρειν φαρμάκοισιν, ἀδήκτοισι προσθέτοισιν. Προπυριῆν δὲ πρὸ τῶν καθαρσίων αἰεὶ, πρότερον μὲν τῇ πυρίῃ τῇ ἐκ τῶν μαράθων. ἔπειτα τῇ ἐκ τῶν θυμιαμάτων. τὰς δὲ πυρίας ποιέεσθαι καὶ τὰς προσθέσιας τεκμαιρόμενος ὅκως ἅπαντα πεποιήσεται. καὶ κατὰ τρόπον ἔσται, ἐν ᾧ χρόνῳ τὰ ἐπιμήνια εἴη. ἢν μὲν οὖν καθαρά τε καὶ ἀκραιφνέα καὶ ἔναιμα γένηται, οὕτως ἴτω παρὰ τὸν ἄνδρα ἐν ἀρχομένοισι τοῖσιν ἐπιμηνίοισιν. ἄριστον δὲ ἐν ἀπολείπουσι, καὶ ἔτι ἰόντων μᾶλλον ἢ ἀφανέων. ὅταν δὲ μέλλῃ ἰέναι παρὰ τὸν ἄνδρα ὑποθυμιήσθω τι τῶν ὑποθυμιαμάτων τῶν στυπτικῶν. θυμιήσθω δὲ, διὰ τοῦ κωνείου καί

τοῦ καλάμου ἐπὶ ποδῶν θερμὴν ἐπιπάσσουσα τὸ φάρμακον. ὅταν δὲ ἐπιπάσῃ καὶ τὸ κωνεῖον περιθεῖναι, καὶ τὸν κάλαμον, καθεζομένην πυριῆσθαι. ὁκόταν δὲ δέῃ αὐτὴν θυμιῆσθαι, τῷ μολιβδίῳ χρῆσθαι, ὡς ἀνεῳγμένῳ τῷ στόματι θυμιῆται. εἶτα ὅταν ἀνίστηται, πάλιν ἐν τῇ κλίνῃ προσθέσθω τὸ μολίβδιον. εἶτα ὑφελομένη, τηνικαῦτα ξυνευναζέσθω τῷ ἀνδρί. καὶ ἢν τὰ ἀπὸ τοῦ ἀνδρὸς μὴ δῆλά οἱ ᾖ, ἐκτείνασα τὰ σκέλεα καὶ ἐπαλλάξασα ἠρεμείτω. νηστείη δὲ ὄφελος ἐν ταύτῃ τῇ ἡμέρῃ. πλὴν κυκεῶνα ἢν ἐθέλῃ ἄναλτον ἐφ' ὕδατι. τοῦτο δὲ πίνειν τότε, ὁκόταν μέλλῃ θυμιῆσθαι. ἢν δὲ ξυγγενομένη τῷ ἀνδρὶ κατάσχῃ τῇ ὑστέρῃ τὴν γονὴν, καὶ μὴ δὲ ἐς τὴν ἑτέρην ἀπίοι ἡμέρην, σιτίων μὲν εἴργεσθαι καὶ λουτρῶν. πίνειν δὲ, ἄλφιτον ἐν ὕδατι ἄναλτον καὶ δὶς καὶ τρὶς τῆς ἡμέρης. αὕτη δὲ ἡ δίαιτα, ἔσω ἡμερέων ἕξ. ἄμεινον δὲ καὶ ἑπτά. ἢν μὴ ἀπίῃ τὰ τοῦ ἀνδρὸς ὅταν ξυγγένηται. ἀλουτείτω δὲ πάντα τὸν χρόνον. καὶ ἀκινητεῖν ἔπειτα λουέσθω. ἢν δὲ βούληται περιπατεῖν, περιπατείτω ἐν ὁμαλῷ χωρίῳ καὶ λείῳ. προσαίνοντες δὲ μυλακμῶς, μὴ δὲ κάτω τείνοντες. καθέζεσθαι δὲ ἐπὶ μαλθακῷ. ἢν ξυλλάβῃ. τὴν δ' ἄλλην δίαιταν τὴν αὐτὴν ποιέεσθαι, μέχρι ἡμερέων τριήκοντα. ἀλουτείτω δὲ ἤ, καὶ ὅτε δέοι λουθῆναι, ὀλίγῳ καὶ μὴ λίην θερμῷ. τὴν δὲ κεφαλὴν μὴ βρέχειν. σιτίοισι δὲ χρεέσθω καὶ ἄρτοισι, καὶ μάζῃ ἢν γε βούληται. κρεῶν δὲ, φάσσῃ, καὶ τοῖσι παραπλησίοισι. θαλασσίων δὲ, ὁκόσα κοιλίην ἵστησιν. εἴργεσθαι δὲ λαχάνων δριμέων. οἴνῳ δὲ μέλανι χρεέσθω. κρέασι δὲ, ὀπτοῖσι μᾶλλον ἢ ἑφθοῖσι. καὶ τῶν ἡμερέων καὶ τῶν θηρείων. καὶ ταῦτα μὲν, ἢν ξυλλάβοι οὕτως χρὴ ποιέειν. ἢν δέ γε μὴ ξυλλάβῃ ἀλλ' οἴχεται δευτεραῖα ἢ τριταῖα τὰ τοῦ ἀνδρὸς ἐρεόμενα παμπόλλῳ ὑγρασίῃ, δῆλον ὅτι ὑγρότεραί εἰσιν αἱ ὑστέραι. θεραπεύειν οὖν χρὴ, κατὰ τὸν ὑφηγημένον τρόπον, μέχρις ἂν ξηραὶ γένωνται. ὁκόταν δὲ δοκέωσι ξηραὶ εἶναι, ἰητρεύεσθαι οὕτως. ἄριστον φάρμακον μαλθακτήριον μὲν κατόπιν τε καὶ ἐς τοὔμπροσθεν, ἄχρις οὖν αὗται κατὰ φύσιν γένωνται. καὶ αὖθις ἴτω παρὰ τὸν ἄνδρα, ὅταν τὰ ἐπιμήνια μηκέτι πολλὰ, ἀλλ' ὀλίγα καὶ εὔχροα, καὶ ὀργᾷ. καὶ ἐν τῇσιν ἄλλῃσιν ἡμέρῃσιν, ἱμείρουσα χρὴ τοῦ ἀνδρὸς, ἢν ἄριστα ἔχωσιν αἱ ὑστέραι. ὅταν δὲ ξυγγένηται ἐν τῇσιν ἡμέρῃσι τῇσιν εἰρημένῃσιν, ἢν εὐτρεπισθῶσιν αἱ ὑστέραι, ἢν κατάσχῃ τε τὴν γονὴν ἡμερέων δέκα, ἢ δυοκαίδεκα, μὴ ἰέναι ὡς τὸν ἄνδρα. ἢν δὲ μὴ ξυλλάβῃ, ὑγιέες δὲ ἔωσιν αἱ μῆτραι, γίνεται γὰρ δὴ καὶ τοῦτο πολλῇσιν, ἐπειδὰν ἀκιδναὶ αἱ μῆτραι ἐοῦσαι εὔτροφοι ὑπὸ πάθεος γίνονται, ἢ ἀπὸ φαρμακείης τε καὶ πυρίης πολλῆς, οὐ δύνανται φέρειν τὴν γονὴν, πρὶν ἢ ἐθάδες γίνωνται καὶ ἰσχύσωσιν. γνωστὸν δὲ τοῖσι δ' ἐστὶν ὧδε. ὁκόταν ἀπίῃ οἱ, ἄπεισι δὲ δευτεραίη ἢ καὶ τριταίη, καὶ ἔτι ἀνωτέρω, ἀπέρχεται δὲ παχέα τε καὶ ξυνεστῶτα οἷα βλένναι, ἢν μὴ κακόν τι ᾖ, καὶ διὰ νοῦσον ἑτέρην ὑστερέων ἡ γονὴ ἀπαλλάσσηται. ὅταν οὖν τοιαῦτα φανῇ, θεραπείης μὲν ἀπόχρη, ὑστερέων. τοῦ δ' ἄλλου σώματος, ἐπιμελίην ἔχειν, ὡς καὶ εὐεξίη τοιαύτη οἱ ᾖ. ὡς ξυνεσταλμένον τε ἅμα τὸ σῶμα εἴη καὶ εὔογκον. λουτροῖσιν ὀλίγοισιν, πλείοσι δὲ δριμέων καὶ ἁλμυρῶν εἴργεσθαι. ἐμέτοισι χρῆσθαι πρὸ τῶν ἡμερέων ὧν μεμαθήκει τὰ ἐπιμήνια γίνεσθαι. καὶ αὖθις λιμοκτονέεσθαι. καὶ τἄλλα ἐπιπλέον, ἅσσα εἴρηται. αὕτη μὲν θεραπείη ἀμφὶ τῶνδε. ὅσῃσι δὲ ὅταν ξυγγένωνται αὐτίκα διαρρέει τὰ ἀπὸ τοῦ ἀνδρὸς ταύτῃσι τὸ στόμα τῶν ὑστερέων πρόφασις. θεραπεύειν δὲ δεῖ οὕτως. ἢν μὲν σφόδρα μεμυκὸς ᾖ, ἀναστομῶσαι τοῖσι δαιδίοισι καὶ τοῖσιν μολιβδίοισι. πυρίην δὲ μαλθακῇ πυριῇ, τῇ ἐκ τοῦ μαράθου. καὶ καθαίρειν προσθέτοισιν οἷα λεπτύνει τὰς ὑστέρας, καὶ ἐς εὐθὺ καθίστησι. μετὰ δὲ τὰς καθάρσιάς τε καὶ πυρίας κλύζειν τοῖσδε, ἅσσα ἐναντία τῇ προφάσει. ὅσῃσι δὲ τὸ στόμα ἀπεστραμμένον ἐστὶ καὶ προσπεπτωκὸς πρὸς τὸ ἰσχίον, γίνεται γὰρ καὶ τοιαῦτα διακωλύοντα τὴν ὑστέρην τὴν γονὴν προσδέχεσθαι. ὅταν οὖν τι τοιοῦτον ξυμβῇ, πυρίην χρὴ, τῇσιν εὐώδεσι πυρίῃσι. μετὰ δὲ τὴν πυρίην παρασπασαμένην τῷ δακτύλῳ ἀποσπᾶν τοῦ ἰσχίου. ὅταν δὲ ἀποστήσῃ, ἐξορθοῦν τοῖσι δαιδίοισι, καὶ τῷ μολιβδίῳ κατὰ τὸν ἔμπροσθεν λόγον. ὅταν δ' ἐξορθωμέναι τε καὶ ἀναστομωμέναι γένωνται, προσθέτοισι μαλακοῖσι καθαίρειν, καὶ τἄλλα ποιέειν, κατὰ τὸν ὑφηγημένον λόγον. ὅταν ἀνεστομωμέναι μᾶλλον τοῦ δέοντος αἱ ὑστέραι ἔωσι, καθάρσιος δέονται. μετὰ δὲ τὰς καθάρσιας, κλυσμῶν ἀξιοῦν καὶ θυμιαμάτων. ἢν δὲ ἐπὶ ὕστερον ἔωσι τοῦ δέοντος, ἐμέτων δέονται αἱ ὑστέραι, καὶ πυρίης λυσώδεος, μέχρις ὅτου ἐς χώρην ἔλθωσι. τῇ διαίτῃ δὲ τῇ ὑφηγημένῃ χρῆσθαι. ἢν δὲ τὸ στόμα πιμελῶδες ᾖ καὶ παχὺ, καὶ διὰ τοῦτο μὴ κυΐσκηται, νάπυ ἑφθὸν ἐσθίειν νῆστιν. καὶ ἄκρητον ἐπιπίνειν. πρόσθετον δὲ, νίτρον ἐρυθρὸν. καὶ κύμινον. καὶ ῥητίνην. ἄριστον δὲ, οἴνῳ νίτρον ξὺν σμύρνῃ καὶ ῥητίνῃ, ἅμα καὶ κυμίνῳ, καὶ μύρῳ λευκῷ. ἢ ἐλάφου κέρας καῦσαι καὶ μῖξαι ἀνάλυσιν διπλῆν ἐν οἴνῳ. ἢν δὲ μὴ ῥαΐζῃ, πράσα ἑψεῖν, καὶ ἀμφικαθέζεσθαι. ἢ φηγὸν τρίβουσα προστιθέσθω. σκόροδά τε τρώγειν νεαρὰ, καὶ μελίκρητον ἐπιπίνουσα, ἐμεέτω. ὅσῃσι δὲ ἐμμένει, καὶ ἐν σήπεται, καὶ ὄχλον ποιέει, ἀνδράφαξιος ἀγρίης καρπὸν ἢ χυλὸν ξὺν μέλιτι, ἢ ξὺν κυμίνῳ ἐλλικτὸν διδόναι. ὅταν δὲ δυσοδμία ἔῃ, οὐ κυΐσκεται. ἀνδράχνην οὖν καὶ χηνὸς ἔλαιον μίσγειν καὶ προστιθέναι. ὅσῃσι δὲ ἑκταῖα καὶ ἑβδομαῖα τὰ ἀπὸ τοῦ ἀνδρὸς καταστηπόμενα χωρέει, ταύτῃσιν εἰκὸς γίνεσθαι ὑπ' ἀμφοῖν. ἢν ἐπιρρέῃ χολῆς καὶ ἅλμης, θεραπεύειν χρὴ ὧδε. ἐλλεβόρῳ ἢ σκαμμωνίῃ καὶ πεπλίῳ, καθαίρουσι γὰρ ταῦτα ἄνω τε καὶ κάτω φλέγμα, καὶ χολὴν καὶ φύσας ἄγει. πρὸ δὲ τῶν καθαρσίων τῇσι πυρίῃσι χρῆσθαι ἐκ τῶν θυμια-

μάτων. ὅταν δὲ πυριήσῃς, καθαίρειν προσθέτοισι, τὸν αὐτὸν τρόπον ὡς ἐν τοῖσι πρόσθεν. καὶ μετὰ τὰς προσθέσιας καὶ καθάρσιας, τοῖσι μαλθακτηρίοισι χρέο. καὶ τὸ ἐκ τῆς λινοζώστιος πρόσθετον καὶ ἀρτεμισίης ποίης, καὶ ἀνεμώνης, καὶ ἐλλεβόρου λευκοῦ ἢ μέλανος. τὰ μὲν τῶν φαρμακειῶν ταύτῃσιν, ὧδε χρή. τὴν δὲ δίαιταν ἀποσκεπτόμενον τῆς ἀνθρώπου, ἐς τὸ ὅλον σωματοποιέειν, ἤν τε αὐχμηροτέρη δοκέῃ εἶναι, ἤν τε σαρκωδεστέρη. κἢν μὲν αὐχμηροτέρη, λουτροῖσι πλείοσι, καὶ ἑφθοῖσι πᾶσι τοῖς ὄψοισιν, εἴτε θαλασσίοισιν, εἴτε κρέασιν. οἴνῳ δ' ὑδαρεῖ. λαχάνοισί τε ἑφθοῖσι καὶ λιπαροῖσι πᾶσι καὶ γλυκέσι. ταῦτα γὰρ ὡς ἐπὶ τὸ πουλὺ ποιέει ὑγρηδόνα εἶναι, καὶ ἐν τῷ ἄλλῳ σώματι, καὶ ἐν τῇσιν ὑστέρῃσιν. ἢν δὲ ὑγροτέρη ᾖ, δέονται αἱ τοιαῦται ὑστέραι τούτων οὐδὲν, ἀλλὰ τἀναντία οὐ χρὴ ψαύεσθαι οὐ δὲ κλύζεσθαι νεοχμῶς, οὐ δὲ θυμιῆσθαι. πρὸς γὰρ τὸ κινδυνεύμενον φιλέει ἰέναι. καὶ ἢν ἐξυγρανθῶσι μᾶλλον τῆς φύσιος, χρὴ δὴ ξηραίνειν καὶ θυμιῆν. ἢν δὲ χολώδεα ἴῃ ἐπὶ σφέας, ὅ, τι χολὴν καθαίρει διδόναι. ἢν δὲ ἁλμυρώδεα, γάλα ὄνειον, καὶ οἶνον καὶ τἄλλα ἀλεξιτήρια. χρὴ δὲ σκεψάμενον τῶν νοσημάτων τὰς δυνάμιας, καὶ ὑφηγεύμενον τὰς προφάσιας ὡς χρὴ ἐξ ὧν αἱ νοῦσοι γίνονται, ἐπὶ τὰ ἄλλα ἰέναι ὧδε, καὶ τὰ ἀμφὶ τὰ χωρία ἰῆσθαι. ὅσαι μὲν διὰ τῶν στομάτων προφανέων τὴν αἰτίην κωλύονται μὴ ἴσχειν ἐν γαστρὶ, τούτων εὐτρεπίζειν τὰ στόματα, ὡς εὐκρινέα ᾖ. ὁκόταν δὲ ἡ ὑγρηδὼν εἴργῃ, ταύτην ἐσορᾷν ὡς μὴ διακωλύῃ, σκεπτόμενον ἐς ὅλα τὰ πρήγματα τῶν γυναικῶν, ἤν τε ἐξ ἅπαντος τοῦ σώματος δοκέῃ τι κινέεσθαι, ἤν τε ἀπ' αὐτέων τῶν ὑστερέων, ἤν τε ἀπ' ἀμφοῖν. τὰς δὲ ὑστέρας ὧδε μελεδαίνειν, ὅκως μήτε ὑγραὶ ἔωσι, μήτε λίην αὐαίνωνται. ἀλλὰ τὰς μὲν ξηροτέρας εὐχύλως ὅσῳ καὶ αὐχμηρότεραί εἰσι τοιαύτῃ ἰκμάδι, ὡς παχεῖαι μᾶλλον ἔσονται, ἢ ἰσχναλέαι. τὰς δὲ ἐξυγρασμένας καὶ διαβρόχους, ξηραίνειν ὑπολειπόμενον ἐνίκμους εἶναι, καὶ μὴ λίην ἀνεξηράνθαι. αἱ γὰρ ὑπερβολαὶ τουτέων, πάνυ φευκταῖαι. λαμβάνειν δὲ ἐν γαστρὶ, οὔτε τὴν ὑγρηδόνα ἔχουσαν, ἅτε οὐ δὲ τὴν αὐαινομένην, ἢν μὴ ᾖ ἐν τῇ ἀρχαίῃ φύσει τουτέων τι. ἰέναι δὲ χρὴ παρὰ τὸν ἄνδρα ὅταν τὰ ἀπὸ τῆς θεραπείης ἔχῃ, ληγόντων ἢ ἀρχομένων τῶν ἐπιμηνίων. ἄριστον δὲ καὶ ἐπὴν παύσηται. μάλιστα δὲ ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι πειρηθῆναι, ἢν δύνηται κυΐσκεσθαι. αὗται γὰρ κυριώταται. ἢν δὲ μὴ αὐτίκα ξυλλάβῃ, τἄλλα δὲ καλῶς ἔχῃ, οὐδὲν τὸ κωλῦον ἐν τῇσιν ἄλλῃσι τῶν ἡμερέων ξυνιέναι ἀνδρί. πρόθυμον γὰρ σφίσι ποιέει ἡ μελέτη, καὶ ἀναχαλᾶται τὰ φλέβια. καὶ ἢν τὰ ἀπὸ τοῦ ἀνδρὸς ἀπιόντα ὁμορροθῇ κατ' ἴξιν τὸ ἀπὸ τῆς γυναικὸς ταχύτερον κυήσει. καὶ γὰρ τόδε αἴτιον ἐστὶν, ἧσιν ἤν τε αὐτίκα, ἤν τε ἐν ὑστέρῳ χρόνῳ ἀπίῃ, ταῦτα μὲν ἀμφὶ τούτων λέλεκται. ἢν δὲ ὑγρότερον ᾖ τὸ στόμα τῶν ὑστερέων, οὐ δύνανται εἰρύσαι τὸν γόνον. προσθέτοισι δὲ χρίεσθαι δριμέσι. δηχθεὶς γὰρ καὶ φλεγμήνας ὁ στόμαχος στερεὸς ἐστὶν ὅτε γίνεται. κατὰ δέ τι ἠδέλφισται. καὶ ἢν σκυρωθῶσιν ἄρειον τὰ δριμέα τε προστιθέναι ἃ δήξονται. τὰ γὰρ λευκὰ καὶ πυρώδεα ἐόντα, τὸν σκῦρον διαχέει. ἢν δὲ λαπαχθῇ ὁ σκῦρος, μαλθακοῖσιν ἰῆσθαι, καὶ ὅ, τι μὴ δήξεται. ἢν δὲ διὰ πολλοῦ μὴ κυΐσκηται τῶν καταμηνίων μὴ φαινομένων, ὅταν ἢ τριταίη ἢ τεταρταίη, στυπτηρίην λείην ξίφας δὶς μύρῳ εἰρίῳ ἀναπορπίζων προστίθει, καὶ ἐχέτω ἡμέρας τρεῖς. τῇ δὲ τετάρτῃ, χολὴν βοὸς αὐήν ἐν ἐλαίῳ, ἀναζέσας καὶ ἄχνην ἀναδεύσας, πρόσθες. καὶ ἐχέτω ἐπὶ ἡμέρας τρεῖς. τῇ δὲ ὑστεραίῃ ἐξελέσθω καὶ τῷ ἀνδρὶ ξυνίτω.

Ἢν γονὴν μὴ δέχηται ἡ γυνὴ, τῶν γυναικείων κατὰ φύσιν ἐρχομένων, ἡ μήνιγξ ἐπὶ πρόσθεν ἔσται. γίνεται δὲ καὶ ἐξ ἄλλων. γνώσῃ δὲ, τῷ δακτύλῳ ἁφῇ τοῦ προβλήματος. πρόσθεμα δὲ ποιῆσαι, ῥητίνην καὶ ἄνθος χαλκοῦ, ἐν μέλιτι εἰς ὀθόνιον ἀρδαλώσας, προσθεὶς ῥάμμα ἐκδήσας ἐκ τοῦ ἄκρου ὡς ἐσωτάτω. ὅταν δὲ ἐξελκύσῃς τὴν μυρσίνην ἐν οἴνῳ ἀφεψῶν τῷ οἴνῳ χλιερῷ διανιζέσθω. περιελεῖν δὲ τὸν χιτῶνα ἄμεινον. εἰσὶ δὲ γυναῖκες αἵ τινες λαμβάνουσι μὲν ῥηϊδίως, ἐν γαστρί. ἐξενεγκεῖν δὲ, οὐ δύνανται, ἀλλὰ σφέων τὰ παιδία διαφθείρονται ἢ ἅμα τῷ τρίτῳ μηνὶ, ἢ τῷ τετάρτῳ, οὐ δὲ μιῆς αἰτίης ἐπιγινομένης. οὐ δὲ βορῆς ἐπιτηδείου. καὶ τοῦτό ἐστιν αἴτιον τὸ εἰρημένον. καὶ μάλιστα ἐπὴν παραμυθέωσι τῆς αὐξήσιος τῷ ἐμβρύῳ αἱ μῆτραι, ἢ ἡ κοιλίη σφιν ταράσσεται, ἀσθενεία καὶ πυρετὸς σφοδρὸς καὶ ἀσιτίη ἐμπίπτει τῷ χρόνῳ τούτῳ, ᾧ ἂν τὰ παιδία φθείρωσιν. ἔστι δὲ καὶ τόδε αἴτιον. ἢν αἱ μῆτραι ἔωσι λεῖαι, ἢ φύσει, ἢ ἑλκέων ἐν αὐτῇσιν ἐγγενομένων. ἢν γὰρ λεῖαι ἔωσιν, ἔστιν ὅτε περιέχοντες αὐτὸ ἀτεκόσον ὡς ἐχόμενοι τῶν μητρέων ὡς δέοι ἀλίων ἐουσέων. εἰ δέῃ δ' αὖ τις τούτων ἕκαστα, εἰ ὁρωτὸν ἀρεκέως ταῦτα. περὶ δὲ τῆς λειότητος εἰ ἑτέρη γυνὴ ψαύσειεν τῶν μητρέων κενεῶν ἐουσέων, οὐ γὰρ ἁρμόδια, δῆλον γίνεται. ἢν δὲ ἴωσι τὰ καταμήνια ταύτῃσιν, ἀλέα ἔρχονται, ἔστιν αὐτέων ἧσι γίνεται, ὥστε ἐκφορέειν τὰ ἔμβρυα. μελεδαινομένη δὲ ἐλπίδες ἔνεισι τόκου. ἀμφὶ δὲ τῶνδε, ὧδε ἔχει.

Ἢν γυναῖκα μὴ δυναμένην, τοκήεσαν ἐθέλῃς γενέσθαι, χρὴ τοῖσιν ἐπιμηνίοισι σκέψασθαι, ἤν τε φλεγματώδεα ἤν τε χολώδεα ᾖ. γνώσῃ δὲ τῷδε. ψάμμον ὑποβάλλειν λεπτὴν καὶ ξηρὴν, ὅταν οἱ τὰ ἐπιμήνια γίνηται, ἐν τῷ ἡλίῳ ἐπιχέαι τοῦ αἵματος, καὶ ἐᾶν ξηρανθῆναι. καὶ ἢν μὲν χολώδης ᾖ, ἐν τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν ἔσται. ἢν δὲ φλεγματώδης ᾖ, οἷα μύξαι. τούτων ὁκότερον ἂν ᾖ, καθῆραι τὴν κοιλίην, ἤν τε ἄνω δέῃ, ἤν τε κάτω. ἔπειτα τὰς ὑστέρας καθαίρειν. ἢν δὲ θέλῃς ξυλλαβεῖν, τοῦ κισσοῦ ἑπτὰ κόκκους, ἢ τῶν φύλλων κατὰ μῆνα πίνειν, ἐν οἴνῳ παλαιῷ, παυομένων τῶν ἐπιμηνίων. ἑψήσας καὶ ἠσίδιον

ἐν οἴνῳ εὐώδει ἀκρήτῳ. καὶ βάλανον ἐκ τούτου ποιήσας, προσθεῖναι ἐς τὸ μεσημβρινὸν, ἢ συμπήξειν αἰγυπτίην ψήψασ' λείην ἐς εἴρεον ἐνδήσας προστίθεσθαι. ἦμος δ' ἥλιος δύῃ, εἶτα ἀφελκομένη, διανιζέσθω οἴνῳ εὐώδει. ποιέειν δὲ ταῦτα, παυομένων ἐπιμηνίων. ἔχει δὲ καὶ τόδε, οὕτως. Ἐπὴν ἀποκαθαρθῶσιν αἱ γυναῖκες, μάλιστα ἐν γαστρὶ λαμβάνουσιν, ἱδρωθεῖσαι, καὶ ὁ γόνος σφίσι ῥώννυται, ἢν μιγέωσιν ὅτε χρή, καὶ ὁ τοῦ ἀνδρὸς ῥηϊδίως μίσγεται. καὶ ἢν ἐπικρατήσῃ τῷδε ἢ δηλῶσαι. τότε γὰρ μάλιστα τὸ στόμα τῶν μητρέων κέχηνε, καὶ τεταμένος ἐστὶ καὶ μετὰ τὰς καθάρσιας, καὶ αἱ φλέβες τὴν γονὴν σπῶσιν. ἐν δὲ τῷ πρὶν χρόνῳ, τό, τε στόμα τῶν μητρέων μέμυκε. καὶ μᾶλλον αἱ φλέβες πλεῖαι αἵματος ἐοῦσαι, οὐχ ὁμοίως σπῶσι τὴν γονήν. ἢν δὲ γόνος ἀποῤῥέῃ διὰ πετῆς, καὶ μὴ πῦρ ἔχῃ βληχρὸν, καὶ ἀδυναμίη καὶ ἀψυχίη ἐπιγένηται, καὶ ἔστιν ὅτε αἱ ὑστέραι ἐν τῇ σφέων αὐτέων εἰσὶν ἕδρῃ, ἢν μὲν ὑπὸ πλησμονῆς ᾖ, ἐᾶν ἄριστον. ἢν δ' ὑστέρην χαλάσῃ δίαιτα χόνδρος, κρέας ὕειον, ἢ φάσσης, ἢ οἶνος μέλας. ποτήματα δέ, ὅσα πρὸς ῥόον γεγράψεται. νῦν δ' ἐρέω ἀμφὶ νουσημάτων τῶν ἐν γαστρὶ ἐχουσέων. φημὶ τῇ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, δίμηνον ἢ τρίμηνον καὶ πορρωτέρω, ἢν τὰ ἐπιμήνια παραχωρέῃ αὐτῇ κατὰ τὸν μῆνα ἕκαστον, ἀνάγκη λεπτὴν τε μὴν γενέσθαι καὶ ἀσθενέα. ἔστι δ' ὅτε καὶ πῦρ ἐπιλαμβάνει τὰς ἡμέρας ἕως ἂν χωρέῃ τὰ ἐπιμήνια. καὶ ἐπὴν χωρέει καὶ μετὰ τὴν χώρησιν, χλωρὴ γίνεται, καὶ χωρέει δὲ ὀλίγα, ταύτῃσι κεχήνασιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ παραμεβίασι τῆς αὔξης τοῦ ἐμβρύου. κατέρχεται γὰρ ἐπὴν ἐν γαστρὶ ἔχῃ ἡ γυνὴ ἀπὸ παντὸς τοῦ σώματος αἷμα ἐπὶ τὰς μήτρας κατ' ὀλίγον, καὶ περιϊστάμενον κύκλῳ περὶ τὸ ἐν τῇσι μήτρῃσιν ἐὸν, αὔξει κεῖνο. ἢν δὲ κεχήνωσιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ παραμεβίασι τοῦ αἵματος κατὰ μῆνα, ὡς πρὶν εἰώθει χωρέειν. καὶ τὸ ἐν τῇσι μήτρῃσιν ἐὸν λεπτόν τε καὶ ἀσθενὲς γίνεται. μελεδαινομένης δὲ τῆς γυναικός, ἄμεινον τό, τε ἔμβρυον καὶ αὐτὴ ἡ γυνή. ἢν δὲ μὴ μελεδαίνηται, φθείρεται τὸ ἔμβρυον. κινδυνεύει δὲ καὶ αὐτή, τὸ νούσημα χρόνιον ἔχειν, ἢν οἱ ἡ κάθαρσις πλεῖον τοῦ δέοντος χωρέῃ. μετὰ τὴν διαφθορὴν διὰ τῶν μητρέων μᾶλλον ἐσομένων, καὶ κίνδυνος ἔσται. Ἢν δὲ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἡ κεφαλὴ φλεγματώδης ᾖ, καὶ καταβαίνῃ τὸ φλέγμα δριμὺ ἐς τὴν κοιλίην, καὶ μεταρρήσει ἀπὸ τῆς κεφαλῆς τὴν κοιλίην, καὶ πῦρ ἐπιλαμβάνει αὐτὴν βληχρὸν, καὶ παλμοί, ἔστιν ἡ σὺν ἀσθενέες ὑπεκλυόμενοι, ἐπαναδιδόντες ὀξέες. ἢν δὲ καὶ ἀσιτίην ἔχῃ καὶ ἀδυναμίην, κίνδυνος ἐν τάχει φθαρῆναι τὸ ἔμβρυον. καὶ αὐτὴ ἐν κινδύνῳ ἔσται ἀπεννηγμένη, ἢν μὴ μελεδαίνηται. ἐπὴν ἀποφύγῃ ἀπὸ τῆς κοιλίης ῥόου ἐούσης αὐτίκα δεῖ καταλαμβάνειν. πολλοὶ δὲ καὶ ἄλλοι εἰσὶ κίνδυνοι, ἐν οἷσι τὰ ἔμβρυα φθείρονται. καὶ γὰρ ἢν ἡ γυνὴ ἐν γαστρὶ ἔχουσα νοσήσῃ, καὶ ἀσθενήσῃ, καὶ ἄχθος βιήσηται, ἢ πληγῇ, ἢ πηδήσῃ, ἢ ἀσιτήσῃ, ἢ λειποθυμίῃ ἔχηται, ἢ πλέονα ἢ ὀλίγην τροφὴν λαμβάνῃ, ἢ δειδίσσηται, καὶ πτύρηται, ἢ κεκράγῃ, ἢ ἀκρατήσῃ. καὶ γὰρ καὶ τροφὴ αἰτίη φθορῆς, καὶ πόμα πουλύ. καὶ αὗται δὲ αἱ μῆτραι ἔχουσι φύσιας ᾗσιν ἐξαμβλέεται οὖσαι πνευματώδεες πυκιναί. μεγάλαι. μικραί. καὶ ἄλλα ὅσα ἔοικεν. Ἢν γυνὴ ἐν γαστρὶ ἔχουσα, τὴν κοιλίην ἢ τὴν ὀσφὺν πονέῃ, ὀῤῥωδέειν χρὴ τὸ ἔμβρυον ἀμβλῶσαι ῥαγέντων τῶν ὑμενέων, οἳ αὐτὸ περιέχουσιν. εἰσὶ δὲ αἳ διαφθείρουσι τὰ ἔμβρυα, ἢν δριμύ τι ἢ πικρὸν φάγωσι παρὰ τὸ ἔθος ἢ πίωσι, νηπίου τοῦ παιδίου εἴσω ἐόντος. ἢν γὰρ τῷ παιδίῳ παρὰ τὸ ἔθος τι γένηται. καὶ ἢν σμικρὸν ἔτι ᾖ, θνήσκει. καὶ ἢν τοιαῦτα φάγῃ ἢ πίῃ ὡς πρὶν εἴπομεν, ὥς τε οἱ ἀνάγκη ταραχθῆναι τὴν κοιλίην, νηπίου ἐόντος τοῦ παιδίου. ἐπαΐουσι γὰρ αἱ μῆτραι τοῦ ῥεύματος χωροῦντος ἐκ τῆς κοιλίης. καὶ ἢν ταλαιπωρήσῃ ἡ γυνὴ πλέονα τοῦ καιροῦ, καὶ οἱ ἡ κοιλίη ὀργῇ ἢ καὶ μεγάλη γένηται, ἀπογίνεται καὶ οὕτως τὸ παιδίον, διαθερμανθὲν ὑπὸ ταλαιπωρίης, καὶ πιεζόμενον ὑπὸ τῆς κοιλίης. κάρτα γὰρ τὰ πολλὰ σμικρὰ ἐόντα, ἔστιν ἄγγεα. τὰ δὲ καὶ μεγάλα φθείρεται παιδία. ὥς τε οὐ χρὴ θαυμάζειν τὰς γυναῖκας, ὅτι διαφθείρουσιν ἄκουσαι. φυλακῆς γὰρ καὶ ἐπιστήμης πολλῆς δεῖ, ἐς τὸ διενεγκεῖν, καὶ ἐκθρέψαι τὸ παιδίον ἐν τῇσι μήτρῃσι καὶ ἀποφυγεῖν αὐτῷ ἐν τῷ τόκῳ. Εἰ δὲ γυνὴ ἐν γαστρὶ ἔχουσα τὸ σῶμα φλαύρως ἔχοι, καὶ εἴη χολώδης καὶ ἐπίπονος, καὶ πυρεταίνοι ἄλλοτε καὶ ἄλλοτε, καὶ τὸ στόμα ἐκπικράζοιτο, καὶ χλωρὴ γλῶσσα. ὄμματα ἰκτερώδεα. ὄνυχες χολώδεες. οὖρον δριμύ. ἄλλως τε καὶ εἰ πυρεταίνῃ, ἄλλοτε καὶ ἄλλοτε ταύτῃ ξυμβήσεται. ἐπὴν καί τι τὴν κάθαρσιν χολώδεα εἶναι καὶ πᾶσα ἐλπίς, καὶ τὰ παιδία ἀσθενέα. ἢν χολώδεα ἀποπατέῃ. κάρτα δὲ γίνεται τοῦτο, ῥηΐτερον διάξει. καὶ ἢν χολώδεα τὰ λοχεῖα ἢ μέλανα ἐστὶ, κάρτα καὶ ἐπὶ πολὺ λῖπος ἐπιγίνεται, καὶ ἄρχεται κατ' ὀλίγον, καὶ οὐ ταχὺ πήγνυται. καὶ τὸν μὲν πρῶτον χρόνον ῥηϊτέρως οἴσει, ἔπειτα χαλεπωτέρον, καὶ ἐπικαθαίρεται ἐλάσσονα τοῦ δέοντος. ἢν γὰρ τὸ σῶμα φλαύρως ἔχῃ, καὶ τὰ λοχεῖα οἱ ἐλάσσονα χωρήσει καὶ πονηρότερα. πείσεται δὲ ταῦτα πάντα, καὶ ἢν τὰ καταμήνια χωρέηται χολώδεα, ἐλάσσονα δὲ χρόνον νοσήσει. καὶ κινδύνους ἐς τοὺς αὐτοὺς ἥξει ἡ νοῦσος. καὶ σημήϊα. καὶ μεταλλαγάς. εἰ γὰρ ἔμετος ταύτῃσι χολώδης ἢ κατὰ τὴν κοιλίαν κάθαρσις ἐπὶ ταύτῃ γίνεται. καὶ ἑλκοῦνται αἱ μῆτραι. φυλακῆς δὲ πολλῆς, δέεται ἡ γυνή. ὅταν οὖν τοιοῦτόν τι γίνηται, ὅκως μὴ θάνηται ἄφορος ἔσται. ἢν δὲ μηδὲν τουτέων γίνηται, καὶ μὴ μελεδαίνηται, ἀλλὰ οἱ τὰ λοχεῖα κρυφθῇ, θνήσκει ἐν φθίνοντι καὶ μιῇ ἡμέρῃ ὡς ἐπιτοπολύ. ταύτην φάρμακον πίσαι χολαγόν. καὶ ἄνησον ἀρήγει. καὶ ὅσα ἐς οὔρησιν. ἐμέειν δὲ

καὶ ἱδρῶτας ἄγειν. καὶ τὴν κοιλίην κλύζειν χυλῷ πτισάνης, καὶ μέλιτι, καὶ ὠοῖσι, καὶ μαλάχης ὕδατι. Ἧσι ἐν γαστρὶ ἐχούσῃσι περὶ τὸν ἕβδομον ἢ ὄγδοον μῆνα ἐξαπίνης τὸ πλήρωμα τῶν μαζῶν καὶ τῆς γαστρὸς ξυμπίπτει. καὶ οἱ μαζοὶ ἐξισχναίνονται. καὶ τὸ γάλα οὐ φαίνεται, φάναι τὸ παιδίον, ἢ τεθνηκὸς εἶναι, ἢ ζώειν τε καὶ εἶναι ἠπεδανόν. ἢν γὰρ ἔχωσιν ἐν γαστρί, καὶ ἐπιφαίνηται τὰ ἐπιμήνια, καὶ τιτρωσμοὶ γίνονται, ἢν πλείονα ᾖ, καὶ κακόοδμα ἢ νοσώδεα τὰ ἔμβρυα γίνεται. Ἢν γυνὴ ἐν γαστρὶ ἔχουσα φλεγματώδης ᾖ, καὶ τὴν κεφαλὴν ἀλγέει καὶ πυρεταίνει ἄλλοτε καὶ ἄλλοτε. καὶ ἐν τῇ κεφαλῇ εἰλέεται τὸ φλέγμα. καὶ βάρος ἔχει καὶ ψύξιν. καὶ ἐς τὸ σῶμα διαχωρέει, καὶ ἐς τὰς φλέβας ὅταν ἡ κεφαλὴ ᾖ πλήρης. γίνεται δὲ καὶ μολίβῳ τὴν χροιὴν ἴκελος. καὶ ἐμέει φλέγμα. γλῶσσα λευκή. καὶ οὔρησις κοινὴ ἔκλευκος. ψυχρή. τάραξις. δυσκινησίη. ἐπὴν δὲ τέκῃ, χωρήσει οἱ ἡ κάθαρσις φλεγματώδης. καὶ φανεῖται ὑμενώδης. καὶ ὥσπερ ἀράχνια διατεταμένα ἐν ταύτῃ ἔσται. καὶ πείσεται μὲν ταῦτα πάντα, καὶ ἢν τὰ καταμήνια ἐχώρεε τὰ φλεγματώδεα. ἐλάσσονα δὲ χρόνον νοσήσει. καὶ κινδύνους τοὺς αὐτοὺς ἡ νοῦσος ἕξει. καὶ σημεῖα. καὶ μεταλλαγάς. ξυμβήσεται δὲ αὐτῇ, ἔμετον γενέσθαι φλεγματώδεα, καὶ παθήματα ὅμοια κείνῃ χωρήσαντα. ἐξήρτηται δὲ τῷ αὐτῷ τρόπῳ τὰ λοχεῖα, καὶ τὰ καταμήνια τὰ φλεγματώδεα, ἐλάσσονα δὲ χρόνον μὲν τῶν καταμηνίων, καὶ ἢν μὴ ῥαγῇ αὐτῇ ἡ κάθαρσις χρονισθεῖσα, θνήσκει ἐν πέντε καὶ τεσσαράκοντα ἡμέρῃσι. καὶ ἢν οἱ φλεγματώδης ἡ λοχίη κάθαρσις χωρήσει, μελεδαινομένη δὲ ἡ γυνή, ὑγιὴς ἔσται. καὶ φυσηθήσεται ἐξ ἀρχῆς ἢν ὑγιανθῇ. χαλεπὸν δὲ τοῦτο ἔσται νόσημα. ταύτῃ χρὴ διδόναι φάρμακον, ὅ, τι φλέγμα ἄγει. καὶ μίσγειν γάλα ἑφθὸν αἴγειον ξὺν μέλιτι. ἢν δὲ πολλάκις μὴ ἐσακούῃ. κάρδαμον, ἢ κνῆκος, ἢ κνέωρον, ἢ πολυπόδιον, ἢ ὀῤῥὸν, ἢ τὸ ἀπὸ ἀλῶν ξυντιθέμενον διδόναι, καὶ ὅσα φλέγμα χαλᾷ, καὶ ἀνάγει. ἢν δὲ γυνὴ ἐν γαστρὶ ἔχουσα σπληνώδης ᾖ ὑπὸ παθημάτων ὧν εἴρηται ἐν νούσῳ τῶν καταμηνίων τὰ ὑδρωποειδέα καὶ φλεγματοειδέα ἀφίησι, τὰ λοχεῖα χωρήσει ὑδρωποειδέα, καὶ ἐλεύσεται ὅτε μὲν πολλά, ὅτε δὲ ὀλίγα. καὶ γίνεται μὲν ὥσπερ ἀπὸ κρεῶν ὕδωρ, ὡς εἴ τις κρέα αἱματώδεα ἀποπλύνοι. ὅτε δὲ ὀλίγῳ παχύτερον καὶ οὐ πήγνυται. καὶ πείσεται ταῦτα πάντα, καὶ εἰ τὰ καταμήνια τὰ ὑδατοειδέα χωρέει, καὶ κινδύνους τοὺς αὐτοὺς ἡ νοῦσος ἕξει καὶ μεταλλαγάς. ξυμβήσεται γὰρ οἱ ῥόον γενέσθαι ὑδατώδεα. ἢ κρυφθῆναι τὴν κάθαρσιν, καὶ ῥαπίεσθαι περὶ τὴν κοιλίην, καὶ τὰ σκέλεα, ἢ ἐς τὸ στέρνον, ἢ τι τούτων. καὶ κίνδυνοι ἔσονται οἱ αὐτοί, οἱ καὶ πρόσθεν εἴρηνται. Ἢν κύουσα οἰδέῃ, κνίδης καρπὸν ὡς πλεῖστον καὶ μέλι, καὶ οἶνον κεκρημένον εὐώδεα διδόναι πίνειν, δὶς τῆς ἡμέρης. ἢν κύουσαν χολὴ λυπέῃ, πτισάνης χυλὸν δίδου, ῥόον ἐπιπάσσων τὸν ἐρυθρόν, ἢ τὸν ἐκ τῆς σιμαμένης, ψυχρὸν δὲ ῥοφεέτω καὶ καταστήσεται. Ἢν δὲ πνὶξ προσπέσῃ ἐξαπίνης, ἐχούσῃ ἐν γαστρί, γίνεται δὲ τοῦτο μάλιστα ἐπὴν ἡ γυνὴ ταλαιπωρέῃ. καὶ ἀσιτήσῃ θερμανθεισέων τῶν μητρέων ὑπὸ τῆς ταλαιπωρίης. καὶ ἐλάσσονος τῆς ἰκμάδος γινομένης τῷ ἐμβρύῳ, καὶ ἅτε τῆς μήτρης κενωτέρης τὴν κοιλίην τοῦ καιροῦ ἐούσης, ἰθύει τὸ ἔμβρυον πρὸς τὸ ἧπαρ καὶ τὰ ὑποχόνδρια, ἅτε ἰκμαλέα ἐόντα. καὶ πνῖγα ποιήσει ἰσχυρὴν ἐξαπίνης. ἐπιλαμβάνεσθαι δὲ τὸ διάπνοον τὸ ἀμφὶ τὴν κοιλίην. καὶ ἀναυδίην ἴσχει τὴν γυναῖκα. καὶ τὰ λευκὰ ἀναβάλλει τῶν ὀφθαλμῶν. καὶ τἄλλα πάσχει πάντα ὅσα πρὶν εἴρηται. ἢν τινα ἐφεῖσαι τὰς μήτρας πνιγέῃ, καὶ ἅμα τε ἄρχεται ἡ πνὶξ γίνεσθαι τῇ ἐν γαστρὶ ἐχούσῃ γυναικί, καὶ ἀπὸ τῆς κεφαλῆς καταῤῥέει φλέγμα ἐς τὰ ὑποχόνδρια, διὰ τοῦ σώματος μὴ δυναμένου τὴν ἀνάπνευσιν ἕλκειν. καὶ ἢν μὲν ἅμα τοῦ φλέγματος τῇ κατελεύσει ἴῃ τὸ ἔμβρυον, ἐς χώρην τὴν ἑωυτοῦ, ὅσα τὴν ἰκμάδα ἑλκύσαν καὶ κατενεχθὲν ὑπὸ τοῦ φλέγματος, ὑγιὴς γίνεται ἡ γυνή. τρυσμὸς δὲ γίνεται, λιπόντος τοῦ ἐμβρύου τὴν χώρην τὴν ἑωυτοῦ. καὶ ἡ γαστὴρ ὑγρὴ γίνεται ὡς ἐπὶ τὸ πλεῖον τῆς γυναικός. ἢν δὲ μὴ ἴῃ τὸ ἔμβρυον ἐν τάχει ἐς χώρην τὴν ἑωυτοῦ, δύο γίνεται ἤδη τὰ πονέοντα τὸ ἔμβρυον. τὸ φλέγμα τὸ κατελθὸν ἀπὸ τῆς κεφαλῆς, βαρύνει τε δὲ καὶ ψύχει ἐπιμένον, καὶ ἡ ἄνθεια τοῦ χωρίου καὶ κινδυνεύσει, ἤν γε μή τις ἐν τάχει ἐπιτηδειοτέρως διαιτῶν, ἀποπνιγῆναι ἡ γυνή. καὶ τὰ μὲν ἀμφὶ τούτων ὧδε ἔχει. Ἢν δὲ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὁ χρόνος ἤδη τοῦ τόκου παρῇ, καὶ ὠδῖνας ἔχῃ, καὶ ἐπὶ πολλὸν χρόνον ἀποφυγεῖν ἡ γυνὴ τοῦ παιδίου μὴ οἵη τε ᾖ, ὡς ἐπίπαν ἔρχεται πλάγιον, ἢ ἐπὶ πόδας. χρειῶδες δ' ἐπὶ κεφαλὴν χωρέειν. καὶ ἢν πλάγιον ᾖ, χαλεπὸν γίνεται τὸ πάθημα. ὡς δὲ εἴ τις ἐς λήκυθον μικρόστομον πυρῆνα ἐμβάλλοι, οὐκ εὐφυὲς ἐξελεῖν πλαγιούμενον, οὕτω δὴ καὶ τῇ γυναικὶ χαλεπὸν πάθημα τὸ ἔμβρυον ἐπειδὰν λοξωθῇ, καὶ δὲ χαλεπὸν ἐξελθεῖν. χαλεπὸν δὲ καὶ ἢν ἐπὶ πόδας χωρήσῃ, καὶ πολλάκις ἢ αἱ μητέρες ἀπώλοντο ἢ τὰ παιδία, ἢ καὶ ἄμφω. ἔστι δὲ καὶ τόδε μέγα αἴτιον τοῦ μὴ ῥηϊδίως ἀπιέναι, ἢν νεκρὸν, ἢ ἀπόπληκτον, ἢ διπλόον ᾖ. Ἐπὴν ἐν γαστρὶ ἡ γυνὴ ἔχῃ, χλωρὴ γίνεται πᾶσα, ὅτι αὐτέης τοῦ αἵματος αἰεὶ τὸ ἀκραιφνὲς καθ' ἡμέρην ὑπολείβεται ἐκ τοῦ σώματος, καὶ κατέρχεται ἐπὶ τὸ ἔμβρυον, καὶ αὔξη οἱ γίνεται. καὶ ἐλάσσονος τοῦ αἵματος ἐόντος ἐν τῷ σώματι, ἀνάγκη εἶναι χλωρήν. καὶ ἱμείρεσθαι ἀλλοκοτῶν αἰεὶ βρωμάτων. καὶ ἐπὶ κοιλίην αἱματώδεα εἶναι. καὶ ἀσθενεστέρη γίνεται, ὅτι τὸ αἷμα μινύθει. φημὶ δὲ γυναῖκα ἢν ἐπιτύχῃ πνεῦμα πυκνὸν ἀφιέναι. καὶ ἢν ἡ κάθαρσις ἄρχηται, ἡ κοιλίη πλήρης ἐστί. καὶ θέρμη πιεζομένη. μάλιστα δ' ἀναπνέει πυκινὸν ἐπὴν τόκον πελάζῃ. καὶ τὴν ὀσφὺν τό τε μάλιστα πονέεται, θλᾶται γὰρ καὶ ἡ ὀσφὺς ὑπὸ τοῦ ἐμβρύου.

καρδιώσσει δὲ ἐν τῷ μεταξὺ χρόνῳ, ἄλλοτε καὶ ἄλλοτε. ἅτε τῆς κοιλίης περιστελλομένης ἀμφὶ τὸ ἔμβρυον. μάλιστα δὲ τῆς ὑστέρης. καὶ ἢν τεκούσης ὑστέρη ὀξὺ ἀνεμωθῇ, ἢ παρ᾽ οἶος ἢ αἰγὸς, ἐς τέφρην κρύψαι. καὶ μετέπειτα ἑψεῖν, καὶ λαμβάνειν καὶ οἶνον ἢν μή τι κωλύῃ, πίνειν ζωρότερον παλαιὸν, ἐπὶ τέσσαρας ἡμέρας, ἢν πορρωτέρω ἀπὸ τῆς τέξιος. ἢν δὲ τὰς ἰξύας ἀλγέῃ, ἄννησον καὶ κύμινον αἰθιοπικὸν πινέτω. καὶ τῷ θερμῷ λουέσθω. ἢν δ᾽ ἆσθμα λάζηται, θεῖον ὅσον κύαμον, καὶ καρδάμωμον ἴσον, καὶ πηγάνου, καὶ κυμίνου αἰθιοπικοῦ, ταῦτα τρίψαι. καὶ διεὶς οἴνῳ, δίδου πιεῖν νήστει. καὶ σιτίων ἀπεχέσθω πυκνά, ἢν ἐν τόκῳ κάθαρσις ἴῃ πολλὴ, ἡ ὑστέρη ξυνέλκεται καὶ ἡ κύστις, καὶ ἔντερον, καὶ οὔτε τὸ κόπριον κατέχουσι, καὶ τὸ οὖρον προΐενται δέ. ἀλλὰ οὕτω ῥοφεῖν δίδου. καὶ ἄρτον ἐγκρυφίην φαγεῖν, καὶ ὅσα λοιπὰ γέγραπται. ἢν δὲ ἡ ἐν τόκῳ οὖσα, ξηρὴ καὶ δύσικμος, ἔλαιον πίνειν, καὶ καταιονᾶν τὰ χωρία ἔλαιον θερμὸν μαλάχης ὕδωρ κηρωτῇ ὑγρῇ διαχρίειν, καὶ ἔγχυτον χαυνὸς ἄλειφα ξὺν ἐλαίῳ. ἢν δ᾽ ἡ μὴ δύναιτο τίκτειν, ὑποθυμία ῥητίνην, ἢ κύμινον, ἢ πίτυος φλοιόν. καὶ τούτῳ ὑποθυμιάσθω. ἅσσα δὲ οἰδήματα γίνεται ὑστέρης ἐν τόκῳ ἢ ἐκ τόκου, ὃ χρὴ σύφειν οἷα οἱ ἰητροὶ ποιέουσι. τὰ δὲ φάρμακα ἄριστα προσφέρειν. κύμινον αἰθιοπικὸν, ὅσον τοῖσι τρισὶ δακτύλοισι. καὶ τοῦ ἀννήσου. καὶ τοῦ σεσέλιος πέντε, ἢ ἓξ γλυκυσίδης χηραμύδος, ἥμισυ τῆς ῥίζης, ἢ καὶ τοῦ σπέρματος. ταῦτα ἐν οἴνῳ λευκῷ ἡδυόδμῳ μάλιστα νήστει διδόναι. ἢ δαύκου ῥίζαν αἰθιοπικοῦ. σέσελι. γλυκυσίδης ῥίζαν τὸν αὐτὸν τρόπον. ἢ ἱπποσελίνου. ἢ δαύκου καρπὸν αἰθιοπικὸν ὡσαύτως. ἢ κρήθμου ῥίζαν αἰθιοπικήν. ἢ κύμινον ἀττικὸν τετρώβολον. ἢ πέπερι. ἄννησον. δαῦκος. ἀκταίης γλυκυσίδης ῥίζα. ταῦτα ἐν οἴνῳ τρίβειν καὶ διδόναι πίνειν, ἢ μυρτιδανοῦ κλωνία δύο ἢ τρία. καὶ κύμινον αἰθιοπικόν. γλυκυσίδης ῥίζαν. ἢ καὶ λίνου σπέρμα ὁμοίως. ὃ καὶ τὰ παιδία βιώσοντα φαμίζουσι, ξὺν ᾠῷ ἐπτῷ λεκίθῳ, ξὺν σησάμῳ πεφρυγμένῳ. Ἤν που διαφθαρῇ τὰ αἰδοῖα, ἀμύγδαλα τρίψας, καὶ βοὸς μυελὸν ἐν ὕδατι ἑψεῖν. καὶ ἄλητον ἐμβαλὼν σμικρὸν, διαχρίειν τὰ αἰδοῖα. καὶ διακλύζειν τῷ ὕδατι τῷ ἀπὸ τῶν μύρτων. νῦν δὲ ἐρέω ἀμφὶ λοχείων, καὶ τῶν μετὰ τὸν τόκον ἰόντων. Ὅταν γυνὴ, ἢ τὰ λοχεῖα μὴ καθαρθῇ, ἢ τὰ ἐπιμήνια μὴ ἴῃ, ἢ καὶ ὑστέρη σκληρὴ ᾖ, ἢ ὀδύνην ἔχει τὴν ὀσφῦν. καὶ τοὺς μὲν κενεῶνας, καὶ βουβῶνας, καὶ μηροὺς, καὶ πόδας ἀλγέῃ πικρῶς. καὶ ἡ γαστὴρ ἐπαίρηται. καὶ φρῖκαι διὰ τοῦ σώματος διαΐσσωσιν. ἐκ δὲ τῶν τοιούτων πυρετοὶ γίνονται ὀξέες. ταύτην τὴν οὕτως ἔχουσαν ἢν μὲν ἄπυρος ᾖ, διαιτᾶν λουτροῖσι. λιπαίνειν δὲ καὶ τὴν κεφαλὴν, ἐλαίῳ αἰθίνῳ. ἑψεῖν δὲ μαλάχην. ἢ ἔλαιον κύπρινον ἐς ὕδωρ ἐγχέειν, καὶ ἐγκαθίζεσθαι παρηγορικῶς. ἐν πάσῃσι δὲ τῇσι νούσοισιν ἐφ᾽ ὧν πυρίη ἀρήγει, ἄμεινον ὑστέροιν χρέεσθαι καὶ λίπα. ἢν δὲ πῦρ ἔχῃ, λουτρῶν ἀπέχεσθαι. πυρίῃσι δὲ καὶ χλιάσμασι τὴν νειαίρην γαστέρα, καὶ τὴν ὀσφῦν θεραπεύειν. διδόναι δὲ πίνειν τῶν φαρμάκων τῶν ὑστερικῶν παραμίσγοντα. ἢ τῆς σηπίης τῶν ᾠῶν, ἢ τοῦ κάστορος. μετὰ δὲ τοῦτο ῥοφεῖν διδόναι, ἄλητον ξὺν πηγάνῳ ἑφθὸν, ἢ πτισάνης χυλόν. ἢν δὲ γυναικὶ μετὰ τοῦ παιδίου ἐν τῷ τόκῳ μὴ ἴῃ τὸ ὑγρὸν ὡς χρὴ, ἀλλὰ μὴν ἢν μὲν ἐν τῇ κεφαλῇ ἔχῃ τὸ ὑγρὸν ἀπὸ θέρμης εἰρυσθὲν ἐν τόκῳ καὶ πρὶν, ὀλίγον κεφαλαλγήσει. ἢν δὲ ἐς τὴν κοιλίην ἔλθῃ ἅλες, ἐπειδὰν συνθῇ, ταράξειεν αὐτὴν καὶ οὐχὶ πόῤῥω. τιμωρέειν δὲ, ὡς μὴ ἐκ τούτου διάῤῥοια ἐπιγινομένη σώματι φλαύρως ἔχοντι, πονήσῃ μιν. ἢν δὲ ἀπὸ κεφαλῆς ἐλθὸν τὸ ῥεῦμα ἐς τὴν λοχείην κάθαρσιν φράξῃ, καὶ πολλὰ συνθῇ, ῥηΐζει. ἢν δὲ πλεῖον τοῦ μετρίου μελεδαίνει. ἢν δὲ ἐς τὴν κοιλίην, ῥηϊτέρη ἂν ἡ ἔξοδος τῷ παιδίῳ γένοιτο. εἰ δὲ ἡ κάθαρσις τῇ γυναικὶ ὀλίγη χωρέοι, πόνος λάζοιτο ἰσχυρὸς ἰξύας τε, καὶ τὸν ἀμφὶ τὰ αἰδοῖα πάντα χῶρον, καὶ οἰδέει. καὶ οἱ μηροὶ πίμπρανται. καὶ ἐκ τοῦ στόματος καὶ ἐκ τῶν ῥινέων, ῥέει φλέγμα ἰσχυρῶς ὑδαρές. καὶ ἀλγέει κεφαλήν. καὶ πῦρ ἔχει. καὶ φρίκη. καὶ οἰδέει. καὶ οἱ ὀδόντες βρύχουσι. καὶ ἡ γαστὴρ οἱ στεγνὴ ἔσται. καὶ ἡ κύστις καὶ τὰ ὄμματα ἀμαδινέει. καὶ ζοφοειδὲς ὁρῇ. Γυναικὶ δὲ ἐκ τόκου ἐούσῃ κάθαρσις ἐπὴν ἴῃ, οὐκ εὐμαρέως χωρέει. διὰ τῶν μητρέων ἐν φλογμῷ γινομένων. καὶ τοῦ στόματος σφέων μύσαντος. περιλύεται δὲ ὁ στόμαχος τοῦ αἰδοίου μετὰ τὸ παιδίον ποιήσασθαι τὴν ἐκχώρησιν. ἢν γὰρ τούτων τι ᾖ, οὐ χωρήσει οἱ ἡ κάθαρσις. ἢν δὲ μὴ χωρέῃ οἱ κάθαρσις, ξυμβήσεται ὥστε μιν πυρεταίνειν, καὶ φρίκην ἔχειν. καὶ τὴν γαστέρα μεγάλην εἶναι. ἢν δὲ ψαύσῃ αὐτῆς, ἀλγέειν πᾶν τὸ σῶμα μάλιστα. ἢν τις τῆς γαστρὸς ψαύσῃ, καὶ καρδιώσσει ἄλλοτε καὶ ἄλλοτε. καὶ ὀσφῦν πονέει. καὶ ἀσιτίη, καὶ ἀγρυπνίη καὶ νυγμός. ἔπειτα ἡμέρῃ πέμπτῃ ἢ ἑβδόμῃ, ἔστιν ὅτε ἡ κοιλίη ταράσσεται, καὶ ὑποχωρέει μέλανα, καὶ κάκοδμα κάρτα, ἄλλοτε καὶ ἄλλοτε, καὶ ὡς ὄνειον οὖρον. καὶ ἢν ὑπέλθοι, δοκέει οἱ ῥηΐτερον εἶναι. καὶ μελεδαινομένη, ἐν τάχει ὑγιὴς γίνεται. ἢν δὲ μὴ κινδυνεύσει διαῤῥοίης αὐτῇ ἰσχυρῆς ἐπιπεσούσης. καὶ τὰ λοχεῖα οἱ κρύπτεται. ἢν δὲ ἡ κοιλίη οἱ μὴ ταράσσηται, μηδὲ ἡ κάθαρσις χωρέῃ, αὐτομάτη. μηδὲ οἱ προσφέρηται ἐν τάχει τὰ ἐπιτήδεια. ὁ δὲ χρόνος προΐῃ, πονήσει πολλὰ τὰ προειρημένα. καὶ ἐπὶ τουτέοισι κινδυνεύσει πελιδνὴ γενέσθαι ὡς ὁ μόλιβδος. καὶ ὑδερωθῆναι. καὶ ὁ ὀμφαλὸς ἐξίσταται αὐτῇ, ἀειρόμενος ἀπὸ τῶν μητρέων. καὶ ἔσται μελάντερος τῶν πέριξ. καὶ ἐπὴν ταῦτα γένηται, οὐχ οἵη τέ ἐστι περιγενέσθαι ἡ γυνή. θνήσκουσι δὲ ἄλλαι ἄλλῳ χρόνῳ, ὅκως τε καὶ τὰ τοῦ σώματος ἔχωσι, καὶ τὰ τῆς πάθης. μιῆς δὲ καὶ εἴκοσι ἡμερέων οὐχ ὑπερβάλλουσιν ὡς ἐπὶ τὸ πλέον

οὕτω ξυμβαίνει.

οὕτω ξυμβαίνει. ἢν δὲ οἱ ῥαγῇ κάθαρσις εἴτε καὶ ἀπὸ φαρμάκων, εἴτε καὶ αὐτομάτη. γίνεται γὰρ καὶ τοῦτο. ἢν χαλάσωσι τὸ στόμα αἱ μῆτραι, ἢ βιασθεῖσαι ἀπὸ τοῦ αἵματος, ἄλεος ὀξαπίνης κατελθόντος, καὶ ἢν ῥαγῇ ἀποκαθαίρεται δύσοδμα καὶ πυώδεα. ἔστι δ᾽ ὅτε καὶ μέλανα. καὶ ῥηΐτερον ἔσται. καὶ μελεδανθεῖσα ὑγιαίνεται. γίνεται δὲ καὶ ἕλκεα ἐν τῇσι μήτρῃσιν διὰ τῶν λοχείων σαπέντων. ἢν γὰρ ἑλκώσηται, πλείονος μελεδώνης δεήσεται, ὅκως μὴ οἱ τὰ ἕλκεα μεγάλα καὶ σηπεδονώδεα ἔσται. κίνδυνος δὲ ἢ θανεῖν, ἢ ἄφορον γενέσθαι. σημεῖα δὲ ταῦτα γίνεται, ἢν ἕλκεα ἐνῇ. ἐπὴν χωρέῃ ἡ κάθαρσις δοκέει ὡς ἄκανθα διὰ τῶν μητρέων ἰέναι. καὶ πῦρ μιν λάζεται μάλιστα τὴν κοιλίην ἐπιλαμβάνειν. ἀλγέει δὲ ἐπαφωμένη τὸ κάτω τοῦ ὀμφαλοῦ, ὡς ἕλκεος καθαροῦ νυγμώδεος ἐν θήγοις. ἔπειτα ὀδύναι ἰσχυραὶ ἄλλοτε καὶ ἄλλοτε ἐμπίπτουσιν ἐς τὰς μήτρας. καὶ πυρετός. ἔστι δ᾽ ὅτε πρὸς χεῖρα βληχρός. καὶ ἄλλοτε καὶ ἄλλοτε ἀπὸ κακοήθεα χωρέει τὰ λοχεῖα. πυώδεα. δύσοδμα. ταῦτα σημεῖα ἐστὶν, ἢν ἕλκεα ἐν τῇσι μήτρῃσι, καὶ δέεται πολλῆς μελεδώνης. ταύτης μὲν νῦν ἀμφὶ τῆς νούσου, τόσα τελευταί εἰσιν. ἢν δὲ ἡ κάθαρσις ἡ λοχείη, τὰς μὲν πρώτας ἡμέρας τρεῖς ἢ τέσσαρας χωρήσῃ. ἔπειτα ἀπόλωλεν ὀξαπίνης ταύτῃ, πάσχει παθήματα τῇ προτέρῃ ἀδελφεά. ἧσσον δὲ, καὶ ἢν μεταπίπτῃ ἡ νοῦσος, εἰς τοῦτο μεταπείσεται. χρονίη δὲ καὶ βληχροτέρη ἔσται τῆς προτέρης. διαιτωμένη δὲ ἡ γυνὴ περιγίνεται, ἢν ἁρμοῖ μελεδαίνηται. ἀμφὶ δὲ τῆς νούσου ταύτης ὧδε ἔχει.

Ἢν δὲ ἐκ τοῦ τόκου μὴ καθαρθῇ, οἰδέει ἡ γαστὴρ, καὶ ὁ σπλὴν, καὶ τὰ σκέλεα. καὶ πῦρ ἔχει. καὶ ῥῖγος λαμβάνει καὶ ὀδύναι ἀΐσσουσι πρὸς τὰς ἰξύας. ἔστι δ᾽ ὅτε καὶ πρὸς τὰ σπλάγχνα. καὶ ἀποψύχεται. καὶ πῦρ ἔχει. σφυγμοὶ βληχροί. ἔστι δ᾽ ὅτε καὶ ὀξέες, ἄλλοτ᾽ ἀειρόμενοι, ἄλλοτε ἐλλείποντες. ταῦτα πάσχει ἀρχομένης τῆς νούσου, καὶ ὧδε ἔχει. ἢν δὲ προΐῃ τοῦ χρόνου, τὰ κοῖλα τοῦ προσώπου ἐρυθρὰ γίνεται. ὅταν ὧδε ἔχῃ, διδόναι κοῦφα σιτία. κἢν ὀργᾷ, φάρμακον πίσαι κάτω. ἢν μὲν χολώδης ᾖ, ὅτι χολὴν καθαίρει. ἢν δὲ φλεγματώδης, ὅτι φλέγμα. μετὰ δὲ τοῦτο, πυριῆσθαι τὰς ὑστέρας εὐώδεσι. καὶ προσθεῖναι μαλθακτήριον τὴν ἡμέρην. ἢν δὲ στεῤῥὴ ᾖ, τὸ στόμα πυριῆν ἅπασαν ἡμέρην, καὶ τὰ μαλθακτήρια προστιθέναι. ἔπειτα λοῦσαι θερμῷ ὕδατι, καὶ τιθέναι τοὺς μολίβους. μετέπειτα δὲ ἁλὸς χόνδρους, καὶ σμύρναν ἐς ψυχίον ἀποδήσας καὶ τὴν πίσσαν τὴν ἑφθὴν ἐν εἰρίῳ, ἢ λύσματα ξυμμίξας, ἴσον ἑκάστου ποιέων ἴσον κηκίδι σμικρῇ. προσκείσθω δὲ ἡμέρην καὶ εὐφρόνην. μετὰ δὲ τοῦτο καταλιπεῖν ἡμέρας τρεῖς. καὶ πυριῆσθαι τοῖσιν αὐτέοισι. προστιθέναι δὲ καὶ κόκκους ἐκλέψας ὅσον δύο πόσιας, καὶ πεπέριος τρίψας λεῖα, παραμίξας ἔλαιον αἰγύπτιον λευκὸν, καὶ μέλι ὡς κάλλιστον τοῦτο ἐμπλάσας ἐν εἰρίῳ, καὶ περιελίξας περὶ πτερὸν, προσθεῖναι ἡμέρην ἅπασαν καὶ εὐφρόνην. καὶ ἢν σοι δοκέῃ κεκαθάρθαι ἄμεινον ἐᾶν. ἢν δὲ δοκέῃ δέεσθαι καθάρσιος, δύο ἡμέρας διαλιπεῖν. καὶ αὖθις τὸ ξὺν τῇ σικύῃ ἡμέρην καὶ εὐφρόνην προστιθέναι. κἄπειτα τὸ νέτωπον. καὶ ῥόδινον ἔλαιον ὡς εὐωδέστατον. καὶ ἐλάφου στέαρ τήξας εἰρίῳ προστιθέναι μίην ἡμέρην. καὶ λούειν πολλῷ τῷ θερμῷ, ὡς οἷόν τε ᾖ εὐμενές. καθαρτηρίοισι δὲ αὐτίκα καὶ θερμῷ καθηραμένη τὰ ἀμφιπονεύμενα χωρία, ἐναλειφέσθω τὸ στόμα τῶν μητρέων, χηνείῳ στέατι καὶ σμύρνῃ, καὶ ῥητίνῃ χλιαρῇ, καὶ θάλπειν. κλυζέτω δὲ τὰς ὑστέρας, τῷ οἴνῳ, καὶ τῷ ναρκισσίνῳ ἐλαίῳ, τῇ ὑστεραίῃ. ἢν δὲ μὴ ᾖ ναρκίσσινον, οἴνῳ μόνῳ. ταῦτα ὅκως σοι πρὸ τῶν ἐπιμηνίων ἡμέρῃ μιῇ πρόσθεν ποιήσηται. ἐπὴν δὲ τὰ ἐπιμήνια γένηται, τὰς μὲν ἐν ἀρχῇ ἡμέρας, τρίβουσαν μελάνθιον τὸ κύπριον, καὶ ἁλὸς χόνδρον ἐπιχέασα εἰρίῳ ἀναφορύξαι τοῦτο ἐν τῷ σώματι ἐχέτω ἐπ᾽ ὀλίγον. καὶ νῆστις οἶνον ἄκρητον εὐώδεα ἐπιῤῥοφεέτω. ἐπὴν δὲ παύσηται τὰ ἐπιμήνια τὴν ἡμέρην τὸ ξὺν τῇ γλήχωνι προστιθεὶς, καὶ πρὸς τὸν ἄνδρα ἴτω. κἢν ἐν γαστρὶ σχῇ, ὑγιὴς γίνεται. σιτίοισι δὲ χρέεσθαι ἐν τῇ καθάρσει. πρὸς τούτοις ἀρήγει ἑψεῖν τὴν λινόζωστιν. καὶ συμμίσγειν πρᾶσα. σκόροδα. καὶ κράμβην, κνίκωνά τε. καὶ τὸν χυλὸν ῥοφείτω τοῖσι δακτύλοισι. καὶ ὄψοισι θαλασσίοισι μᾶλλον, ἢ κρέασι χρήσθω. τῶν δὲ γλυκέων εἰργέσθω καὶ λιπαρῶν. πίνειν δὲ αἰεὶ νῆστιν, τὸ ἀπὸ τῆς δαιδὸς, ἐς ἂν καθαίρηται. ἐν δὲ τοῖσιν ἐπιμηνίοισιν, μάλα πινέτω. ἢν δὲ ὀλίγῳ ἐλάσσονα τοῦ δέοντος χωρήσῃ γυναικὶ τὰ λοχεῖα διὰ τῶν μητρέων στενοστόμων ἐουσέων καὶ παρεστραμμένων, ἢ τοῦ αἰδοίου ἤ τι μεμυκὸς κάρτα ἀπὸ φλεγμασίης, ἡ γυνὴ πυρεταίνει ὀξέως. καὶ καρδιώσσει. καὶ ἀλγέει τὸ σῶμα πᾶν. καὶ σφαδάζει. καὶ ἐς τὰ ἄρθρα τῶν χειρέων καὶ τῶν σκελέων. καὶ τῆς ὀσφύος ἡ ὀδύνη φοιτᾷ, καὶ τὸν ἀμφὶ τὴν δειρὴν τόπον, καὶ ῥάχιν καὶ βουβῶνας ἀλγήσει, καὶ ἀκρατέα τινὰ τῶν μελέων τοῦ σώματος γενήσεται. ἔπειτα πῦρ ἠρεμαῖον. φρίκη πάνυ φανερή. ἐμέουσι δὲ καὶ φλεγματώδεα πικρὰ δριμέα. καὶ ἀμφὶ τῆσδε, ὧδε ἔχει. καὶ οἱ ξυμβήσεται. ἢν μελεδαίνηται, ὑγιέα γενέσθαι. ἢν δὲ μὴ, χωλὴν, καὶ ἀκρατέα τῶν μελῶν γενέσθαι τοῦ σώματος. ἄφορος δὲ, ἡ νοῦσος οὐ πάνυ ἢν μὴ αἱ μῆτραι ἑλκωθῶσι, καὶ τὰ λοχεῖα μὴ παρῇ ὡς χρὴ, πάντα πονήσει. καὶ ἢν μὴ μεγάλα ᾖ τὰ ἕλκεα, μελεδαινομένη ἐν τάχει, ὑγιαίνει. χρὴ δὲ τὴν μὲν μελέτην ἀτρεκέως ποιέεσθαι, ἑλκέων τῶν ἐν τῇσι μήτρῃσιν. ἅτε γὰρ ἐν ἁπαλῷ ἐόντα, καὶ εὐεπαθήτω, καὶ νευρώδεϊ τῇ κοιλίῃ. πολλὰ δὲ τὰ κοινωνέοντα. βρέγμα. στόμαχος. γνώμη αὔξεται, καὶ κακοτροπέει, καὶ οὐ ῥηϊδίως ἐθέλει ξυνιέναι. ἢν δὲ οἱ αἱ

κατ' ὀλίγον ἄχρι τὸ ἐλάχιστον. καὶ μετὰ τὴν γαλακτοποσίην, ἀνακόμιζε σιτίοισι. καὶ διαίτῃ. καὶ μετὰ τὴν τοῦ γάλακτος πόσιν, πινέτω πρωῒ νῆστις, ἀδίαντον ξηρήνας κόψας καὶ διασήσας δι' ἄκρης, αἴρης τοῦτο διδόναι ἐν οἴνῳ μέλανι εὐώδει κεκραμένῳ. ἢν δὲ ὑποστρέφῃ ἡ νοῦσος, πυριῆσαι αὐτὴν ὅλην. καὶ αὖθις φαρμάκοισι καθῆραι κάτω. καὶ μετὰ τοῦτο κλύσαι τὰς ὑστέρας. ἢν μὲν φύσει ἡ φλεγματώδης, τῷ κόκκῳ τῷ κνιδίῳ, ἢ τῇ ῥίζῃ τῆς θαψίης. ἢν δὲ χολώδης ᾖ, τῆς σκαμμωνίης τῷ ὀπῷ, ἢ κολοκυνθίδι τῇ ἀγρίῃ. ἐμβαλὼν γὰρ ἀπ' αὐτέης καὶ δύο κοτύλας ἐπιχέας ὕδατος, ἀφεψεῖν. καὶ τὸ ἥμισυ τουτέῳ συμμίσγειν μέλι καὶ ἔλαιον ναρκίσσινον ἢ ἄνθινον. ἔστω δὲ τοῦ μὲν μέλιτος, τεταρτημόριον κοτύλης. τοῦ δὲ ἐλαίου, μεῖζον ἡμιόλιον τοῦ μέλιτος. μετακλύζειν δὲ τῷ μέλιτι καὶ τῷ οἴνῳ καὶ τῷ ἐλαίῳ μούνῳ, καὶ θυμιῆσθαι. καὶ ἐπισχεῖν ἡμέρας τρεῖς ἢ τέσσαρας. ἀδίαντον δὲ πινέτω. καὶ ἢν ἐν γαστρὶ λάβηται, ὑποστρέφει. καὶ ὑποστρεφομένης τῆς νούσου, ἀπόλλυται. ὁκόταν γεραιτέρας λαμβάνει ἡ νοῦσος αὕτη, καὶ καταστῶσι αἱ ὑστέραι, ἐκφύουσι δὲ πάνυ ὀλίγαι. Ῥόος ἄλλος. Καθαίρεται δὴ πρὸς ὀξὺ ᾠοῦ ὠμοῦ, χλωρὸν ὑπολευκόν. καὶ ἑλκοῖ τὸ αἰδοῖον. καὶ οἰδίσκεται τούς τε πόδας, καὶ τὰς κνήμας. καὶ τὰ κοῖλα τῶν ὀφθαλμῶν ἐπανοιδέει. καὶ οἱ ὀφθαλμοὶ ὑγροὶ γλαυκροί. καὶ ἢν βαδίζῃ, ἆσθμα μιν λαμβάνει. καὶ ἀσθενείη γίνεται. ἢν δὲ φύγῃ ἡ νοῦσος φλεγματώδης ᾖ. καὶ ἢν μὴ καθαρθῇ, πυρετήνει λάβρως χολῆς κινηθείσης. γεραιτέρας δὲ ἡ νοῦσος αὕτη λαμβάνει μᾶλλον, ἢ νεωτέρας. ὁκόταν ὧδε ἔχῃ, ἢν μὲν αἰσθάνηται σφόδρα, διδόναι κάτω φάρμακον πιεῖν, ὅ, τι φλέγμα καὶ χολὴν ἄγει. ἢν δὲ μὴ ἰσχυρῶς οἰδέῃ, καὶ τὸ φλέγμα αὐτὴν πιέζῃ, ἄνω δοῦναι φάρμακον. καὶ ἢν μὴ ᾖ δυνατή, ἐλλεβόρῳ καθαιρέσθω. ἢν δὲ μὴ, ὅ, τι χολὴν καὶ φλέγμα ἄγει. μετὰ δὲ τὰ φάρμακα ὀῤῥὸν ἑφθὸν διδόναι πίνειν ὡς πλείστας ἡμέρας, ἔξω ἀλλ' ὀλίγῳ. ἐπιρροφείτω δὲ ἢ λύσμον. ἐπὴν δὲ, σίτου μὴ ἀπτέσθω. ῥοφεέτω δὲ ὀλίγον καὶ ἐπιπινέτω οἶνον γλυκὺν ἢν χρήζῃ. ἢν δὲ μὴ παρῇ, ὀῤῥὸν, γάλα τε ὄνειον ἀφεψήσαι, καὶ διδόναι τέσσαρας ἡμέρας. ἐπὴν δὲ ταῦτα ποιέειν, ἢν μὴ πῦρ ἔχῃ νύκτωρ. ἢν δὲ ἡ φύσει σπληνώδης, ἢ πνευματώδης λείφαιμος, μήτε ὀῤῥὸν, μήτε γάλα πινέτω. ἢν δὲ μὴ, κάτω τεκοῖσι καθαίρειν. καὶ ἐπειδὰν σοι δοκέῃ καιρὸς εἶναι, κλύσαι τὰς μήτρας. πρώτῳ μὲν τῷ ἀπὸ τῆς φυσὸς δὶς ἢ τρίς. μετὰ δὲ τοῦτο, τοῦ ὀποῦ τῆς σκαμμωνίης. οἶνον δὲ ἐπιχέαι γλυκὺν, ὅσον κοτύλην ἀττικήν. καὶ ἐλαίου τέταρτον μέρος κοτύλης, μάλιστα μὲν ναρκισσίνου. μετακλύσαι δὲ τῇ ὑστέρῃ, οἴνῳ κοτύλῃ. καὶ μέλιτι τετάρτῳ κοτύλης. καὶ ῥητίνης τρίτην μοῖραν μέλιτος. ἔλαιον δὲ ἴσον μέλιτι. ἢν δὲ τὰ ἀπὸ τοῦ κλυσμοῦ ἀποχωρέωνται ἰῇ φλεγματώδεα, κλύσαι. καὶ αὖθις ἐπισχόντα ἡμέρας τρεῖς ἢ τέσσαρας, ἔπειτα ἐκλέψαι τοῦ κόκκου δύο πόσιας. κλύζειν δὲ τοῖσιν αὐτέοισιν. ἢ δὲ μὴ παρῇ κόκκος, τῇ ῥίζῃ τῆς θαψίης, πόσιν μίαν. καὶ μετακλύζειν τοῖσιν αὐτέοισιν. ἐπὴν δὲ καθαρθῇ τὰ ὑποχωρέοντα πρὸς τουτέους τοὺς κλυσμούς. καὶ ἢν γίνηταί τι αἱματῶδες, δὴ ἀφ' ἕλκεος, μετακλύζειν τοῖσι στρυφνοῖσι. καὶ ἢν μετὰ ταῦτα αὐτὴ ἐρωτηθεῖσα φῇ, τὸ στόμα τῶν ὑστερέων σκληρὸν οἱ εἶναι, καὶ ὀδύνην ἔχειν, κλύζειν τὸν αὐτὸν τρόπον, τῷ ξὺν πτισάνῃ, ἐς ἂν ἀποξηρανθῶσιν αἱ ὑστέραι, καὶ δοκέῃ ὑγιὴς εἶναι. τὰς δὲ μεταξὺ ἡμέρας τῶν κλυσμῶν, πινέτω ἀκτῆς καρπὸν, καὶ λαγωοῦ πυτίην. καὶ μήκωνος τὸ κέλυφος, καὶ κνίδης καρπόν. ῥοιῆς τε γλυκέης τὸν φλοιόν. σίδιον ἴσον ἑκάστου. ἄλφιτον δὲ ξυμμίσγειν καὶ ἀδίαντον, ἐν οἴνῳ μέλανι εὐώδει, νῆστις. σιτίοισι δὲ χρεέσθω, μαλθακοῖσι μὴ ἁλμυροῖσι, μὴ δὲ δριμέσι. κρέα δὲ ἀμείνω ἰχθύων, ἤγουν ὀρνίθια, ἢ λαγῷα. καὶ λουέσθω θερμῷ μὴ πολλῷ. ἢν δὲ μὴ λωφήσῃ ὁ ῥόος ἀλλ' ὑπολείπηται, καὶ ὑγράζωνται αἱ ὑστέραι, θυμιῆσαι τῷ ξὺν τῷ σιδίῳ. καὶ ἔπειτα παρὰ τὸν ἄνδρα ἴτω. κἢν ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται. αἱ δὲ γεραίτεραι, οὐ δύνανται ἀναφορέειν, ἀλλ' ἀπόλλυνται ὑπὸ ἀσθενείης. Ῥοῦς λευκός. Ῥέει ὑπόχλωρον δὴ ὀξὺ ᾠοῦ. καὶ γλίσχρον. καὶ ἡ γαστὴρ ἀνίσταται ἡ νειαίρη. καὶ σκληρὴ γίνεται. καὶ ἢν ψαύσῃς, ἀλγέει. καὶ βρύχει. καὶ πῦρ ἔχει. καὶ ὀδυνήεσσα τὸ ἐπίσιον. καὶ ἐς τὰ αἰδοῖα. καὶ ἐς τὴν νειαίρην γαστέρα. καὶ ἐς τὰς ἰξύας. καὶ λιποθυμίη. ἀλυσμοί τε καὶ περιψύξιες. καὶ ἱδρὼς πουλύς. σφυγμοὶ πρὸς χεῖρα ψαύοντες. βληχροὶ ἐκλείποντες. καὶ αὐτίκα ὄλλυνται. ἢν δὲ περιῇ, καὶ ἡ χροιὴ οἱ τρέπεται καὶ γίνεται δὴ πρὸς κηρίον, καὶ ὁ χρὼς τῷ δακτύλῳ πιεζεύμενος μαλθάσσεται καὶ ἐμπλάσσεται, δὴ πρὸς ἐν σταιτί. καὶ οἰδέουσιν οἱ πόδες καὶ τὰ σκέλεα. ἡ δὲ νοῦσος γίνεται μάλιστα, ἢν ἐν αὐτῇσί τι διακναισθῇ, ἢ ἐνσαπῇ ἐν τῷ τόκῳ. αἱ δὲ ἀφηλικέστεραι μᾶλλον πάσχουσιν. οὐ πάνυ δὲ ἡ τοιαύτη νοῦσος ἐστὶν εὐήθης. Ἄλλος ῥόος. Καθαίρεται δὴ ἀπὸ κρεῶν ὀπτῶν χυμὸς, καὶ ἑλκοῦται τὸ αἰδοῖον, καὶ ὅπη ἂν ἄλλη τοῦ χρωτὸς ἐπιστάξῃ. καὶ ῥῖγος. καὶ πῦρ ὀξὺ πυκνὸν μέγα. καὶ φρίκη ὁμοῦ λάζεται. ὀδύναι δὲ ἐν πᾶσι τοῖσι ῥόοισιν οἷαι. αὕτη πᾶσα ἀνοιδίσκεται καὶ τὸ κάτω τοῦ ὀμφαλοῦ. καὶ τὰ σκέλεα. καὶ ἡ χροιὴ ἰκτεριώδης γίνεται. ὁ δὲ τοιοῦτος ῥόος γίνεται ἀπὸ τοῦδε. ἐπειδὰν τὸ αἷμα διαφθαρὲν ὑπόχολον γένηται, καὶ μὴ καθαρθῇ. ὁκόταν ὧδε ἔχῃ, φάρμακον δεῖ πίνειν. ἢν μὲν ἰσχυρὴ ᾖ, διὰ ἐλλεβόρου. ἢν δὲ ἀσθενὴς, ῥίζαν τε καὶ ἐλατήριον. καὶ ὑστέρῳ χρόνῳ, γάλα αἰγός. ἢ κάτω φαρμακεύειν, ὅ, τι χολὴν καὶ φλέγμα καθαίρει. κλύσαι δὲ τὰς ὑστέρας, τῷ ξὺν τῷ κραμβίῳ. πίνειν δὲ ἐλελίσφακον. ὑπερικόν. λίνου σπέρμα. ἑκάστου ἐν οἴνῳ μέλανι αὐστηρῷ. νῆστει δὲ διδόναι πίνειν. ἢν δὲ ἑλκωμένον ᾖ τὸ αἰδοῖον, μετακλύσαι τῷ πτισάνῃ.

ἔπειτα φάρμακον πίσαι. καὶ ἐπιχρίειν τὰ ἕλκεα πικερίῳ. ῥητίνην. σμύρνην. ἀργύρου ἄνθος. διανιζέσθω δὲ, ὕδατι ἀπὸ μυρσίνης καὶ ἐλελισφάκου χλιερῷ. σιτίοισι δὲ χρήσθω, μήθ' ἁλμυροῖσι, μήτε δριμέσιν, ὡς μὴ δακνῶδες τὸ οὖρον γένηται. καὶ τῶν θαλασσίων εἰργέσθαι. καὶ κρεῶν βοείων. καὶ οἰῶν. καὶ χοιρέων. τοῖς δὲ ἄλλοισι κρέασι χρεέσθω ἑφθοῖσι. καὶ σιτείσθω ἄρτον καὶ οἶνον εὐώδεα παλαιὸν πινέτω μέλανα. ἢν δὲ ταῦτα ποιέῃ, καὶ μὴ ὑγιὴς γένηται, πυριῆσαι ὅλην, καὶ φάρμακον δοῦναι τῇ ὑστέρῃ ἄνω. ἔπειτα διαλιπὼν αὖθις, κάτω. καὶ ἢν μὲν μένῃ ὁ ῥόος, μετὰ τὰ φάρμακα, ἀφεψήσας ὀῤῥὸν, νέμειν ἑκάστης ἡμέρης πίνειν. ἐπὴν δὲ ῥοφήμασιν. οἴνῳ δὲ γλυκεῖ λευκῷ. ἢν δὲ μὴ ᾖ ὀῤῥὸς, γάλα ὄνου ἑφθὸν πινέτω, ἄχρι τέσσαρας ἡμέρας. ἐπὴν δὲ, τοῖσιν αὐτέοισι χρήσθω. μετέπειτα πινέτω ἄχρι τεσσαράκοντα ἡμέρας, γάλα βοὸς θερμόν. καὶ τῆς ἡμέρης μηδὲν ἐσθιέτω, ὡς ἔπος εἰπεῖν. ἄριστον γὰρ τοῦτο. καὶ γὰρ καθαίρεται καὶ φέρεται καὶ ἀμβλώεται, ὑπὸ τοῦ τοιοῦδε γάλακτος. ἐπὴν δὲ δειπνέτω, κρέας ὄρνιθος ὀπτὸν ὀλίγον. καὶ ἄρτον μικρὸν ἐγκρυφίην. ἐπιπίνειν δὲ οἶνον μέλανα παλαιὸν οἰνώδεα. ἐς ἂν τὸ γάλα πίνῃ, ἢν πολλὰ ἴῃ, καὶ ταράσσηται τὸ δριμύ. καὶ ἢν ταῦτα ποιήσασα ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται. ὅσαι δὲ γεραίτεραί εἰσιν ἐνίοτε ὑποστρέφει ἡ νοῦσος, καὶ ἀπόλλυνται. τῇσι δὲ νέῃσιν, οὐ θανατώδης. χρονίη δὲ τοῦ ἰχωροειδέος ῥόου ἡ θεραπείη. τὸ δὲ τοιοῦτον, ῥέει ὕφαιμον, δὴ περ ἀπὸ κρεῶν ὀπτῶν χυμός. καὶ δάκνει ὡς ἅλμη. καὶ ἐσθίει καὶ διελκοῖ τὰ αἰδοῖα. καὶ ἡ ὑστέρη ἀνελκοῦται κατὰ τὰ πρόσω. καὶ τοὺς μηρούς, καὶ τὰ ἄλλα. ἐπειδὰν ἐπιστάξῃ ἄχρι τὰ ἱμάτια βάπτεται. καὶ δυσέκπλυτα ἐμμένει. καὶ ἡ γαστὴρ ἐπαίρεται καὶ σκληρὴ γίνεται. καὶ ἀλγέει ἢν ψαύσῃ. καὶ θέρμην ἔχει ἐς τὰ αἰδοῖα, καὶ ἐς τὴν ἕδρην, καὶ ἐς τὴν νειαίρην γαστέρα, καὶ κενεῶνας, καὶ ἰσχία. καὶ ἰξύας, ἀδυναμίη. καὶ ἡ χροιὴ τρέπεται ὡς ἰκτερώδης. ἢν δὲ ὁ χρόνος μηκύνῃ καὶ ἡ νοῦσος ταῦτα πάντα πολὺ μᾶλλον ἐπιλαμβάνει. καὶ τὰ κοῖλα ἐπανίσταται. καὶ οἱ πόδες οἰδέουσι. καὶ τὰ σκέλεα ἀπὸ τῶν ἰξύων. ἡ δὲ νοῦσος, λάζεται ἐπὴν διακναισθῇ τι τοῦ ἐμβρύου, ἢ ἐκσαπῇ ἐν τόκῳ. χρὴ δὲ πυριῆν, καὶ θυμιῆν καὶ πιπίσκειν. ταῦτα πάντα καὶ ἴσχει τὸν ῥόον. καὶ ὄνειον γάλα καὶ τὰ ἄλλα προσάγειν, καὶ ἐμέειν ἢν δέῃ. ἢν δὲ ἄπυρος ᾖ καὶ βληχρὸς ἔχῃ, ἄμεινον. Ξηρὴ πνιγή. Ὁκόταν ἐς τὴν κεφαλὴν ζαπῶσιν αἱ ὑστέραι, καὶ τῇδε λήγει ὁ πνιγμός. κεφαλὴν βαρύνει. ἄλλῃσι δὲ ἄλλῃ πῃ τεκμαίρεται. σημεῖον δὲ τόδε. τὰς φλέβας τὰς ἐν τῇ ῥινὶ, καὶ τὰ ὑπὸ τοῖσιν ὀφθαλμοῖσιν ἀλγέειν φασί. καὶ κῶμα ἴσχει. καὶ ἀφρίζει ὅταν ῥαΐσῃ. ταύτην χρὴ λούειν πολλῷ καὶ θερμῷ. ἢν δὲ μὴ ἐπακούῃ, ψυχρῷ. καὶ κατὰ κεφαλῆς δάφνην τε καὶ μυρσίνην ἑψῶν ἐν τῷ ὕδατι, καὶ ψύχων. καὶ ῥοδίνῳ μύρῳ τὴν κεφαλὴν χρεέσθω. καὶ ὑποθυμιάσθω τὰ εὐώδεα. τὰ δὲ κακώδεα, ὑπὸ τὰς ῥῖνας. καὶ τὴν κράμβην ἐσθιέτω. καὶ τὸν χυλὸν ῥοφεέτω. ἢν δὲ πρὸς τὴν καρδίην προσιστάμεναι πνίγωσιν αἱ ὑστέραι, καὶ ἀνάσσυτος ἴῃ. ὁ ἀὴρ βιώμενος ἀληθύει καὶ ἐμέει. καὶ ἔστιν ᾗσιν αὐτίκα ἑλκυσθεῖσα κάτω χωρέει, καὶ φῦσα ἔξεισιν. ἡ μὲν ἐμέει, ἀφρώδεα. ἡ δὲ, παῦλα γίνεται. ᾗσι δὲ, οὐκ ἀφίστανται, πράσου τὸν καρπὸν, καὶ μήκωνα ζίφας διὰ ὕδατος κυάθοις τρισὶ δίδου πίνειν. καὶ ὄξους λευκοῦ ἀκρήγει πόσις κύαθος. ἢ ἀρκεύθου καρπὸν καὶ ἐλελίσφακον ὄξος ξὺν τοῖς εἴδεσιν, ἢ οἶνον. ἀλεαίνεσθαι δὲ χρὴ ἢ ἄλειφα χλιαρὸς, κηρωτὴν ῥητινωμένην, καὶ πίσσαν ἐν αὐτέῳ τῆξαι. καὶ προσθετὰ ποιέειν. ὅταν δὲ ὡς πρὸς τὰ ὑποχόνδρια προσπέσωσιν, πνίγουσιν. ἐπὴν ἐνθάδε τὸ στερεὸν ᾖ τοῦ πάθεος καὶ ἐπιλαμβάνει ἔμετος πυρώδης δριμὺς, καὶ ῥᾴων γίνεται ὀλίγον χρόνον. καὶ ἐς τὴν κεφαλὴν καὶ ἐς τὴν τράχηλον ὀδύνη διαμπερὴς, χλιάσματα προστιθέναι ἢν ἄνω πνίγωσιν. ὑπὸ δὲ τὰς ῥῖνας θυμιῆν τὰ κάκοδμα ἐκ προσαπογῆς. ἢν γὰρ ἀθρόως ἱστῶνται αἱ ὑστέραι, ἐς τὰ κάτω, καὶ ὄχλος γίνεται. εὔοδμα δὲ κάτω. καὶ πιεῖν διδόναι τὸ καστόρειον. καὶ τὴν κόνυζαν. ἐπὴν δὲ κάτω ἑλκυσθῶσιν, ὑποθυμιῆν, τὰ εἰδεχθέα. ὑπὸ δὲ τὰς ῥῖνας, τὰ εὐώδεα. ἢν δὲ αἱ ὀδύναι παύσωνται, φάρμακον πίσαι κάτω. καὶ μετὰ πιπίσκειν γάλα ὄνου, ἢ ὀῤῥὸν, ἢν μὴ σπληνώδης ᾖ ἀπὸ γενέσιος, ἢ λίφαιμος, ἢ ἄχροος. ἢ τὰ οὖατα ἠχώδεα ἔχῃ, διὰ συνήθειαν ᾗσιν εἴθαδες ἀπὸ νεότητος αἱ νοῦσοι. τὴν δὲ ἄνω κοιλίην, μὴ κινέειν. ἀμβλυώσσουσι γὰρ ἡ ἀμφὶ τὴν φάρυγγα ὄχλοι, καὶ τἄλλα. διδόναι δὲ πτισάνης χυλόν. ἢν σφόδρα δὲ καὶ εὐεμὴς ᾖ καὶ ἐμέτω. κλυσμὸς δὲ ἄριστος, ὁ διὰ ναρκίσσου. προσθετὸν, τὸ διὰ κανθαρίδων. ἢν προσιῶσιν αἱ ὑστέραι πρὸς τὰ ὑποχόνδρια, πνίγεται ὡς ὑπὸ ἐλλεβόρου. καὶ ὀρθόπνους γίνεται. καὶ καρδιωγμοὶ ἀσθμαροί. αἱ δὲ καὶ ἐμέουσιν ἐνίοτε, σίελον ὀξύ. καὶ τὸ στόμα ὕδατος ἐμπίπλησαι. καὶ τὰ σκέλεα ἀποψύχονται. αἱ τοιαῦται κἢν μὴ ταχὺ ἀφιστῶνται ἀπὸ τῶν ὑποχονδρίων, ἄναυδοι γίνονται. καὶ τὰ ἀμφὶ τὴν κεφαλὴν, καὶ τὴν γλῶσσαν νάρκην ἔχει. πρὸς μὲν τὰς ὑστέρας, προστιθέναι εἴριον πρὸς τὸν αὐλὸν, ὡς ἔνι μάλιστα τοῦ πτεροῦ περιελίξας βάψαι, ἢ λευκῷ ἢ αἰγυπτίῳ, ἢ μυρσίνῳ, ἢ βακχαρίῳ ἢ ἀμαρακίνῳ. ἐς δὲ τὰς ῥῖνας, τοῦ φαρμάκου, τοῦ μέλανος, τοῦ τῆς κεφαλῆς λαβόντα τῇ μήλῃ ἐμπλάσσαι. ἢν δὲ μὴ ᾖ τοῦτο, τῷ ὀπῷ διαλεῖψαι τὰς ῥῖνας. ἢ πτερὸν ἐς ὄξος βάψαι, καὶ καθῆραι. διαλεῖψαι δὲ τὰς ῥῖνας ἢ τοῦ πταρμικοῦ προσθεῖναι. ὅταν δὲ κλυσθῇ τὸ στόμα, καὶ ἡ ἐναυλίη, δοῦναι πιεῖν τοῦ καστορίου ἐν οἴνῳ. τὰς δὲ ῥῖνας διαλεῖψαι ἔλαιον φακῆς. τὸ δὲ εἴριον ἐᾶν προσκεῖσθαι, μέχρι οὗ καταστῶσι. ὅταν δὲ παύσωνται, ἀφελέσθαι χρή. ἢν δὲ ἀφαιρεθέντος αὖθις ἀναχωρήσωσι, τὸ

ἐρεῖν αὖθις προσθεῖναι τὸν αὐτὸν τρόπον. ὑπὸ δὲ τὰς ῥῖνας θυμιῆν, κέρας μέλαν αἰγὸς, ἢ ἐλάφου, κνίσας ἐπὶ πλατέων ἐπὶ πυρίην θερμὴν, ὅκως μάλιστα θυμιήσηται. καὶ εἰρυσάτω τὴν ὀδμὴν ἄνω διὰ τῶν ῥινῶν, ὡς ἂν δύνηται μάλιστα θυμιῆν. φώκης ἔλαιον ἐπ' ὄστρακον ἐπιτιθέντα, ἄνθραξι περικαλύψαι. καὶ τὴν κεφαλὴν ὑπερίσχειν, ὡς μάλιστα ἡ ὀσμὴ ἐστί. καὶ ἐπιστάζειν τοῦ λίπεος. καὶ ἄνω ἑλκέτω τὴν ὀδμήν. τὸ δὲ στόμα ξυμμεμυκέναι. ἢν ἄνω προσπίπτωσι, ταῦτα χρὴ ποιέειν. Ἢν αἱ μῆτραι πρὸς τὸ ἧπαρ ξαπῶσιν, ἄφωνος ἡ γυνὴ ἐξαπίνης γίνεται. καὶ τοὺς ὀδόντας ξυνερήρεισται. καὶ ἡ χροιὴ πελιδνὴ γίνεται. ἐξαπίνης δὲ ταῦτα πάσχει, ὑγιὴς ἐοῦσα. γίνεται δὲ μάλιστα, παρθένοισι παλαιῇσι, καὶ χήρῃσιν ὁκόσαι καὶ τοκήεσσαι χηρεύουσι. γίνεται δὲ μάλιστα τῇσιν ἀφόροισι πάμπαν καὶ στείρῃσιν αἳ ἐκ τῶν τόκων εἰσίν. οὐ γὰρ γίνεται ἡ λοχείη κάθαρσις. καὶ οὐκ ἀνοιδίσκεται ἡ ὑστέρη. οὐδὲ μαλθάσσεται. οὐδὲ ἐμέουσιν. ὅταν ὧδε ἔχῃ, τῇ χειρὶ ἀπώσασθαι ἀπὸ τοῦ ἥπατος παρηγορικῶς τὸ οἶδος ἐς τὸ κάτω, καὶ ἀποδῆσαι ταινίῃ τὰ ὑποχόνδρια, καὶ τὸ στόμα διανοίγειν. οἶνον δὲ ὡς εὐωδέστατον κεκρημένον ἐγχέειν, ὅτε χρὴ καὶ προσέχειν πρὸς τὰς ῥῖνας τὰ κάκοδμα καὶ ὑποθυμιῆν. πρὸς δὲ τὰς ὑστέρας, τὰ εὐώδεα καὶ ὅσα θυμιητά. καὶ ἐπὴν ἰήσῃ, φάρμακον πῖσαι κάτω χρή. ἢν μὲν χολώδης ᾖ, ὅ,τι χολὴν καθαίρει. ἢν δὲ φλεγματώδης, ὅ,τι φλέγμα. κἄπειτα πιπίσκειν γάλα ὄνου ἑφθόν. καὶ τὰς ὑστέρας πυριῆσαι εὐώδεσι. καὶ προστίθεσθαι τῷ ἔξω τῇ βουπρήστει. τῇ δὲ ὑστεραίῃ, νέτωπον. διαλιπὼν δὲ πάλιν ἡμέρας δύο, κλύσαι τὰς ὑστέρας εὐώδεσιν. ἔπειτα διαλιπὼν μίαν ἡμέρην, θυμιῆσαι τοῖσιν ἀρώμασιν. ταῦτα ποιέειν τὴν χήρην. ἄριστον δὲ ἐν γαστρὶ ἔχειν. τὴν δὲ παρθένον, πείθειν ξυνοικέειν ἀνδρί. πρὸς δὲ τὰς ῥῖνας, ἀείρειν, μὴ δὲ τὸ φάρμακον πίνειν νῆστει τὸν κάστορα. καὶ κόνυζαν δὲ ἐν οἴνῳ ὡς εὐωδέστατον πίνειν ἐς εἴκοσιν ἡμέρας. καὶ τὴν κεφαλὴν μὴ ἀλείφεσθαι εὐώδει. μὴ δ' ὀσφραίνεσθαι τινὶ τῶν εὐωδέων. Ἢν δὲ αἱ μῆτραι φλεγμήνωσι παρὰ τὸ πλευρὸν, ἢν ψαύσῃς σκληρὸν φαίνεται. καὶ ὅταν προσπέσωσι τὰ ὑποχόνδρια, πνίγουσι. καὶ ἐμέει φλέγμα ὀξύ. καὶ τοὺς ὀδόντας αἱμωδέειν ποιέει. ἐπειδὰν ἐμέσῃ, ῥᾷον ἔχειν δοκέει. ὅταν δὲ κάτω ὁρμήσωσιν, ἀφίστανται ἀπὸ τῆς γαστρὸς, ἄλλοτε ἄλλη. μάλιστα δὲ ἐς τοὺς κενεῶνας ἐστὶν ὅτε ἐμπίπτουσι, καὶ ἐς τὴν κύστιν, καὶ στραγγουρίη ἐπιλαμβάνει. καὶ ἐς τὴν ἕδρην, καὶ δοκέει ἀποπατέειν. καὶ τὰ ἐπιμήνια πρότερον ἢ ὕστερον τοῦ μεμαθηκότος γίνεται. ἢ οὐκ ἐπιφαίνεται ταύτῃ αὐτίκα. ταύτης τῆς νούσου. ἢν τὰ ἄνω πνίγωσι, χρίσματα προστιθέναι, καὶ ὑποθυμιῆν τὰ κάκοδμα πρὸς τὰς ῥῖνας. πρὸς δὲ τὰς ὑστέρας, τὰ εὐώδεα. καὶ πίνειν κόνυζαν τὴν θήλειαν. καὶ κάστορα ἐν οἴνῳ νῆστιν. ἐπὴν δὲ τῇ φύσει καθιστῶσι θυμιῆσαι ἠρεμέει. πινέτω δὲ διουρητικά. ταῦτα ποιέειν, ἕως ἂν αἱ ὀδύναι ἔχωσιν. ἐπὴν δὲ παύσωνται πυριήσας ὅλην. ἔπειτα πῖσαι φάρμακον κάτω, ἢν μὲν χολώδης ᾖ, ὅ,τι χολὴν καθαίρει. ἢν δὲ φλεγματώδης, ὅ,τι φλέγμα ἄγει. καὶ πιπίσκειν γάλα ὄνειον, ἢ ὀῤῥὸν αἴγειον ἑφθόν. ἢν δὲ σπληνώδης ᾖ, πιπίσκειν τὸ γάλα. μὴ δὲ τὸν ὀῤῥόν. καὶ ἐν τοῖσι καθαρμοῖσι, σιτίοισι χρέεσθαι μαλθακοῖσι καὶ ὑποχωρητικοῖσιν. ἰχθύες δὲ ἀμείνους κρεῶν. καὶ πυριῆν τὰς ὑστέρας, ἢ καθαίρειν προσθετοῖσι. ἢ κλύσαι αὐτάς. ἢ ὑποθυμιησαμένη, παρὰ τὸν ἄνδρα ἴτω. λύσις δὲ τῆς νόσου ἐπὴν λάβῃ ἐν γαστρί. Ἢν αἱ μῆτραι πρὸς τὰς πλευρὰς προσπέσωσιν, βὴξ ἴσχει. καὶ ὀδύνη ἐπὶ τὸ πλευρὸν καὶ προσίσταται σκληρὴ ὡς σφαῖρα. καὶ ἁπτομένη πονέει, ὡς ἀπὸ ἕλκεος. καὶ καταφθίνει. καὶ δοκέει οἱ περιπλευμονίη εἶναι, καὶ εἰρύεται. καὶ κυφὴ γίνεται. καὶ τὰ ἐπιμήνια οὐ φαίνεται. ἐνίῃσι δὲ καὶ ἀπόλλυται προφανέντα. τότε δὲ γινόμενα ἀσθενέα καὶ ὀλίγα καὶ κακίονα. καὶ ἡ γονὴ οὐ γίνεται τουτέου τοῦ χρόνου. ὅταν ὧδε ἔχῃ, φάρμακον χρὴ πῖσαι κάτω ἐλατήριον. καὶ λούειν πολλῷ θερμῷ. καὶ τῶν χλιασμάτων ἃ ἂν προσδέχηται, προσίσχειν καὶ προστιθέναι ὑφ' ὧν καθαίρεται τὸ αἷμα. ἢ λίνου σπέρμα, φῶσαι. κόψαι. ἢ σήσαι, ἢ μήκων ὁ λευκὸς, ὠφελέουσι. ἢ ὁ ἐλελίσφακος ξὺν ἀλφίτοισι λεπτοῖσι. ἢ τυρὸν αἴγειον, ἐπιξύσας τὴν ἅλμην. ταῦτα μίσγε. μίαν μοῖραν τυροῦ, ἢ τῶν ἀνάλτων ἀλφίτων μοῖραν. ἢ νῆστει πίνειν δίδου, ἐν οἴνῳ. ὅταν ᾖ ἑσπέριος ᾖ. κυκεῶνα παχὺν, μέλι ἐπιχέων, δίδου πιεῖν. καὶ τῶν ποτημάτων, ἃ δεῖται πιπίσκειν. καὶ πυριῆν πυκνά. καὶ τῷ θερμῷ καταιονᾶν. καὶ τῇ κυρωτῇ ἡσύχως, καὶ μαλθακῶς, καὶ ὁμαλῶς ἀπωθέειν ἀπὸ τοῦ πλευροῦ τὰς μήτρας. καὶ ἀναλεῖν τῷ πλευρῷ ταινίῃ πλατείῃ. καὶ γαλακτοποτέειν βόειον γάλα ὡς πλεῖστον, ἐπὶ ἡμέρας τεσσαράκοντα. σιτίοισι δὲ χρῆσθαι, ὡς μαλθακωτάτοισιν. ἡ δὲ νοῦσος, περ χρή τε καὶ θανατώδης. καὶ ὀλίγαι φεύγουσιν ὧδε μελεδαινόμεναι. Ἢν δὲ ἐν τῇ ὀσφύϊ αἱ ὑστέραι ἐῶσιν, ἢ ἐν τῷ κενεῶνι, καὶ ἴῃ πνεῦμα μετάρσιον. καὶ πνῖγος ἔχῃ. καὶ ἆσθμά μιν λάζηται, πυκνὸν καὶ οὐκ ἐθέλει κινέεσθαι. ξύσας θεῖον, ἢ ἄσφαλτον, ἢ κώνειον, ἢ σμύρναν, μέλι ἑφθὸν παραχέας, ποιέειν δὲ βάλανον μακρὴν. παχεῖαν. καὶ ἐντιθέναι ἐς τὴν ἕδρην. Ἢν αἱ μῆτραι εἰλέωσι σφέας ἐς τὸ μέσηγυ τῶν ἰξύων ὀδύνην ἔχει, καὶ τὴν νειαίρην γαστέρα, καὶ τὰ σκέλεα εἰρύαται. καὶ τὰς κοχώνας ἀλγέει. καὶ ὁκόταν ἀποπατήσῃ, ὀδύναι ἴσχουσιν ὀξεῖαι. καὶ ὁ ἀπόπατος προσέρχεται ὑπὸ βίης σμικρός. καὶ τὸ οὖρον στάζει τε, καὶ ὀλιγοψυχίη λαμβάνει. ὁκόταν ὧδε ἔχῃ, χρὴ προσδῆσαι τῇ κύστει αὐλίσκον.

καὶ ἐγκλύζειν

καὶ ἐγκλύζειν ἔλαιον θερμὸν ἐς τὰς ὑστέρας. καὶ πυριῆν, ἢ λοῦσαι πολλῷ, καὶ θερμῷ ὕδατι. καὶ ἐς ἔλαιον καὶ ἐς ὕδωρ καθίζειν. ὑποθυμιῆν δὲ ὑπὸ τὰ αἰδοῖα, κάκοδμα. ὑπὸ δὲ τὰς ῥῖνας, εὐώδεα. ἐπὴν δὲ ἡ ὀδύνη παύσηται, φάρμακον διδόναι ἄνω. τὴν δὲ κάτω κοιλίην, οὐ χρὴ ταράσσειν. ἐπὴν δὲ αἱ ὑστέραι καταστέωσι, φάρμακον πῖσαι κάτω, γάλα ὄνου, ἢν μὴ σπληνώδης ᾖ. ἔπειτα πυριῆσαι, καὶ καταιονᾶν τὰς ὑστέρας, τὸ ἔξω τῇ δάφνῃ προστιθεὶς, πρόσθετον καθαρτήριον ὃ μὴ δήξηται. κἄπειτα θυμιωμένη τοῖσιν ἀρώμασι, παρὰ τὸν ἄνδρα ἴτω. καὶ ἢν ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται. ἄτοκοι δὲ πολλαὶ καὶ πηραὶ τὰ σκέλεα πολλάκις γίνονται. Ὁκόσῃσι δὲ τὸ στόμα κλίνεται ἑτέρωσε, καὶ προσπίπτει τῷ ἰσχίῳ, γίνεται γὰρ καὶ τοιαῦτα διακωλύοντα τὴν ὑστέρην καθαίρεσθαι, καὶ τὴν γονὴν δέχεσθαι, καὶ μὴ παιδοποιέειν. ταύτην πυριῆν χρὴ, τοῖσιν εὐώδεσι. καὶ μετὰ τὴν πυριὴν παρασκευασαμένη τῷ δακτύλῳ, ἀποστῆσαι ἀπὸ τοῦ ἰσχίου. κἄπειτα ἰθύνειν τοῖσι δαιδίοισί τε καὶ τῷ μολίβδῳ. οὐ γὰρ βιήσεται θοῶς ὡς εἴρηται. ὅταν δὲ κατὰ φύσιν ᾖ καὶ ἀνεστομωμέναι γίνονται, προσθέτοισι μαλθακοῖσι καθαίρειν, καὶ τ' ἄλλα προσηκόντως ποιέειν. Ὁκόσῃσιν ὑστέραι προσπίπτουσι πρὸς τὸ ἰσχίον, ἢν μὴ ταχέως ἀφιστέωνται, καὶ πάλιν ἐς χώρην καθιστέωνται, προσσυναίνονται πρὸς τῷ ἰσχίῳ. ἀνάγκη δὲ τὸ στόμα ἀπεστράφθαι, καὶ ἄνω τρόπῳ ἴσχεσθαι. ὅταν ᾖ ἀποστροφὴ, ξυμμύσαι. ἐκ δὲ τοῦ ἀπεστράφθαι τε καὶ ξυμμύσαι, σκληρὸν γίνεσθαι. καὶ ξυμμύειν καὶ πεπηρωμένον τὸ στόμα τῶν ὑστερέων εἶναι. ἀποκλεισθέντων δὲ ἐπαναπέμπειν τὰ ἐπιμήνια ἐς τοὺς μαζοὺς, καὶ βεβηκότας τοῦ στήθεος ποιέει. καὶ ἡ γαστὴρ ἡ νειαίρα ἐπαίρεται. καὶ δοκέουσιν αἱ ἄπειροι, ἐν γαστρὶ ἔχειν. πάσχουσι γὰρ τὰ τοιαῦτα, οἷα περ αἱ κύουσαι, μέχρι μηνῶν ἑπτὰ, ἢ ὀκτώ. ἥ τε κοιλίη ἐπιδιδοῖ κατὰ λόγον τοῦ χρόνου. καὶ τὰ στήθεα ἐπαίρεται. καὶ γάλα δοκέει ἐγγίνεσθαι. ὁκόταν δὲ οὗτος ὁ χρόνος ὑπερπέσῃ, οἵ τε τιτθοὶ συνισχναίνονται, καὶ ἐλάσσους γίνονται. καὶ ἡ κοιλίη, τὸ αὐτὸ πάσχει. καὶ τὸ γάλα ἀποδέδρηκεν ἄδηλον. καὶ ἡ κοιλίη ἐπ' ἐκεῖνον τὸν χρόνον ἐν ᾧ ἐδόκεε τίκτειν ἐπειδὰν ἔλθῃ, ἀποδέδρηκέ τε, καὶ ξυμπίπτει. τοιοῦτον δὲ γινόμενον, αἱ ὑστέραι ἰσχυρῶς ἐς ὀλίγον χρόνον συνέρχονται. καὶ τὸ στόμα αὐτέων διευρεῖν οὐχ οἷόν τε. οὕτω πάντα ξυνειρύονταί τε καὶ ξυνισχναίνονται. καὶ ἐν τοῖσι τιτθοῖσι, φυμάτια γίνονται σκληρά. τὰ μὲν μέζω, τὰ δὲ ἐλάσσω. ταῦτα δὲ οὐ γίνονται ἔμπυα, ἀλλ' αἰεὶ σκληρότεραι γίνονται. εἶτα διὰ αὐτέων φύονται, καρκίνοι κρυπτοί. μελλόντων δὲ καρκίνων ἔσεσθαι, πρότερον τὰ στόματα ἐκπικραίνονται. καὶ ὅ,τι ἂν φάγωσι, πάντα δοκέουσι πικρὰ εἶναι. καὶ ἢν τις πλεῖω δῷ, ἀναίνονται λαβεῖν. καὶ σχέτλια δρῶσι. παράφοροι δὲ τῇ γνώμῃ. καὶ ὀφθαλμοὶ σκληροί. καὶ βλέπουσιν οὐκ ὀξέα. καὶ ἐκ τῶν τιτθῶν ἐς τὰς σφαγὰς, ὀδύναι διαΐσσουσι, καὶ ὑπὸ τὰς ὠμοπλάτας. καὶ δίψα ἴσχει. καὶ αἱ θηλαὶ καρφαλέαι. καὶ αὗται πᾶν τὸ σῶμα λελεπτυσμέναι εἰσί. καὶ αἱ ῥῖνες ξηραί τε καὶ ἐμπεπλασμέναι εἰσὶν οὐκ ἀειρόμεναι. πνεῦμα μινυθῶδες. καὶ οὐκ ὀδμῶνται οὐδέν. καὶ ἐν τοῖσιν οὔασι, πόνος μὲν οὐκ ἐγγίνεται. πῶρος δὲ ἐνίοτε. ὁκόταν οὖν ἐς τόσον προΐωσι τοῦ χρόνου, οὐ δύνανται ὑγιέες γίνεσθαι, ἀλλ' ἀπόλλυνται ἐκ τουτέων τῶν νουσημάτων. ἢν δὲ πρότερον ἢ ἐς τόσον ἀφίκεσθαι θεραπευθῇ καὶ λυθῇ τὰ ἐπιμήνια, ὑγιὴς γίνεται. θεραπεύειν δὲ τὰς τοιάσδε ὧδε χρή. πρῶτον μὲν ἁπάντων ἢν ἐπισχυρὴν ἐοῦσαν λαμβάνῃς, ἀποσκεψάμενος ἐς τὸ ἄλλο σῶμα φαρμακεύειν, ὁκοίης ἄν τινος δοκέει δεῖσθαι καθάρσιος. ὁκόταν δὲ καταστήσῃς τὸ σῶμα οὕτως ἰέναι ἐς τὴν τῶν ὑστερέων θεραπείην. ἢν δὲ μηδὲν δοκέῃ τὸ πᾶν σῶμα κινητέον εἶναι, μὴ δὲ αἱ προφάσιες ἐντεῦθεν ὁρμᾶσθαι, ἀλλ' αἱ ὑστέραι ἐφ' ἑωυτῶν τὸ νούσημα ἔχωσι, τῆς θεραπείης ἐνάρχεσθαι ὧδε. πυριῆν πρῶτον τὰς ὑστέρας, ὧδε. χύτρινον ὅσον δύο ἑκταίας χωρέοντα, κανίον ἐπιθεῖναι καὶ ξυναρτῆσαι, ὅκως παραπνεύσηται μηδέν. ἔπειτα δὲ κόψαι τοῦ κανίου τὸν πυθμένα, καὶ ποιῆσαι ὀπήν. ἐς δὲ τὴν ὀπὴν, ἐνθεῖναι κάλαμον, μῆκος ὅσον πηχυαῖον. ἐναρμόσασθαι δὲ χρὴ τὸν κάλαμον τῷ κανίῳ καλῶς, ὅκως μὴ παραπνεύσηται μηδαμῶς. ὁκόταν δὲ ταῦτα σκευάσῃς, ἐπιθεὶς τὸ κανίον, ἐπὶ τὸν χύτρινον περιπλάσας πηλῷ. ὅταν δὲ ταῦτα ποιήσῃς, βόθρον ὄρυξον, ὅσον δύο ποδῶν βάθος. μῆκος, δὲ ὅσον χωρέειν τὸν χύτρινον. ἔπειτα χρὴ ἐγκαίειν ξύλοις, ἕως τὸν βόθρον διάπυρον ποιήσῃς. ὅταν δὲ διάπυρος γένηται, ἐξελεῖν χρὴ τὰ ξύλα. καὶ τῶν ἀνθράκων οἳ δὴ ἀδρότατοι ἔσονται καὶ διάπυροι. τὴν δὲ σποδιὴν καὶ τὴν μαρίλην, ἐν τῷ βόθρῳ καταλιπεῖν. ὁκόταν δὲ ὁ χύτρινος ζέσῃ, καὶ ἡ ἀτμὶς ἐπανίῃ. ἢν μὲν ᾖ λίην θερμὴ ἡ πυριή, ἐπισχεῖν. εἰ δὲ μὴ, καθίζεσθαι ἐπὶ τὸ ἄκρον τοῦ καλάμου, καὶ ἐνθέσθαι ἐς τὸ στόμα χρή. ἔπειτα πυριῆσαι. ἢν δὲ ψύχηται, ἄνθρακας διαπύρους παραβάλλειν, φυλασσόμενος, ἵνα μὴ ὀξεῖαν ποιήσῃς τὴν πυριήν. ἢν δὲ παραβαλλομένων τῶν ἀνθράκων ὀξείη γένηται ἡ πυριὴ μᾶλλον τοῦ δέοντος, ἀφαιρέειν τῶν ἀνθράκων. τὴν δὲ πυριὴν χρὴ κατασκευάζειν ἐν εὐδίῃσιν, ὅκου ἄνεμος μὴ προσπνεύσῃ, μὴ δὲ προσψύξῃ. ἀμφικεκαλύφθαι δὲ χρὴ, ἀμφιέσμασιν. ἐς δὲ τὸν χύτρινον χρὴ, βάλλειν σκόροδα τῶν αὔων. καὶ πλείονα μὲν καταθρύπτειν τῶν κατακεκαυμένων. καὶ ὕδωρ ἐπιχέαι, ὥστε αὐτὰ καταβρέξεται. καὶ ὑπερέχειν τὸ ὕδωρ τουτέων, ὅσον τρεῖς δακτύλους. καὶ ἐπιχεῖν φώκης ἔλαιον. καὶ οὕτως θερμαίνειν. πυριῆν δὲ χρὴ, πουλὺν χρόνον. μετὰ δὲ τὴν πυριὴν, ἢν ᾖ δυνατὴ, λουσάσθω. τὸ μὲν οὖν ὅλον σῶμα πρὸς ἡδονήν. τὴν δὲ ὀσφὺν καὶ τὰ κάτω τοῦ ὀμφαλοῦ, πλέον. δειπνεῖν δὲ δοῦναι μάζαν,

ἄρτον, καὶ σκόροδα ἑφθά. τῇ δὲ ὑστεραίῃ ἢν μὲν διαλελυμένη ᾖ πρὸς τὴν πυρίην, διαλιπεῖν τὴν ἡμέρην ταύτην. ἢν δὲ μὴ, πυριῆν ὀπίσω. πυριωμένη δὲ ἢν δύνηται σκέψασθαι κελεύειν ψαῦσαι τοῦ στόματος, ἢν ἡ πυρίη αὐτέη φύσης ἐμπιπλᾷ τὰς ὑστέρας. ἐμπιπλάμεναι δὲ φύσης τὸ στόμα ἐκ τοῦ λίην ἀπεστράφθαι, καὶ προσπεπτωκέναι πρὸς τῷ ἰσχίῳ, ὡς ὀρθὸν μᾶλλον καθεστᾶσι, καὶ ἀναστομοῦνται. ὡς οὖν τοιαύτης ἐούσης τῆς πυρίης, καὶ ταῦτα ποιέειν δυναμένης, οὕτω πυριῆν δεῖ. ὅταν δὲ πυριήσῃς, ἐμβάλλειν χρὴ τῶν σκορόδων, καὶ τῆς φώκης τοῦ ἐλαίου ἐπιχέειν. ἕως ἂν δὲ ταῦτα ἄχρις ἂν δοκῶσιν αἱ ὑστέραι πεφυσῆσθαι, καὶ τὸ στόμα ἀνωνειλκύσθαι ἰσχυρῶς. πρὸς γὰρ τὴν πυρίην ταύτην, τοιάδε ἔσται. δίαιταν δὲ μετὰ τὰς πυρίας, ὡς ὅτε τὸ πρότερον πυριῆτο. ὁκόταν δὲ ἀνακινηθῶσιν αἱ ὑστέραι, καὶ εὔλυτοι γένωνται, πυριῆν μαράθου ῥίζῃσιν. ἕτερόν τε χύτρινον κατασκευάσαι τὸν αὐτὸν τρόπον. τὰς δὲ ῥίζας τοῦ μαράθου ἀμφιπλήσαντα φλάσαι, καὶ ἐς τὸν χύτρινον ἐμβαλεῖν. καὶ ἐπιχέας ὕδωρ, τὸν αὐτὸν τρόπον πυριῆν. μετὰ δὲ ταῦτα, λούειν. καὶ ἐς ἑσπέρην, δειπνεῖν μάζαν. ἢν δὲ ἄρτον βούληται, καὶ βολβίδια καὶ σηπίδια τῶν σμικρῶν, ἐν οἴνῳ ἑψεῖν καὶ ἐν ἐλαίῳ, καὶ παρέχειν ἐσθίειν. ἐν δὲ τῇ πυρίῃ, πειρῆσθαι τοῦ στόματος ψαύειν, ἢ πυρίη ἄγειν τὰς ὑστέρας ἄγχιστα. ταύτας χρὴ πυριῆν, ἐφ' ἡμέρας πέντε ἢ ἕξ, σκεπτόμενον ἐς τὴν ἄνθρωπον. κἢν μὲν διαλύηται καὶ ἀσθενὴς γίνεται, διαλαμβάνειν ἐς ὅσον δεῖ χρόνον. ἢν δὲ μὴ διαλύηται, πυριῆν ἀνὰ πᾶσαν ἡμέρην. μετὰ δὲ τὰς πυρίας πειρᾶσθαι προστιθέναι τῶν προσθέτων. τῆς πάλου δᾳδὸς πιοτάτης. χρῖσμα δὲ, λίπα ἔσω. ποιέειν δὲ μῆκος μὲν, δακτύλων ἕξ. πλῆθος δὲ, πέντε ἢ ἕξ. εἶδος δὲ, ἕξουρα. εἶναι δὲ θάτερον θατέρου, σμικρῷ βραχύτερον. τὸ δὲ παχύτερον, εἶναι ὁκόσον δάκτυλος ὁ λιχανός. καὶ τὸ εἶδος ὅμοιον τῷ δακτύλῳ, ἐξ ἄκρου λεπτότατον. ἀγόμενον δὲ, παχύτερον. ποιέειν δὲ, ὡς λειότατόν τε καὶ στρογγυλώτατον. φυλασσόμενον δὲ, ὅκως σχινδαλμὸς μηδεὶς ἔσται. προστιθέναι δὲ πρῶτον τὸ λεπτότατον. ὅταν δὲ προστεθῇ, ἀναπαυέσθω, ὅκως μὴ ἐκπέσῃ φυλάσσουσα. προστιθέτω δὲ πρῶτον τὸ ἄκρον. εἶτα καὶ αἰεὶ μᾶλλον ὁμοῦ τε ἐπιστρέφειν καὶ ἀπωθέειν κυκλόσε τὸ δᾳδίον. καὶ ὁκόταν σμικρὸν προσδέξηται, ἐπισχεῖν ἐν τῷ σμικρῷ τουτέῳ, φυλάσσουσα ὡς μὴ ἐκπέσηται. εἶτα αὖθις ἀπωθέειν ἐς τὸν αὐτὸν τρόπον, ἄχρις ἂν τεσσάρων δακτύλων τὸ εἴσω τοῦ στόματος τῶν ὑστερέων γένηται. ὅταν δὲ τοῦτο προσδέξηται, τὸ μετὰ τοῦτο προστιθέναι ὁμοῦ τὸ προκείμενον ἀφαιρέουσα, ὅκως πρὶν ξυμπεσεῖν τὸ στόμα, προκέηται ἐπὶ ὀρθοῦ ἐόντος καὶ ἀνεῳγμένου. οὕτως δὲ τοῦτο ἔσται, ἢν τὸ μὲν ἐξαιρέηται, τὸ δὲ προστίθηται. χρὴ δὲ καὶ μολύβδιον ἴκελον ἐξελάσαντα ποιῆσαι τὸ εἶδος τῷ δᾳδίῳ τῷ παχυτάτῳ, κοῖλον δὲ ὅκως ξυνέξῃ. τοῦ δὲ μολυβδίου εἶναι τὸ εὖρος ἐληλασμένον διὰ ὧδε τὰ ἕλκεα ἐξελαύνεται, ὅκως τὸ στόμα τοῦ μοτοῦ λεῖον ἔσται, καὶ μὴ ζώσῃ. ποιέει δὲ ταῦτα, ὡς καὶ τὰ τῶν δᾳδίων. ὁκόταν δὲ στρινθῇ ὁ μοτὸς ὁ μολύβδινος, σέκτος αὐτὸν ἐμπλῆσαι οἷος τετιμμένου. ὁκόταν δὲ παρεσκευασμένος ᾖ, τὸ μὲν δᾳδίον, ὑφελεῖν. τὸ δὲ μολύβδιον, ἐνθεῖναι. ἢν δὲ τὸ μολύβδιον κλῦσμα περιέχῃ προσεσθὲν, τὸ μὲν μολύβδιον ἀφαιρέειν, τὴν δὲ δᾳδα ὀπίσω προστιθέναι. καὶ τὸ μολύβδιον ἀποβάψαι ἐς ὕδωρ ψυχρόν. ἔπειτα ὀπίσω προστιθέναι. τὴν δὲ δᾳδα ἀφελεῖν. προσκεῖσθαι δὲ χρὴ αἰεί τι. τὴν ἡμέρην ἀμείνω τὴν δᾳδα ἔχειν. νύκτωρ δὲ τὸ μολύβδιον. ἢν δ' ἀναστῆναι θέλῃ, φυλασσομένη τοῦτο δράτω, ὅκως ὁ μοτὸς ἀτρεμέει. ἢν δὲ μὴ, αὐτίκα κατόπιν προστιθέναι. ἢν δὲ τῶν δᾳδίων ὧν πρόσκειται μηδὲν προσδέχηται, λεπτότερον ποιέειν, μέχρις οὗ προσδέχηται, ἐκ τουτέων εἰς ἐκεῖνα καθεστάναι καὶ εὐπιθῆσαι. ἢν δὲ τὸ στόμα μηδὲ δύνηται ἀνοίγεσθαι, μηδὲ ὑστέραι ἀγχοῦ προσίωσιν, αὖθις ἐπαναχωρέειν ἐπὶ τὴν ἀρχαίην ἰητρείην. ἀπὸ δὲ τῆς πρώτης, ἐπὶ τὴν δευτέρην. μέχρις ὅτου μαλθαχθῶσι, καὶ πελασταὶ προσίωσι. κἄπειτα ἢν ἀναστομωθῶσι, προστιθέναι πρόσθετα ποιήσαντα. εἶναι δὲ τὸ μέγεθος, ὅσον ἐλαίη. τούτων δὲ τὸ ἕτερον προσκεῖσθαι, μέχρις ὅτου ἐκτακῇ. κἄπειτα θάτερον προστιθέναι. ὁκόταν δὲ προστίθεσθαι μέλλῃς, ἅψαι τὸ πρόσθετον τὸ ἐκ τῆς ῥητίνης. ἀφίστησι γὰρ ἀπὸ τοῦ στόματος τῶν ὑστερέων. ἐς ἔλαιον ῥόδινον, ἢ ἴρινον πρὶν τὸ μολύβδινον προσκεῖσθαι χρὴ, ὅκως ἐν ὀρθῷ τῷ σώματι ἐνερείσηται εἰς τὸ εἴσω τοῦ σώματος. ἔπειτα μαλθακτήρια προστιθέναι. λούεσθαι δὲ θερμῷ, καὶ πρὸ τῶν προσθετῶν, καὶ ὕστερον. καὶ δεῖπνον διδόναι τῶν θαλασσίων τι τῶν εἰρημένων. διδόναι δὲ ὅταν ἡμέραι γένωνται δύο ἢ τρεῖς ἀπὸ προσθέσιος. σκεψάμενος, ἢν μὲν τὸ στόμα καλῶς ἔχῃ τῶν ὑστερέων καὶ καθαρὸν ᾖ, παύεσθαι τουτέου τοῦ προσθετοῦ. μετὰ δὲ τοῦτο μαλθακτήρια. ὅταν δὲ ἀποφλεγμήνῃ τὸ στόμα τῶν ὑστερέων, αὖθις προστιθέναι τὸν αὐτὸν τρόπον τὰ φάρμακα, καὶ τἄλλα ποιέειν, κατὰ τὸν ὑφηγημένον τρόπον. ὅταν δὲ καλῶς ἔχῃ τὸ σῶμα, ἀναφυσῆν ὡς εἴρηται. καὶ τὸ στόμα ἀναφυσῆν δεῖ καὶ τὰς ὑστέρας, ὧδε. πρόσθετον ποιήσαντα ἔξω τῷ σύκῳ, προσθεῖναι. ποιέειν δὲ δύο καὶ ταῦτα. πρὸ δὲ τοῦ προσθεῖναι πυριῆσαι. καὶ τῇ πυρίῃ τῇ ἐκ τοῦ μαράθου τῇ πρόσθεν εἰρημένῃ. μετὰ δὲ τὴν πυρίην, τῇ ὑστεραίῃ προστιθέναι τὸ φάρμακον. ὅταν δὲ μέλλῃ προστιθέναι πρὸ πάντων τῶν προσθετῶν λούσαντα, οὕτω προστιθέναι. τῇ δ' ὑστεραίῃ ἡμέρῃ, μαλθακτήρια ἀρήγει, ἄχρις ἂν φλεγμήνωσι. μετὰ δὲ τὴν φλεγμασίην, ποιέειν τὰ ἄλλα κατὰ τὸν ἔμπροσθεν λόγον. ποιέειν δὲ καὶ περὶ τοῦ προσθέτου τουτέου τοιαῦτα, οἷα καὶ περὶ τοῦ προτέρου. κἢν μὲν μήνη

ἅπαξ προσεθὲν ἀρκέοντος δοκέῃ εἶναι, φυσῆσαι τὰς ὑστέρας, καὶ πεπαῦσθαι. ἢν δέ τις χρῄζῃ αὖθις προστιθέναι τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ πρότερον. μετὰ δὲ ταῦτα ὅταν καλῶς δοκέωσι, καὶ καιρὸς εἶναι τὴν πυρίην κατασκευάζειν τὴν ἐκ τῶν θυμιαμάτων. σκευάζεται δὲ τόνδε τὸν τρόπον. κύπειρον κόψαντα κατασῆσαι ὅσον σκαφίδα. καὶ κάλαμον μυρεψικὸν, ἕτερον τοσοῦτον. καὶ σχοίνου τῆς μυρεψικῆς, ἴσον. καρδαμώμου τε ἴσον. καὶ κυμίνου αἰθιοπικοῦ. καὶ ἀνήσου. καὶ πηγάνου ξηροῦ. καὶ ὑπερικοῦ. καὶ μαράθου σπέρμα. ὅταν δὲ ταῦτα παρασκευάσῃς, ἐγχέας εἰς τὸν χύτρινον οἴνου αὐστηροῦ κοτύλας ἕξ, ὡς εὐωδεστάτου λευκοῦ, ἐπιπάσαι τῶν κεκομμένων ὅσον τεταρτημόριον, καὶ ἀναταράξαι. εἶτα ἐπιχέαι, ὅσον ἡμιόβολον ὁλκὴν μύρον αἰγύπτιον ὡς βέλτιστον, ἢ ἀμαράκινον. ἢ ἴρινον ἄκρον. ὅταν δὲ ἐπιχέῃς, ἀναταράξαι. πυριῆν μαλθακὴν τῇ πυρίῃ, πλεῖστον χρόνον. λούειν δὲ πρὸ τῆς πυρίης, καὶ πυριῆν ἡμέρας δύο ἢ τρεῖς. ὅταν δὲ παύσηται πυριωμένη, ἐπίθεμά τι χρὴ ἐπικεῖσθαι ὧδε τῇ πυρίῃ, ὅκως μὴ ἀποπνέῃ. μετὰ δὲ τοῖσι δᾳδίοισι καὶ τοῖσι μολυβδίοισι, χρέο. ὅταν δὲ πυριήσῃς ἡμέρας δύο ἢ τρεῖς, ἑτέρας διαλιπεῖν, δύο ἢ τρεῖς. τὰς δὲ μεταξὺ ἡμέρας, λούειν δὶς τῆς ἡμέρης. ἐσθίειν δὲ πράσα ἑφθὰ, καὶ ὠμά. καὶ ῥαφανίδας. καὶ κάρδαμα. καὶ σκόροδα ὀπτὰ καὶ ἑφθά. καὶ τὸ πόμα ἀκρητέστερον. καὶ τοῖσι θαλασσίοισι, τοῖσι προειρημένοισι χρέεσθαι. ὅταν δὲ ἡμέραι διαλιπόμεναι παρέλθωσι, πυριῆν χρὴ ἐπιπάσαντα ἐλάχιστα ἑκάστου τῶν κεκομμένων εἰς τὴν ὑπάρχουσαν πυρίην. καὶ οἶνον ἐπιχέαι. ἢν δοκέῃ δεῖσθαι καὶ ἔλαιον. καὶ τούτῳ πυριῆσθαι. ὁκόταν δέ σοι δοκέῃ καλῶς ἔχειν τῶν πυριῶν, καὶ τὸ στόμα μαλθακὸν εἶναι, καὶ ἀνεστομωμένον ὡς χρή. καὶ αὗται αἱ ὑστέραι ἐσίδῃς, μετὰ τὴν πυρίην τὴν ὑστέρην ἡμέρην, προστιθέναι τὸ φάρμακον τὸ ξὺν τῇ σμύρνῃ. πρόσθετα δὲ εἶναι δύο. μετὰ δὲ τὴν κάθαρσιν τῇ ὑστεραίῃ ἡμέρῃ, τὰ μαλθακτήρια προστιθέναι. καὶ μέχρις ὅτου ἀποφλεγμήνωσιν αἱ ὑστέραι. μετὰ δὲ τοῦτο τοῖσι δᾳδίοισι καὶ μολυβδίοισι χρῆσθαι. μετὰ δὲ ταῦτα διαλιπεῖν ἡμέρας ὡς ἂν δοκέῃς εἶναι τὰς φλεγμασίας ἀποσκεπτόμενον τῶν ὑστερέων. καὶ τὴν δύναμιν τεκμαιρόμενον τοῦ σώματος, αὖθις ἀναπυριῆν ὡς γέγραπται. ἢν μὲν δοκέῃ ἔτι ὑπάρχουσα πυρίη ἱκανὴ εἶναι. ἐς ταύτην ἐμβαλὼν τῶν θυμιαμάτων ὥσπερ τὸ πρότερον. καὶ οἶνον ἐπιχέων καὶ ἔλαιον. ἢν δοκέῃ δὲ αὐτὴ ἄχρηστος εἶναι ἡ πυρίη, ἑτέρην ἐξ ἀρχῆς παρασκευάζειν. δεῖ δὲ νεοχμὸν ποιέειν τὸ φάρμακον ἐφ' ἑκάστῃ προσθέσει μέχρις ὅτου ὕφαιμα καθαίρηται. ἢν δὲ τοιαῦτα καθαρθῇ, πεπαύσθω. δίαιταν δὲ τῷδε τῷ τρόπῳ. ἀνδρωτὰν δὲ ἐν ὁκοίῃσιν ἡμέρῃσιν αὐτῇ ἐγένετο τὰ καταμήνια. ἀπὸ τουτέων ἀρξάμενος διαιτῆν τῇδε τῇ διαίτῃ. πρῶτον μὲν λουέσθω πολλῷ θερμῷ, πλὴν τῆς κεφαλῆς. ὅταν δὲ παύσηται, δοῦναι τυρὸν δριμὺν, καὶ πήγανον οἴνῳ δεύσαντα μέλανι, ἴσον ἴσῳ κεκρημένον. ἔπειτα αὐτὸν, ἄλφιτα ἐπιπάσαντα, δοῦναι πιεῖν ἐκ τοῦ λουτροῦ εὐθέως. εἶτα ἀριστᾶν δοῦναι ἐν καιρῷ. ἐσθίειν δὲ μάζην ἢ ἄρτον. καὶ πράσα ἑφθὰ ἢ ὠμά. καὶ τῶν ὁμοιοτρόπων δριμέων πάντων τῶν προγεγραμμένων. καὶ ἔτνος ἄλλοτε. τὸν δὲ ἀφρὸν μὴ ἀφαιρέειν. καὶ σίλφιον πουλὺ ἐνεόντα. καὶ σκόροδα ἐγκαθεψῶντα πολλά. ὄψοισι δὲ χρῆσθαι τῶν ἰχθύων τοῖσι σελάχεσι πᾶσιν ἑφθοῖσι, ὀξυγλυκέσι, βολβιδίοισι, πολυποδίοισιν ἐν οἴνῳ καὶ ἐλαίῳ, φύλλον ἀποτετριμμένον πίνειν. καὶ ἐσθίειν ὡς πλεῖστα καὶ ἐπ' ἀρίστῳ, καὶ ἐπὶ δείπνῳ. λούεσθαι δὲ μετὰ τὸ δεῖπνον, ὅταν μέλλῃ ἀναπαύεσθαι. ταύτῃ τῇ διαίτῃ μέχρι ἡμερέων πέντε ἢ ἕξ χρεέσθω. μετὰ δὲ ταύτας τὰς ἡμέρας πρωῒ μὲν διδόναι νήστει, ἀκτῆς καρπὸν, ὅσον πυρῆνας ἕξ, ἐν οἴνῳ ἀκρήτῳ. καὶ σηπίης ᾠὰ, ὅσον δέκα, ἢ δυοκαίδεκα. ταῦτα τρίψαντα ὁμοῦ λεῖα, πρωῒ διδόναι νήστει πίνειν. μετὰ δὲ τοῦτο τὸ φάρμακον διδόναι τὴν πόσιν. ἐπισχοῦσαν δὲ λούεσθαι. πιεῖν δὲ τὸ πήγανον. καὶ τὸν τυρὸν οὕτως ἀριστᾶν, τὸν προγεγραμμένον τρόπον. δειπνέειν δὲ ὀψιαίτερον. λούεσθαι δὲ αἰεὶ τῆς ἡμέρης δὶς αὐτήν. ἡ δὲ δίαιτα ἴτω, μέχρις ἡμερέων τρισκαίδεκα, ἢ τεσσαρεσκαίδεκα. ὅταν δὲ αὗται αἱ ἡμέραι παρέλθωσι κατάποτα ποιέειν ἐκ τοῦ ὀποῦ τοῦ σιλφίου, ὅσον κύαμον. καὶ διδόναι τοῦτο πρῶτον. μετὰ δὲ τοῦτο, ἄλλα τὰ προγεγραμμένα ποιέειν. ὅταν δὲ ἡμέραι γένωνται πέντε καὶ εἴκοσιν ἐν ταύτῃ τῇ διαίτῃ, τὰ μὲν ἄλλα ποιέειν κατὰ ταῦτα. πρὸ δὲ τοῦ ἀρίστου, ὅταν μέλλῃ ἀριστᾶν, προτρίψαι σκορόδου ἄγλιθας διὰ τέσσαρας. καὶ τυρὸν δριμὺν, ὅσον ἀστράγαλον. καὶ ἄλφιτα παραμίξαι ὀλίγα, καὶ ποιέειν μαγίδα, καὶ ταύτην πρῶτον καταφαγεῖν. πρὸ δὲ τοῦ δείπνου, ἄκρητον ἐπιρροφέειν. καὶ οὕτω σιτέεσθαι. τὰ δ' ἄλλα τὴν αὐτὴν δίαιταν διαιτῆν. ὅταν δὲ ἐννέα ἡμέραι γένωνται καὶ διαλίπῃ ἐς τὸν χρόνον, διδόναι τοῦτο πρῶτον. καὶ μετὰ τῶν ᾠῶν καὶ τῆς ἀκτῆς, κύμινον αἰθιοπικόν. καὶ τοῦ καστορίου ὅσον ὀβολόν. ὅταν δὲ ἡμέραι λοιπαὶ δύο ἔωσι, τουτέων μετὰ ἀπαλλαγῆναι πάντων τῶν πομάτων καὶ τῶν καταποτίων. τὸ δὲ ξὺν τῷ δᾳδίῳ φάρμακον διδόναι λουσαμένῃ νήστει. μετὰ δὲ τὴν πόσιν τοῦ φαρμάκου, διδόναι λινόζωστιν. καὶ κράμβην ὁμοῦ ἑψῶντα ἐν ὕδατι, ἡδυνάντα ἐν ὀξυγλυκεῖ καὶ ἁλσί. καὶ σιλφίῳ καὶ ἐλαίῳ ἐπὶ τῷ ἀρίστῳ. ταῦτα διὰ τρώγειν. καὶ τῶν χυλῶν ῥοφέειν. καὶ τὸ πόμα ἀκρητέστερον πίνειν. ὄψοισι δὲ χρῆσθαι πολυποδίῳ ἑφθῷ, ἢ σηπιδίοισι. ταῦτα μετ' ἐπὶ τῷ ἀρίστῳ. ἐπὶ δὲ τῷ δείπνῳ, κρέας αἰγὸς, ἢ οἶος, ἢ ἀρνοῦ δίεφθα. καὶ πράσα. καὶ τῶν ἄλλων δριμέων, ὅ, τι ἂν βούληται. λουέσθω δὲ ἀπὸ τοῦ δείπνου. αὕτη ἡ δίαιτα τὰς δύο ἡμέρας, τὰς ὑστέρας. ἢν δὲ πρὸς τὴν δίαιταν ταύτην, μὴ καταστασθῇ τὰ ἐπιμήνια, τὸν ἐπιόντα μῆνα τὴν αὐτὴν δίαιταν ἐξ ἀρχῆς

διαιτῆν, ἄχρι τῶν ὑστάτων δύο ἡμερέων. ταύτας δὲ τὰς δύο τῇ πρότερον ἡμέρῃ τῆς ὑστάτης προθετὰ ποιήσας, προσθεῖναι κατὰ τὸν ἔμπροσθεν λόγον, φαρμάκου τοῦ ἐν τῷ ὕδατι ποιευμένου. προστιθέσθω δὲ προλούσας. σκέψασθαι δὲ χρὴ, καὶ τῶν ὑστερέων ὅκως ἔχουσι. καὶ αἰεὶ τὸν πάντα τὸν χρόνον ὅκως καλῶς ἕξουσι. καὶ τὸ στόμα ὀρθόν τε καὶ ἐστομωμένον εἴη. καὶ ἢν δοκέωσι πρὸ τῆς προσθέσιος, προπυριηθῆναι. ἢν δὲ καὶ καταῤῥαγῇ τὰ ἐπιμήνια, ἢν μὲν συχνὰ, ἐλάττοσι τοῖσι λουτροῖσι κεχρῆσθαι, καὶ τῇ ἄλλῃ διαίτῃ τε καὶ θεραπείῃ. ἢν δὲ ἐλάσσω, πλείοσιν. ἢν δὲ προσημήναντα ἴῃ, αὖθις διαίτῃ τῇ αὐτέῃ χρῆσθαι. καὶ θεραπεύειν, ἄχρις ὅτου ἂν φανῇ τὰ ἐπιμήνια. ὅταν δὲ ἅπαξ ἔλθῃ τῇσι τοιαύτῃσιν, ἄριστον ἐν γαστρὶ λαμβάνειν. αὕτη πασέων τῶν ὁμοιοτρόπων νούσων ἡ θεραπείη. Ἢν αἱ μῆτραι ψαύσωσι τοῦ ἰσχίου καὶ προσκαίωνται, σκληρὸν γίνεται ἐπὶ τὸν κενεῶνα. καὶ ὀδύναι νειαίρης γαστρός. καὶ ἐς αὐτὸν τὸν κενεῶνα, καὶ ἐς τὰς ἰξύας, καὶ ἐς τὰ σκέλεα ἡ ὀδύνη ἐμπίπτει. καὶ πιταίνεται. καὶ ἐκπυΐσκονται, καὶ ἔμμοτοι γίνονται, καὶ ὄλλυνται, ἢν μή τι τάμῃς ἢ καύσῃς. ὅταν οὕτως ἔχῃ, φάρμακον πίσαι κάτω. καὶ λούειν πολλῷ θερμῷ. καὶ πυριῆν τὰς ὑστέρας. ἐγχέαι τε καὶ οὖρον παλαιὸν, καὶ ἀναζέειν. καὶ ἐς τὰ κοῖλα τοῦ πυέλου αὐτίκα θέζεσθαι, περικαλύψας εἵματι τὴν γυναῖκα, ὡς μὴ παραπνέῃ. ἐπειδὰν δὲ ἀποψύχηται τὸ οὖρον, ἐμβάλλειν μυδροὺς διαπύρους ἐς τὸ οὖρον. καὶ πυριῆν μέχρις οὗ φῇ ἀμαυρὰ βλέπειν, καὶ λιποθυμέειν. λοῦσαι δὲ θερμῷ ὕδατι. κἄπειτα ἀφαμένη τῷ δακτύλῳ, ἕλκειν πρὸς τὸ στόμα τῶν ὑστερέων, πρὸς τὸ ὑγιὲς ἰσχίον. καὶ τὰς νύκτας προστίθεσθαι μαλθακτήρια. ἐπὴν δὲ φῇ κατ' ἰθὺ εἶναι, προπυριήσας τοῖσιν εὐώδεσιν, αὖθις προστιθέναι τινὰ μαλθακτήρια. ἀλλὰ καὶ τοὺς μολύβδους ἡμέρας τρεῖς, ἀνὰ καθ' ἑκάστην ἡμέραν. μετὰ δὲ ταύτας, τὴν ἐχέφρασιν, ἢ τὴν σκίλλαν, τρεῖς ἡμέρας. μετὰ δὲ τοῦτο σκεψάμενος ἐν τοῖσιν ἐπιμηνίοισι μάνθανε, ἤν τε χολώδεα, ἤν τε φλεγματώδεα, ἤν τε αἷμα διέφθορος ᾖ. καὶ ἢν δέῃ αὐτὴν αἷμα καθῆραι, προστιθέναι, ὅτου ἄν σοι δοκέῃ μάλιστα δέεσθαι. καὶ μετακλύζειν τοιουτέοισι. προστιθέναι δὲ τὰ πρόσθετα, ἐς ἂν αἷμα καθαρὸν ἀνάγηται. καὶ ταῦτα ἐνεργεῖν τρεῖς ἡμέρας. ἐλάφου δὲ στέαρ προστιθέσθω τήκουσα τὸν ἐμβάπτων μαλθακὸν εἰρίον. ἔπειτα γλήχωνα τὴν ἡμέρην. θυμιωμένη τοῖσιν ἀρώμασι. καὶ οὕτω παρὰ τὸν ἄνδρα ἴτω. Ἢν δὲ ἐκ τόκου ἡ νοῦσος γένηται, κεκαθαρμένης πάντα ἐκ τοῦ πυριῆς τοῦ οὔρου, αὐτίκα ἰέναι ἐς τὰ εὐώδεα. κἄπειτα λουσαμένην, ἄλειφα λευκὸν αἰγύπτιον προστιθέσθω, πρὸς τὸ ὑγιὲς ἰσχίον. καὶ κατακείσθω ἐπὶ τοῦτο. ἢν δὲ μὴ δὲ πρὸς ταῦτα μεταστέωσιν αἱ ὑστέραι, πινέτω νῆστις, τῆς γλυκυσίδης κόκκους τοὺς μέλανας πέντε, ἐν οἴνῳ εὐώδει. καὶ ἐπὶ τῷ σιτίῳ φαγέτω, σκόροδα ὠμὰ καὶ ὀπτὰ καὶ ἑφθά. ὄψοισι δὲ χρήσθω ὡς ἐλαχίστοισιν. ἢν μὴ γένηται ὑγιὴς, ὡσαύτως καθαίρειν αὐτὴν ὡς ἐπὶ τῆς πρόσθεν. ἐπὶ δὲ ταύτης τῆς νούσου ἢν μὴ αὐτίκα σχοῖεν ἐν γαστρὶ, ἄτοκοι γίνονται. ἢν δὲ ὧδε ἔχωσι, τὰ ἐπιμήνια μὴ γίνηται, μὴ δὲ περιπέβαλῃ, φαρμακοῖσι πρῶτον καθαίρειν, ἄνω μάλιστα. ἢν δὲ ἀσθενὴς ᾖ, κάτω. καὶ μετὰ τὴν φαρμακοποσίην, ἤν σοι δοκέῃ φλεγματώδης εἶναι, ἐμεέτω, νῆστις τε καὶ ξὺν τῷ σιτίῳ. καὶ ὡς τὰ πολλὰ ὑγιὴς ἔσται. Ἢν δὲ αἱ μῆτραι πρὸς τὸ ἰσχίον εὐανθῶσι, τὰ ἐπιμήνια παχέα ἐόντα, οὐ γίνεται. ὀδύνη δὲ ἐς τὴν νειαίρην γαστέρα ἀφικνέεται. ἀφικνεῖται δὲ καὶ ἐς τὸν κενεῶνα, καὶ δάκνεται. ὅταν ὧδε ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ. καὶ διδόναι σκόροδα φαγεῖν ὡς πλεῖστα. καὶ γάλα πίνειν ἱκνευμένως. ἔπειτα οἶνον ἄκρητον. καὶ πυριῆσαι ὅλην. καὶ φάρμακον δοῦναι ἄνω. ἢν δὲ ἀσθενεστέρη ᾖ, κάτω. ἢν δὲ ἰθυνθῇ, πυριῆν τὰς ὑστέρας, μαράθῳ. ξυμμίσγεται δὲ καὶ ἀψίνθιον. ἐπὴν δὲ νεοπυρίητος ᾖ, ἀφέλκειν τὸ στόμα τῷ δακτύλῳ ἠρέμα τῶν ὑστερέων, πρὸς τὸ ὑγιὲς ἰσχίον. παρηγορικῶς μαλθάσσοντα τὸ σῶμα τε καὶ τὰ ἀμφιπονεόμενα. καὶ προσθεῖναι τι μαλθακτήριον. μετὰ δὲ, μολύβδους. καὶ αὐτίκα σκίλλαν, εἴτε ναρκίσσινον μίαν ἡμέρην διαλιπών. ἐπὴν δέ σοι δοκέῃ καθαρή τις εἶναι, τὸ νέτωπον προσθέσθω ἐν εἰρίῳ. τῇ δὲ ὑστεραίῃ, ἔλαιον ῥόδινον. τῶν ἐπιμηνίων δὲ ἰόντων, ἄμεινον μὴ προστίθεσθαι. ἢν δὲ μὴ ἴωσι, κανθαρίδας τέσσαρας, ἀπτέρους καὶ ἄποδας, ἄτερ κεφαλῆς, καὶ γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας, καὶ σηπίης ᾠὰ. καὶ σελίνου σπέρμα ὀλίγον ἐν οἴνῳ. καὶ ἢν ὀδύνη ἐνῇ, καὶ σπαδονείη ἔχῃ, ἐν ὕδατι θερμῷ ἐγκαθήσθω. καὶ πινέτω μελίκρητον ὑδαρές. ἢν δὲ μὴ καθαίρηται, αὖθις τὸ φάρμακον πινέτω. ἢν δὲ ᾖ ἀσιτήσασα, πινέτω καὶ ξυνίτω τῷ ἀνδρί. ἢν δὲ μὴ γίνηται, διδόναι ὅτι κατὰ στάσει, ὁρέων πρὸς τὴν δύναμιν τῆς γυναικὸς, καὶ τότε ἀσφαλὲς φοιτᾶν ἐς τὸν ἄνδρα, ἢν γὰρ ἴσχῃ ἐν γαστρὶ, ὑγιὴς γίνεται. ἐν δὲ τῇ καθάρσει ἢν ἴῃ πουλλὴ, λινοζώστιν ἐσθιέτω. καὶ πουλύποδας ἑφθοὺς ἁπαλούς. καὶ σιτίοισι μαλθακοῖσι χρεέσθω. Ἢν ἐς τὸ ἰσχίον αἱ ὑστέραι ἢ ἐς τὸν κενεῶνα κατασκηρίξωσι λέγοι προστιθέναι ἐς θάτερον ἰσχίον, αἰγύπτιον ἔλαιον λευκὸν ἢ ῥόδινον. ἐπὶ δὲ τὸ ὑγιὲς ἰσχίον ἄμεινον κατακεῖσθαι. πίνειν δὲ γλυκυσίδης κόκκους τέσσαρας τοὺς μέλανας, καὶ ἀκτῆς καρπὸν ἐν τοῖσι [illegible] ὅσον χηραμύδα, καὶ κάστορος ὡς κύαμον. καὶ σιτίοισι χράσθω μαλθακοῖσι. λινόζωστις δ' ἂν ἁρμόζοι πρὸ τοῦ σιτίου ἑφθὴ ὡς κράμβη. ῥοφεέτω δὲ καὶ τοῦ ὕδατος. καὶ τὰ δριμέα φαγέτω, πλὴν ῥαφανίδος. καὶ κρομμύου. καὶ καρδάμου. ἄριστον δὲ, θριδακίνη. ὁκόσα δὲ ἀπὸ τῶν ὑστερέων ξυμβαίνει γίνεσθαι νοσήματα, λέγω δὲ ὁκόταν αἱ ὑστέραι ἐκ χώρης κινηθῶσι, προσπίπτουσιν ἄλλοτε ἄλλῃ, ὅκου δ' ἂν προσπέσωσιν, ὀδυνήματα κατασκηρίζουσιν ὀδυνηρά. καὶ

ἢν ἅψηται τῆς κύστιος, ὀδύνην παρέχουσι. καὶ τὸ οὖρον οὐ δέχονται. οὐδὲ τὸν γόνον ἐπὶ σφέας ἕλκουσι. καὶ ἄμφω ἀλγέει. κἢν μὴ ταχεῖαι λύσιες γίνονται, διαπυΐσκονται αἱ ὑστέραι ὕστερον κατὰ τὰ αὐτὰ χωρία, ἢν πρὸς αὐτὰ θέωσι. γίνεται δὲ κατὰ κενεῶνάς τε καὶ βουβῶνας, καὶ ὑπὲρ τοῦ κτενός. χρὴ δὲ ἐν ἀρχῇσιν ὅταν ἡ ὀδύνη ἔχῃ, ὧδε θεραπεύειν. καὶ χλιάσματα προστιθέναι. καὶ ἐν ὕδατι θερμῷ εἶναι. ἀγαθὸν γὰρ καὶ ἐν τούτῳ. ἢ σπόγγοισιν ἐν ὕδατι θερμῷ ἐκπιεζομένοισι πυριῆν. καὶ πίνειν τῶν ὑστερικῶν φαρμάκων. ἢν δὲ μὴ πρὸς ταῦτα λύηται, φαρμακεύειν κάτω, καὶ ἄνω ἢν δέῃ. ὁκοτέρου ἂν γένηται δέεσθαι. τοῦτο δὲ διαγνώσῃ, τῷδε τῷ τρόπῳ. ἢν μὲν ἐς τοὺς βουβῶνας, καὶ κτένα, καὶ κύστιν ἐγχρίμψῃ, αὗται χρήζουσιν ἄνω φαρμακείης. ἢν δὲ ἐς τοὺς κενεῶνάς τε καὶ τὰ ὑποχόνδρια, αὗται δέονται κατωτερικοῦ φαρμάκου. τὰ δὲ νουσήματα πάντα τὰ τοιουτότροπα, γεραιτέρῃσι μάλιστα γίνεται, ἢ νεωτέρῃσι πρὸς τὰς ἀπολείψιας τῶν ἐπιμηνίων. γίνεται δὲ καὶ νέῃσιν ἐούσῃσιν, ὁκόταν χηρεύσωσι πουλὺν χρόνον. ἢν δὲ ἐς τὴν ἕδρην ῥέπωνται, τὰ ὑποχωρήματα κωλύονται. καὶ ὀδύναι ἴσχονται τήν τε ὀσφὺν καὶ τὴν νειαίρην γαστέρα καὶ τὸν ἀρχόν. ὅταν ὧδε ἔχῃ, λούειν χρὴ μὲν τῷ θερμῷ. καὶ πυριῆν τὴν ὀσφύν. καὶ ὑποθυμιῆν τὸ κατόπιν κακώδεσι. καὶ προστιθέναι ἄσσα καθαίρει τε καὶ ἐλαύνει τὰς ὑστέρας. καὶ πιπίσκειν ὅτι ἂν προσδέχηται τῶν ξυμφερόντων μάλιστα. ἢν δὲ καταεγκέωνται ἐς τοὺς βουβῶνάς τε καὶ οὐρητῆρας, ὀδύναι γίνονται ἰσχυραί. καὶ νάρκη ἐν τοῖσι σκέλεσι, καὶ ὁ οὐρητὴρ ἀποφράσσεται. καὶ τὸ οὖρον οὐ μεθίησι. θεραπεύειν δὲ χρὴ ὧδε. πρὸς μὲν τὰς ῥῖνας προστιθέναι, τὰ εὐώδεα καὶ μύρα. πρὸς δὲ τὰς ὑστέρας, τὰ δύσοδμα θυμιᾶν. ἅπασα δὲ πρόφασις ἱκανὴ τὰς ὑστέρας παροξῦναι, ἢν ἔχωσί τι φλαῦρον. καὶ γὰρ ἀπὸ ῥίγεος τῶν ποδῶν καὶ ὀσφύος. καὶ ἀπὸ τοῦ ὀρχεῖσθαι, καὶ πτίσσαι, καὶ κεάσαι, καὶ δραμεῖν πρὸς ἀνάντεις χωρίον, καὶ πρὸς κάταντες. καὶ ἀπ' ἄλλων ἱκανῶν. ταῦτ' οὖν χρὴ σκέπτεσθαι ἐς ὅλον τὸ σῶμα καθαρεύοντα, ὅταν παρεόντα λυθῇ νουσήματα. τὰ γὰρ τοιάδε πάντα, ἀνάγκη ὑπὸ τῷ πλέονι, τῷ ἐλάσσονι νοσεῖν. καὶ ἐπειδὰν ἐκλάμψῃ, μάλιστα ταύτῃ τὰ ἐξαπιναῖα δῆλα τῶν νουσημάτων. ὁκόταν οὕτω ταῦτα λυθῇ, ἀνωτέρω χρὴ λαμβάνεσθαι ἐκ τοῦ παντὸς ἀνθρώπου, ὁκόσαι ἀποψύξιες σκελέων ἢ ναρκώσιες ψύξει γίνονται, καὶ ἐν τοῖσιν ὑστερικοῖσι. ταῦτα πάντα μετάρσιοι τὰς ὑστέρας ἐν τοῖσι τοιουτέοισι καταχεῖν χρή. θερμὸν ὕδωρ, κατὰ τὰς ὑστέρας τῶν πέριξ χωρίων. καὶ ἐκθερμαίνειν αὐτὰς καὶ τὰ σκέλεα, ὅταν προσπεπτωκυῖαι ἔωσιν. Ἢν περιγράφωσιν αἱ μῆτραι ἐκ τόκου κατὰ δεξιὰ, τότε λοχεῖα οὐ γίνονται. καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας. καὶ τὸ δεξιὸν σκέλος βαρύνεται, καὶ νάρκη ἔχει. καὶ οὐ τεθραμμένη, καὶ οὐκ ἂν δύναιτο τοῦ σώματος θίγειν τῶν μηρέων, ἀλλ' ὄψει λείας τε καὶ ὁμαλὰς ἰσχυρῶς. ὅταν ὧδε ἔχῃ, φάρμακον πίσαι ὑφ' οὗ καθαίρεται καὶ ἄνω καὶ κάτω, κάτω δὲ μᾶλλον. καὶ πυριῆν ὅλον τὸ σῶμα, καὶ τὰς ὑστέρας μάλιστα προσηνῶς. καὶ λούειν τῷ θερμῷ, δὶς τῆς ἡμέρης. καὶ τῶν ποτημάτων ὅ, τι μάλιστα ἂν προσδέχηται πειρώμενος. καὶ τῷ ἀνδρὶ ξυνευδέτω θαμινά. καὶ τὴν κράμβην ἐσθιέτω. Ἢν αἱ ὑστέραι κατὰ τὰ ἀριστερὰ κλιθῶσιν, ἢ τὸ ἰσχίον ὀδύνη ἴσχει, ὀξέη τε καὶ σπερχνὴ, τάς τε ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ τὸ σκέλος, καὶ ἐπισκάζει. ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίσαι ἐλατήριον. τῇ δὲ ὑστεραίῃ, ὑποθυμιῆν. τῶν δὲ κριθέων χοίνικας δύο. καὶ ἐλαίης φύλλα κατακνῆσαι σμικρά. καὶ κηκίδα κατακόψαι. καὶ κατασῆσαι. καὶ ὑοσκυάμου τρίτον χοίνικος. ταῦτα μίξας καὶ ἐλαίῳ περιποιήσας ὅσον ἡμικοτύλιον ἐν χύτρῃ καινῇ, ὑποθυμιᾶν τέσσαρας ἡμέρας. τῆς δὲ νυκτὸς γάλα βοὸς, καὶ μέλι, καὶ ὕδωρ πινέτω. καὶ τῷ θερμῷ λουέσθω. Ἢν παραλοξαίνωνται αἱ μῆτραι, καὶ δοχμοὶ ἔωσι, καὶ τὸ στόμα ἐφ' ὧν τὰ ἐπιμήνια αὐτῇ τὰ μὲν κρύπτονται, τὰ δὲ προφανέντα οἴχονται, καὶ οὐχ ὅμοια γίνονται, ἀλλὰ κακήθεα καὶ ἐλάσσονα ἢ πρὸ τοῦ. καὶ ἡ γυνὴ οὐκ ἐπίνεται τουτέου τοῦ χρόνου. καὶ ἡ ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τὸ ἰσχίον καὶ ἐφέλκεται αὐτό. ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίνειν, καὶ λούειν θερμῷ. καὶ πυριῆν. ὁκόταν δὲ νεοπυρίητος ᾖ καὶ νεόλουτος, τὸν δάκτυλον παραφράξασα, ἀπορθούτω. καὶ παρευθυνέτω τὸ στόμα τῶν μητρέων. καὶ ὑποθυμιάσθω τὰ εὐώδεα. καὶ τῶν ποτημάτων δίδου, ὅ, τι ἂν μάλιστα προσδέχηται πειρώμενος. σιτίοισι δὲ χρήσθω μαλθακοῖσι. καὶ σκόροδα ἐσθιέτω, καὶ ὠμὰ, καὶ ἑφθά. καὶ τῷ ἀνδρὶ ξυνευδέτω. καὶ ἐπὶ τὸ ὑγιὲς ἰσχίον κατακείσθω ἐπὶ θάτερον. καὶ πυριήσθω. ἡ δὲ νοῦσος δυσαπάλλακτος. ἢν δὲ ἄγχιστα ἔωσιν, ἐμέειν θαμινά. τὰς δὲ ὑστέρας πυριῆσαι, τοῖσι δυσόδμοισι, μέχρι ἂν ἐς χώρην ἱδρυνθῶσι. διαίτῃσι δὲ χρήσθω μὴ λαπακτικῇσιν. Ἢν αἱ μῆτραι προσίωσιν ἐξωτέρω τῆς φύσιος, πυρετὸς ἔχει τὸ αἰδοῖον, καὶ τὴν νειαίρην γαστέρα. καὶ τὸ οὖρον στάζει θαμινὰ καὶ κατ' ὀλίγον. καὶ δάκνεται σφοδρῶς τὸ αἰδοῖον. πάσχει δὲ, ἢν ἐκ τόκου ἐοῦσα, τῷ ἀνδρὶ συνευνάζηται. ὅταν οὕτω ὧδε ἔχῃ, μύρτα καὶ λωτοῦ ξύσματα ἑψῆσαι ἐν ὕδατι, καὶ θεῖναι τὸ ὕδωρ ἐς τὴν αἰθρίην. προσαιονᾶν δὲ ὧδε, ὡς ψυχρότατον ᾖ τὸ αἰδοῖον. καὶ ζέων λείως πρόσπλασσε. ἔπειτα πινέτω ὕδωρ φακῶν σὺν μέλιτι, καὶ ὄξει, ἐμεέτω, ἐς ἂν αἱ ὑστέραι ἀνελκυσθῶσι. καὶ τὴν κλισίην ἀνάντεα χρὴ ποιέειν τὰ ἀπὸ ποδῶν. καὶ τὸ αἰδοῖον ὑποθυμιῆν τὰ κακώδεα. τὰς δέ γε ῥῖνας, τὰ εὐώδεα. σιτίοισι δὲ χρεέσθω, ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι. καὶ τὸν οἶνον ὑδαρέα

λευκὸν πινέτω. καὶ μὴ λουέσθω. τῷ δὲ ἀνδρὶ ξυνερχέσθω. Ἢν παντάπασιν ἐκ τοῦ αἰδοίου ἐκπέσωσιν αἱ μῆτραι, ἐκκρέμανται οἷον ὄσχη. καὶ ὀδύνη λάζεται ἐς τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς βουβῶνας. καὶ ὁκόταν ἐπιγένηται χρόνος, οὐκ ἐθέλουσιν ἐς τὴν ἑωυτῶν χώρην ἰέναι. ἡ δὲ νοῦσος λαμβάνει, ὁκόταν ἐκ τόκου ἐοῦσα πονήσῃ ἢ ταλαιπωρήσῃ, ὥστε ψαύειν τὰς ὑστέρας. ἢ τῷ ἀνδρὶ συνίῃ ἐν τῇ λοχίῃ καθάρσει. ὅταν ὧδε ἔχῃ, ψύγματα χρὴ προστιθέναι παρηγορικὰ πρὸς τὸ αἰδοῖον. καὶ τὸ ἔξω ἐὸν ἀποκαθάρας, σιδίην ἐν οἴνῳ μέλανι ἑψήσας, τούτῳ περιπλυνέαι. καὶ ἔσω ἀπωθέειν. ἔπειτα καὶ μέλι καὶ ῥητίνην ξυντῆξαι ἴσον ἑκατέρου. καὶ ἐγχέειν ἐς τὸ αἰδοῖον. καὶ κατακείσθω ὑπτίη, ἄνω τοὺς πόδας ἔχουσα ἐκτεταμένη. κἄπειτα σπόγγους προσθεῖσα, ἀναδῆσαι ἐκ τῶν ἰξύων. ἐς ἂν δ' οὕτως ἔχῃ, σιτίων μὲν ἀπεχέσθω. ποτῷ δὲ, ὡς ἐλαχίστῳ χρήσθω, μέχρις ἂν ἑπτὰ ἡμέραι παρέλθωσι. καὶ ἢν μὲν οὕτως ἐθέλωσιν ἐπακούειν καὶ ἀπιέναι, ἄλις ἔστω. ἢν δὲ μὴ, ἄκρα περιξέσας τὰ λάχνα τῆς ὑστέρης, καὶ ἀμφιπεριπλυνέας, χρίσαι τῇ πισσηρῇ. ἔπειτα πρὸς κλίμακα δῆσαι τοὺς πόδας. τὴν δὲ κεφαλὴν κάτω ἔχειν. καὶ τῇ χειρὶ ἔσω ἀπωθέειν. ἔπειτα λούειν. καὶ ξυνδῆσαι αὐτῆς τὰ σκέλεα ἐναλλάξ. καὶ ἐᾶν νύκτα καὶ ἡμέρην οὕτως. καὶ διδόναι ὀλίγον χυλὸν πτισάνης, ψυχρόν. ἄλλο δὲ μηδέν. τῇ δὲ ὑστεραίῃ κατακλίνας ἐπὶ τὸ ἰσχίον, σικύην προσβάλλειν ὡς μεγίστην, καὶ ἐᾶν ἕλκειν πουλὺν χρόνον, καὶ ἐπὴν ἀφέλῃς, μὴ ἀποχάσῃς, ἀλλὰ κατακλίνας, ἔα καὶ μὴ προσφέρε μηδὲν, ἀλλ' ἢ τὸν χυλὸν, ἕως ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν. ἢν δὲ δίψα ἔχῃ, ὕδωρ ἐλάχιστον πινέτω. ἐπὴν δὲ αἱ ἑπτὰ ἡμέραι παρέλθωσι, σιτίοισιν ὡς μαλθακωτάτοισι καὶ ἐλαχίστοισι χρεέσθω. ὁκόταν ἢ ἀποπατῆσαι θέλῃ, ἀνακειμένη ἀποπατείτω, ἕως ἂν τεσσαρεσκαίδεκα ἡμέραι γένωνται. ἔπειτα κλυζέσθω χλιεροῖσι πυριήσιν. ἄμεινον δὲ θερμῷ, ὡς ὑπὸ ἡλίου. καὶ περιπατείτω ὡς ἐλάχιστα. καὶ μὴ λουέσθω. κοιλίην δὲ μὴ λύσῃς. σιτίοισι δὲ, ὀλιγίστοισι χρεέσθω, μήτε δριμέσι, μήτε ἁλμυροῖσι. καὶ θυμιήσθω τὸ αἰδοῖον, τοῖσι κακώδεσι. κἐπειδὰν ἄρξηται περιπατεῖν, τὴν σφενδόνην ἀφαιρείτω. Ἢν δ' ἔξω τοῦ αἰδοίου τὸ στόμα τῶν μητρέων ἐκπέσῃ, διὰ τοῦ αὐχένος τῶν μητρέων πλησίον τοῦ αἰδοίου κειμένου καὶ εὐρέος ἐόντος, γίνεται δὲ τοῦτο μᾶλλον τῇσιν ἀτόκοισι. μάλιστα δὲ γίνεται ἐκ ταλαιπωρίης, ἐπὴν ταλαιπωρήσῃ ἡ γυνή. καὶ αἱ μῆτραι θερμανθῶσι καὶ ἱδρώσωσιν, ἐκτρέπεται τὸ στόμα αὐτέων διὰ τοῦ αὐχένος, ἅτε ἐν τῷ ὑγροτέρῳ, καὶ ὀλισθηροτέρῳ, καὶ θερμοτέρῳ χωρίῳ γινόμενον, ἢ ἐν τῷ πρὶν χρόνῳ. καὶ ἐπὴν τοῦτο γένηται, ἰθύνουσιν ἔξω πρὸς τὸ ψῦχος. καὶ σφέων τὸ στόμα ἔρχεται ἐξάπιν. καὶ ἢν μὲν ἐν τάχει θεραπευθῇ, ὑγιὴς γίνεται. ἄφορος δὲ πάντως καταλιμπάνεται. ἢν δὲ μὴ ἐν τάχει, ἔξω ἀεὶ ἔσται, ἐν σκληρὸν τὸ στόμα. καὶ ῥεύσεται αὐτόθι ἰχὼρ ἄλλοτε καὶ ἄλλοτε γλίσχρος καὶ κάκοδμος. καὶ ἢν τὰ ἐπιμήνια χωρήσῃ, ἢν ἔτι ἐν τῇ ἡλικίῃ ᾖ, ἐν εὐνῇ εἶναι. χρόνου δὲ γινομένου ἡ τοιήδε νοῦσος, ἀνίητος γίνεται. καὶ ξύγματα γηράσκουσιν ἔξω τὰς μήτρας ἔχουσαι. Ἢν δὲ αἱ μῆτραι ἐξίσχωσι, περινίψας αὐτὰς ὕδατι χλιερῷ, καὶ ἀλείψας ἐλαίῳ καὶ οἴνῳ, πάλιν ἐνθεῖναι, καὶ ἀναδῆσαι. καὶ ὑποθυμιῆν τὰ κακώδεα. ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα. ἢν δὲ πλείονα χρόνον αἱ ὑστέραι ἐξίσχωσι, καὶ περιψύχωνται ναρκωδέως, καταχέειν ὕδωρ θερμὸν πουλὺ, ὅκως διαπυριηθῶσιν. ἢν δὲ ἤδη φυσέωνται καὶ ὄξους μίσγοντες ξὺν ὕδατι, πυριῆν, ἢ δάφνης, ἢ μυρσίνης, καὶ ἠρέμα προσωθεῖν. καὶ κηρωτῇ μύρῳ χρίειν ἢν ἐσακούῃ. ἢν δὲ μὴ, περικλύσαι τῷ ὕδατι καὶ ὄξεος ὀλίγον χλιήνας καταχέαι. εἶτα ἀλειψαίειν. ὁκόταν δὲ ξυντακέωσι, περινίψας ὡς λέλεκται ἐνθεῖναι. καὶ τ' ἄλλα ποιέειν τὰ προειρημένα. ἔλαιον δὲ μὴ προσφέρειν μηδ' ἄλλο τι πῖον, μηδὲ λίπα ἔχον. Ἢν ὑποπτυχθῇ τι τῶν στομάτων τῆς ὑστέρης, τὰ ἐπιμήνια οὐ γίνεται. ἢ ὀλίγα καὶ συνεχῆ, καὶ ἀλγεινά. καὶ ὁκόταν τῷ ἀνδρὶ ξυνεύδῃ, ἀλγέει. καὶ ὅ, τι ἂν ὁ ἀνὴρ μεθίῃ, ἐκ συνδυασμοῦ ἔξεισι, καὶ οὐ θέλει ψαύεσθαι, οὐδ' ἕλκουσι τὴν γονήν. καὶ ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας. καὶ τὸ στόμα τῶν ὑστερέων, δῆλον ψηλαφήσει. ὅταν τοίνυν ὧδε ἔχῃ, πυριῆσαι οὔρῳ παλαιῷ. ἔπειτα ἐμεσάτω τῷ φακίῳ συμμίξασα μέλι καὶ ὄξος. ἔπειτα λουέσθω, ὕδατι θερμῷ. ἔπειτα ἐγχέασα ἐς φιάλην ἀργυρέην ἢ χαλκέην, ἔλαιον λευκὸν αἰγύπτιον, καὶ ἄλας, καλυψαμένη δὲ καθέζεσθαι ἀμφὶ τὴν φιάλην. κἢν μὲν ἡ ὀδμὴ αὐτῇ διὰ τοῦ στόματος ἐλαίου, φαίνει αὐτὴν τέξεσθαι, καὶ τῇ ὑστεραίῃ ὑγιὴ γενέσθαι. ἢν δὲ ἡ ὀδμὴ, θαρσύνειν. κἐπειδὰν μέλλῃ εὕδειν, προστιθέσθω τὸ αἰγύπτιον ἔλαιον ἐν εἰρίῳ. τῇ δὲ ὑστεραίῃ, σκεψάσθω ἢν τι μᾶλλον κατ' ἰθὺ ᾖ τὸ στόμα τῶν ὑστερέων. καὶ ἢν φῇ εἶναι, πυριῆσαι εὐώδεσιν ἡμέρας τρεῖς. καὶ προστιθέναι προσθετὰ ὁποῖα μὴ ἀνδήξηται. καθαίρειν δὲ καὶ μετακλύζειν εὐώδεσι καὶ μαλθακοῖσιν, ἴσας ἡμέρας, τοῖσι πρόσθεν. ὁκόταν δὲ τὰ ἐπιμήνια γένηται, νηστεύσασα. καὶ ἀλουτήσασα, παρὰ τὸν ἄνδρα ἴτω. θυμιησαμένη τοῖσιν ἀρώμασιν. ἄτοκοι δὲ πολλαὶ καὶ ἐκ ταύτης τῆς νούσου γίνονται, ἢν μὴ μελανθῇ. Ἢν ἑλκωθῶσιν αἱ μῆτραι, καὶ πρόσω χωρήσωσιν, ὑδατώδει ἐλαίῳ χρίων λίπα τὰς χεῖρας ἐντιθέναι. καὶ δίδου καταπότιον σμύρνης ἀκρήτου, τρεῖς καταπιεῖν πυράδας. καὶ πινέτω δάφνην χλωρὴν τετριμμένην, οἴνῳ διείς. καὶ ὑγιὴς οὕτω γίνεται. Ἢν ἐξόρου ᾖ τὰ αἰδοῖα, προσθετὸν τίθει. ἀννήσου καρπὸν καὶ σελίνου τρίψας λεῖα, πρόσθες πρὸς τὰ αἰδοῖα, ἢν μὴ κατὰ χώρην μένωσιν. ἀλλ' ὁτὲ μὲν ἔνθα, ὁτὲ δὲ ἔνθα ἴωσιν, ὡς

ὀδύνας παρέχωσιν. αἱ δὲ ἀφανεῖς γίνονται. τοτὲ δὲ ἐξίσχουσιν ὡς ἔσω. καὶ ὁκόταν μὲν ὑπτίη ᾖ, κατὰ χώρην μένωσιν. ὁκόταν δὲ ἀναστῇ, ἢ ἐξ ὕπνου ἐγρήγορται, ἢ ἐπικύψῃ, ἢ ἄλλο τι ποιήσῃ κίνημα, ἐξέρχονται. πολλάκις δὲ καὶ ἡσυχίαν ἐχούσῃ. ταύτην χρὴ ὡς μάλιστα, ἠρεμέειν τε καὶ ἀτρεμέειν, καὶ μὴ κινέεσθαι. καὶ τὸν κλισμὸν κεῖσθαι πρὸς ποδῶν ὑψηλότερον. καὶ τοῖσιν ἐμέτοισι χρέεσθαι. χρὴ γὰρ ἀντισπᾶσαι ἀνεκάς. καὶ τοῖσι δὲ στρεφνοῖσιν ἀπαιονᾶν, καὶ ὑποθυμιῆν τὰ κακώδεα. ὑπὸ δὲ τὰς ῥῖνας, τὰ εὐώδεα. καὶ τῶν ῥοιῶν διὰ τοῦ ὀμφαλοῦ, σχίσαντα μέσην, ἐν οἴνῳ χλιήναντα, ἥ τις ἂν ἁρμόζῃ μάλιστα. καὶ μή τι κωλύει, προστίθει ὡς ἐσωτάτω. εἶτ' ἀναδῆσαι ταινίῃ πλατείῃ καὶ ἀνακλαβεῖν ὡς μὴ ὀλισθαίνοι, ἀλλὰ μένοι, καὶ ποιέει τὸ δέον. καὶ τῶν μηκώνων ξὺν τῷ πυρῷ, καὶ τοῖσιν ἀλφίτοισι πιπίσκειν καθάπερ ἐν τῇ προσπτώσει γέγραπται. καὶ τῶν ποτημάτων πειρώμενος ὅ, τι ἂν μάλιστα προσδέχηται πιπίσκειν. σιτίοισι δὲ, ὡς μαλθακωτάτοισι χρήσθω. καὶ μετὰ ἀνδρὸς μὴ συνευδέτω, ἄχρις τοῦ κατὰ χώρην οἷόν τε ᾖ. Ἢν αἱ μῆτραι ἐκπέσωσι, κισσὸν ὡς ξηρότατον τρίψας λεῖον, ἐνδήσας τε εἰς ὀθόνιον, προσίσχειν. καὶ λιπαρὸν προσφέρειν μηδέν. πιεῖν δὲ διδόναι πυροὺς προκόψας. καὶ μήκωνα λεπτήν. καὶ ἐλελίσφακον. καὶ κύπειρον. καὶ ἄννησον. ταῦτα τρίψας λεῖα, διεὶς οἴνῳ, καὶ τῶν κυρηβίων τῶν ἀπὸ τῶν κριθέων, διδόναι δὶς τῆς ἡμέρης ἐφ' ἑκατέρου ἡμικοτύλιον. ἢν ἐς τὰ σκέλεα τῷ ποδὶ ῥάπτωνται γνώσεις ὧδε. οἱ μεγάλοι δάκτυλοι τοῖν ποδοῖν σπῶνται ὑπὸ τοὺς ὄνυχας. καὶ ὀδύνη ἔχει τὰ σκέλεα, καὶ τὼ μηρώ. καὶ ἔγκειται καὶ θλίβει τὰ ἀμφὶ τὸν μηρὸν νεῦρα. ὅταν οὕτως ἔχῃ, λούειν χρὴ πολλῷ καὶ θερμῷ, θαμινὰ, καὶ πυριῆν ἢν δέηται. καὶ ὑποθυμιῆν τὰ κακώδεα. καὶ τὼ μηρὼ τῷ ῥοδίνῳ ἀλειφέσθω λίπα. ἢν δὲ ἄναυδος γένηται, ἐξαπίνης τὰ σκέλεα ψυχρὰ εὕροις ἂν καὶ τὰ γούνατα καὶ τὰς χεῖρας. καὶ ἢν ψαύσῃς τῆς ὑστέρης, οὐκ ἐν κόσμῳ ἐστί. καὶ ἡ καρδίη πάλλεται, καὶ βρύχει. καὶ ἱδρὼς πουλύς. καὶ τ' ἄλλα ὅσα ὑπὸ ἱερῆς νόσου ἐπίληπτοι πάσχουσι. καὶ ἄσσα ἀπ' οὔατος δρῶσι. ταύτῃσι καταχεῖν ὕδωρ ψυχρὸν χρὴ πουλὺ κατὰ τοῖν σκελοῖν τε. καὶ ὡς τ' ἄλλα ποιέειν, καθὰ πρόσθεν εἴρηται. ἢν κινηθεῖσαι που προσπέσωσι καὶ ὀδύνην παρέχωσιν, ἐλαίης ψώραν καὶ δάφνης, καὶ κυπαρίσσου πρίσμα ἑψήσας ἐν ὕδατι, ἐς εἴριον ἐμβαλὼν προστίθει. Ὁκόταν δὲ γυνὴ ἐκ τόκου ἐοῦσα φορτίον αἴρηται, μεῖζόν τι τῆς φύσιος. ἢ πτίσσῃ, ἢ κεάσῃ ξύλα. ἢ δράμῃ. ἢ ἄλλα τινὰ τοιάδε δράσῃ, αἱ ὑστέραι ἐκπίπτουσιν πρὸς ταῦτα μάλιστα. ἐνίοτε δὲ πρὸς πταρμόν. οὐ γὰρ βιᾶται ἢν εἴη πταρνυμένη, μὴ ἐπιλάβηται τῆς ῥινός. περιπλυνέειν χρὴ τὰς ὑστέρας ὕδατι χλιαρῷ. ἔπειτα τεύτλου χυλῷ ἀποζέσαντα ὁμοίως. εἶτα ἀκρήτῳ οἴνῳ μέλανι. ἢν δὲ μὴ ἐσακούῃ, μαλθακτήρια ποιέειν χρή. ταῦτα δὲ ποιέειν χρὴ πρότερον, ἢ ψυχθῆναι καὶ ἐνθεῖναι εἴσω παρηγορικῶς. εἶτα ἐκτείνειν τὰ σκέλεα, καὶ ὑπαλλάξαι. καὶ ὑπὸ τὰ αὐτὰ ὑποτιθέναι τι μαλθακὸν, ὑπὸ τοῦδε εἴργεσθαι χρή. τὰς τοιαύτας ὡς μάλιστα καὶ τὴν κοιλίην χρὴ φυλάσσειν, ὅκως μὴ ἐκταραχθῇ. πρὸς δὲ τὴν ῥῖνα τῶν εὐωδέων διδόναι. τὰς τοιαύτας χρὴ ἐξ ὑστέρου ἢν μὴ ἀφεμέξωσιν, ἀλλὰ κινέωνται, ἐλλεβορίζειν. ἢν δὲ μὴ ἐξαρκέωσι, καὶ ἐμέτους ποιέειν. καὶ ἀλουτεῖν. σιγῶν τε, καὶ ἠρεμέειν. Ἢν ἀγριωθῶσιν αἱ μῆτραι, ἡ γαστὴρ αἴρεται, καὶ φυσᾷ καὶ σμαραγεῖ. καὶ οἱ πόδες οἰδέουσι. καὶ τὰ κοῖλα τοῦ προσώπου. καὶ ἡ χροιὴ ἀηδὴς γίνεται. καὶ τὰ ἐπιμήνια κρύπτεται. καὶ ἡ γονὴ οὐκ ἐπιγίνεται ἐν τουτέῳ τῷ χρόνῳ. καὶ ἀσθμαίνει, ἀφρίζει τε καὶ ἀλύει. καὶ ὅταν ἐγρήγορται ἐξ ὕπνου, ὀρθοπνοίην ἔχει. καὶ ὅ, τι ἂν φάγῃ ἢ πίῃ, λυπέει αὐτέην. καὶ στένει. καὶ ἀθυμέει μᾶλλον ἢ πρὶν φαγεῖν. καὶ πνίγεται. καὶ τὰ νεῦρα ἕλκεται. καὶ αἱ μῆτραι, καὶ αἱ κύστιες ἀλγέουσι. καὶ οὐκ ἔστι ψαῦσαι τῇ χειρί. οὐδὲ τὸ οὖρον προΐενται. οὐδὲ τὴν γονὴν δέχονται. ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πῖσαι κάτω. θερμῷ λούειν καὶ καθίννυσθαι ἐξ θαμινὰ ὅλον τὸ σῶμα. ἔστι δ' ὅτε καὶ ἄχρις ὀμφαλοῦ πυριῆν. διαλιπὼν δὲ προστιθέναι τὰ ὑφ' ὧν καθαρθήσεται. καὶ μὴ ὀδαξήσεται. ὑποθυμιήσθω δὲ τὰ εὐώδεα ὑπὸ τὰ αἰδοῖα. ὑπὸ δὲ τὰς ῥῖνας, τὰ κάκοδμα. καὶ ποτήματα δίδου, ἃ καθαίρουσιν ὑστέρας, καὶ ἐλαύνουσιν ἐς χώρην. καὶ τὴν λινόζωστιν ἐσθιέτω. καὶ τὸ γάλα μεταπινέτω, ὡς ἐπὶ τοῦ πλευροῦ γέγραπται. ἡ δὲ νοῦσος οὐ χρονίη. Ἢν σκιρρωθῶσιν αἱ μῆτραι, τοτὲ, στόμα τρηχύνεται, καὶ τὰ ἐπιμήνια κρύπτεται. ὁκόταν δὲ ἴῃ, ὡς ψάμμος φαίνεται τρηχεῖα. ἢν δὲ καὶ καθάψηται τῷ δακτύλῳ, τρηχὺ τὸ στόμα εὕροις τῆς μήτρης, ὡς πῶρος προσφύεται αἰεί. ὅταν ὧδε ἔχῃ, τῆς κυκλαμίνου χρὴ τρίψαντα. καὶ ἄλας. καὶ σῦκον ὁμοῦ μίσγειν. καὶ ἀναποιέειν μέλιτι βαλανίδας. καὶ πυριήσαντα, κλύσαι, τοῖσι καθαίρουσιν. ἐσθιέτω δὲ τὴν λινόζωστιν, καὶ κράμβην ἑφθήν. καὶ τὸν χυλὸν ῥοφεέτω. καὶ πράσον. καὶ θερμῷ λουέσθω. Ἢν αἱ μῆτραι σκιρρωθῶσι, τά τε ἐπιμήνια ἐπιλυγίζονται. καὶ τὸ στόμα αὐτῶν ξυμμύει. καὶ οὐ κυΐσκεται. καὶ ὡς ἕτερον ἐστί. καὶ ἢν ψαύσῃς, ὡς λίθος δοκέει κεῖθι εἶναι. καὶ τὸ στόμα τρηχὺ, καὶ πολύρριζον, καὶ οὐ λεῖον εἰδέειν. καὶ τὸν δάκτυλον οὐκ ἐσίη. ὅς μιν καθεζῇ. καὶ πῦρ λαμβάνει περίψυχον. καὶ βρυγμός. καὶ τὰς μήτρας ὀδύνη ἔχει, καὶ τὴν νειαίρην γαστέρα, καὶ τοὺς κενεῶνας, καὶ τὰς ἰξύας. πάσχει δὲ ταῦτα, ἢν οἱ διαφθαρέντα τὰ ἐπιμήνια σαπῇ. ἔστι δ' ὅτε καὶ ἐκ τόκου, καὶ ψύχεος, ἢ πονηρῆς διαίτης, καὶ ἄλλως. φάρμακον οἷον χρὴ πιπίσκειν. καὶ λούειν θερμῷ πολλῷ τε ὕδατι καὶ ἐλαίῳ χρίω. καὶ πυριῆν. ὁκόταν δὲ νεόλουτος ἢ νεοπυρίητος ᾖ, τὴν

μήλῳ καθεὶς, ἅμα τῷ μύρῳ. καὶ ἀναχριέσθαι τὸ στόμα αὐτέων, καὶ τῷ δακτύλῳ ὁμοίως. καὶ προστιθέναι μαλθακτήρια ὡς εἴρηται. καὶ τῶν ποτημάτων ὡσαύτως, πιπίσκειν καὶ θεραπεύειν. Ἢν δὲ σκληρυνθῶσιν αἱ μῆτραι, τὸ στόμα σκληρὸν γίνεται τῶν ὑστερέων, καὶ ξυμμέμυκε. καὶ τὰ ἐπιμήνια οὐ γίνεται, ἀλλ' ἐλάσσω καὶ κακίω. καὶ ὀδύνη ἐμπίπτει. καὶ πῦρ, καὶ ῥῖγος λαμβάνει, ἀμφὶ τὴν νειαίρην γαστέρα, καὶ τὴν ὀσφὺν, καὶ τοὺς κενεῶνας. ὅταν ὧδε ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ. καὶ χλιάσματα προστιθέναι, ἣν ὀδύνη ἔχῃ. καὶ πυριῆν τὰς ὑστέρας, βληχρῶς πουλὺν χρόνον, τῷ ἀπὸ τοῦ σικύου τοῦ ἀγρίου ὕδατι. ἔπειτα προστιθέσθω μαλθακτήρια τρεῖς ἡμέρας ταῦτα ποιέειν. καὶ ἢν ψαύσῃ αὐτῆς, μαλθακὸν τὸ στόμα τῶν ὑστερέων φαίνεται, μοτοῦν μολιβδίνῳ καθετηρίῳ, τοὺς ἐμπύους μοτοὺς τρεῖς. τὸν μὲν πρῶτον, λεπτόν. τὸν δὲ δεύτερον, ὀλίγον παχύτερον. ὁ δὲ παχύτατος ἔστω τὸ μέγεθος, ὅσον ὁ σμικρὸς δάκτυλος. μῆκος δὲ πέντε δακτύλων. χρίων χηνείῳ ἀλείφατι. προστιθέναι δὲ, προπυριήσας τοῖσιν εὐώδεσι καὶ βάλανον μαλθακτικήν. ἢν ἰσχνὸν ὅσον ἐπαλείφονται, ὡς μὴ ζώσῃ. ὅτε καταπίνειν δεῖ, καὶ προκείσθω δύο ἡμέρας. ἀφίσταται δὲ οἷ λοπὸς καὶ δέρμα παχύ. διαλιποῦσα δὲ τρεῖς ἡμέρας, τὴν κυκλάμινον τὸ ξὺν τῷ ναρκισσίνῳ. ἢν δὲ ταῦτα μὴ καθαίρῃ, κατὰ νόον πουλὺν προστιθέναι τέως τὸ ξὺν τῷ βουπρήστει. προσκείσθω δὲ τὴν ἡμέρην. καὶ ἐπὴν δάκνῃ ἰσχυρῶς, ἑλκεῖν τὴν βάλανον. καὶ διανίζεσθαι τὸ αἰδοῖον, ὕδατι θερμῷ, καὶ ἐν ἐλαίῳ δίζεσθαι. τῇ δὲ ὑστεραίῃ λουσαμένη, ἐλάφου στέαρ τήξασα, καὶ εἰς εἴριον μαλθακὸν ἀναφυρήσασα, προστιθέσθω. καὶ ἢν σοι δοκέῃ ἔτι καθάρσιος δέεσθαι, διαλιποῦσα τρεῖς ἡμέρας, προστιθέναι τὸ ξὺν τῷ ναρκισσίνῳ. τῇ δὲ ὑστεραίῃ τὸ νέτωπον. ἔπειτα πάλιν διαλιποῦσα τρεῖς ἡμέρας, κλύζειν τὰς ὑστέρας, εὐώδεσι καὶ λιπαροῖσι. τῇ δὲ ὑστεραίῃ, τὴν γλήχωνα προστιθέναι μίην ἡμέρην. τῇ δὲ ἐπιούσῃ, πυριῆν τοῖσιν ἀρώμασι. σιτίοισι δὲ δριμέσι χρήσθω, καὶ τοῖσι θαλασσίοισιν ἢ κρέασιν. ἐν δὲ τοῖσιν ἐπιμηνίοισι, πινέτω τὴν κάστορα. καὶ ἀσιτεύουσα ἀλειπτείτω θυμιωμένη. καὶ τὸν κυκεῶνα πίνουσα, παρὰ τὸν ἄνδρα ἰκέτω. Ἢν δὲ μὴ ἐνδέχηται τὸ στόμα τῶν ὑστερέων τὴν γονὴν, ἀλλὰ στεατῶδες ᾖ καὶ συμμεμυκὸς, προστιθέσθω μολύβδιον ὡς εἴρηται τρεῖς ἡμέρας λουσαμένη θερμῷ. καὶ μαλθακτηρίοισι χρεέσθω. καὶ ἀνακεέσθω ὑπτίη. καὶ ἐφ' ὕδωρ θερμὸν ἱζέσθω. καὶ εἴριον ἐς μύρον ἀποβάπτουσα, προστιθέσθω. καὶ τὴν νύκτα προστιθέναι δεῖ μᾶλλον. παρατιθέναι δὲ παρὰ τὰ ἰσχία εἵματα ἐρίνεα, ἢ μαλθακὰ λινέα, ὡς μὴ περιερείδηται τὸ σῶμα. προσθετοῖσι μαλθακοῖσι. σμύρναν πιοτάτην, καὶ πίσσαν, καὶ κηρὸν, καὶ στέαρ χήνειον. ἔστω δὲ τῆς σμύρνης μὲν τὸ ἥμισυ. τῶν δ' ἄλλων διπλάσιον. ἐν εἰρίῳ δὲ προστίθεσθαι. ἔστω δὲ δύο. προσκείσθω δὲ λουσαμένη, τὴν ἡμέρην τὸ ἕν. τὸ δὲ ἕτερον, ἐς τὴν νύκτα. ἐνεῖναι μαλθακόν. καὶ ἐπειδὰν τοῦτο ὑφέληται, τῷ εὐώδει ὕδατι περινιζέσθω. ἢ ἐλέφαντος κνήκους πεντεκαίδεκα ἔστω καὶ ἣν δοκέῃ ποσὸν, ἣν δοκέῃ, ἐν γάλακτι γυναικὸς κουροτρόφου, καὶ ζίβεν. παραμίσγειν δὲ καὶ ἐλάφου μυελὸν, καὶ τ' ἄλλα ὁκόσα εἴρηται. καὶ μέλιτι ὀλίγῳ μίσγειν. τὸ δὲ εἴριον μαλθακὸν καθαρὸν ἔστω, καὶ πρὸς τὴν ἡμέρην προστιθέσθω. ἢν δὲ βούλῃ ἰσχυρότερον ποιέειν, σμύρνης σμικρόν τι παραμίσγειν. ἄριστον δὲ ᾠοῦ τὸ λευκὸν, καὶ αἰγὸς στέαρ, καὶ μέλι, καὶ ἔλαιον ῥόδινον τουτέοισιν ἀναφυρῆν. ἔλαιον δὲ παραχλιαίνειν παρὰ τὸ πῦρ, καὶ τὸ ἀποστάζον εἰρίῳ ξυλλέγειν καὶ προστιθέναι. ἢ στέαρ ἐρυθρὸν χηνὸς τὸ ἡδὺ, καὶ μύρον ῥόδινον ταῦτα ξυμμίσγειν καὶ προστιθέναι ἐς εἴριον ἀναλύσασα. ἄμεινον δὲ χηνὸς ἔλαιον. εἶτα στέαρ. κηρὸς λευκός. ῥητίνη. νέτωπον. ἔλαιον ῥόδινον, ταῦτα ὁμοῦ τῆξαι καὶ μῖξαι. λουσαμένη δὲ προστιθέσθω χλιαρὰ εἴσω πρὸς τὸ στόμα τῶν ὑστερέων. ἢ ἐλάφου μυελὸν καὶ στέαρ χηνὸς τήξας ῥοδίνῳ ἢ ἰρίνῳ ἐλαίῳ ἀναφυρῆν. εἴριον δὲ μαλθακὸν ἄγαν προστιθέναι. Γυναικὶ ὁκόταν αἱ ὑστέραι σκληραὶ γένωνται, καὶ ἐς τὰ αἰδοῖα ἐξίωσι καὶ οἱ βουβῶνες σκληροὶ γίνωνται. καὶ καῦμα ἐν τοῖσιν αἰδοίοισιν ἐνῇ, καὶ καρκινοῦται πάντα. ὅταν ὧδε ἔχῃ, σικύας χρὴ τὸ ἔνδον τρῖψαι καὶ κηρίον, ὕδατος κοτύλην ἐπιχέων ἐνεῖναι εἰς τὴν ἕδρην, καὶ καθαίρεται. ἢν τὸ στόμα τῶν ὑστερέων σκληρὸν γένηται ὑπὸ ξηρασίης, καὶ ἐν σχήματι ἡ νοῦσος ᾖ, ὁ αὐχὴν, τῷ δακτύλῳ γνώσει παραψαύσας. καὶ ἢν εἰς τὸ ἰσχίον ἐληλυθῶσι, μὴ προσφέρειν δριμὺ μηδὲν, ἢν γὰρ ἑλκωθῇ, ἐπὴν φλεγμήνῃ, κίνδυνος τὸ πάμπαν ἄτοκον γενέσθαι. προστίθεσθαι δὲ, ὅσα μὴ δήξεται, ὑφ' ὧν καθαίρεται. ὅταν δὲ σκληραὶ ἔωσιν αἱ ὑστέραι, καὶ τῇδε ἀλγέουσι, προσθετὰ τιθέναι, οἷ ἐλάφου μυελὸν, ἢ χήνειον στέαρ, ἢ ὕειον. καὶ ἴρινον μύρον ξὺν μέλιτι. καὶ μαλθάσσειν ᾠοῦ τὸ πυρρόν. καὶ κηροῦ λευκοῦ ὡς ἐπίπλασμα. καὶ κέδρινον, ἢ πύρινον ἄλητον ξὺν ὕδατι καὶ πηγάνῳ ἑψεῖν. Ἢν αἱ μῆτραι ξυμμύωσι, τὰ στόματα σκληρὰ γίνονται σφέων. καὶ τὴν γονὴν οὐκέτι δέχονται, ἀλλ' αὐτόθεν ἐπὴν ξυνευνηθῇ τῷ ἀνδρὶ, κινέουσα τὰ σκέλεα χωρέει. καὶ ὀδύναι τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς βουβῶνας ἔχουσι. καὶ τὰ ἐπιμήνια παντάπασιν οὐ γίνεται. ἢν δὲ γίνηται, ὀλίγα καὶ πονηρὰ, καὶ ἄχροα. ὅταν ὧδε ἔχῃ, λούειν πολλῷ θερμῷ. μετὰ δὲ τὸ λουτρὸν, διδόναι τοῦ κάστορος ξὺν τῇ γλυκυσίδῃ τῆς ῥίζης ξυμμίσγειν χρὴ ἐν οἴνῳ μέλανι εὐώδει. σιτίοισι δὲ διαιτήσθω, ὡς ἂν λέγω. καὶ ἢν δῆλα ᾖ τὰ ἐπιμήνια, ἐπισχεῖν μίην ἡμέρην, καὶ πυριῆν ὅλην. καὶ φάρμακον διδόναι ποτόν. ἢν δὲ εὐπαθέες ἔωσιν, ἄνω ἢν δοκῇ δέεσθαι ἢ κάτω. γάλα σὺν οἴνῳ, ἢ ὀῤῥὸν προσφέρειν. καὶ πυριῆσθαι βληχρῶς. καὶ

μαλθακτήρια ὑστέρῃ προσφέρειν. καὶ κυκλάμινον, καὶ ναρκίσσινον. σικύων δὲ τῶν σμικρῶν, λαβεῖν τὴν ἐντεριώνην. καὶ κατακνήσας ὀξέλαιον τὸ σπέρμα, παραστάζων γάλα γυναικὸς κουροτρόφου, ζίβεν, παραμιγνύων σμύρνην ἄκρητον. καὶ μέλι ὡς κάλλιστον. καὶ ἔλαιον λευκὸν αἰγύπτιον. καὶ ποιέειν μὴ ὑγρὸν ἀλλὰ ξηρόν. τοῦτ' ἐμπλάσσει εἰς εἴριον μαλθακὸν καθαρὸν, καὶ ἐμβαψάτω καὶ ἐν λευκῷ ἐλαίῳ αἰγυπτίῳ. καὶ λουσαμένη προστιθέσθω. ὑπολειέσθω δὲ καὶ ἐν σκέπῃ ἔστω, ὅταν καθαίρηται. ἐπὴν δέ σοι δοκέῃ ἀρκούντως ἔχειν, παύσασθαι. ἢν δὲ μὴ, αὖθις τιθέναι ἕτερον. μετὰ δὲ τοῦτο ἀμφελίξασα ἐς εἴριον μαλθακὸν, στρογγύλον δὲ ποιέειν. καὶ νέτωπον ἐμβάλλειν. καὶ προστίθεσθαι μίην ἡμέρην. τῇ δ' ὑστεραίῃ, ἔλαιον ῥόδινον ἐν εἰρίῳ. εἶτα πάλιν ἐλάφου στέαρ τήξασα καὶ αὐτὸ ἐν εἰρίῳ. λουέσθω δὲ ἐν θερμῷ ὕδατι, αἰεὶ πρὸ τῶν προθετῶν. καὶ πυριήσθω εὐόδμοισι βληχρῶς πλεῖστον χρόνον. μετὰ δὲ μίην διαλιποῦσα ἡμέρην, κλύζειν, ἢν μὲν φλεγματώδης, τῷ ξὺν τῷ κόκκῳ. ἢν δὲ χολώδης, τῷ ἀπὸ τῆς σκαμμωνίης. μετακλύζειν δὲ καὶ αὖθις τουτέοισιν ἀμφοτέροισι τῇ ὑστεραίῃ, τῷ ναρκισσίνῳ ξὺν οἴνῳ γλυκεῖ. ἢν δὲ μὴ ᾖ ναρκίσσινον, αὐθινῷ ἢ ἰρινῷ, ὡς καλλίστῳ. ἔστω δὲ τοῦ ἐλαίου τρίτη μοῖρα τοῦ οἴνου. ἔπειτα διαλιποῦσα δύο ἡμέρας, προσθέσθω τὸ ξὺν τῇ γλήχωνι ἡμέρην μίην. ἢν δὲ γένηται τὰ ἐπιμήνια, πινέτω νῆστις τὸν κάστορα τρεῖς ἡμέρας, ξὺν οἴνῳ εὐώδει λευκῷ. ἐπὴν δὲ ἀπολήγῃ τὰ ἐμμήνια καὶ παραμόνιμα ᾖ, λουέσθω. καὶ διανιζομένη ὕδατι ψυχρῷ, κυκεῶνα πινέτω ἄναλτον. σίτου δὲ μὴ ἁψάσθω. ξυνευνέτω δὲ τῷ ἀνδρὶ, δύο ἡμέρας ἢ τρεῖς. ἐν ὅσον δ' ἂν χρόνον καθαίρηται, τὴν λινόζωστιν ἑψοῦσα ἐν ὕδατι, καὶ ἐπειδὰν ἑφθὴ γένηται, ἐκθλῖψαι. ὑποτρίβειν δὲ σκόροδα καὶ κύμινον καὶ ἅλας, καὶ ἔλαιον ἀνακυκῆν ἐν τουτέοισι. καὶ ὀλίγον ἐπιχέαντα τοῦ χυλοῦ ἀναζέσαι. τοῦτο πρὸ τῶν σιτίων ἐσθίειν. σκόροδα δὲ ἑφθὰ καὶ ὀπτὰ λαμβάνειν ὡς πλεῖστα. ἢν δὲ ἡ λινόζωστις μὴ ἁπαλὴ ᾖ, λείην ξυνεψεῖν χρὴ κράμβην, καὶ ἡδύνειν, καὶ προσηνέα εἶναι. καὶ ἢν ἐν γαστρὶ λάβῃ, ὑγιὴς γίνεται. ἢν πάντα οἱ κατὰ κόσμον ᾖ. Ἢν δὲ τὸ στόμα τῶν μητρέων ξυμμύσῃ, γίνεται ἰσχυρὸν ὡς ἐρινεόν. κἢν ἐπαφήσῃ τῷ δακτύλῳ, ὄψει σκληρόν τε καὶ ξυνελκόμενον. καὶ τὸν δάκτυλον οὐκ ἐσίησι, καὶ τὰ ἐπιμήνια κεκρύφαται, καὶ τὴν γονὴν οὐ δέχεται τουτέου τοῦ χρόνου. καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ τὴν ὀσφὺν, καὶ τοὺς κενεῶνας. ἔστι δ' ὅτε καὶ ἄνω προσίσταται, καὶ πνίγει. ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίσαι κάτω. καὶ λούειν πολλῷ θερμῷ. καὶ προστιθέναι ὅσα μαλθάσσει τὸ στόμα. καὶ ὑπαλιπτέον καθιζάνειν. καὶ ἀναστομοῦν τόν τε δάκτυλον, καὶ ὡσαύτως λειοῦν. ὅταν δὲ μαλθακὸν ᾖ, προστιθέναι ὅσα καθαίρειν αἷμα. καὶ τῶν ποτημάτων διδόναι καὶ πειρῆσθαι παρέχειν καὶ ὅ, τι ἂν ἄλλο προσδέχηται. τὴν κράμβην δὲ ἐσθιέτω, καὶ τὸν χυλὸν ῥοφεέτω. Ἢν αἱ μῆτραι ξυμμύωσι, καὶ τὰ ἐπιμήνια μὴ φαίνηται. κολοκυνθίδα ἀγρίην, καὶ κύμινον αἰθιοπικὸν, καὶ νίτρον, καὶ ἅλας θηβαϊκὸν, καὶ νεφέλιον, καὶ ἄλευρον, καὶ σμύρναν, καὶ ῥητίνην, ξέσας πάντα ὁμοῦ, καὶ μῖξας λεῖα. καὶ ποιήσας βάλανον προστίθει. Ἢν θρομβωθῶσιν αἱ μῆτραι, τὸ στόμα αὐτῶν γίνεται, οἷον ὀρόβων μεστόν. καὶ ἢν ἐπαφήσῃ, ὄψει οὕτως ἔχον. καὶ τὰ ἐπιμήνια οὐ γίνονται, οὐδὲ ἡ γονὴ τέως. ἂν ὧδε ἔχει. τῆς κυκλαμίνου τὸν φλοιὸν περιλέψας. καὶ σκόροδα. καὶ ἅλας. καὶ σῦκον. καὶ μέλι ὀλίγον. ταῦτα τρῖψαι καὶ συμμῖξαι καὶ ποιῆσαι βάλανον, καὶ προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων. καὶ τῶν ἄλλων προσθετῶν, ὅσα δριμέα τέ ἐστι καταπεσθίει, καὶ ὑφ' ὧν καθαίρεται αἷμα. καὶ τῶν πομάτων ὅσα ὑστέρας καθαίρει. Ἢν παρὰ φύσιν αἱ μῆτραι χάνωσι, τὰ ἐπιμήνια χωρέει πλείονα. καὶ γλίσχρα. καὶ θαμινά. καὶ ἡ γονὴ οὐκ ἐμμένει. καὶ τὸ στόμα κεχηνὸς ἐστί. καὶ οὐχ οἷόν τε εἰρύσασθαι τὴν γονήν. καὶ πῦρ καὶ ῥῖγος λαμβάνει, τὴν κάτω κοιλίην, καὶ τὰς ἰξύας. ἡ δὲ νοῦσος λάζυται ἐκ ῥόου αἱματώδεος. γίνονται δὲ καὶ ὁκόταν τὰ ἐπιμήνια ὑβριστικῶς ἱστάμενα ῥαγῇ. ἢ διὰ τὰ γονοῦ πρόσθεν εἴρηται. χρὴ δὲ προσθέτοισι θεραπεύειν. ἐν ἀρχῇ μὲν, καθαρτηρίοισιν ἅμα καὶ μαλθακοῖσιν. ἔπειτα ἠρέμα στύφουσι. καὶ ὑποθύοισι τὰ κάτω τοῦ ὀμφαλοῦ πυριῆν μυρσίνης ὕδατι, ἢ βάτου, ἢ ἐλαιῶν φύλλοις ἀναφεψῶν. ἢ ῥόδων ἢ οἰνάνθης, ἢ ἀμπέλου. Ἢν τὸ στόμα τῶν μητρέων ἀναχάνῃ, ἢ ὡς πέφυκεν ἐν τοῖς ἐπιμηνίοις, οὕτω γίνηται τὰ ἐπιμήνια, πλείω καὶ κακίω πάντα. καὶ ὑγρότερα, καὶ διὰ πλείονος χρόνου. καὶ ἡ γονὴ οὐχ ἅπτεται, οὐδὲ μένει, ἀλλὰ πάλιν ἔξεισιν. κἢν ἐπιμένῃ, τὸ στόμα εὑρήσει διαπεπληγὸς, καὶ ἀδυναμίῃ ἴσχει ὑπὸ τῶν ἐμμηνίων. καὶ κούφη ἐστὶ καὶ ἄτονος, καὶ πρόσω χωρέει. τὰ δὲ κρέα χαλᾶται. καὶ πῦρ βληχρόν. καὶ ῥῖγος. καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα καὶ τοὺς κενεῶνας καὶ τὰς ἰξύας. πάσχει δὲ ταῦτα μάλιστα, ἤν τι ἐν αὐτῇ διαφθαρῇ, σαπῇ καὶ παγῇ. πάσχουσι δὲ καὶ ἐκ τόκων ἔνιαι. αἱ δὲ καὶ ἄλλως. ὅταν γοῦν ὧδε ἔχῃ, φάρμακον χρὴ πιπίσκειν. καὶ κρισιμωτέρη ἔσται. κἢν ὀδύνη ἔχῃ, τῶν χλιασμάτων προστιθέναι. καὶ τῷ ψυχρῷ λούειν. καὶ διαλείποντα κλύζειν. καὶ τῶν ποτημάτων διδόναι, ὅ, τι ἂν μάλιστα προσδέχηται. καὶ ὑποθυμιῆν, ὁκόσα ξηραίνει. καὶ πουλύποδας ἐσθιέτω. καὶ τὴν λινόζωστιν. ἢν δὲ μὴ μεμύκωσιν αἱ μῆτραι ὡς χρὴ, καθίννυσθαι ἐν ὕδατι, μυρσίνης ἀναφεψημένης, ἢ σχίνου, ἢ ἀμπέλου, ἢ ἐλαίης φύλλοισιν, ἢ ῥόδων. δίαιτα δὲ ἢ λέλεκται ἐπὶ τοῦ ἐρυθροῦ ῥόου. ἄριστον δὲ οἱ βοήθημα, δίψα. ἔμετοι θαμέες. καὶ λουτρῶν εἴρξεις, ὁκόταν ἀναστομωθῶσι μᾶλλον τοῦ δέοντος αἱ ὑστέραι, καὶ μὴ μεμύκωσι.

καὶ καθαρσίος δέονται, καὶ κλυσμῶν. καὶ θυμιαμάτων. ἢν δὲ αὐξηθῶσι τὰ ἐπιμήνια, πλείω γίνεται καὶ κακίω καὶ ὑγρότερα καὶ πυκνά. καὶ ἡ γονὴ οὐκ ἐμμένει, ἀλλ' ἢν ὠδίνῃ ᾖ, οἴχεται. καὶ τὸ στόμα ἐπαφώμενος τῷ δακτύλῳ ὄψει λεῖον. καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ἀπὸ τῶν ἐμμηνίων. καὶ πυρετὸς καὶ ῥῖγος ἴσχει. ὀδύνη τε ἐς τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας. μάλιστα δὲ ἤν τι ἐν ἑωυτῇ διαφθαρὲν σαπῇ, καὶ ἐκ τόκου, καὶ ἄλλως. ὅταν οὖν οὕτως ἔχῃ, θεραπεύειν χρὴ, ὅκου ἂν ἡ ὀδύνη ἔχῃ, ὡς ἐπὶ τῶν πρόσθεν γέγραπται.

Ἢν αἱ μῆτραι φλεγμήνωσι, τὰ ἐπιμήνια ἐπιλυγίζονται, καὶ ὁ τράχηλος ξυναραχνοῦται. καὶ πυρετὸς ὀξύς. καὶ γνώμης ἁπτόμενος. καὶ πονηρὰ καὶ ὀλίγα διεκφαίνεται. καὶ ὁκόταν νῆστις ᾖ, ἔμετός τις αὐτὴν ἐπέρχεται. ὁκόταν δέ τι φάγῃ, ταῦτα ἐμέει. καὶ ὀδύνη τὴν νειαίρην γαστέρα ἴσχει, καὶ τὰς ἰξύας. καὶ ἀποψύχει. καὶ περίψυξις δι' ὅλου τοῦ σώματος. ἡ δὲ γαστὴρ τότε μὲν σκληρὴ, τότε δὲ μαλθακή. καὶ ἐμπίπραται. καὶ αἴρεται. καὶ δοκέει ἐν γαστρὶ ἔχειν. ἔστι δ' ὅτε κενεὼν φαίνεται τὸ πλήρωμα τῆς γαστρός. καὶ ἐμπίπλαται ἡ κοιλίη ὕδατος. καὶ ὁ ὀμφαλὸς ἐξίσχει. καὶ τὸ στόμα ἰσχνόν. καὶ ἐξαπίνης ἐφάνη τὰ ἐπιμήνια ζύζονται. καὶ ὀλίγα καὶ πονηρά. καὶ λεπτύνεται τὰς κληῖδας, καὶ τὴν δειρήν. καὶ οἱ πόδες οἰδίσκονται, καὶ αἱ πέζαι μάλιστα. ὅταν ὧδε ἔχῃ, φάρμακον πῖσαι, κάτω. καὶ προσθέτοισι πυριῆσθαι τὰς ὑστέρας, ὡς εὐώδεσι τὰς ἡμέρας τοῖσι μολυβδίοισι. καὶ λοῦσαι θερμῷ ὕδατι πρὸ τῆς προσθέσιος μὴ δάκνοντι. καὶ μετὰ τὴν πρόσθεσιν κλύζειν δύο πόσιας. κνήστρου ἑψῆσαι κοτύλην ὕδατος, καὶ ἀποχέαντα τὸ ὕδωρ, κλύσαι κοτύλῃ ὕδατος, ξυμμίξαντα καὶ ἐλαίου ναρκισσίνου ἢ ἀνθίνου. μετὰ δὲ ταῦτα διαλιπεῖν ἡμέρας τρεῖς. εἶτα κλύσαι τῷ ἔξω τῷ ὄξει. καὶ πρὸ τοῦ σίτου τὴν λινόζωστιν ἑψοῦσα σὺν οἴνῳ ποτῷ, ἐσθιέτω ὡς κράμβην. καὶ τὸν χυλὸν ῥοφεέτω. ἢν δὲ ἐπιμένοι, φάρμακα πιπίσκειν, ὑφ' ὧν ὕδωρ καθαίρεται τὰς ὑστέρας. σιτίοισι δὲ χρεέσθω ἄρτοισι καὶ λαχάνοισιν, ἑφθοῖσι, τακεροῖσι. θαλασσίοισι δὲ μᾶλλον ἢ κρέασιν, ἢ ἀκροκωλίοισιν ἑφθοῖσι τακεροῖσι. καὶ ταλαιπωρέειν ὡς πλεῖστα, καὶ πρὸ τοῦ σίτου καὶ μετὰ τὸν σῖτον. καὶ λουέσθω ὡς ἐλάχιστα ψυχρῷ. καὶ γλυκέων καὶ λιπαρῶν παντοίων εἰργέσθω. τὰς δὲ διὰ μέσου τῶν καθαρσίων, ἀδίαντον πινέτω, ἐν ὄξει κεκρημένῳ νῆστις. ἡ δὲ νόσος, θανατώδης. ἐκφυγεῖν δὲ ὀλίγαι δύνανται.

Ἢν μὴ ἐν γαστρὶ ἔχωσι φλεγμασίης μητρέων, τὰ ἐπιμήνια ἐπιλυγίζονται. καὶ ὁκόταν ἄσιτος ᾖ, ἐμεῖ. ὁκόταν δὲ βεβρώκῃ, ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας. καὶ ὅλη ἡ κοιλίη, ὁτὲ μὲν σκληροτέρη, ὁτὲ δὲ μαλθακὴ γίνεται. καὶ καθίσταται δὲ οὐ πάνυ. κοιλίη μεγάλη γίνεται, καὶ οὐ καθαίρεται. καὶ οὐ δοκέει κύειν. καὶ πάσχει ὁκόσαπερ καὶ αἱ ἐγκύμονες. κἢν θιγγάνῃς τῆς κοιλίης, κοῦφον τὸ οἴδημα γνοίης ὡς ἀσκοῦ. καὶ ὁκόταν δοκέῃ τόκου ὥρη εἶναι, αἱ μῆτραι ξυμπίπτουσι. καὶ τὰ ἐπιμήνια ὀλίγα, καὶ κακίονα. ταύτην φάρμακον χρὴ πιπίσκειν κάτω. καὶ προστιθέναι τῶν καθαρτικῶν. καθαρθεῖσα δὲ, ὑγιὴς γίνεται.

Ἢν φλεγμαίνηται ἡ μήτρη, ψαύεται. ἢν δέ τι σφακελίζῃ καὶ παλιγκοταίνῃ, πῦρ ἔχει ὀξὺ καὶ μέγα, καὶ φρίκη σκληρὴ, τὰ ἀμφὶ τὰ αἰδοῖα. ἐκπάγλως τε αἰσθάνεται. καὶ δάκνεται καὶ ὁρμᾷ. καὶ ἤν τις ἐπαφήσει τῷ δακτύλῳ, καὶ αὖθις κάκιον ἴσχει. καὶ ἀσδέξεται. καὶ τὴν κεφαλὴν ἀλγέει, καὶ τὸ βρέγμα. καὶ ἀχλὺς, καὶ ἱδρὼς μετωπιδαῖος. τὰ ἄκρεα ψύχονται, καὶ τετραμαίνουσι. καὶ κῶμα ἔχει ἄλλοτε. καὶ ἐσακούειν οὐκ ἐθέλει. οὐδὲ ἡ ὑστέρη ἐνεργεῖ. ἀσιτίη πολλή. καὶ στόμαχος οὐ πάμπαν εἰρύεται τὴν τροφὴν, καὶ ἡ κοιλίη. καὶ βοᾷ, καὶ ἀΐσσει. καὶ ὀδυνᾶται τό, τε ἦτρον, καὶ τοὺς βουβῶνας, καὶ τὰς ἰξύας καὶ παραφύσιας. καὶ ταχὺ θνήσκουσιν. ἢν δὲ αἱ ὀδύναι καταγνῶσιν, ὡς πυρίοισι θερμοῖσιν ἐξ ὕδατος καὶ ἐλαίου ἐκπεπιεσμένοισι πυριῆσθαι. καὶ προσθέτοισι μαλθακοῖσι, μυελὸν ἐλάφου, καὶ χηνὸς ἄλειφα, καὶ κηρὸν λευκὸν, καὶ ὠοῦ τὸ πυρρόν. ἢ κηρωτὴν ποιήσαντα προστιθέναι ξὺν ῥητίνῃ. καθαίρειν δὲ οἴνῳ, ἢ γάλακτι αἰγείῳ, ἢ ζωμῷ ὄρνιθος. οἶνον δὲ μὴ πίνειν. καὶ πτισάνης χυλὸν ῥοφεέτω.

Μητρέων ὀδύνης ἔγχυτον.

Ἢν ὀδύνη μοῦνον ἡ ἀπερχὴ καὶ βίαιος, ἀχλὺς ἐν τῇσι μήτρῃσιν ἐνῇ. καὶ οὐκ ἔξεισι τὸ πνεῦμα, ἀλλ' αὐτόθι μένει κάτω. δεῖ οὖν οὕτως θεραπεύειν. ἀνδραφάξιος ἀγρίης καρπὸν, καὶ τεῦτλα τρίψας ὁμοῦ λεῖα χλιήνας τὸ ἔγχυτον εἰς τὰς μήτρας.

Ὑστερέων ὀδύνας παῦον.

Οἶνον ὡς ἥδιστον ἴσον ἴσῳ κεράσας, τρεῖς ἡμίχοα ἀττικά. μαράθου ῥίζας, καὶ τοῦ καρποῦ τριτημόριον. καὶ ῥοδίνου ἐλαίου ἡμικοτύλιον. ταῦτα ἐμβαλεῖν ἐς ἐχῖνον καινὸν, καὶ οἶνον ἐπιχέαι, εἶτα πυριῆσαι. προστιθέναι δὲ καὶ σκίλλαν, ἐς ὃ ἂν τὸ στόμα μαλθακὸν ᾖ. καὶ φοραιῶδες. καὶ ὅταν ἐν καθάρσει φλυκταινῶται ἀνὰ τὸ στόμα τῆς ὑστέρης φύσωσιν, οὕτω θεραπεύειν. σάρκα βοὸς, ἢ πικρίῳ. χηνείῳ στέατι καὶ ἀννήσῳ, τρίψαι λείως τὴν σπέρμα, καὶ ἐς τὸ αἰδοῖον ἐντιθέναι.

Ἢν ἐρυσίπελας ἔχῃ τὰς μήτρας, οἰδέει τοὺς πόδας καὶ τοὺς μαζοὺς, καὶ τὸ σῶμα. καὶ πόνος αὐτὴν κατέχει. καὶ ὀρθόπνοια γίνεται. καὶ ἀλγέει τοὺς κενεῶνας, καὶ τὸ ὑπογάστριον, καὶ τὰ στέρνα, καὶ τὴν κεφαλήν. τρόμος τε ἔχει. καὶ τὰς χεῖρας ναρκᾷ, καὶ τοὺς βουβῶνας. καὶ τὰς ἰγνύας τρέμει. ἐνίοτε δὲ καὶ ἐν τῇσιν ἰγνύῃσι καὶ πελιδναὶ γίνονται. καὶ κουφίζει ὀλίγον χρόνον. καὶ ἡ χροιὴ μάλιστα δὲ καὶ οἱ μαζοὶ αἴρονται κατὰ τὴν ὁμοεθνίην. ἀλλὰ γὰρ οὐ πάνυ τι ἀλγέει. καὶ πῦρ καὶ ῥῖγος λαμβάνει. καὶ ἐρυθρὸν τὸ πρόσωπον γίνεται. καὶ δίψα ἰσχυρή. καὶ τὸ ἧπαρ ξηραίνεται. ταῦτα ἢν ἐγκύμονι περιπέσῃ, θνήσκει. καὶ οὐκ ἂν δυνήσεται διαφυγεῖν.

Ἢν ἐρυσίπελας ἐν τῇ-

σι μήτρῃσι

σι μήτρῃσι οἰδήματα γίνεται πελιδνέστατα ἀπὸ τῶν ποδῶν ἀρξάμενα. καὶ ἐς τὰ σκέλεα πάντα καὶ ἐς τὴν ὀσφύν. ὅσῳ δ' ἂν ὁ χρόνος πλείων γένηται, καὶ ὁ θώρηξ ἐπαίρει. καὶ οἰδίσκεται. καὶ περιψύχεται πᾶσα. καὶ πῦρ ἔχει μέγα. καὶ ῥῖγος ἐπιλαμβάνει. καὶ πνεῦμα πυκνόν. καὶ λιποθυμέει. καὶ ἀσθενέει. καὶ ὀδύνη παντὸς τοῦ σώματος. δυσθυμέει τε καὶ αἰολᾶται τῇ γνώμῃ. καὶ τὸ πάθος ἀνέρχεται ἐκ τῆς κάτω κοιλίης, ἐς τὰς ἰξύας, καὶ ἐς τὰ νῶτα, καὶ τὰ ὑποχόνδρια, καὶ τὰ στέρνα καὶ τὸν τράχηλον, καὶ τὴν κεφαλὴν, καὶ τὸν στόμαχον. καὶ δοκέει θανεῖσθαι. ὁκόταν δὲ λύηται ἡ ὀδύνη, νάρκην ἔχει τὰς ἰξύας, καὶ τοὺς βουβῶνας, καὶ τὰ σκέλεα. καὶ ἐν τῇσιν ἰγνύῃσι πελιὰ γίνεται. καὶ ὀλίγον χρόνον δοκέει ῥάων εἶναι. ἔπειτα αὖθις πονέεται. καὶ ὁ χρὼς, φλεκταινῶν καταπίμπλαται. καὶ τὸ πρόσωπον ἐρυθήματα λάζυται προφανέα καὶ δηλεόμενα. καὶ ὁ φάρυγξ αὖος. ἡ γλῶσσα τρηχείη. αὕτη ἡ νοῦσος, εἰ ἐγκύμονα σχοίη, κτείνει. ἢν δὲ μὴ, ἰητρείην χρὴ προσάγειν. ὄνου γάλα πιπίσκειν καὶ καθαίρειν. ἢν δὲ μὴ λύηται ὧδε, ψύχειν τὴν κοιλίην, μαλθακοῖσι ψύγμασι. καὶ προσθέτοισι μὴ περισκελέσι. καὶ καθῆραι κούφοις, ἐκ τοῦ κατ' ὀλίγον, καὶ ἐμέειν. ἀγαθὸν δὲ ἀκτῆς φύλλα λαμβάνειν ἑφθὰ, ξὺν ὀριγάνῳ ἢ θύμῳ ἢ πηγάνῳ. ἢν δὲ τὸ πῦρ μεθίηται, καὶ οἶνον καὶ σιτία διδόναι γλυκέα. πλὴν οὖν, ἀλλὰ παῦραι θεραπεύονται.

* Ὕδερος δὲ γίνεται, ἐν τῇσι μήτρῃσι τὰ ἐπιμήνια χωρέει ἀσπουδέα καὶ ὑδατώδεα. καὶ οὐ πάνυ αἱματώδεα. οἰδέει καὶ αἱ ὑστέραι, καὶ φλέβες καὶ ὅσα ἄγχιστα. καὶ κυΐσκεται. ἔπειτα πνίγεται. καὶ οἱ μαζοὶ ῥέουσι. καὶ ἡ νειαίρα γαστὴρ, σκληρή ἐστι καὶ οἰδέει. καὶ πᾶς ὁ ἀμφὶ πέριξ χῶρος καὶ ἀλγέει. ἤν τις αὐτῆς ψαύσειε πυρετός τε καὶ βρυγμὸς ἴσχει. καὶ ὀδύνη ἀπέρχεται ἐς τοὺς κενεῶνας, καὶ ἐς τὰς ἰξύας. καὶ ἐξονειροῖ. καὶ κάκιον ἴσχει. ταύτην λούειν δὴ θερμῷ καὶ χλιαίνειν. φάρμακον δὲ πιπίσκειν καὶ πυριᾶν βληχρῇσι. καὶ κυκλάμινον τριώβολον ἐν ὀθονίῳ προστιθέσθω, ἀποδήσασα. καὶ κυπαρίσσου χυλὸν βρέχειν ἐν ὕδατι. καὶ κανθαρίδας τρίβουσα, προστιθέναι ὀλίγον χρόνον. καὶ διὰ πλείονος ἐνεργεῖ.

Πρόσθετον ὅσον χήμην. κύμινον ἀσταφὶς λευκή.

Ἄλλο. Κνίδης καρπός. ἄρου ῥίζα. τούτων ὃ βούλει ἐπιεικέως προστιθέναι. ἐπειδὰν ἐκκαθαρθῇ κλυζέσθω καὶ ἀφαιρέειν καὶ ἐγκλύζειν τὰ αἰδοῖα. καὶ ξυγκοιμάσθω ἅμα. καὶ ἢν διενέγκῃ τὸ ἔμβρυον, ἐκκαθαίρεται πᾶσα καὶ ὑγιὴς γίνεται.

Ἄλλο ὁμοίως ὑδέρου μητρέων.

Ὕφαιμον ῥέει ἰχωροειδὲς, καὶ καθαίρεται. καὶ δάκνει σφόδρα. καὶ ἑλκοῖ ὥσπερ ἅλμη τὰ αἰδοῖα. καὶ τὰ πέριξ. καὶ ὅκου ἂν ἐπιστάξῃ, ἑλκοῖ. καὶ ἡ χροιὴ ἰκτερώδης. τὰ δὲ ἄλλα καθαίρεται πλῆθος, ὥσπερ ἐν τοῖσιν ἄλλοισιν ῥόοισιν. ἡ δὲ νοῦσος βληχροτέρη τε καὶ ἄλλως θανατώδης γίνεται. ἢν ἐξελκῶσιν αἱ μῆτραι, ταύτην θεραπεύειν, ὡς τὴν ἀπὸ λευκοῦ ῥόου ἐχομένην. καὶ γάλα ὄνειον πιπίσκειν. καὶ ἰσχναίνειν. καὶ ἰῆσθαι φαρμάκοισι, τοῖσι προειρημένοισιν.

Ὑδέρου ἐλικτά.

Ἢν ὕδωρ ἐκ τῶν μητρέων ῥέῃ, θεῖον χηνὸς ἄλειφα λείχειν. ἢν ἄνεμος ἐν τῇσι μήτρῃσιν ἐνῇ, φῦσα ἔξεισι. καὶ ζύζει. καὶ οἰδέει πᾶσα. καὶ πῦρ ἔχει καὶ καῦμα. πρὸς τοῖσδε, ἀΐσσει σφόδρα ἀπὸ τῆς ὀδύνης. καὶ τὸν ἄνδρα οὐ προσίεται. καὶ σφόδρα ἄχθεται τὴν εὐνήν. καὶ ὀρθοῦσθαι ἀδυνατεῖ. καὶ ὡς βαρέα μοι κέαται ἐν τῇσι μήτρῃσι. καὶ κεφαλὴν ἀλγέει. καὶ ἀλύει. καὶ ἄναυδός ἐστιν. ἢν δὲ ἡ ὀδύνη πιέσῃ, βοᾷ τε καὶ ἀλγέει πάντα, καὶ ἰξύας, καὶ ἐπίσχιον, καὶ τὴν ἕδρην. καὶ τὸ οὖρον εἴργεται. καὶ ἡ κοιλίη πνίγεται. καὶ θανεῖν δρᾶται. καὶ ὑποχόνδριον τιταίνεται. καὶ στόμαχος δάκνεται. καὶ τὸ στόμα πικρόν. καὶ ἐμέει ὀξέα καὶ ἄκρητα. καὶ βρύχεται θαμινά. καὶ ῥάζει. ἢν δὲ μὴ ἀνοιδίσκεται, καὶ ἢν ἐπαφήσῃ καὶ ἀντιτυπέει καὶ ἀλγέει. κλύζειν οὖν χρὴ τὴν μήτραν μελικρήτῳ, καὶ ὀξυμέλιτι, καὶ ἐλαίῳ. κύμινόν τε τριπτὸν ἢ ἄννησον. καὶ λίνου πέταλα τρίβειν. καὶ ὄρνιθος πάντων ξὺν ᾠοῖς καὶ ἐν ὕδατι ἑψῆσαι. προσθέτοισι δὲ οἷς ἀεὶ ἐγὼ γράφω. καὶ ἐπιτήμασι χρέο. καθιννύσθω δὲ ἐν ἐλαίῳ θερμῷ, καὶ ἀρώματα ἐμβάλλειν. σχοίνου ἄνθος ἢν ἐν ὕδατι δάφνης ἢ θαλάσσης. ἄριστον δὲ καθαίρειν κλυσμοῖσι μαλθακοῖσι τὴν κοιλίην. ἢ βάλανον προστιθέναι, ὡς νηπίῳ κοιλίη λύεται. ἔρειον ἄπλυτον ξὺν μέλιτι. ἢν δὲ γεραίτερον ᾖ, κρόμμυον ἐς ἔλαιον, ἢ ἐς μέλι καὶ προστιθέναι. ἢ ταύρου χολὴν, ἢ νίτρον ξὺν μέλιτι, ἢ ῥοιῆς ὀξείης χοίνικας ξὺν μέλιτι καὶ ἀλήτῳ κριθίνῳ. ἡ δὲ μύλη ἐμφύεται ἀπὸ πάχεος γονῆς ἐπερχομένης, θύμβραν λειώσας ἐν ὄξει καὶ ὕδατι, τοῦτο δίδου πίνειν ἔνυγρον. ἢ ὑοσκυάμου τὸν καρπὸν λεῖον, καὶ κλύζειν ἅλμῃ καὶ ὀπῷ καὶ ὄξει. ἢν δὲ ᾖ ξὺν ὕδατι κράτιστον μελίκρητον ἑψῆσαι ξὺν ὕδατι φακῶν, ἢ ὀρόβων, ἢ ἴου ἄνθεος. ἢν δὲ καθαρθῇ, οἷα τὰ πυριφλεγέθεα, μυρσίνην ἑψεῖν, καὶ διανίζεσθαι σμύρναν. καὶ νέτωπον σὺν εἰρίῳ προστίθεσθαι.

Ἢν ἄνεμος ἐνῇ ἐν τῇσι μήτρῃσι, καὶ δάκνῃ. καὶ τὸ δεξιὸν, πῦρ ποιέει. καὶ οἰδέει καύματι. καὶ ὀδυνᾶ. καὶ τὸν ἄνδρα ἀπαναίνεται. καὶ ἄχθεται σφόδρα τῇ ξυνουσίῃ. καὶ τείνεται. καὶ οἰδέει τὸ ἧτρον. καὶ οὐ δύναται ὀρθοῦσθαι, ἢ ἰθύνεσθαι. ὅταν οὕτως εὕρῃς, γνῶθι ὅτι ἄνεμος καὶ γονή ἐστιν ἐν τῇσι μήτρῃσι. καὶ ἡ γονὴ διὰ τοῦτο νῦν κάμνει. λαβὼν μέλι. κηρόν. καὶ λίνου πέταλα τρίψας λεῖα, ὄρνιθος στεαρίνῳ ἀνάλει χλιήνας, ἔγχεον ἐς τὰς μήτρας κλυστῆρι. πινέτω δὲ λίνου πέταλα, ἢ τὸν καρπὸν τρίψαι, καὶ ἐς ὀθόνιον ἐνελίξαι πρὸς τὸ στόμα τῆς μήτρης. εἰ δὲ μὴ, ἐν ὀθονίῳ χρῆσθαι. ἴρινον καὶ κρόκον, καὶ λίνου πέταλα, ὄρνιθος στέαρ τρίψας λεῖα, διεὶς τε γάλακτι γυναικείῳ ἀποσπογγίσας ἄχρι ἀπὸ ὀθονίων λεπτῶν ἐνδῆσαι. προστιθέσθω δὲ πρὸς τὸ στόμα τῆς

ἀλήτου σπτανίου ὀξύβαφον, κήμεως λευκοῦ ἢ μυσυ, μάννης ῥίτον μέρος, ᾗ χοίνου ὀλίγον. ἢ πίτυος, ἢ κυπαρείσσης σπλεὰς ὕδατι, σίδυ. πιεῖν. πίνειν δὲ τ̃ ἡμέρης, ἢ ἐλάφ. κόρας ἡ κατακαίειν, ῥίβειν τὸ ᾗ ὠμηλύσει ζωὸ κέφοισι πέντε, οἴνος ζωὸ τοῖς σπλεῖσι αὐστηρὸς μέλας μέγυν. ἢ ἑρσὶν γλυκείαν, ὀπῆσας ἐν χυλοῦ, ἓως οἴνῳ μέλανι πίνειν. ἢ κυπαρείσσου ἡ κρπὸν ὅσον ῥίᾳ ἢ πέσσερα. ᾗ μύρτα μέλανα, ᾗ ὁμοῦ ᾗ αὐτὰ ἡ αθ' ἑαυτά, πρὸς ἰχῶ τὸ σώματος ὀρέων τ̃ γυναικῆς. ἑως οἴνῳ δὲ ἢ πόσις γλυκάθω. ἢ ἡ σπρέου ὁ βολόν, σὺ οἴνῳ ῥίβειν αὐσηρῷ μέλανι, ᾗ πισκειν. Ῥ όου ᾗ πόσις νόσου πρὸν ὅζει ἐχὸ τ̃ ὑσρέων γίνονται. Γλυκυσίδης ἡ κρπὸν. ᾗ τὸ ῥόου τὰς ῥίζας. κύμυον ἀβιστικὴν, καὶ μελαν̃θιον σὺ οἴνῳ λευκῷ σιδύναι. ἢ νασρθηκ. ἑύσας, ὅσυ ὀξύβαφον. καὶ πράσου χυλὸν, σὺ οἴνῳ λευκῷ κεκερνμένῳ, τ̃το ᾗ ἐκ ῥιζῶν ἅμα ῥέον πανέι. ἢ σίδην ἐλθ̃ῖν σὺ οἴνῳ μέλανι. ᾗ πριλέψαι καὶ τὸ σίδυ ζίβειν σὺ οἴνῳ μέλανι ξὺν πάλιν ἀλφίτου πιεῖν. ἢ λίνου, ἢ ὀρυσίμου φῶξαι. ᾗ ἐλαίης φύλλα χλωρᾶς. ᾗ μέλαναν ῥίζαν μήκωνα ἀσορᾶ. ταῦτα ῥίφας, σὺ τῷ αὐτῷ οἴνῳ κεκερνμένῳ σίδυ πίνειν. ἢ τα μισὺν ὄνειον, ᾗ σίδης γλυκείης ῥίζαν, καὶ κνίδος ὁβ̃ ἴσυ πάντα, ᾗ ῥοιᾶς γλυκείης χυλὸν, ξὺν οἴνῳ πίνειν. ἢ λαπάθου κρπὸν, ἓως τῷ κνίδος ἔῳ πρικξυσμόῳ, ταῦτα ζίβειν ἅμα, ᾗ μετ' πειτα κυκεῶνα. Ἡν αἷμα ῥέη λαῦρον ὁβ̃ ὑσρέων ἄγνου φύλλα ξὺν οἴνῳ μέλανι. τὰ σφυνά, ῥόδον ἰ ξηὸν, οἴνῳ μέλανι μυγνύμενα. Ῥ όδ. ᾗ ὁλύνης. Κάχρυος ῥίζαν σὺ οἴνῳ μέλανι πίνειν. ἢν δὲ πλέον η, τερμένου κρπὸς ζιβώμενος. χρὴ δὲ οἴνῳ ᾗ ὕδατι διῖσαι ᾗ πίνειν. Ἢν ῥόος γένη, κρμένους ποτα μέσς ἀποπίνειν ἐξ σὺ οἴνῳ, πίνειν δίδόναι τ̃ τοιούτου οἴνου, μεθ' ὕδατος. ἰῶ δὲ τιφρήτου ὁ ῥόος, πρόμαλον φῶξαι ᾗ ζίψαι σὺ οἴνῳ, σίδυ. ἢ πράσων χυλὸν, ἰῶ δὲ πουλὺς κατὰ χέται ὁ ῥόος, ἢ μύρτ ὀνίδα κατακαίειν, ᾗ λεπνάν, ᾗ ἓως οἴνῳ σίδύναι. ἰῶ δὲ πολυχρόνιος ὁ ῥόος γίνηται, ἀσὸς κατηκεῖς ἀῤῥῆγει, ζίβειν δὲ λᾶϊον ἐν ασὸῖς, ᾗ ζωὸ οἴνῳ σίδύναι βώλει. Κατάπλασμα ῥόων. Σκήροδα, ᾗ αὐσρράχηλα, ᾗ σέλινον, ᾗ λωτὸ πρίσματα, ᾗ κέσρου λᾶα ὁμοῦ μέξαι. δεῖς δὲ σὺ μελικρήτῳ, κατάπλασμα ποιέειν. ἢ βάτου φύλλα ᾗ ῥάμνου ᾗ ἐλάτης, ὁμοῦ λᾶα μέξαι, καὶ σίδύναι σὺ μελικρήτῳ. ᾗ ζωὸ ἀλφίτοισι κατὰ πλάσειν. ἢ ἀκτῆς καὶ μυρσίνης φύλλα, κατάπλασε. ἢ λωτὸ πρίσματα. συνημένου φύλλα, ᾗ ῥόδου ζωὸ ἀσαφίδι. Ῥυσικοπες ῥόων. Αἶρον ἄλθυρα πεφωσμένα, ἔπλε σὺ ὀξυκρήτῳ ἀκρητεσθέῳ, ᾗ ἐς ὀθόνιον ἐγχρίων πυρὶ. ἢ φακοὺς φῶξαι ᾗ πδριπίσας ποιέειν ἄλθυρα χονσοδέρα. ᾗ σὺ ὕδατι ἐφεῖν. ᾗ ὁμοίως κατὰ πλάσειν. ἢ ὀρέβους ὡσαύτως. ἀγαθὸν δὲ ᾗ ἐλελισφακὸν. ἢ ἄχυρα κειθῶν, σὺ ἀφεψήματι ἐλελισφάκης ᾗ ὑπδρικοῦ ἐφεῖν ᾗ κατὰ πλάσειν. λωτὸ πρίσματα, ᾗ κυπαρίσσου σὺ ἀφεψῶν σὺ ἀσαφίδος ἀποβρέγματι ἐς ὀθόνιον ἐπιχρίων πυριῶ. ἢ ἐλάτης φύλλα, ἢ μεσοῦ, ἢ μυρσίνης, σὺ ἀφεψήματι. ᾗ μετὰ τούτων, κειθῶν ἄχυρα ἐφεῖν. ἢ ἀρωμάτων ὕδατι σωεφεῖν, πίτυρα πύρινα. ἢ ἀσαφίδος ἀποβρέγματι πίτυρα πυρῶν ἐφεῖν, ἢ λευκοῖου κρπὸν ἢ τὰς ῥίζας ἀφεψέειν. καὶ τῷ ὕδατι ἓως πιτύροισι πυρίνοισιν ἐπιῤῥίπτειν, ἢ τῷ ἀφεψήματι πίτυρα πυρῶν. τ̃το ποιήσασα θῤμῶ σὺ ελιξαμένη ἐρίῳ, πυριάθω. ἢ τῷ τ̃ης ὀῤῥ πύλου ἐνήματι, ᾗ πίτυρα ἢν αὐτὴν ῥόπον. πυριῶ δὲ ᾗ ασπίσι θῤμοῖσι, ᾗ ἐρίοισι μαλθακοῖσιν, ἰῶ πδριοδωνέη. ᾗ τοῖσιν ὀστρακίνοισιν ἀπέοισιν, ὑδατος ἐγχέων, ἢ σὺ κύστιν ἐλαίῳ θῤμῶ.

Κλυσμοὶ ῥόων. Μυρσίνης φύλλα ᾗ σάφυης ᾗ μαστὸ, σὺ ὕδατι ἀφεψέειν. τουτέῳ κλύζειν. χλιηρῷ. ἀκτῆς φύλλα, ᾗ χοίνου ἀφεψέειν, σὺ ὕδατι ἀσαχέως ἀκροχλιηρῷ κλύζειν. ἢ οἰναν̃θῳ ᾗ κύπδρον ᾗ ἀσαφίδος ἀφεψέειν σὺ μελικρήτῳ ᾗ κλύζειν. ἢ τήλεις ὑδατι, ἢ βάτου ἀφέψημα, ἢ ἐλάτης χλωρῆς ἢ κυπαρίσσου, ἢ ὀῤῥ πύλου, ἢ ῥοᾶς ἢ λευκοῖς ῥίζης, ἢ χίου ἀκροχλίθρου. ἢ ᾗ ὀξῖ βουτύρου ᾗ ῥητίνης, ᾗ χλωέου ἐλαίου. ἢ ᾗ ὀξῖ μυελοῦ ᾗ σέκτος ὑείου. Ὑ πόθυ μήσεις ῥόων. Κριθὰς πεφωσμένας ἐς ἀνθρακιὰς, ὑ πόθυ μελῖ, ἢ ἐλάφ. κόρας (ζωὸ ἐλαίσιν ὀμφακίτοισιν, ἢ ῥόου πὶ ὀρυθρελῖ. καὶ ἄλφιτα πεφωσμένα ξὺν ἐλαίῳ, ᾗ οἴνῳ σταλάσσω. ἢ ἄχυρα κριθῶν. καὶ βόλβιτον ὁμοίως. ἢ λωτὸ πρίσματα, ἢ ῥόου, ἢ κυπαρίσσου, (ζωὸ οἴνῳ μέλανι αὐσηρῷ, ξηρὰ ὑ πόθυ μέλῳ. ἢ χαλβάνῃ, ἢ μαάνναν, ἢ ῥητίνην, οἴνῳ δὲ ὑ (ζει. ἢ αἰγὸς κόρας, ἢ κεκίδα. ᾗ ὁ ῥόος ἰσάτω. Ἐ περαθυμητά. Ὁ ῥύεα χρὴ βόθρου, ᾗ φῶξαι ὅσου δύο χοίνικας ἀτ̃ικὰς γηλέφτου τ̃ ασσὸς, ἐπιβαλὼν ὠδὶ ἢν βόθρου. οἴνῳ τὲ ἐπιμεμ(ζει βώλει. ᾗ ἀμφιπεθεζομένη, κατειλίξασα ἑαυτὴν, θυμιάθω. ἢ ᾗ λεγόμενον οἰσύπη αἰγὸς ξηρὰ κόλαι καὶ φῶξαι (ζωὸ κριθέων ὀβ̃ίγματι ἐλαίῳ φυρήσασα θυμιᾶν. ἢ αὐθρακας πολλοὺς κριθέων, ἢ ἄχυρα σ̃ασα βάλλων, ἢ πρίσματα κυπαρίσσου, μύρσα λθύων, θυμιᾶν. ᾗ κώνειον, ἢ σμύρναν, ἢ λιβανωτὸν μύρου περιχόων, θυμιᾶν. ἢ ἄσφαλτον καὶ κριθῶν ἄχυρα ὁμοίως. ἢ κυπαρίσσου ῥίζαν σὺ ἀλεῖφαι ῥοδίνῳ πδριχάσ., θυμιᾶν. ἢ ἡλάμω, χοίνῳ, κυπδρῷ, σελίνου σπδρματι, ἀνησον, ῥοδίνου ἔλαιον πδριχάσ. θυμιᾶν. ὁμοίως δὲ ᾗ ῥητίνῃ ὑ σβάλλειν ᾗ κυννάμωμον ᾗ σμύρναν, ξὺν βάτων φύλλοις, ἢ ῥ. ὅων φύλλοις, ἢ ἢ λυόδ μοις, ξὺν ποσῷ κρόκω ᾗ σύρακι. ταῦτα πάντα σὺ τῷ αὐτῷ ῥίβειν ᾗ θυμιᾶν, ὁβολὸν ἀτ̃ικὸν σταθμῶ, ὠδὶ ασσὸν οἰναρέλῳ. ἢ ἐπίσελῃ τὸ σπλαστὸ ὡς ἐμβαθύον. ᾗ δὲ πῦρ κλυμάτινον ἔσω. ἐπιτιθέναι δὲ ἡδὺ πρότερον ὡς μὴ ὀδμὴ ἢ. ἐπεὶ εἰ ὀδμὴ ἔσαι, ἄμεινον μὴ θυμιᾶν. Ῥ όου ὀῤῥὸς προσθετό. Σμύρνα ᾗ βόλβιτον ξὺν μέλιτι ζιφθὲν, προστὲν ἀρῖσον. ἢ ῥόδα ἐφῆται σὺ ὕδατι, ἀτ̃ῤῥ δὲ ᾗ ῥίψας λεῖα σὺ μύρῳ ῥοδίνῳ, σὺ εἰρίῳ ἐλίξας προ-

ὕσῤῥης. κλὺ ἀποφύηται. πμελὴ σπερμοειδεσῤῥὴ πηχεῶνα σ̃ῖπιθέναι. καὶ λεπτύειν μέσως. αἱ δ' λίαν λεπτυόμεναι, αὐχμαὶ εἰσι καὶ ἐκπῖρώσκουσιν. εἰ δὲ οὐ δ(χ) ἢ ὑσῤῥὴ, ἀλλὰ ἀῤῥησι. καὶ ὑῤῥ μὲν οὐκ ἔχει σὺ ἑωυτῇ, ὄργανον χρὴ μηχανησαμέεσθ, ἐφ' ὃ ἐζομένη εἰσέλθη ἀτμὸς εἰς τὰς μήτρας. ἀμφὶ δὲ τούτῳ, εἰ μὲν τε κυκλόσε τιθύναι. ὑῤῥὴν μελῖ δὲ ηαισὴν. πευνάμενον. ἴσον ἐνέγκου σὺ οἴνῳ τε φυρλῖ σφαῖα τούτων ᾗ ἐπιβάλλειν τ̃ ὠν. μετ' πειτα φακὼ ἐφθῷ ξὺν ἀλφίτῳ μέξαι, καὶ κατὰ πλάσειν.

Ἐ πὴν γυναικὸς σὺ τῷ αἰδοίῳ ἢ σὺ τῷ ἀρχὸ χοναειδὲς γένηται, λύγου κρπὸς μισγέτω ἢ φύλλα. καὶ βοὸς χρλὴ παρακμάσ(γ) ὅσον ὁβολὸς. κεσρίνῳ δὲ ἐλαίῳ φυρῷ. καὶ ἐρίῳ πυόεντι ὠιρωπάτῳ ἀνάλαβὲν. ἐπιθέσθω δὲ σβῖ ῥίτης, νύκτα ᾗ ἡμέραν. τῇ δὲ ὑσῤῥαίῃ ἀφελομένῃ, λουέσθω θερμῷ. καὶ σκόροδα ἑφθὰ, καὶ ὠμὰ ἐσθιέτω. καὶ αἰάσκειδες ὑβίασι καὶ θυήσκουσιν. ἄλμη δὲ κλύζειν χρή. Ῥ όσωπον ἀγλαίζει. Ἡ πὰρ τώρου ῥίβειν ξὺν ἐλαίῳ, ἀλείφειν δὲ ζωὸ ἀκρήτῳ οἴνῳ. χλὴ δὲ χλωρῷ φθείρει. ἀλλὰ καὶ ὁ χυλὸς τ̃ης πίσσης, ὁμοίως λαμπρύει. καὶ ὠὸν ᾗ λευκόν. καὶ ἄλητον θῤμῶν καὶ ὀρόβων καὶ σύκων κατὰ πλασθὲν ὁμόνα. καὶ κράμβης ῥίζα ᾗ σῶῤμα. ταῦτα καὶ φακοὺς αἴρει. καὶ ἀλκυόνιον. ᾗ κονισ̃ρὸς ζωὸ λυπῇ. ἢ πρόσωπον, κνρωτῇ ὑγρῇ, σβῖ. ῥοδίνου, ὑπὸ χείειν. ᾗ ὕσῳ. ψυχρὸν προσχέειν. ᾗ ῥυτίδας ἐκτείνει. σὺ βυῆ λιβίνη μαλύβδαινα. τέβειν μηνιαίου ὕσῳ παραχέοντα πολάσαι κυκλίσκους. κ. πεισθὲν ξηρανθῶσιν, ἐλαίῳ δίεις, χείειν τὰς ῥυτίδας φθρὸν πρόσωπον. ζωὸ δὲ ῥέωσιν αἱ ῥίχες, λαύσαντα μεξὰ ῥοδίνου ἢ ἀνθίνου μύρου ῥίβειν. ᾗ μετ' οἴνου ἐγχεῖτο. ἢ πὶ σμηκρίδα γλῦ, ξὺν οἴνῳ, ἢ ῥοδίνῳ, ἢ ὀμφακίνῳ, ἢ ἀκαικῇ. ᾗ ἢν μασίσι, κύμυον ἔμπλασε, ἢ σελίνου κρπὸν, ἢ ῥάφανον ῥίπτω, ἢ κρομύω ζιπτῶ, ἢ τεύτλω, ἢ κνίδῃ. Τὰς δ' ἐφηλίδας λεγομένας αἴρει, ὁρόβιον τεύτλου τὸ χυλός. ὠῶν ᾗ λευκόν. πίσσινη. ἢ σικύου ἀγρίου ῥίζη ξηρὴ, μετ' οἴνου ζυγὸς ῥιφθεῖσα, ἐπαλειφομένη. ἢ συκῆς φύλλα προσιβέμενα. σησάμῳ ζιπτῶ σμήχεσθαι, ἢ ἀμυγδάλας πικρᾶς. κνίδης τε σῶῤμα, σκορόδων κέλυφος ἐπιδόμενον λεπιδίον.

Ἀειχλῶσαι ὀβ̃άγει πάντας. Ὄξος. μαίνα. μασηεὶς. θεῖον μετ' ὄξεος. κόρδας μου ἄγριον καὶ ᾗ σωδωθέ. ἐγλίπνης λεβήτιος. ᾗ λαπάθου ἀγρίου ῥίζα. τείβειν δὲ μετ' ὄξεος οἰνάνθες φλυκταινοῦται. ᾗ λιθαργύρου χρέο. Ῥ όδ ὀῤῥυθρῦ πὸν ἀλαβόν. Ἐ λάφ. κόρας κατὰ καύσας ὠμηλύσει κριθῶν ξυμμέξαι σπλασίῳ, ὠδὶ οἶνον πραμνιον ἐπιπάσσουσα πινέτω ᾗ ἴσα). Ἕ τερον ὁμοίως ποτόν. Ἀδιάστου ῥίζαν ῥίψας, καὶ ὀρεβινθους φῶξαι, καὶ λέκιθον πίειν σὺ μέλιτι ὡς πρὸν διδόναι, ἢ

σίθει. ἢ τοῦ λωτοῦ τὸ ἄνθος ἑψῆσαι ἐν ὕδατι, κἄπειτα τρίβειν ἐν ῥοδίνῳ μύρῳ, καὶ ἐν εἰρίῳ πρὸς τὸ στόμα τῆς ὑστέρης προσάγειν. ἢ κύπειρον, καὶ ἶριν, καὶ ἄννησον ἴσον ἑκάστου ἐν μύρῳ ῥοδίνῳ λεῖον βαλεῖν ἐς τὸ στόμα εἴσω. ἢ μυρσίνης φύλλα μελαίνης, ἐν οἴνῳ λευκῷ πίτυος φλοιὸν παραμίσγειν, καὶ ὁμοίως ποιεῖν. ἢ κυπαρίσσου καρπὸν, καὶ λιβανωτὸν ἴσον ἑκατέρου τρίβειν ὁμοῦ ἐν μύρῳ, καὶ προστιθέναι. Ἢν ξηρῶσαι δέῃ ῥόον. Καλαμίνθην ἐν οἴνῳ μέλανι ἑψεῖν, καὶ ἐς ὀθόνιον βρέξαντα, ἐπιτιθέναι. ἢ ὑοσκυάμου τῶν φύλλων, καὶ κώνειον ἅμα ἑψεῖν. ὡσαύτως πράσα, καὶ μαλάχην, καὶ κηρὸν, καὶ χηνὸς ἄλειφα μίξαι. εἶτα χλιαρὸν προστιθέναι πρὸς τὰ αἰδοῖα. ἢ οἶνον ἄκρητον ξὺν ῥητίνῃ καὶ σιδίῳ ἑφθῷ τρίβειν, καὶ προστιθέναι ὁμοίως. ἢ κνίκον σὺν οἴνῳ τρίβων προστίθει. ἢ λωτοῦ τὸ πρίσμα ὁμοίως. ἢ σχίνου φύλλα. ἢ ῥόον μέλιτι καθεφθῷ μίξας, πρόσθες. ἢν δὲ μὴ λήγῃ σούσινον ἢ βλῆτον τὴν βοτάνην ὡς γλῶσσαν οὖσαν, ἐν εἰρίῳ ποιεῖν προσθετόν. Ῥόου ὕδατος, πρόσθετον καὶ ἔγχυτον. Ἢν γυναικὶ ὕδωρ ῥέῃ ἐκ τῶν αἰδοίων, λαβὼν ῥητίνην ξηρὴν, καὶ μυρσίνης πέταλα, καὶ λίνου καρπὸν, τρῖψαι ἐν οἴνῳ. καὶ μίξαι ἐν ὄρνιθος στέατι. καὶ ἐγχέαι ἐς τὰ αἰδοῖα, κλυστῆρι. ἄλευρα χηραμύδα ὡς καθαρώτατα. ἢ ἀμύλιον ἐν εἰρίῳ προστίθεσθαι πρὸς τὸν στόμαχον. Ἄλλο ἔγχυτον ὁμοίως. Ὁκόταν ὕδωρ ἐκ τοῦ αἰδοίου ῥέῃ, μυρσίνης πέταλα καὶ λιβανωτοῦ καρπὸν ἐν χηνὸς στέατι τρίψας καὶ ῥητίνην, ἐς τὰ αἰδοῖα κλυστῆρι ἐνεῖναι. Ἢν ἀπὸ ῥόου ὑδατώδεος τὸ ἦτρον ἀλγέῃ. Ἄγνου καρπὸν τρῖψαι ἐν μέλιτι καὶ καταπλάσσειν τὸ ἦτρον καλῶς. Ἢν ῥόος αἱματώδης, ἢ λευκὸς, ἢ ὁποῖος. Θεῖον καὶ μανδραγόρου τὸ ἄκρητον, ἀναλαβόντα, εἰρίῳ προσθεῖναι. καὶ ὑπτίη εὑδέτω. καὶ ἀκίνητος μενέτω. ἢ σιδία ξηρὰ τρίβειν ἐν οἴνῳ Πραμνίῳ, καὶ διδόναι πίνειν. Ῥόου λευκοῦ ποτόν. Κισσοῦ λευκοῦ τὸ σπέρμα, καὶ πίτυος φλοιὸν ἐν οἴνῳ αὐστηρῷ παρέχειν. ἢ ἐλάφου κέρας κατακαῦσαι μοῖραν. ὠμηλύσιος δὲ δύο μοίρας καὶ κεδρίδας πέντε, τρίβειν ὕδατι καὶ πίνειν. Ὅταν πνίγηται ὑπὸ ὑστερῶν. Κάστορα καὶ κόνυζαν ἐν οἴνῳ χωρὶς καὶ ἐν ταὐτῷ πινέτω ἑκάτερον. ἀσφάλτου ὅσον τριώβολον. ἢ φώκης στέαρ ὅσον δὶς τῷ δακτύλῳ λαβεῖν. ῥίζης γλυκυσίδης ὅσον ἥμισυ πόσιος ἐν οἴνῳ εὐώδει διδόναι πίνειν. ὅταν δὲ πνίγωσι καὶ ὁμοῦ βήσσῃ, σανδαράχης ὅσον ὀβολὸν, καὶ θεῖα ἄπυρα ἴσον, καὶ ἀμύγδαλα πικρὰ καθήραντα ξυμμίσγειν τρία ἢ τέσσαρα, καὶ διδόναι ἐν οἴνῳ εὐώδει. ἢν δέ γε προσίσχωσιν αἱ ὑστέραι, κριθὰς τρίψας λεῖα ξὺν τοῖσι ἀλεύροισι, καὶ κέρας ἐλάφου, ἐλαίῳ δεύσας ὑποθυμιήσθω. ὅταν δὲ ἄνω ᾖ, καὶ θλίβηται καρδίη καὶ στόμαχος, καὶ ὑπομνήσωσι, σμύρνην ἢ ῥητίνην, ἢ νέτωπον, ἢ κάστορα, ἢ ὀπὸν σιλφίου πίσαι. Ὅταν ὑστέραι πνίγῃ. πνεῦμα δὲ σβῆνται, ἅλες ἄνω καὶ βάρος ἔχῃ. καὶ γνώμη κατάπληξ. ἀναυδίη. περίψυξις. πνεῦμα προσωπαῖον. ὄμματα ἀμαλδυνεῖται. τὴν κεφαλὴν ξυρῷ ὅτι τάχος, καὶ ταινίῃ ἀποδιωθεῖν. ὑπὸ ὀμφαλὸν δὲ ἐνδεῖ. διδόναι δὲ καστόριον καὶ κόνυζαν, καὶ πήγανον ὕδωρ. κύμινον αἰθιοπικόν. ῥαφάνου σπέρμα. θεῖον. σμύρνην. πρὸς δὲ τὰς ῥῖνας, τὰ κάκοδμα. εὔοδμα δὲ ἐς τὰς ὑστέρας. αἳν δὲ ἀνέχηται καὶ κόχλου τὸ εἶδος, τὸ λευκὸν μέλιτι δεύσας καὶ μίξας, ἀλείφειν τὴν ῥῖνα. ἢ σχῖνον λεπτὴν ἢν δάκνηται. ὅταν δὲ ὀδύνην ἔχῃ καὶ πνίγηται, μαλάχης ῥίζαν. ἢ ὀξύμελι. ἢ φλοιὸν μαράθου, καὶ κρηθμὸν ἐν ὕδατι δοῦναι πίνειν. ἄριστον δὲ ὀρυγγάνειν, καὶ διακαθίζειν, ἢ ἐλλέβορον, καὶ πταρμὸν ποιέειν. καὶ προΐσχειν πρὸς τὰς ῥῖνας. ἢν δὲ ἀπὸ τὰς φρένας δοκέωσιν ἵζεσθαι, ἐξαπίνης ἄφωνος γίνεται. ὑποχόνδρια σκληρά. καὶ πνίγεται. καὶ τοὺς ὀδόντας συμβρύχει. καὶ οὐχ ὑπακούει καλεομένη. δεῖ οὖν ὑποθυμιῆν ὑπὸ τὰς ῥῖνας, εἴριον κατακαίων. ἄσφαλτον ἐς πῦρ ἐμβάλλων. καὶ καστόριον καὶ θεῖον. καὶ πίσσαν. βουβῶνας δὲ καὶ μηροὺς, μύρῳ ἔνδοθεν εὐωδεστάτῳ χρίειν. ἢ ἀστέρας τοὺς θαλαττίους τοὺς μέλανας, καὶ κράμβην μίξας εὐώδει οἴνῳ, πινέτω. ἢ σμύρνης τριώβολον. κορίανον ὀλίγον. ῥητίνην. γλυκυσίδης ῥίζαν. κύμινον αἰθιοπικόν. ταῦτα τρίψας ἐν οἴνῳ λευκῷ καὶ ὕδατι ἢ μελικρήτῳ διέντα, πίνειν ἀκρόχλιαρον. βοηθεῖ δὲ καὶ τὸ πευκέδανον. ἀριστολοχία. κρομμύου δάκρυον. πάνακες ἐν οἴνῳ ἢ ὕδατι, ἀκρόχλιαρον διδόμενον. Ὑστέρας ἐς χώρην ἄγει. Τοῦ κρότωνος ῥίζα πινομένη. ἢ κύμινον αἰθιοπικόν. ἢ σέλινον. ἢ μαράθου σπέρμα καὶ ἀννήσου. πέπερι, ἢ σμύρνα. καὶ ὀπὸς μήκωνος πινόμενος. Ἢν ἡ καρδίη πνίγηται ἀπὸ ὑστέρης ἀναφλίβεται. καὶ πνεῦμα ἔχει. καὶ ἆσθμα. δεῖ τὸν καρπὸν τοῦ ἄγνου καὶ γλυκυσίδης ἐν οἴνῳ πίνειν. ἢ ἀβρότονον. καὶ πάνακες. καὶ ἀμμωνιακόν. ἢ πήγανον. ἢ ὑπνωτικὸν μηκώνιον. πάλιν δ' ἢν ὁμοίως ἔχῃ, μελάνθιον τρίβειν λεῖον. καὶ μέλιτι δεύειν. καὶ ποιεῖν δὴ βάλανον. καὶ πρὸς τῷ πέρδῳ προστιθέναι. ἢ ἀλίσιον ὁμοίως προστίθει. ἢ τηλέφιον, ἢ ἀνεμώνης φύλλα τρίψας, ἄνθος ἐς φύχνον, καὶ σμύρνην μικρὴν ξυμμίσγειν. Ἢν ἐς τὴν ὀσφὺν αἱ ὑστέραι κατασκήψωσι, μὴ ψαύῃ δὲ τῆς κεφαλῆς ἡ πνὶξ, ἐσθιέτω πολύποδας ἑφθοὺς, καὶ οἶνον πινέτω μέλανα εὐώδη ἄκρητον ὡς πλεῖστον. ὅταν δὲ ὡς πρὸς τὰ σπλάγχνα τραπεῖσαι πνίγωσιν, οἶνον κέδρινον. καὶ οἶνον αἰθιοπικὸν πινέτω. καὶ θερμῷ λουέσθω. καὶ πυριάσθω τὰ εὐώδεα. Ἢν ἀνεμωθῶσιν αἱ ὑστέραι, ἢ λύσματα πάντα ἐς τὸ μύρον ἐμβάλλεται. καὶ δάφνη. καὶ μυρσίνη. καὶ ἐλελίσφακος. κέδρου τε πρίσματα, καὶ κυπαρίσσου. ταῦτα κόψαι καὶ κατασῆσαι λεῖα. καὶ ἐς οἶνον εὔοδμον ἐπιπάσσειν. καὶ ἐπιχέαι ῥόδινον ἔλαιον. ὅταν δὲ μετακινηθεῖσαι θλίβωσιν αἱ ὑστέραι, κριθὰς ξὺν τοῖς κυρηβίοισι. καὶ πρόμαλον. ἐλάφου κέρας οἴνῳ δεύσας, ἐπιθυμιῆν. ὅταν προσιστάμεναι πνίγωσιν, ἐλλύχνιον ἅψαι, καὶ ἀποσβέσαι ὑπὸ τὰς ῥῖνας. λιγνὺς καὶ αἴθαλος εἴσεισι καὶ πίσσαν καὶ καστόριον. καὶ πευκέδανον, καὶ σμύρναν διεὶς μύρῳ ἰρίνῳ

ἀναδεύσασα

ἀναδεύσασα προστιθέσθω. πίνειν δὲ ῥητίνην ἐλαίῳ διέντα. Ἢν πνίγωσι λίην, διδόναι ποτὸν, ἢ χελώνης παραθαλασσίης ὅσον διώβολον τρίψας ἐν οἴνῳ λευκῷ, κοτύλην, ἢ κυάθους τρεῖς πίνειν. ἢ κέδρον ἐς λύχνον ἐπιχέας ἅψαι τὸν λύχνον. καὶ ἐὰν ἀποσβεσθῇ πρὸς τὰς ῥῖνας, πρόσαγε βόρβορον ὡς δυσωδέστατον ὁμοίως. ἢ εἴριον κατακαύσας ὑπὸ τὰς ῥῖνας ὑποθυμιῆν τῆς γυναικός. ἢ ἀσφάλτου ὀλίγον τρίψας ἐν οἴνῳ λευκῷ πινέτω. ἢ ὀρυσίμου κόγχην, καὶ καστόρεα ἐν οἴνῳ λευκῷ, δὸς πιεῖν. καὶ λούσθω. ἢν δὲ μὴ βήσσῃ, σανδαράχης ὀβολόν. θείου δύο ὀβολοὺς ἀπύρου. ἀμύγδαλα πικρὰ ἀποκαθήρας, καὶ καστορίου ὀβολὸν, μίσγειν σὺν οἴνῳ εὐώδει. καὶ πίνειν δίδου. Ἢν δὲ πνίγωσιν αἱ ὑστέραι, καὶ τῆς καρδίας ψαύσῃ τὸ πνῖγμα, καὶ μεμύκῃ τὸ στόμα, ὄξος θερμὸν δίδου ῥοφεῖν. πασπαλίσκῳ ἢ κορκίδι ἀνοίγε. καὶ οἶνον ὁμοίως εὔοδμον. καὶ σὺν ὀξυμέλιτι. ἢν λίην δὲ πνίγωσι, καὶ ἄφωνος ᾖ, κρόμμυον ἐν οἴνῳ χλιαρῷ τρίψας, ἐνστάζειν ἐς τὰς ῥῖνας καὶ ἀνεγείρειν. ἢν δὲ ἄχρις ἥπατος ἀνίωσι καὶ πνίγηται, ἄφωνος γίνεται. καὶ οὐδὲν ὁρᾷ. καὶ τοὺς ὀδόντας συμβρύχει. καὶ σκληρὴ γίνεται. καὶ οὐδὲν φρονέει. καὶ ἀναπνεῖ πυκνά. καὶ οὐχ ὑπακούει. ταύτην ὑπὸ τὰ ὑποχόνδρια λαβὼν τῇσι χερσὶ, χρίειν θαμινάκις. καὶ τοὺς ὀδόντας διαχαίνων πασσάλῳ, οἶνον ἄκρητον χλιαρὸν ἐγχέειν, ἢν μή τι κωλύῃ. καὶ αὐτίκα ῥαΐζει ὡς τὰ πολλά. ἐὰν ἐγχέωνται ἐς τοὺς βουβῶνας καὶ ἐρείδωσιν, αἰγὸς πυράθους, καὶ λαγωοῦ τρίψας, ἐλαίῳ φώκης δεύσας, ὑποθυμιᾶν. τοῦ κυπισσοῦ τὸν καρπὸν, ἢ τὰ φύλλα αὐαίνειν, ἢ τὸν φλοιὸν, καὶ δρυὸς φύλλα, καὶ ῥητίνην μίξας, ἐλαίῳ δεύειν καὶ ὑποθυμιᾶν. φώκης τῆς πίτυος τὸ δέρμα κόψας λεῖον. καὶ σπόγγον καὶ βρύα λεῖα μίσγειν τῷ ἐλαίῳ τῆς φώκης. καὶ ὑποθυμιᾶν αἰγὸς τοὺς πυράθους. καὶ φώκης πνεύμονες. καὶ κέδρου πρίσματα. ὑποθυμιᾶν δὲ καὶ βόλβιτον. ἢ κεράτων ξύσματα βοὸς, καὶ ἄσφαλτον. ἢ ἀκάνθης αἰγυπτίης καρπὸν, καὶ κέδρου πρίσματα. καὶ μυρσίνης φύλλα ξηρὰ μύρῳ μαλθακῷ. ταῦτα δεύσας ὑποθυμιᾶν. ἀρώματα δὲ συχνὰ ἐς τὸ μύρον ἐμβάλλειν. ἢ γίγαρτα κόψας λεῖα. καὶ κεδρίαν καὶ ῥητίνην πιτυΐνην ὁμοῦ μίξας γλυκεῖ ἑφθῷ δεύσας ὑποθυμιᾶν. πυριήσας, ὡς ἂν πίωσι βολβίτου κεκαυμένου καὶ ὄξεος ἥμισυ. καὶ ὀροβίου θαλάσσης ἢ ὕδατος ὁμοίως πυρία τὰς ῥῖνας. πυριῆν δὲ βληχρῶς. καὶ φακὸν πιεῖν. ἀπεμέειν δὲ καὶ ῥοφέειν διδόναι, ἄλητον. καὶ ἔτι τὸν οἶνον. τῇ δ' ὑστεραίῃ, κόκκος ἔστω καταπότιον. καὶ οὐρητικὸν δὲ, ἀσταφίδας καὶ ἐρεβίνθους δύο τρίψας, σταφίδος τῆς ἀγρίης ἐπιχέας χόα ἕψε. ἔπειτα ἀποχέας πρὸς τὴν αἰθρίην θεῖναι. καὶ τῇ ὑστεραίῃ πίνειν. καὶ τὸ λοιπὸν ἐλελίσφακον. καὶ λίνου σπέρμα. καὶ ἄλφιτον διδόναι δὶς τῆς ἡμέρης ἐν οἴνῳ κεκρημένῳ, κοτύλας τέσσαρας. ἐλαίου ἡμικοτύλιον. ἀκτῆς φύλλα χεῖρα πλέην. ταῦτα ἑψεῖν καὶ πυριῆν θερμῷ, ἢ ὀστρακίοισι θερμοῖσιν, ἐπὶ δίφρου καθέζεσθαι. ἀμφικαλύπτειν ἢ εἵμασιν. ἢ τῆς ἀκτῆς τὰ φύλλα, σὺν μυρσίνῃ ἑψεῖν. καὶ κριθῶν ἄχυρα ἑψεῖν. καὶ ἢν οἷά τε δεῖ ὑποφορέειν ὄξος. ἔλαιον. μέλι. ὕδωρ. ταῦτα κεράσας καὶ ἀναμίξας, ἀναζέσαι σφόδρα ἐς κύστιν ἐγχέαι. καὶ τῆς πίτυος τὸν φλοιὸν καὶ τῆς ῥοιῆς τὰ φύλλα ἐμβάλλειν ἐς ὕδωρ. ἀφεψεῖν δὲ ἰσχυρῶς. καὶ ἐμβάλλειν ἐς τὸ ὕδωρ. καὶ κριθῶν ἄχυρα ἑψεῖν, ἔλαιον ἐπιχέαντα. ἢ λωτοῦ πρίσματα. καὶ κυπαρίσσου ὕδωρ ἐπιχέας καὶ ἔλαιον, ἕψε εὖ μάλα. καὶ πυρία σὺν ἀρώμασι. μύρον ἐγχέειν. καὶ κικίδα ἐμβάλλειν. καὶ ῥάμνου φλοιοῦ, καὶ πύρινα ἄλφιτα, ξὺν ὕδατι. ἢν δὲ προΐσχωσιν ἔξω τὰ νεῦρα, καὶ τὰ καλεόμενα ὄχοι χαλῶνται, μύρτα. λωτοῦ πρίσματα. βάτου. καὶ ἐλαίης φύλλα ἅμα ἑψεῖν. καὶ πυριῆν ἀκροχλιαρῶς, ἢ οἴνῳ μετὰ τουτέων καὶ κακωδέων, ὁμοίως. περιχρίειν δὲ τῷ λευκῷ τοῦ ᾠοῦ τὰ ἔξω ὅταν ψύχηται, καὶ πελιδνὰ ἔωσιν ὕδατι θερμῷ. Μαλθακτήρια ὑστέρης. Οἴος στέαρ. ᾠῶν λέκιθος. μέλι. ἔλαιον ῥόδινον. τουτέοις ἀναφυρήσας ἄλητα, παραχλιαίνειν ἐν πυρὶ μαλθακῷ τὸ ἀποσταζόμενον ἐς εἴριον ἀναμαλάσσειν, καὶ προστιθέναι. ἢ στέαρ οἴος ἡδὺ, νίτρον ἐρυθρὸν, ἢ χηνὸς ἄλειφα, ῥόδινον ἔλαιον ξυντήξας καὶ ἐς εἴριον ἀναφυρήσας, προσθεῖναι. χηνὸς ἄλειφα, ἢ μήλειον στέαρ κηρὸν λευκόν. νέτωπον. ῥόδινον ἔλαιον. ὡς ἄριστα ταῦτα ἀναμὶξ ποιεῖν. καὶ ῥάκεα ἐγκατίλλειν λεπτά. καὶ αὐτίκα λυσαμένη, προστιθέσθω χλιαρὰ πρὸς τὸ στόμα. ἢ ἐλάφου μυελὸν καὶ στέαρ τῆξαι ἐν ῥοδίνῳ ἐλαίῳ ἀναφορήξασα εἴριον μαλθακὸν προστιθέσθω. Μαλθακὰ πρόσθετα ὕδωρ ἄγει καὶ μύξας καὶ δέρματα καὶ οὐχ ἑλκοῖ. Σμύρναν ὡς ἀρίστην. καὶ ἅλος χόνδρον. καὶ πίσσαν ἡδίστην, τρίβειν λεῖα καὶ τιθέναι. Ἕτερον πρόσθετον. Ἐλέψας κόκκους ἑξήκοντα, τὸ ἰνδικὸν ὃ καλέουσι οἱ πέρσαι πέπερι, καὶ ἐν τουτέῳ ἐνὶ στρογγύλον, ὃ καλοῦσι μυρτίδανον, ξὺν γάλακτι γυναικείῳ ὁμοῦ τρίβειν, καὶ μέλιτι διεῖναι. ἔπειτα εἴριον μαλθακὸν καὶ καθαρὸν ἀναφυρήσας, περὶ πτερὸν περιελίξας, προσθεῖναι, καὶ τὴν ἡμέρην ἐᾶν. ἢν δὲ ἰσχυρότερον βούλῃ ποιῆσαι, σμύρναν ὀλίγην παραμίσγειν, ὅσον τριτημόριον. καὶ εἴριον μαλθακὸν καθαρὸν, ἢ μέρυτον. Ἄγει δὲ ὑστερέων καὶ τὸ στόμα μαλθάσσει. Νάρκισσος. κύμινον. σμύρνα. λιβανωτός. ἀψίνθιον. κύπρος. αὐτὰ ταῦτα καθ' ἑωυτὰ καὶ ξὺν ῥοδίνῳ ἐλαίῳ ἢ λευκῷ ἢ αἰγυπτίῳ. προσθέσθω δὲ λυσαμένη. Ἰχῶρα ὕφαιμον δυνάμενον ἄγειν. Σὺν τοῖς δεσὶ, μίσγειν σμύρναν. ἅλας. κύμινον. χολὴν ταυρείην. μέλι ἐν εἰρίῳ προστιθέναι. καὶ κυμίνου φύλλα, ἡδελφισμένως ἐν οἴνῳ. ἢ ὀπὸν σιλφίου, σύκῳ μίσγειν, καὶ βάλανον ποιήσαντα προσθεῖναι. τὸ δ' αὐτὸ ποιεῖ καὶ συκῆς ῥίζα σὺν μέλιτι. καὶ μετέπειτα, χρίειν ῥοδίνῳ. ἐνεργεῖ δὲ καὶ σκορόδου μάλυζα. νίτρου ἐρυθροῦ. σύκου πίονος, ἴσον μίσγειν δὲ κικίδα μικρὴν, καὶ βάλανον ποιέειν, καὶ ἐμβάπτειν ἐς τι τῶν

ὑγρῶν, καὶ προστιθέναι. κἄπειτα λουσαμένη ἐλάφου στέαρ ἐν εἰρίῳ ἐχέτω. Αἱματώδεα πάντα μᾶλλον τὰ πρόσθεν ἄγειν δύναται καὶ μαλθάσσειν. Γέτερον ἐλατήριον, ξυμμίσγειν δὲ καὶ γυναικὸς γάλα, καὶ τρίβειν σὺν τοῖσδε, καὶ μέλι. καὶ ἄλειφα λευκόν. ἐλάφου τε στέαρ ξυγχωομένην. Σφόδρα δὲ ἄγει παντοῖα. Σύκου τὸ παρ' ἐλατηρίου δύο πόσιας, νίτρον ἐρυθρὸν, ὅσον τὸ ἐλατήριον. μέλι ἐλίγχειν ἐν ῥάκει ἢ ἐν εἰρίῳ, βάλανον ποιέειν. Ἕτερον. Νέτωπον. χολὴν ταύρου. νίτρον, κυκλάμινον. κνίδης, τρίβειν σὺν μέλιτι. μετέπειτα δὲ καὶ λουσαμένη, στέαρ ἐχέτω, ἢ γλήχωνα. καὶ χολὴν ταύρου ἑφθὴν περιπλάσσειν πτερῷ. καὶ ἐς ἄλειφα ἐμβάψας αἰγύπτιον, προστιθέναι. ἢ κυκλάμινον ὅσον ἀστράγαλον σὺν χαλκοῦ ἄνθει. ἢ ἀνεμώνης κεφαλὴν, τρίψας σὺν ἀλήτῳ, πτερῷ περιπλάσσειν ἐς λευκὸν εἴριον ἐμβάπτεσθαι. Ἄγει πάντα. Σικύου ἐντεριώνης τοῦ μακροῦ ἑλὼν τὸ σπέρμα σὺν γάλακτι, καὶ σμύρναν σὺν αὐτοῖσιν ἄκρητον, μέλιτι ποσὸν αἰγύπτιον ἔλαιον εἰρίῳ μαλθακῷ ἀναφορύξαι. ἢ τὴν ἐντεριώνην τοῦ σικύης ξηραίνειν. καὶ μέλι περιχέαι. καὶ τρίβειν καὶ βάλανον ποιέειν. ἐπὴν δὲ λούσηται, στέαρ προστιθέσθω. ἢ ἐλατηρίου τρεῖς πόσιας ἐν ὕδατι. Μαλθακτήρια. Ὠοῦ τὸ λευκόν. ἄλητον. μελίκρητον λευκόν. ταῦτα ὁμοῦ χλιαίνειν, καὶ τὸ ἀποστάζον εἴριον ἀνασπογγίσας, πρόσθες. Ἢ χηνὸς ἄλειφα, κηρὸν λευκόν. ῥητίνην. μύρον ῥόδινον. μυελὸν ἐλάφου, τήκειν. ἢ στέαρ οἶος, ἢ αἰγὸς, ὠοῦ τὸ λευκὸν, ῥόδινον μύρον, ἢ βάλανον ποιέειν, ἢ εἰρίῳ ἀναλαμβάνειν. Πυρίαι δι' ὧν ὑστέραι καθαίρονται, ἢν σκληραὶ ἔωσιν. Οἶνον χρὴ ὡς ἥδιστον, ἴσον ἴσῳ κεράσαι, ὡς τρία ἡμιχόεα ἀττικά. καὶ μαράθου ῥίζαν, καὶ τοῦ καρποῦ, τεταρτημόριον. καὶ ῥοδίνου ἀλείφατος, ἡμικοτύλιον, ἐς ἐχῖνον ἐᾶσαι, οὗ τὸ ἐπίθεμα ὀπὴν ἔχει. καὶ ἐπιχέαι τὸν οἶνον. καὶ ἐνθέντα κάλαμον, πυριῆσαι. καὶ μετέπειτα τὴν σπίλην προστίθεσθαι. Ἢν ὀδύναι καταπαύσωσιν ἐξαπιναίως, καὶ ἄψυχοι ἔωσι. Ῥόδων φύλλα. κιννάμωμον. σμύρναν καθαρήν. νέτωπον. ὀποῦ μήκωνος. τουτέων φθοΐσκους ποιήσας ὅσον δραχμιαίους, ἐπίθες. ἐπὶ ζόφος ἀμφοτέρως, ἢν διαφανὲς, ἢ χρῶ ὑγρῷ μήματι. ἢ στύρακος, ὅσον ἐμβάλλουσιν ἐς τοὔλαιον. ὡς ἐπὶ τὸ προστορῆς χρῆσθαι ἅπαντα. ὁκόσα ἐς τὰ μύρα ἐμβάλλεται, κόψαι καὶ κατασῆσαι. ἐπιβάλλειν δὲ ἐπὶ τὸν βολίτον τὸν στύρακα. καὶ περιχρίειν νετώπῳ. ῥόδινον ἔλαιον ὡς ἄριστον. καὶ αἰγύπτιον λευκόν, θυμιᾶν τοῦτο μετὰ τὰς καθάρσιας. ἢ δάφνης καὶ μυρσίνης φύλλα κόψαι, καὶ κυπείρου καρπὸν, ἐργάζεσθαι αἰγυπτίῳ λευκῷ μύρῳ. καὶ νετώπῳ καὶ ἐπὶ βολίτῳ, θυμιᾶν. ἀρρήγει δὲ, καὶ μάννα. κυπαρίσσου πρίσματα. καὶ κυπείρου ῥίζα κόπτεται. σῆσαι δὲ καὶ σχοῖνον, τὸν εὔοσμον ἢ λύσιμον. καὶ κάρδαμον. καὶ ἶριν. ταῦτα πάντα μίσγειν. περιχέαι δὲ αὐτοῖς, ῥόδινον ἔλαιον, καὶ νέτωπον. καὶ χρέεσθαι ἐν κριθμοῖσι πυρίνοισιν. ἢ ῥητίνην ἐπὶ νεοπήκτου κεραμίδος, θυμιᾶν, ἐπιβαλὼν καστόριον, ἢ τι τῶν ἀρωμάτων. τὴν δὲ κεφαλὴν, τέγγειν ἐλαίῳ ῥοδίνῳ. ἐς δὲ τὰ ὦτα, μύρσινον ἢ μήλινον, ἢ λευκοὺς ἐρεβίνθους καὶ σταφίδας ἑψήσας, διδοῦν πίνειν. καὶ ἐν ὕδατι θερμῷ καθέζεσθαι. καὶ ἐλαίης λευκῆς πρὶν ἂν ἔλαιον ἀνεῖναι κατακνίσαι καὶ αὐῆναι. καὶ ἐς οἶνον τρίβειν εὐώδεα. καὶ ἐμβάψαντα ἀττικὸν διδόναι. ἢ κανθαρίδων τὰς γαστέρας, ἢ ἀδίαντον, καὶ νίτρον ἐρυθρὸν αἰγύπτιον. ῥίζαν νάρθηκος. καὶ σελίνου σπέρμα λεῖον. ταῦτα διδόναι. ἢν δὲ ἐπιπλάζηται στραγγουρίη, ἐν ὕδατι καθιζέσθω. καὶ γλυκὺ πινέτω. ἢν μάλιστα πνίγηται ἐν ὀδύνῃ ὑστερέων. οἶνον ὡς ἥδιστον ἴσον ἴσῳ κεράσαι, ὡς τρία ἡμίχοα ἀττικά, καὶ μαράθου ῥίζας, καὶ τοῦ καρποῦ τριτημόριον, καὶ ῥοδίνου ἐλαίου, ἡμικοτύλιον. ταῦτα ἐμβάλλειν ἐς ἐχῖνον καινόν. καὶ τὸν οἶνον ἐπιχέαντα πυριᾶν. καὶ τὴν σπίλην προστίθεσθαι, ἐς ἂν φῇ τὸ στόμα μαλθακὸν εἶναι καὶ εὐρύ. καὶ ἢν ἑλκωθῇ, καὶ φλυκτίδες πανταχοῦ αὐτοῦ ἔωσιν, ἄμεινον στέατος χηνείου ἀλείφατι σὺν λιβανωτῷ θεραπεύειν. Ὑπὲρ ὑστερέων ὀδύνης. Πευκέδανον, ἀριστολοχίαν, πάνακες, ταῦτα ὁμοῦ μίξαι ἐν γλυκεῖ οἴνῳ. καὶ χλιήναντα πίσαι. καὶ μήκωνος λευκῆς ῥοφέειν. καὶ κνίδης σπέρμα. Ἄλλη πυρίη. Θυμιᾶν ἢν ὀδύνη ἔχῃ, σίδια ῥοιῆς γλυκείης. λωτοῦ πρίσματα. ἐλαίης φύλλα ξηρὰ κεκομμένα. ταῦτα ἐλαίῳ ἐργάζεσθαι χρή, καὶ ἐπὶ βολίτον πεπυρωμένον, ἐπιρρίπτειν. ἢ χαλβάνην. σμύρναν, λιβανωτόν, ἔλαιον λευκὸν αἰγύπτιον ἐπὶ ὀναρίδων. Ἑτέρη πυρίη ἡ δι' ἀσφάλτου στερεωτέρα. Ἀσφάλτου ῥίζης κανθίνης. λαγωοῦ τρίχας. ἢ πήγανον. κόριον ξηρὸν, ταῦτα τρίψας πάντα, φθοΐσκους πλασάμενον, θυμιᾶν. ἢ ἐπὶ πίσσης σανδαράκην κόψας λείην, μίξαι πρίσματα κυπαρίσσου. καὶ μύρον ἐπιχέας, φθοΐσκους ποιεῖν, καὶ ἐπὶ πυρὶ θυμιᾶν. ἢ αἰγὸς κέρας κατατρίψας ἐλαίῳ ἀναχυθὲν ἐπὶ πυρὶ θυμιᾶν. ἢ ὀρύξας βόθρον, γίγαρτα φρύγειν, καὶ τὴν σποδιὴν ἐμβάλλειν ἐς τὸν βόθρον. καὶ οἴνῳ εὐώδει νωτίσας τὰ γίγαρτα, περικαθεζομένην πυριῆσθαι. ἔστωσαν δὲ τῶν γιγάρτων δύο μοῖραι. καὶ αὗται δὲ αὖαι ὡς τὰ μάλιστα. ἢν δὲ ὑστέρη ἀλγέῃ ἄχρι κύστιος, πράσου καρπὸν σὺν ὕδατι τετριμμένον πίνειν. ἢ κυκλαμίνου ῥίζην ἐν οἴνῳ λευκῷ πιπίσκειν νῆστιν. καὶ θερμῷ λουέσθω. καὶ ἀπόθερμον πινέτω νῆστις. καὶ χλιάσματα προστιθέναι. ἢ σκορόδου μόλυξαν, καὶ νίτρον ὀπτὸν, καὶ κύμινον, λεῖα ποιήσας μέλιτι δεύων, προστίθει. καὶ ἐν θερμῷ λουέσθω. καὶ θερμὸν πινέτω. Ὑστερέων πάσης νούσου θεραπευτικόν. Λίνον τὸ σχιστὸν αὐτῇ τῇ καλάμῃ ὅσον δραχμὴν κόψας λεπτὸν, καταβρέξαι ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ τὴν νύκτα. ἔπειτα ἀποθήσας διαχλιήνας τε ἐν εἰρίῳ ὡς μαλθακωτάτῳ ἐμβάπτειν. καὶ τὸ μὲν, προστιθέναι. τὸ δὲ, ἀφαιρέειν. βοηθεῖ δὲ καὶ κρόκος, ἔτι τε σμύρνα. κάρυα ποντικά. λευκόν τε

καθαρὸν

καθαρὸν ἐκ χηνὸς ἐν στέατι καὶ μύρῳ ἰρίνῳ προστιθέναι. Ἢν περιωδυνίη ἔχῃ ἐκ προσθέτων καθαιρομένην μυρσίνης ἐμβάφιον. λιβανωτὸν ἴσον. μελάνθιον. κύπειρον. σέσελι. ἄννησον. λίνον. νέτωπον. μέλι. ῥητίνην. χηνὸς στέαρ. ὄξος λευκόν. μύρον αἰγύπτιον. ἴσον ἑκάστου τρίβειν ἐν οἴνῳ λευκῷ γλυκεῖ, δύο κοτύλησι καὶ κλύζειν χλιεροῖσι κλυσμοῖσιν. Ἢν ὀδύνη ἔχῃ σφοδρὰ, κανθαρίδες, κύπειρος. κάλαμος. σχοῖνος. καὶ ἶρις. ταῦτα ἐν οἴνῳ μέλανι ἑψῶν, χρέο. Ἕτερος κλυσμὸς ἢν περιωδυνίη καὶ στραγγουρίη ἔχει. Πράσου χυλόν. ἀκτῆς καρπόν. σέσελι. ἄννησον. λιβανωτόν. σμύρναν. οἶνον χύλωσον καὶ μίξον, καὶ κλύσαι. ἢ σμύρνης ὀξύβαφον. λιβανωτοῦ ἴσον. μελανθίου τοῦ κυπρίου ἴσον. σέσελι. ἄννησον. σελίνου σπέρμα. νέτωπον. μέλι. ῥητίνην. χηνὸς στέαρ. ὄξος λευκόν. μύρον αἰγύπτιον. τούτων ἴσον ἑκάστου διεῖναι οἴνῳ λευκῷ γλυκεῖ, καὶ κλύζειν. ἢ λινοζώστιος ὕδωρ, ἀφεψήσας σὺν σμύρνῃ. λιβανωτῷ. νετώπῳ. ἢ ἐλελίσφακον ὑπερικὸν, ἑψεῖν ἐν ὕδατι καὶ κλύζειν. ἢ λίνου καρπόν. ἄννησον. μελάνθιον. σέσελι. σμύρνην. κνεώρου καρπὸν ἐν οἴνῳ ἑψεῖν καὶ κλύζειν. Ἕτερος κλυσμὸς ἢν ὀδύνη ἴσχῃ σφοδρὴ, μετὰ κάθαρσιν. Ἀκτῆς καρπὸν καὶ δαφνίδας ἑψεῖν ἐν οἴνῳ μέλανι καὶ κλύσαι. ἢ ἀκτὴν ἑψήσας ἐν ὕδατι, ἀποχέειν τὸ ὕδωρ. οἶνον δὲ γλυκὺν παραχέας, κλύσαι. ἢν μετὰ κλυσμὸν ὀδύνη ἐπιλάβηται, ἑψεῖν τὰ θυώματα ἐς τὸ μύρον ἐμβαλλόμενα. καὶ ἀποχέαι τοῦ ὕδατος, δύο κοτύλας. μίξαι δὲ ἔλαιον χηνὸς καὶ ῥόδινον, καὶ κλύζειν χλιερῷ. πλεῖον δὲ κλύσμα δύο κοτυλέων μηδενὶ ὡς ἔπος εἰπεῖν. ἢ λινόζωστιν ἑψεῖν ὕδατι, καὶ μίξαι χυλὸν μυρσίνης. ἢ λιβανωτόν. νέτωπον ἴσον. καὶ κλύσαι χλιερῷ. ἢν δὲ ἀλγέῃ τὰς ὑστέρας, κυκλαμίνου ῥίζαν ἐν οἴνῳ λευκῷ πιπίσκειν νῆστιν. καὶ τῷ θερμῷ λουέσθω. καὶ ἀπόθερμον πινέτω. Ἢν ἅψηται τὰ αἰδοῖα. Μύρον θερμὸν ξὺν οἴνῳ κλύζεσθαι. καὶ μελίλωτον προστιθέναι. καὶ γλυκυσίδης ἐν οἴνῳ ἡψημένης τρίπτης, προστιθέσθω. καὶ σμύρναν καὶ ῥητίνην ὁμοῦ μίξας, καὶ διεὶς οἴνῳ, ὀθόνιον ἐμβάπτων προστιθέναι. καὶ στραγγουρίη ἢν λάβῃ, πυριῆν καὶ χρίειν τὸ ἦτρον. ἐγκαθίζεσθαι δὲ ἐν ῥόδων ἀφεψήματι, ἢ βάτου, ἢ μυρσίνης, ἢ ἐλαίης, ἢ ἑλίκων ἀμπέλου, ἢ ἀρκευθίδων, ἢ ἐλελισφάκου. Ἢν δὲ ἄνεμος ἐπιλάβηται ἐν τῇ μήτρῃ, πόνος τε ἐπιγίνηται ἀσυρχιός. καὶ φῦσα οὐκ ἔξεισιν, κύμινον προστιθέσθω. ἐλελίσφακον καὶ κύπειρον κόψας καὶ τέγξας τὴν νύκτα ὅλην ἕωθεν ἀπηθήσας, τὸ διαυγές τε ἐγχέαι ἐς κειμινὰ πτέρινα ἐν οἴνῳ λευκῷ φορύξαι. καὶ ὀπὸν σιλφίου, ὡς κύαθον, ἐς κρᾶμα ἑψεῖν καὶ οἰνόμετρον διδοῦν ῥοφέειν. Ἢν κιὼν ἐν τοῖσιν αἰδοίοισιν ἐπιλάβηται, ὀδύνη ἴσχει. καὶ τὴν μὲν ὀδύνης σελίνου καρπὸς, ἀλέξημα. καὶ κισσὸς, καὶ ῥοιῆς γλυκείης τρίψας ἐν οἴνῳ παλαιῷ ξὺν ποταμίῃ σαρκὶ προστίθεσθαι καὶ ἐπιπλάσαι τὰ φύλλα. τὴν δὲ νύκτα ὅλην ἐχέτω. κἄπειτα ἀφελομένη, ἐν οἴνῳ διακλυζέσθω.

ἹΠΠΟΚΡΆΤΟΥΣ ΠΕΡῚ ἈΦΌΡΩΝ.

Περὶ μὲν τῶν γινομένων τῇσι γυναιξὶν ἐφ' ἑκάστοισι τῶν παθημάτων, πρότερον εἴρηται. νυνὶ δὲ ἀποφανέω δι' ἃς αἰτίας ἄφοροι γυναῖκες τὸ παράπαν. καὶ διότι οὐ τίκτουσι πρὶν ἰηθῶσι. φημὶ δὲ τοῦτο αἴτιον εἶναι, ἢν στραφῇ τὸ στόμα τῶν μητρέων παράπαν ἀπὸ τοῦ αἰδοίου, οὐ κυΐσκουσιν. οὐ γὰρ δέχονται αἱ μῆτραι τὴν γονήν, ἀλλ' ἔξω αὐτίκα ἔρχεται. γίνεται δὲ τοῦτο καὶ ἢν ὀλίγον παραστραφῇ τὸ στόμα τῶν ὑστερέων ἀπὸ τοῦ αἰδοίου παρὰ φύσιν. καὶ ἢν μεμύκῃ τὸ στόμα τῶν μητρέων παράπαν, οὐδ' οὕτως δέχονται. οὐδ' ἢν ἀρμοῖ μεμύκῃ μᾶλλον ἢ δεῖ. δῆλον δὲ τουτέων ἕκαστον ὧδε τῶν εἰρημένων. ἢν μὲν ἀπεστραμμένον ᾖ παράπαν ἢ μεμυκὸς, τὰ καταμήνια οὐκ ἔρχεται τὸ παράπαν. ἢ ἔρχεται βιαίως, ξὺν νούσῳ. ἢν βιάσηται τὸ αἷμα τὰς μήτρας στραφῆναι κατ' ἰθέα. κἢν ἀποκαθαρθῇ ἡ γυνή ἐστιν ὅτε αὐτόματα ἀποστρέφεται τὸ στόμα τῶν μητρέων ἀπὸ τοῦ αἰδοίου. ἢν δὲ ὀλίγον παρακεκλιμένον ἢ ἀρμοῖ μεμύκῃ, χωρέει μὲν τὰ καταμήνια. χωρέει δὲ βιαίως. καὶ κατ' ὀλίγον ἐπὶ πολλὰς ἡμέρας. ταῦτα δὲ πάντα δῆλα γίνεται, εἰ οὕτως ἔχει ψηλαφώσῃ γυναικί. καὶ ἢν τούτων τι ᾖ, μελεδανθεῖσα ἡ γυνὴ, φορὸς γίνεται. ἔστι δὲ καὶ ὅτε αὐτομάτη. τούτων δὲ ἕκαστον διότι γίνεται, εἰρήσεται. εἴρηται δὲ ἐν τοῖσι γυναικείοισι νουσήμασιν.

Ἢν δὲ λεῖαι ἔωσιν αἱ μῆτραι, γίνεται δὲ τοῦτο καὶ φύσει ἐνίῃσι, καὶ ἢν ἕλκεα ἐγγενόμενα, μεγάλας οὐλὰς ἐγκαταλίπῃ. καὶ ἢν λεῖαι ἔωσιν, οὐ λαμβάνει ἡ γυνὴ ἐν γαστρί. τὴν γὰρ γονὴν δέχονται μὲν αἱ μῆτραι, ἢν μή τι αἴτιον ἄλλο ᾖ. ξυλλαμβάνουσι δὲ, οὔ. ἀλλὰ τὸν σπόρον ἔξω χαλῶσι. δῆλον δὲ μάλιστα ὧδε ψηλαφώσει. καὶ ἐρομένη εἴποτε ἐν τῇσι μήτρῃσιν ἕλκεα, οἱ ἐγένοντο. τὰ δὲ καταμήνια ὑγιηρῶς μὲν ἐν τουτέῳ τῷ νουσήματι χωρέει. ἄνιπτος δὲ γίνεται ὡς ἐπὶ πλέον ἡ τοιαύτη. γίνεται δὲ καὶ τοῦτο αἴτιον, τοῦ μὴ συλλαμβάνειν ἐν γαστρί. Ἢν ἕλκος γίνηται ἐν τῇσι μήτρῃσιν ὑπὸ παθήματος τούτων τῶν εἰρημένων, καὶ μὴ ταχὺ ὑγιανθῇ, ἀλλὰ μολυνθῇ. παραμένει γὰρ τὸ ἕλκος ἐπὶ πουλὺν χρόνον, ὥσπερ καὶ τὸ ἐν ὠτὶ ἐὸν, καὶ ὄζει πονηρὸν ἡ γυνή. καὶ ἔστιν ὅτε ἰχὼρ ῥέει αὐτῇ ἐκ τοῦ αἰδοίου κάκοδμος. καὶ μέχρις ἂν ἔχῃ τὸ ἕλκος, οὐ λαμβάνει ἐν γαστρί. οὐ γὰρ συλλαμβάνουσιν αἱ μῆτραι τὴν γονήν. ταύτῃ τὰ δὲ καταμήνια χωρέει ὑγιηρῶς. ἐν ψηλαφήσει δὲ μάλιστα γίνεται δῆλον καὶ ἐρωτήσει περὶ τῶν εἰρημένων. μελεδανθεῖσα δὲ, φορὸς γίνεται. ὀλίγαι δὲ ἐλπίδες εἰσίν. ἢν δὲ τὰ κατα-

μηνίων ἔλλειψις ἐστί τι ἐν τῇσι μήτρῃσιν ἔκκρισιν ἔχῃ, θερμανθεῖσα δὲ, καὶ αὖθις ψυχωθεῖσα τὸ στόμα ἢ ὀλίγον ἐνδοτέρω, οὐδ' οὕτω λαμβάνει ἐν γαστρί. ἔρυγμα δὲ τοῦτο ἐπικείμενον, οὐ παρίησι τὴν γονὴν ἰέναι, ὅκου δεῖ. καὶ ἢν μὲν ἐν ἀρχῇ μελεδαίνηται, ὑγιαίνει καὶ φορὸς γίνεται. ἢν δὲ χρόνος ἐγγένηται, ἄφορος μένει. δῆλον δὲ τὸ πάθημα, ψηλαφήσει μάλιστα δεῖ, σκληρὸν γάρ τι ἐγγίνεται. καὶ ἢν χάσκωσι μᾶλλον τοῦ καιροῦ αἱ μῆτραι, οὐδὲ οὕτω κυΐσκεται. οὐ γὰρ ξυλλαμβάνουσιν αἱ μῆτραι τὴν γονήν, δῆλον δὲ ἔσται καὶ τοῦτο ψηλαφήσει. καὶ τὰ καταμήνια ἔρχεται ἀλέα, καὶ ἐπ' ὀλίγας ἡμέρας. Γίνεται δὲ καὶ φύσει τὸ πάθημα τοῦτο, καὶ ἀπὸ νοσημάτων τῶν εἰρημένων. κἢν μὲν φύσει ᾖ, ἀνίητος ἡ νοῦσος. ἢν δὲ μή, οὐχ ὑγιηρὰ χωρέει τὰ καταμήνια, διὰ τὸ τῆς γυναικὸς μὴ ὑγιηρῆς ἐούσης, οὐδὲ οὕτω κυΐσκεται. οὐ γὰρ πήγνυται ἀπὸ τοῦ αἵματος νοσεροῦ ἐόντος, ἀλλὰ διουρέει τὴν γονήν, τὸ αἷμα τὸ κατιὸν ἀπὸ τοῦ σώματος νοσερὸν ἐόν. διουρηθεῖσα δὲ ἡ γονή, ἐξέρχεται ἔξω τῷ χρόνῳ ἢ ὀλίγῳ, ἢ πολλῷ ἔξω ἰοῦσα. δῆλον δὲ δεῖ τῷ σώματι τῆς γυναικὸς, καὶ τοῖσι καταμηνίοισι. χωρήσει γὰρ τὰ καταμήνια αὐτῇ, οἷα εἴρηται, ἤν τε χολώδης, ἤν τε φλεγματώδης, ἤν τε ὑδρωποειδὴς ἔῃ. ἐν τάχει δὲ μελεδανθεῖσα, εὔφορος γίνεται. ἢν δὲ μή, οὔ. Ἢν δὲ γυναικὶ μὴ χωρέῃ τὰ καταμήνια πάμπαν ἢ ἀπὸ παντὸς τῶν εἰρημένων, καὶ οὕτως οὐ ξυλλαμβάνει. αἱ γὰρ φλέβες τοῦ αἵματος πλήρεις ἐοῦσαι, τὴν γονὴν οὐ δέχονται. καὶ ἐν τῇσι μήτρῃσιν αἵματος ἐνεῖναί τι χρονίου πᾶσα μηχανὴ ὅτι ἀποκωλύει τὴν γονὴν φέρεσθαι. ἢν δὲ ἐλάσσω τὰ καταμήνια χωρέῃ τοῦ δέοντος, οὐδὲ οὕτω κυΐσκεται. αἴτια δὲ τὰ ἐν τῇ προτέρῃ νούσῳ προειρημένα. δῆλον δὲ καὶ τοῦτο ἐν τῇ ἐρωτήσει. κἢν μὲν φύσει, ὀλίγα χωρέῃ τὰ καταμήνια, ἀνίητος γίνεται. ἢν δ' ὑπὸ παθήματος τουτέων τινὸς τῶν εἰρημένων, μελεδανθεῖσα, ἐν τάχει φορὸς ἔσται. καὶ ἢν πλείονα τοῦ δέοντος χωρέῃ τῇ γυναικὶ τὰ καταμήνια, οὐδ' οὕτως ἐν γαστρὶ λαμβάνει. αἱ γὰρ μῆτραι κεκενωμένου τοῦ αἵματος, οὐ ξυλλαμβάνουσι τὴν γονὴν ὑπὸ ἀσθενείης. ἢν δὲ ἄρα καὶ ξυλλάβωσιν, κατελθὸν τὸ αἷμα πολλὸν ἐξαπίνης ἐπὶ τὰς μήτρας τῆς γυναικὸς, ἀποπνίγει τὴν γονήν. δῆλον δὲ καὶ τόδε τοῖσιν ἐπιμηνίοισιν ὁπόσα πολλὰ χωρήσει. καὶ ἢν μὲν φύσει ἡ γυνὴ πολλὰ χαλᾷ τὰ καταμήνια, ἄφορος γίνεται. ἢν δὲ μὴ φύσει, ἀλλ' ὑπὸ παθήματός τινος τῶν εἰρημένων, μελεδανθεῖσα ἐν τάχει, φορὸς ἔσται. καὶ ἢν τὸ στόμα τῶν μητρέων ἐκπέσῃ τοῦ αἰδοίου, οὐδὲ οὕτω λαμβάνει ἐν γαστρί, τό, τε γὰρ στόμα σκληρὸν γίνεται, καὶ οὐ δέχεται τὴν γονήν. καὶ οἰδέει. καὶ ταύτῃ ἄφορος γίνεται τοπάμπαν. δῆλον δὲ τὸ πάθημα τοῦτο διότι γίνεται. καὶ ἢν μὴ χωρέῃ τὰ καταμήνια κατὰ τὸ προσῆκον, ἀλλὰ κάτω ὁρμῇ ἐς τὴν ἕδρην, οὐδὲ οὕτω λαμβάνει ἐν γαστρί. δῆλον δὲ ὅτι τὸ στόμα τῶν μητρέων ἐκτέτραπται ἀπὸ τοῦ αἰδοίου ἢ μέμυκε. καὶ ἢν μὲν κατὰ τὴν ἕδρην ᾖ ἐστραμμένον τὸ στόμα ἢ μέμυκε, μελεδανθεῖσα, φορὸς γίνεται. δῆλον δὲ ἑκάτερόν ἐστι τῇ ἀφάσει καὶ ἀποκρίσει. ἢν γὰρ τὰ καταμήνια ἑκάστῳ ὧδε ἔῃ, ἡ νοῦσος ταύτῃσι δῆλον ὅτι αὐτή ἐστι. τοσαῦτα καὶ τὰ τοιαῦτα τῇσι γυναιξὶν ἐστί, δι' ἃ οὐ τίκτουσι πρὶν ἂν ἰηθῶσι. καὶ δι' ὅσα ἄφοροι γίνονται τὸ πάμπαν. ὥστε θαυμάζειν τὰς γυναῖκας οὐ χρή, ὅτε εἰσὶ μὲν, οὐ τίκτουσι δὲ πολλάκις. Πειρητήρια δι' ὧν δηλοῦται ἡ γυνὴ εἰ κυήσει. Γυναῖκα ἢν θέλῃς γνῶναι εἰ κύει, σικύην ποιῆσαι ἢ βούτυρον καὶ γάλα γυναικὸς κουροτρόφου διδόναι πίνειν. καὶ ἢν ἐρεύγηται, κυήσει. εἰ δὲ μή, οὔ. Νέτωπον ὀλίγον προστίθεσθαι ἐν εἰρίῳ ἐνελίξασα. κἄπειτα ἕωθεν σκέψασθαι ἢν ὄζῃ διὰ τοῦ στόματος τὸ ἐπιτεθέν. κἢν μὲν ὄζῃ, κυήσει. ἢν δὲ μή, οὔ. Ἕτερον πειρητήριον ἐπὶ τοῦ αὐτοῦ. Ἤν τινι ἂν γυναικὶ ἀπὸ τῶν προσθέτων μὴ λίην ἰσχυρῶν ἐόντων, ἢν ὀδύναι ἐς τὰ ἄρθρα ἀφίκωνται. καὶ βρυγμὸς ἔχῃ. καὶ σκοτοδινῆται. καὶ χασμᾶται. ἐλπὶς αὐτῇ κυῆσαι μᾶλλον, ἢ ἥτις τούτων μηδὲν πάσχει. Ἄλλο. Μώλυζαν σκορόδου περικαθήραντα, τὴν κεφαλὴν ἀποκνίσαντα προσθεῖναι πρὸς τὴν ὑστέρην, καὶ ὁρῆν τῇ ὑστεραίῃ, ἢν ὄζῃ διὰ στόματος. καὶ ἢν ὄζῃ, κυήσει. ἢν δὲ μή, οὔ. Ἢν θέλῃ γνῶναι ἡ γυνὴ εἰ κυήσει, πινέτω ἄννησον τετριμμένον ἐν ὕδατι ὡς λειότατον, καὶ εὑδέτω. καὶ ἢν μὲν κνησμὸς αὐτὴν λαμβάνῃ περὶ τὸν ὀμφαλόν, κυήσει. ἢν δὲ μή, οὔ. Κύουσαν γυναῖκα ἢν μὴ ἄλλῳ γινώσκῃς, ἐν τούτῳ γνώσεις, ὁρῶνται οἱ ὀφθαλμοὶ ἑλκυσμένοι καὶ κοιλότεροι, καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν, οὐκ ἔχει τὴν φύσιν τῆς λευκότητος. ἀλλὰ πελιώτερα φαίνονται. Ὁκόσαι ἐν γαστρὶ ἔχουσιν, ἔφηλιν ἐπὶ τοῦ προσώπου ἴσχουσι. καὶ ἀρχόμεναι συλλαμβάνειν, μέστοινοι γίνονται. καὶ καρδιωγμοῦ μεσταί. καὶ πτυαλίζουσιν. Μίλτον καὶ ἄννησον τρῖψαι ὡς λειότατα. εἶτα ἐν ὕδατι διεῖναι καὶ δοῦναι. καὶ ἐᾶσαι ὑπνῶσαι. καὶ ἢν μὲν στρόφος γίνηται περὶ τὸν ὀμφαλόν, κύει. ἢν δὲ μὴ γίνηται, οὐ κύει. πάντων δὲ τουτέων, ὕδωρ πίνειν ἄλητον, καὶ μέλι, καὶ ὀρίγανον ἐν οἴνῳ καὶ ἐλαίῳ. Ὅσαι ἐν γαστρὶ ἔχουσαι, ἔφηλιν ἐπὶ τοῦ προσώπου ἴσχουσιν, ἄρρεν κύουσιν. ὅσαι δὲ εὔχροοι διαμένουσι, θῆλυ ὡς ἐπιτοπολὺ κύουσιν. Ἢν αἱ θηλαὶ ἄνω ἔωσιν ἐστραμμέναι, ἄρσεν κύει. ἢν δὲ κάτω, θῆλυ. Λαβὼν τοῦ γάλακτος, φυρῆσαι ἄλητον, καὶ ποιῆσαι ἀρτίσκον. καὶ ὀπτῆσαι ἐπὶ πυρὸς μαλθακοῦ. καὶ ἢν μὲν κατακαυθῇ, ἄρρεν κύει. ἢν δὲ διαχανῇ, θῆλυ. τὸ αὐτὸ τοῦτο ἐπιτυλίξας ἐν φύλλοισιν ὀπτᾶν. καὶ ἢν μὲν πήγνυται, ἄρρεν κύει. ἢν δὲ διαχυθῇ, θῆλυ. Θεραπεῖαι κυήσιος πειρητήριοι καὶ παιδογονίης ἥτις λείπεται. καὶ ἄτεκνος ἐοῦσα. καὶ ἤδη κύουσα. ἐοῦσα δὲ ἀτεκνοῦσα. Ἐπὴν ὁ στόμαχος σκληρὸς ᾖ, ὅλος ἢ ἄκρος, καὶ ξυμμεμύκῃ, καὶ μὴ ὀρθὸς ᾖ, ἀλλὰ πρὸς τὸ ἰσχίον ἀπεστραμμένος τὸ ἕτερον, ἢ ἐς τὸν ἀρχὸν κεκύφῃ, ἢ ἀνεσπάκῃ ἑωυτόν, ἢ τὸ χεῖλος ἐπιβάλλῃ τοῦ στομάχου ἐφ' ἑωυτό.

ὄπισθεν ἔσω ἢ ξυχὺς ᾖ ἢ πεπωρωμένος. σκληρὸς δὲ γίνεται καὶ ἀπὸ ξυμμύσιος, καὶ ἀπὸ πωρώσιος. ταύτῃσι τὰ ἐπιμήνια οὐ φαίνεται, ἢ φαίνεται πολλῷ ἐλάσσονα, ἢ κακίονα τοῦ δέοντος. καὶ διὰ πλείονος χρόνου ἐπιφαίνεται. τὰ μὲν ἐπιμήνια καθ' ὑγείην τοῦ σώματος, καὶ τῶν μητρέων τὴν ἔξοδον εὑρίσκεται, κατά τε τὸ σύμφυτον καὶ τὸ δίκαιον. καὶ ἀπὸ θέρμης καὶ ὑγρότητος τῶν ἐπιμηνίων, καὶ τοῦ στομάχου οὐ κάρτα βεβλαμμένου. τὴν δὲ γονὴν πάλιν οὐ δέχεται διὰ τὴν βλάβην, ἥτις ἂν κωλύῃ ἀπὸ τοῦ στομάχου μὴ καλῶς ἔχοντος τοῦ δέχεσθαι. ταύτην χρὴ πυριήσαντα τὸ σῶμα ὅλον, πρὶν δοῦναι φάρμακον. καὶ κάθαρσιν ποιήσασθαι τοῦ σώματος πρῶτον, ἤν τε ἄνω καὶ κάτω, ἤν τε κάτω μοῦνον. καὶ ἢν μὲν ἄνω διδοῖς τὸ φάρμακον, μὴ πυριῆν πρότερον τῆς καθάρσιος, ἀλλ' ὕστερον. πυριήσας δὲ, μεταπίσαι κάτω. ἢν δὲ μὴ δοκέῃ δεῖσθαι ἀνωτερικοῦ, προπυριήσας κάτω πίσαι. ὅταν δὲ δοκῇ καλῶς ἔχειν τὸ σῶμα, μετὰ τοῦτο πυριῆν ἐγκαθίζων τὰς μήτρας αὐτὰς πυκνά, ἐν ὅτῳ ἂν δοκέῃ ξυμφέρειν. ἐπιβάλλειν δὲ ἐς τὰ πυριήματα, κυπαρίσσου πρίσματα. δάφνης φύλλα κεκομμένα. καὶ λούειν πολλῷ καὶ θερμῷ πολλάκις. ὁκόταν δὲ νεόλουτος καὶ νεοπυρίητος ᾖ, ἀνευρύνειν τὸ στόμα τῆς μήτρης, μήλῃ κασσιτερίνῃ, καὶ ἀνορθοῦν ὁμοῦ, ἐὰν δέηται ἢ μολυβδίνης, ἀρξάμενος ἐκ λεπτῆς. εἶτα παχυτέρῃ ἢν παραδέχηται, ἕως ἂν δοκέῃ καλῶς ἔχειν. βάπτειν δὲ τὴν μήλην ἐν τῷ μαλθακτηρίῳ διειμένῳ ὅτι δοκέει ξυνοίσειν, ὑγρὸν ποιήσας. τὰς δὲ μήλας ποιέειν ὄπισθεν πλατείας. εἶτα περὶ ξυληρίοισι μακροῖσι περιαρμόσαι καὶ οὕτως χρῆσθαι. τὸν δὲ χρόνον τοῦτον ἑψῆσαι ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ γλυκεῖ σαῦδα πινέτω ὡς ποτάτην κατασχίσασα λεπτά. καὶ σελίνου καρπὸν κόψασα. καὶ κυμίνου αἰθιοπικοῦ κάλαμον. καὶ λιβανωτὸν ὡς κάλλιστον. τοῦτο πινέτω νῆστις ὁκόσον δοκέει μέζον εἶναι πλῆθος, ἡμέρας ὁκόσας ἂν δοκέῃ καλῶς ἔχειν. καὶ ἐσθιέτω σκυλάκια σαλώδεα ἑφθά. καὶ πουλύποδα ἐν οἴνῳ ἑφθὸν γλυκυτάτῳ. καὶ τοῦ ζωμοῦ πινέτω. καὶ κράμβην ἑφθὴν καὶ οἶνον λευκὸν ἐπιπινέτω. καὶ μὴ δειπνείτω. καὶ λουέσθω δὶς τῆς ἡμέρης. σιτίων δὲ ἀπεχέσθω τοῦτον τὸν χρόνον. μετὰ δὲ, ἢν προχωρήσῃ κατὰ τὸν στόμαχον, καὶ φαίνῃ τινὰ κάθαρσιν ἔξω, πίνειν τε τι τοῦ πόματος, ἡμέρην μίην ἢ δύο. καὶ τῇσι μήλῃσι παύσασθαι χρεομένην. καὶ πειρᾶσθαι καθαίρειν τὰς μήτρας, προσθέτοισι καὶ φαρμάκοισιν. ἢν τινι δὲ τοῦ στομάχου ὀρθοῦ καὶ μαλθακοῦ καὶ ὑγιέος καὶ καλῶς ἔχοντος καὶ ἐν τῷ δέοντι κειμένου τὰ ἐπιμήνια μὴ φαίνηται πάμπαν, ἢ ἐλάσσονα, καὶ διὰ πλείονος χρόνου, καὶ μὴ ὑγιηρά, τὴν νοῦσον ἀνευρεῖν ἥν τινα ἔχουσιν αἱ μῆτραι, ἤν τε καὶ τὸ σῶμα ξυμβάλληταί τι, ἐξευρεῖν τὸ αἴτιον ἀφ' ὅτευ οὐ κυΐσκεται. ὅτε μετ' οὕτως ἔχει τὴν ἴησιν ποιέεσθαι προσφέρων τὸ δέον. ἢν δὲ ἔχηται τὴν ἴησιν ἀρχόμενος ἐξ ἰσχυρῶν, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι. τελευτᾶν δὲ μαλθακώτερα ὡς ἂν δοκέῃ καλῶς ἔχειν καθάρσιος ἡ μήτρα. καὶ ὁ στόμαχος καθεστάναι ὀρθῶς ἔχων ἐν τῷ ἐξαρκέοντι κείμενος. ἢν δὲ ἀπὸ φαρμάκου καὶ ἀπὸ τῶν περὶ τῶν μὴ προχωρήσῃ, μὴ δὲ πινούσης χρόνου τὸ μέζον, τούτου μετὰ παύσασθαι τοῦ πόματος. ὅταν δὲ καλῶς ἔχῃ, τοῦ ἀπὸ τῶν μηλέων ἔργου μαλθάξαι τὸ στόμα τοῦ στομάχου. καὶ ποιῆσαι ὅκως ἀναχάνηται ἐς ὁδὸν τῷ προσθετῷ. ἀπό τε τῶν θυμιητῶν φαρμάκων καὶ μαλθακτηρίων. ὁκόταν δὲ δοκέῃ καλῶς ἔχειν, μαλθάξιος καὶ θυμιήσιος προσθεὶς φάρμακα, κάθαρσιν ποιέεσθαι τῆς μήτρης, ἕως ἂν δοκέῃ καλῶς ἔχειν. ἀρχόμενος ἐκ μαλθακῶν, ἐς ἰσχυρότερον. τελευτᾶν δὲ αὖθις, ἐς μαλθακὰ εὐώδεα. τῶν γὰρ ἰσχυρῶν φαρμάκων τὰ πλεῖστα, ἑλκοῖ τὸν στόμαχον. καὶ εἴργει τοῦ καθεστάναι ὀρθόν, καὶ καλῶς ἔχοντα πρὸς τῆς γονῆς τὴν ὑποδοχήν, καὶ τὴν μήτρην ξηρὴν ποιέει. Ἢν δέ τις γυνὴ δοκέῃ τὰς μήτρας ὑπὸ πιμελῆς βεβλάφθαι ἐς τὴν κύησιν, λεπτύνειν ὡς μάλιστα, καὶ ἰσχναίνειν πρὸς τοῖσιν ἄλλοισιν. ὥρη δὲ ἐαρινή, κρατίστη κυήσιος. ὁ δ' ἀνὴρ μὴ μεθυσκέτω, μὴ δὲ οἶνον λευκὸν πινέτω, ἀλλ' ὡς ἰσχυρότερον καὶ ἀκρητέστερον. καὶ σιτία σιτείσθω ἰσχυρότατα. καὶ μὴ θερμολουτείτω. καὶ ἰσχυέτω. καὶ ὑγιαινέτω. καὶ σιτίων ἀπεχέσθω τῶν μὴ ξυμφερόντων τῷ πρήγματι. ὅτῳ δὲ δοκέῃ ἡ γυνὴ ἐκκεκαθάρθαι, καὶ τὸν στόμαχον καλῶς ἔχειν τῆς μήτρης, λουσάσθω καὶ σμηξάσθω τὴν κεφαλήν. καὶ μὴ ἀλείφηται μηδέν, ἔπειτα ὀθόνιον ἄνοσμον περιδεῖσα περὶ τὰς ῥίζας πεπλυμένον κεκρυφάλῳ πεπλυμένῳ μηδενὸς ὄζοντος καταδῆσαι, τὸ ὀθόνιον ὑποθεῖσα πρῶτον. ἔπειτα ἀναπαύεσθαι προσθεμένη χαλβάνην πρὸς τὸν στόμαχον. θερμήνασα πρὸς πῦρ, ἢ πρὸς ἥλιον. καὶ μαλθάξασα εὖ. ἔπειτα πρωῒ ἀπολύσασα τὸν κεκρύφαλον καὶ τὰ ὀθόνια, ὀσφραίνεσθαι παρασχέτω τινὶ ἑωυτῆς τὴν κεφαλήν. καὶ ὄζει ἢν καλῶς ἔχῃ τῆς καθάρσιος. εἰ δὲ μή, οὐκ ὄζει. ἄσιτος δὲ ταῦτα ποιείτω. ἢν δὲ μὴ τεκνούσῃ προσθεὶς, οὐδέποτε ὄζει, οὔτε καθαιρομένη, οὔτε ἄλλως. ἣ δ' ἢν κυούσῃ προσθεὶς, οὐδ' οὕτως ὀζέσει. ἥτις δὲ κυΐσκεται πολλὰ καὶ ἀφικομένων δεῖ καὶ ὑγιαίνει, ἢν προσθῇς μηδὲ καθήρας, ὀζέσει αὐτὴ τῆς κορυφῆς. ἄλλοτε δὲ οὔ. ὅταν δὲ γνῷς καλῶς ἔχειν, παρὰ τὸν ἄνδρα κέλευε ἰέναι. καὶ ἡ μὲν γυνὴ ἄσιτος ἔσται. ὁ δ' ἀνὴρ ἀθώρηκτος. ψυχρῷ δὲ λελουμένος, καὶ εὐωχημένος σιτία ὀλίγα, ξύμφορα. καὶ ἡ γυνὴ ἢν γνῷ ξυλλαβοῦσα τὴν γονήν, μὴ ἔλθῃ παρὰ τὸν ἄνδρα τοῦ πρώτου χρόνου, ἀλλ' ἡσυχαζέτω. γνώσεται δὲ ἢν μὲν ὁ ἀνὴρ φῇ ἀφεικέναι. ἡ δὲ γυνὴ ἀγνοῇ ὑπὸ ξηρότητος. ἢν δὲ ἀποδῷ πάλιν ἡ μήτρη τὴν γονὴν τῆς αὐτῆς ἡμέρης, ἔσται ὑγρή. καὶ ἢν γένηται ὑγρή, αὖθις μιγνύσθω τῷ ἀνδρί, μέχρις ἂν ξυλλάβῃ. Ἄλλη θεραπείη. Πυριήσας τὸ σῶμα ὅλον, πίσαι, καθῆραι ἄνω καὶ κάτω, εἶτα ὄνειον γάλα μεταπίσαντα πυριῆν τὰς μήτρας δι' αὐλοῦ δύο ἡμέρας, οὔρῳ γυναικείῳ σαπρῷ καὶ λίτρον ἐμβάλλειν. τῇ δὲ τρίτῃ, βοείῳ οὔρῳ. τῇ δὲ τετάρτῃ καὶ πέμπτῃ, ξίφεος μαράθου σπέρμα. καὶ ἀκτῆς φύλλα. καὶ δάφνην. καὶ κυπαρίσσου πρίσματα, ταῦτα ἑψῆσαι ὕδωρ ἐπιχέαντα. δεῖ δὲ μετὰ τὴν

πυρίησιν λουσαμένην, πολλῷ θερμῷ προστιθέναι στέαρ ἢ δύω τὸ ἐκ τῆς πυρίης εὐθὺς καὶ ἐς νύκτα. μετὰ δὲ σηκάζειν, ξυμμιγνὺς σμύρναν στακτὴν, καὶ βούτυρον, καὶ χηνὸς ἄλειφα, καὶ ἐλάφου μυελόν. καὶ ῥητίνην. καὶ νέτωπον. τουτέων ἴσον ἑκάστου ξυμμίξαντα διατήξαντα προστιθέναι ἐν εἰρίῳ μιλησίῳ μαλθῷ ὡς εὐηρεστάτῳ. μετὰ δὲ ἀναστομοῦν τὴν μήτρην μολιβδίοις ἐληλασμένοις ὀκτωδακτύλοισι πέντε. τὸ πρῶτον, ἔστω λεπτόν. τὸ δὲ δεύτερον, παχύτερον. καὶ τἄλλα θάτερον θατέρου παχύτερον. ἀναστομοῦσθαι δὲ, πέντε ἡμέρας. αἰεὶ δὲ λουσαμένη, προστιθέσθω. καὶ ἀνεχέσθω ἐκ τῆς ὀσφύος ὡς μὴ πίπτῃ. καὶ ὠθείτω τὰ μολύβδια, αἰεὶ ἀνωτέρω. τὸ δὲ τελευταῖον, ὡς ἀνωτάτω. ἐπὴν δὲ ἀναστομώσῃ, προσθεῖναι καθαρτικόν. ψίψας κανθαρίδας πέντε, καὶ σικυώνης μακρῆς, ἀσσόδιν, καὶ σμύρναν. ταῦτα μέλιτι ἑφθῷ φορύξαντα καὶ φυρήσαντα βαλάνιον, εἰρίῳ κατειλίξαι περὶ τὸ ἄκρον. ἔπειτα εἰς ἄλειφα βάψαντα ὡς ἥδιστον, προσθεῖναι. χρῆσθαι δὲ καθαρτικῷ, καὶ τούτῳ τῇ χολῇ τοῦ ταύρου. καὶ ἄνθει ὀπῷ καὶ λίβῳ καὶ σμύρνῃ, μέλιτι ὀλίγῳ διέντα, ὀθόνιον λεπτὸν ἀποδήσαντα, καὶ ἄνω τὸ ὀθόνιον περιελίξαντα τῷ φαρμάκῳ, προστιθέναι. χρῆσθαι δὲ καὶ βουπρήστει ξὺν τῇ σμύρνῃ. καὶ ἐλατηρίῳ ξὺν τῷ μέλιτι ἑφθῷ. καὶ τῇσι κανθαρίσι ξὺν τῷ ἐλατηρίῳ τε καὶ τῇ σμύρνῃ. ἐπὴν δὲ καθαρθῇ, τῇ ὑστεραίῃ λούσαντα, κλύζειν τὴν μήτρην. κύμινον αἰθιοπικὸν ψίψας καὶ μελάνθιον, καὶ ῥητίνην καὶ ἄλειφα, καὶ μέλι, καὶ οἶνον γλυκύν. ταῦτα μίξας καὶ ἀναχλιήνας, κλύζειν. ἐπὴν δὲ κλύσεις, ἀναστήσας, περιιέναι κέλευε ὅκως τὸ κλύσμα διασείηται. προσθεῖναι δὲ κρόκον καὶ σμύρναν καὶ λιβανωτὸν, ἐν ῥάκει λιναίῳ. ἀπόδεον τὰ ξηρὸν ἴσον ἑκάστου. ξυμμίσγοντα χηνός τε ἄλειφα περιχρίοντα τὸ ῥάκος. τοῦτο δὲ προστιθέναι, ἑπτὰ ἡμέρας. τῇ δὲ ὀγδόῃ, θυμιῆσαι, σμύρνῃ καὶ ἀσφάλτῳ, καὶ κεδρῷ, εὐώδει ἀλείφατι πεφυρημένα. ἐπὶ μαλθακὸν ἐπιβαλὼν πῦρ, θυμιῆν δι' αὐλοῦ. ἐπὴν δὲ θυμιήσῃς, τῇ ὑστεραίῃ, ψίσαι καστόρεος ὄρχιν. οἶνον λευκὸν παραχέων. καὶ αὐτὸ μήλῃ ἀμφιπλάσας καὶ εἰρίῳ κατειλίξας, προσθεῖναι ἐς νύκτα. ὄρθρου δὲ ἀνελομένη, καὶ διαμαλαξαμένη, ἴτω παρὰ τὸν ἄνδρα. καὶ ξυγκοιμηθεῖσα, ἀφεμέτω. καὶ ἂν μὴ ἐπὶ τοῦ πρώτου κυήσῃ, αὖθις προσθεμένη αὐτὸ τοῦτο, παρὰ τὸν ἄνδρα ἐλθέτω. ἄρχεσθαι δὲ χρὴ φαρμακεύοντα, ἐπειδὰν ἔλθῃ τὰ καταμήνια. ληγόντων δὲ, χρὴ τὸ κυητήριον προσθεμένην, ξυγκοιμᾶσθαι. τοῦ δὲ πρόσθεν χρόνου μήτε ἡ γυνὴ ἴτω ἄσσον τοῦ ἀνδρὸς, μήθ' ὁ ἀνὴρ παρὰ τὴν γυναῖκα. Ὅταν δὲ ἡ γυνὴ μὴ κυΐσκηται εἰωθυῖα πρότερον κυΐσκεσθαι. τοῦ ἀνδρὸς δὲ τὴν γονὴν ἐσδέχονται αἱ μῆτραι ἐς ἑωυτὰς, ἀνάγκη πάγχυ οὐρέειν τὴν γυναῖκα ταύτην. ἐνίοτε μὲν γὰρ ἐν τῇσι μήτρῃσι τὸ πῦον ἐγίνεται. τὸ δὲ πῦον τὸ ἐν τῇσι μήτρῃσιν, ἀπὸ φυμάτων γίνεται. διὰ δὴ τοῦτο ἡ γονὴ τοῦ ἀνδρὸς ὅταν μίσγηται, οὐχ ἅπτεται τῆς μήτρης. ἵνα δὴ πήγνυσθαι τὴν γονὴν τοῦ ἀνδρός. τὸ γὰρ πῦον ἀμαυροῖ, ὥς τε μὴ προσφύεσθαι. τέθνηκε γὰρ τὸ πῦον, καὶ σήπει τὴν γονήν. δεῖ δὴ τό, τε πῦον ἐκκαθῆραι τῶν μητρέων, καὶ τὸ φῦμα τὸ ἐν τῇ δελφύϊ καταστῆσαι, ὅκως τὸ λοιπὸν μὴ κωλύῃ τὴν γονὴν πήγνυσθαι καὶ προσφύεσθαι. ταχύνειν δὲ χρὴ ἐκκαθαίροντα, πρὶν ἢ πωρωθῆναι τὸ πῦον ἐν τῇσι μήτρῃσι. κλύζειν δὲ χρὴ τὰς μήτρας ὧδε, ἵππειον γάλα ἑψή-

* σας δὶς δι' ἄκρης ἀφρὶς ὡς λεπτοτάτης καὶ καθαρωτάτης, τούτῳ κλύζειν κλυστῆρα ἐπιτήδειον ποιησάμενος. τὸ μὲν ἄκρον τοῦ κλυστῆρος, λεῖον ἔστω, οἷον περὶ μήλης ἀργύρεον. καὶ παρ' αὐτὰ τετρυπήσθω τοῦ κλυστῆρος ἀπολεῖπον ὀλίγον τὸ τρῆμα. εἶναι δὲ καὶ τὰς ἄλλας ἐκτρήσιας. διαλειπέτω δὲ ἴσον ἑκάστη ἔνθεν καὶ ἔνθεν. ἐκ τοῦ πλαγίου τοῦ κλυστῆρος ἑκάστης ἴσον. καὶ μὴ μεγάλα, ἀλλὰ στενά. τοῦ μὲν κλυστῆρος ἡ κορυφὴ, στερεὴ ἔστω. τὸ δὲ ἄλλο πᾶν, κοῖλον ἔστω ὡς αὐλίσκος. δῆσαι δὲ χρὴ κύστιν συὸς θηλείης. ταύτην δὲ ἐκψήσας εὖ μάλα. ἐπὴν δὲ προσδήσῃς, ἐγχέας τὸ γάλα ἐς τὴν κύστιν ἐς τὰς μήτρας ἐνθεὶς ῥάκος λεπτῆς ὀθόνης, ὅκως μὴ τὸ γάλα ῥέῃ. ἐπειδὰν δὲ κλύσῃς τὴν κύστιν, ἀποδῆσαι καὶ δοῦναι τῇ γυναικὶ αὐτῇ, ἣν μέλλεις κλύζειν. κείνη δὲ ὀξελοῦσα τὸ κλύσμα, ἐς τὴν μήτρην ἐνθέσθαι. αὐτὴ δὲ εἰ δέησει ὅκου δεῖ. ἔπειτα σὺ πιέζειν τῇ χειρὶ τὴν κύστιν, ἐς ἂν τὸ πῦον ἐκρυῇ ἔξω. δῆλον δὲ τοῦτο ἔσται, ἐπὴν μηκέτι ἐξίῃ τὸ πῦον ἅμα τῷ γάλακτι. δῆλον γὰρ ὅτι οὐκέτι ἔνεστι, τότε χρὴ παύεσθαι. καὶ μετὰ τοῦτο ἐπὴν οὖν ψυχθῇ ὀλίγον, ὀλίγον χρόνον σικυώνης ξηρῆς πεφυκυίας τὸν πυθμένα ἀποπρήσας, καὶ τῆς κορυφῆς τὸ ἄκρον ὡς ἂν τετρημένον ᾖ, τοῦτο ὅμοιον ποιήσας τὸ ἄλλο πλὴν τὸ ἄκρον, καθάπερ τοῦ κλυστῆρος τὸν αὐτὸν τρόπον. πάχος δὲ λεπτότερον ὀλίγον ὡς ἀνδρὸς αἰδοῖον ἐστὶν, τοῦτο περιθεῖναι ἐς τεῦχος. οἴνου ἐμπλήσας τὸ τεῦχος. ὁ δὲ οἶνος ἔστω ἀνθοσμίας ὡς εὐωδέστατος καὶ ξηρότατος, καὶ παλαιότατος. ἔπειτα λίθον μέλανα διαφανῆ ἐμβάλλειν εἰς τὸν οἶνον. ἔπειτα περιθεῖναι συκυώνην ποιήσας χαλκοῦ λευκοῦ. καὶ ἡ γυνὴ ἀμφικαθεζέσθω περὶ τὴν βάλανον τῆς σικύης, τὸ αἰδοῖον ποιήσασα ὁκοῖον δεῖ. ὅκως δὲ ὑπερέξαι τὴν χαλκῆν, καὶ ἔξωθεν σικυώνην, δύο δακτύλοιν ἔστω. Ὅταν μὴ δύνηται ἡ γυνὴ γονὴν δέχεσθαι, πᾶσα ἀνάγκη μάνυσα ἐπιπεφυκέναι ἐν τῷ στόματι τῶν μητρέων. δεῖ δὲ ἰὸν χαλκοῦ, καὶ χολὴν ταύρου, καὶ ὄφιος στέαρ, ταῦτα ξυμμίξαι ὁμοῦ. εἶτα εἴριον λαβὼν ἀναδεῦσαι τῷ φαρμάκῳ. καὶ ἐνελίξαι ἐς ὀθόνιον βύσσινον. μέλιτι ἀποχρίσας τὸ ὀθόνιον, καὶ ποιῆσαι πρόσθετον ὅσον ἐλαίην τὴν μεγίστην. εἶτα προστιθέναι πρὸς τὸ αἰδοῖον νύκτα ὅλην. ὑπτίη δὲ κείσθω. τὴν δὲ ἡμέρην ἀφαιρείσθω. καὶ λουέσθω θερμῷ ὕδατι, ἀπὸ μυρσίνης ὡς πλείστω. ἔπειτα δι' ἡμέρης προστιθέσθω ἐν ἑκάστῃ νυκτί. μετὰ δὲ, συνέστω. Ἄλλη θεραπείη. Πρασίου τῶν φύλλων λαβόντα πλῆθος, ὥς τε τὴν χεῖρα εὖ ἐμπλῆσαι, ἐμβαλεῖν ἐς ἀγγεῖον ἀττικόν.

καὶ ἐπιχέαι ὕδατος ποτοῦ, κοτύλας ἀττικὰς τέσσαρας. καὶ προβρέξαντας ἐννέα ἡμέρας, πίνειν ἑτέρας ἐννέα ἡμέρας νῆστιν, λουσαμένην δύο κυάθους τῆς ἡμέρης ἀπὸ τοῦ πρασίου γλυκέος λευκοῦ, ἴσον μίσγουσα. ὅταν δὲ ἔσται σιτίον πίνουσα, πυριήσθω. κωνείου φύλλοισιν ἐπὶ πῦρ ἐπιβάλλων ἐν ἐννέα ἡμέρας. καὶ μετὰ τὴν πυρίην λούεσθαι. καὶ οὕτω πίνειν εὐθὺς τούτων. ὅταν δὲ τὰς τρεῖς πυριημένη ᾖ, προστίθεσθαι τοῦ πρασίου αὐτέου τετριμμένου λείου δι' ἡμέρης, ἐπὶ τρεῖς ἡμέρας, λινοζώστιν λείην τετριμμένην, ἐν μέλιτι ἀττικῷ, δὶς τῆς ἡμέρης. προβρεχέσθω δὲ ἐν οἴνου λευκοῦ ξὺν χροΐ. καὶ ὑπόσπομα ῥάθου καὶ μαράθου ῥίζα. καὶ δαυκὸς ὡς πιοτάτης ὄζοι. καὶ τερεβινθίνου τεταρτημόριον. καὶ μαράθου σπέρμα. καὶ περιστερεῶνος ῥίζαι πολλαί. προβρεχέσθω δὲ ἡμέρας μὴ ἐλάσσω τῶν ἐννέα. πίνειν δὲ μετὰ ταῦτα λουσαμένην κατὰ κεφαλῆς, κοτύλην τῆς ἡμέρης ἀκρήτου βεβρεγμένου ἐν τῷ λευκῷ ἐοῦσαν. καὶ μετὰ ταῦτα κατακλιθεῖσαν ἐκθερμαίνειν ἑωυτὴν καὶ προστίθεσθαι. ἐνταῦθα δὲ τρίτης μετὰ τὸ ποτὸν τὸ ἐκ τῆς χολῆς δι' ἡμέρης, ἐπὶ ἡμέρας ἕξ. ὅτῳ δὲ μέλλει ἤδη προσεῖναι καλῶς καθάρσιος ἔχουσα. ἢ σκυάμου φύλλα καὶ ῥίζας ἀναζέσας ἐν ὕδατι, πυριήσθω τούτοισιν ὡς θερμοτάτοισιν ἐπὶ τρεῖς ἡμέρας, ἐς νύκτας. καὶ λουσαμένη, παρὰ τὸν ἄνδρα ἴτω. μετὰ δὲ ταύτην τὴν πυρίησιν καὶ ἐλάφου αἰδοίου αὐτὰ ὑποθυμιῆσαι. καὶ ὅταν ἴδῃς ἔχειν αὐτὸν, τούτου ἐπ' οἶνον λευκὸν κεκειμένον, ἐπιξύων ἐπὶ τρεῖς ἡμέρας, διδόναι πίνειν. καὶ ὅταν ὀδύνην ἔχῃ, διδόναι πίνειν. καὶ γὰρ ὠκυτόκιον δεῖ τοῦτο. Ἄλλη θεραπείη. Χολὴν ταύρου ἀναζέσαι, καὶ συμπηξαι μηλίνῃ. ἐλάφου δὲ κέρας κατακαύσας ψίσαι λεῖον. καὶ ξυμμίξας βαλανίοις χρῆσθαι. Ἕτερον θεραπευτικόν. Κύμινον ἐν οἴνῳ μέλανι ἑψήσας, ψίσας λεῖον, βάλανον ποιῆσαι. καὶ ἐς νύκτα προσθεῖναι. μετὰ δὲ ταῦτα, κατακαύσας ξύλα οἴνου λευκοῦ, τὸ λεπτότατον δηλονότι τοῦ ζυγός. ἐπειδὰν κατακαύσῃς, ἀφαιρέειν τοῦτο ἐν πτέρῳ. ἔπειτα ἐς ὀθόνιον ἀποδήσας, προσθεῖναι ἐς νύκτα. καὶ πράσα ἑφθὰ ἐσθιέτω. μετὰ δὲ τοῦτο φαγεῖν σίβων, καὶ μέλιτι δὶς προσθεῖναι ἐς νύκτα. μετὰ δὲ φραγίου καρπὸν λεῖον ψίψας ἐν οἴνῳ λευκῷ, δὶς διδόναι ἐπιξύων διδόναι πίνειν. μετὰ δὲ, ὀρίγανον δεῖ δευτέρης ὑποθυμιῆν, καὶ οὕτω πρὸς τὸν ἄνδρα ἴτω. Ἄλλη θεραπείη ἐπὶ γυναικὶ μὴ δυναμένῃ τεκεῖν. Ἢν γυναικὶ μὴ δυναμένῃ τεκεῖν τοκήεσσαν ἐθέλῃς ποιῆσαι, σκέψασθαι χρὴ, ἐν τοῖσιν ἐπιμηνίοισιν, εἴτε χολώδης, εἴτε φλεγματώδης εἴη. γνώσῃ δὲ τῇδε ὁπότερον μᾶλλον, ψάμμου ὑποβαλὼν λεπτὴν καὶ ξηρὴν ὅταν τὰ ἐπιμήνια γίνεται ἐν τῷ ἡλίῳ ἐπιχέαι ἀπὸ τοῦ αἵματος. καὶ ἢν μὲν χολώδης ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν γίνεται. ἢν δὲ φλεγματώδης ᾖ, οἷον μύξαι. τούτων ὁπότερον ἂν ᾖ καθήρας τὴν κοιλίην, ἤν τε ἄνω ἤν τε κάτω δοκέει σοι δεῖσθαι. ἔπειτα διαλιπὼν ἡμέρας τινὰς, τὰς ὑστέρας καθαίρειν. καὶ ἢν ὑγρότερον τὸ στόμα τῶν ὑστερῶν ᾖ, προστιθέναι τὰ δριμέα, ὅκως δ' ἢ χθὲν καὶ φλεγμήνῃ τὸ στόμα τῶν ὑστερῶν, σκληρὸν γίνηται. Ἢν δὲ γυνὴ μὴ πυρέσσῃ τὰ ἔνδοθεν, μὴ δὲ κυΐσκηται ἀπὸ τῶν ὑστερῶν, μὴ δὲ ἀνδρὶ μίσγεσθαι δύνηται, ἀλλ' ὑπνώσσῃ τε καὶ ἀσιτέῃ, μέλιτι μίξας οἶνον, ἐγχεέσθω ἐς τὰ αἰδοῖα. καὶ σμύρναν ὑποθυμιήσθω. ἐς δὲ τὴν ἕδρην βαλάνους προστίθεσθαι, μίσγουσα χηνὸς ἄλειφα, καὶ εἴσω ἐγχεῖν ἐς τὸ αἰδοῖον. εἶτα καὶ κλύζειν ἔλαιον, ἐν μέλιτι ἴσον μίξας.

Ἢν αἱ μῆτραι γυναικὶ ἰσχνωθῶσι, καὶ ξηχώνηται τὸ στόμα αὐτέων καὶ ξυμμεμύκῃ, καὶ τὰ ἐπιμήνια αὐτῇ μὴ φαίνηται, μὴ δὲ κυΐσκηται, ἀλλὰ πυρετὸς λαμβάνει μαλθακὸς, καὶ ὀδύναι αὐτὴν ἐμπίπτουσιν ἐς τὰς ἰξύας, καὶ τὴν νειαίραν γαστέρα. ἡ δὲ νοῦσος αὐτὴ γίνεται μάλιστα, ὅταν τι τῶν ἐν αὐτῇ διαφθείρῃ. γίνεται δὲ καὶ ἐκ τόκου. ταύτην χρὴ λούειν θερμῷ καὶ πυριῆν. ὅταν δὲ λελουμένη καὶ πεπυριημένη ᾖ, τῇ μήλῃ ἀνευρῦναι τὸ στόμα τῶν μητρέων. καὶ προστιθέσθω σμύρναν ψίψασα, καὶ νέτωπον τὸ ἴσον. ἢ μύρον, ἢ ῥόδινον ἐν ῥάκει. καὶ μολύβδου προστιθέσθω ποιήσαντα ὡς βάλανον καταξύοντα. καὶ καταλείφειν βοὸς χολήν. καὶ γνώσεται ἐν τέσσαρσιν ἡμέραις τὰς ἀγόνους, καὶ πυριῆν καὶ φαρμακεύειν. ἢν δὲ παχυνθῇ παρὰ φύσιν, οὐκ ἴσχει ἐν γαστρί. τὸ γὰρ ἐπίπλοον ἐπικείμενον παχὺ καὶ πουλὺ, ἀποπιέζοι τὸ στόμα τῶν μητρέων, καὶ τὴν γονὴν οὐ δέχονται. ταύτην χρὴ λεπτύνοντα, φάρμακον πίσαι κάτω. καὶ πρὸς τὰς ὑστέρας προσθεῖναι, ὃ καθαίρει τε καὶ φῦσαν ἐμποιέει. Ἢν τὸ στόμα τῶν μητρέων σκληρὸν γίνηται, ἢ ὁ αὐχὴν, τῷ δακτύλῳ γνώσεται ψαύουσα. κἢν πρὸς τὸ ἰσχίον ἀπεστραμμέναι ἔωσιν, ὅταν οὕτως ἔχῃ, μὴ προσφέρειν μηδὲν δριμύ. ἢν γὰρ ἑλκώσῃ τὸ στόμα τῶν ὑστερῶν ὅταν φλεγμαίνῃ, οὐ πάμπαν κίνδυνος ἄτοκον γενέσθαι, ἀλλὰ προστίθεσθαι ἃ μὴ δάκνει, ὑφ' ὧν φλέγμα καθαίρεται. Ὅταν γυναικὶ τὰ καταμήνια γένηται καὶ παρέλθῃ, πρῶτα μὲν χρὴ κεφαλὴν καθῆραι. ἔπειτα ἐλλεβορίσαι, ἤν τε ἅπαξ ἤν τε δὶς δέῃ. μετὰ δὲ, πυριῆσαι πυριητήριον κατασκευάσας τὸ ἐκ τῆς σικύης. οὕτω δὲ πεποιημένον, ἐγχέας εἰς ἐχῖνον θαλάσσης καὶ πράσα ἐμβαλὼν, ἐπιθεῖναι τὸν αὐλὸν τῆς σικύης, καὶ περιαλεῖψαι πηλῷ ὡς βέλτιστα, ὅκως μὴ διαπνέῃ. εἶτα δεῖ σχοινοτόνου δίφρου τῶν τετρατόνων διάγειν τὸν αὐλὸν, ὅκως ὑπερέξῃ δύο δακτύλους τοῦ τόνου. εἶτα ὑποκαίειν ἄνθραξι, καὶ τὰς καθέδρας φυλάσσειν. ὅταν δὲ καθίζηται καὶ ὁκόταν ἀνίστηται, ὅκως μὴ κατακαυθῇ, ἀλλὰ καθίζειν ἔτι ψυχροῦ ἐόντος τοῦ πυριητηρίου, καὶ ἀνίστασθαι ἕως ἂν καταψυχθῇ τὸν αὐλόν. ἐπὶ δὲ τῇ πυρίῃ, τὴν διατριβὴν ὅτι πλεῖστον τῆς

ἡμέρης μέρος ποιέεσθαι, καὶ τῇ μὲν τοιαύτῃ πυρίῃ ἐπὶ πέντε ἡμέρας χρῆσθαι. δεῖ δ' ἀντὶ τῶν πράσων, τῶν σκορόδων τάδε πυρία. καὶ ταύτην τὴν δέσμην κατακόψας, ἐς τὴν θάλασσαν ἐμβαλεῖν. μετὰ δὲ τὰς λοιπὰς τῶν ἡμερέων, αὐτῇ τῇ θαλάττῃ μόνῃ πυριήσθω, ὅκως πρόσω μὴ πρόεισιν ἐν πάσῃ τῇ θεραπείῃ. τὴν τελευταίαν δὲ πυρίην ὅταν μέλλῃς ἀφιέναι τῆς θεραπείης, σκυλάκιον, ὅτι νεώτατον ἀναχίσας ἀρωμάτων παντοδαπῶν εἴδη, ὅτι εὐωδεστάτων καὶ ξηροτάτων κόψας, τὰ ἐντοσθίδια ἐξελὼν τοῦ σκυλακίου ἐμπλῆσαι. καὶ σάξαι ὅτι μάλιστα τῶν ἀρωμάτων. ξυλήφιον δὲ ὑποθεὶς ἐς τὸν ἐχῖνον ἐνθεὶς τὸ σκυλάκιον, οἴνου ὡς εὐωδεστάτου ἐπιχέαι. καὶ πυριῆν διὰ τοῦ αὐλοῦ. καὶ ὅκως κατὰ δύναμιν ᾖ, ὅλην τὴν ἡμέρην ἐπὶ ταύτης τῆς πυρίης, πυριῆσαι τε, καὶ ἐρωτᾶν αὐτήν, ἢν ἡ ὀδμὴ διὰ τοῦ στόματος δοκέῃ ὄζειν τῶν ἀρωμάτων. σημεῖον γὰρ οὐ μικρὸν ἐς ξύλληψιν τῇ θεραπευομένῃ. προσθέτοισι δὲ χρέο, κρόκον ὅσον ἂν βούλῃ. καὶ σμύρνης ὅσον δύο κυάμους. καὶ ἅλας συχνὸν παράμισγε. πρὸς ταῦτα τεκμαιρόμενος. καὶ ταύρου χολῆς ὅσον δύο κυάμους. ἢν δὲ πρηυτέρῳ βούλῃ χρῆσθαι, ἔλασσον μίσγειν τῆς χολῆς. ἢν δὲ ἰσχυροτέρῳ, πλέον. ταῦτα τρίψας λεῖα καὶ μέλιτος παραστάξας, τρῖβε ἄχρις ἂν σοι τριβόμενον γένηται, ὥστε δακτύλῳ ἐκμάξαι. ὅσῳ δ' ἂν πλείονα χρόνον τρίβῃς, τοσοῦτον ξηρότερον καὶ γλισχρότερον καὶ βέλτιον ἔσται. ποιήσας δὲ παχύτερον ἢ βάλανον. καὶ τὸ ἄκρον ὀξὺ ἐκ τοῦ μέσου παχύτερον. ἔπειτα δὲ ἀγόμενον ὅκως πρὸς τὴν ὑστέρην προστεθῇ, ἐς τοῦτο ἔμπηξον ξυλήφια ὀριγάνου δύο ποιήσας λεῖα. ἔστω δὲ ἑξαδάκτυλα. εἶτα κατέλιξον τὰ ξυλήφια εἰρίῳ ὡς μαλθακωτάτῳ. ἔπειτα ἄνωθεν ῥάμματι κατέλιξον λεπτῷ. καὶ ὑπερεχέτω τὸ ῥάμμα, ὅσον τέσσαρας δακτύλους τῶν ξυληφίων. προσχεαμένη δὲ καὶ καθαρὴν ἑωυτὴν ποιήσασα ὅτι μάλιστα, προσθέσθαι αὐτὸ τὸ στόμα. ῥάκος ὑποβαλλομένη ἀπὸ τὰ ἰσχία. καὶ τὴν νύκτα προσκείσθω. ἔσται δὲ αὕτη ἡ κάθαρσις, ὑδατώδης. τῇ δευτεραίῃ ἀναστᾶσα, λουσάσθω. καὶ ἐπὶ τὴν πυρίην μὴ καθίσῃ ταύτῃ τῇ ἡμέρῃ. ὅταν δὲ πυριῆται καὶ ἀναστῇ ἀπὸ τῆς πυρίης κηρωτὴ ἔστω πεποιημένη ἀπὸ τῆς πρώτης ἡμέρης, ὡς καλλίστη. καὶ ξυμμίξαι μάλιστα μὲν ἐλάφου μυελόν. εἰ δὲ μὴ χηνὸς στέαρ. καὶ ὅταν ἀναστῇ ἀπὸ τῆς πυρίης, ἑκάστης ἡμέρης προσχεαμένη. καὶ καθαρὴν ἑωυτὴν ποιήσασα ἐς τὴν κοιλίην, τῇ κηρωτῇ ἀλειφέτω τὴν ὑστέρην, ἑκάστης ἡμέρης. τὰ μὲν ἄλλα ταῦτα πάντα ξύμμισγε, τοῖσιν ἔμπροσθεν ἐκ τῆς χολῆς. ὀριγάνου δὲ τρίβων ὡς λειοτάτης ξύμμισγε ἐς τὴν βάλανον, καὶ προστιθέσθω. Ἄλλο. Τὰ μὲν ἄλλα ταῦτα καὶ τὸν αὐτὸν τρόπον πεποιημένα, ἀντὶ δὲ τῆς ὀριγάνου ἀψίνθιον συμμίξας, καὶ κατὰ τὸν αὐτὸν τρόπον ποιήσας, προστιθέσθω. Ἐκ τῶν πυρῶν ἐκλέξας τὸ μελάνθιον, τρίψας τε λεῖον ἰσχυρῶς καὶ μέλι παραμίξας, καὶ σφαιροειδὲς ποιήσας, προστιθέσθω. πλείω πυρετὸν ἐμποιέει. καὶ τὸ ἄρθρον οἰδέει. καὶ δηκτικὸν ἰσχυρῶς ἐστὶ τοῦτο. Μέλι ἑψήσας καὶ ἐλλεβόρου κόψας τοῦ μέλανος τὸ λεπτὸν ἢν πλέον ἰσχυρῶς δηκτικὸν ἔσται. ἔστι δὲ πυρετῶδες καὶ τοῦτο. Τὸν αὐτὸν τρόπον τοῦτον, ἑψήσας μέλι ξυμμίξας τε ἐλατηρίου ὅσον πόσιν, ἑψεῖν. καὶ ποιήσας βαλάνιον, τὸν αὐτὸν τρόπον διδόναι προστίθεσθαι. καὶ τοῦτο πυρετῶδες. ἄγει δὲ καὶ αἷμα. ἔνια δὲ τούτων καὶ δέρματα. ἢν δὲ βούλοιο καὶ τὸ σφονδύλιον ξύον, ἔστι δὲ πρηῢ ἐν μέλιτι ἑφθῷ ἢ ὠμῷ. καὶ τοῦτο σφαιροειδὲς ποιέειν, ὁκόσον κικίδα μεγάλην. πειρῶ δὲ φυσικὸς εἶναι, πρὸς τῆς ἀνθρώπου τὴν ἕξιν καὶ τὴν ἰσχὺν ὁρῶν. τούτων γὰρ οὐδεὶς σταθμός ἐστιν, ἀλλ' ἐξ αὐτέων τουτέων τεκμαιρόμενος πειρῶ ὅλου τοῦ σώματος. κεφαλῆς καθάρσισι. φαρμακείῃσι, καὶ πυριῇσι τῆς ὑστέρης, καὶ προσθέτοισι χρῆσθαι. στοιχεῖα δέ σοι ταῦτα ἐστίν. ἡ δὲ θεραπείη τουτέων ἐστὶν ἐν μέρει ἑκάστῳ. καὶ ἔτι ἂν μὴ ποιῇς τούτων, αἰεὶ ἐπὶ τῆς πυρίης διατριβέτω. αὕτη γὰρ ἐστὶν ἡ μαλθάσσουσα καὶ ἄγουσα τοὺς ἰχῶρας. ὅταν δὲ καταπαύσῃ τῆς θεραπείης λήγοντος τοῦ κατὰ φύσιν, χρὴ αἷμα ἀφαιρέειν ἀπὸ τῆς χειρός. ἢν μὲν ἰσχύῃ, ἀπ' ἀμφοτέρων τῶν βραχιόνων. ἢν δὲ ἀσθενεστέρη ᾖ, ἀπὸ τοῦ ἑτέρου ἀπόχρη. διαίτῃ δὲ οἵῃ χρῆσθαι δεῖ ἐν τῇσι θεραπείῃσι ταύτῃσιν, ἑτέρωθί μοι δεδήλωται. ἀποθυμίην ἢν βούλει, τὰς αἴρας ἐκ τῶν κριθῶν ἐκλέξας, ἀλέσας λεπτά. καὶ κληματίνον πῦρ ποιήσας ὅτι μαλθακώτατον. ἔπειτα ἐμβαλὼν ἐς φυσαλίδα, ἔνθες ἐς ἡμίεκτον. καὶ ῥάκεα περιθεὶς ἵνα μαλθακῶς κάθηται, καθέζεσθαι αὐτὴν κελεύειν, ἐπὶ τῷ ἡμιέκτῳ, ὅτι μάλιστα διάγουσαν τὰ σκέλεα. ἡ δὲ θεραπείη ἢν μὲν ἱκανή σοι γένηται, ἐν τετραμήνῳ. εἰ δὲ μή, πρὸς ταῦτα σκέπτου. καὶ ὅκως πρὸς ἄνδρα μὴ πρόσεισιν, ἐν ᾧ θεραπεύεται χρόνῳ. ἐν δὲ τῇσι θεραπείῃσι διδόναι σίδια ἐν ὕδατι καταβρέχων νήστει, ὅσον κύαθον. καὶ τὴν κατάποσιν ξυνεχῶς ἔχειν. διδόναι δὲ κοτυληδόνας ἐν ὕδατι ἑψῶν. ἅλας κύμινον συνεψῶν, καὶ χλιαρὸν ῥοφεῖν. αἱ πλατεῖαι θηλυγόνοι δοκέουσιν εἶναι. αἱ δὲ σμικραὶ καὶ συμμύουσαι, ἀρσενογόνοι. Ἐγκυτήριον. Ἄκρον μελανθίου, γυναικὶ διδόναι, ἐν οἴνῳ μέλανι στρυφνῷ. γυναικὶ νέᾳ οὔσῃ, ῥόος ἐρυθρὸς ὀχλέει. καὶ φαρμακευομένη, κεφαλὴν καθαιρομένη, φλεβοτομευμένη οὐδὲν ὠφελεῖ. δοκεῖ δὲ τοῦτό οἱ αἴτιον εἶναι ὥστε μὴ ξυλλαμβάνειν. ἐδίδου τὸ αὐτῆς τῆς ἀσπαλάθου τῶν ῥιζῶν, ἐν οἴνῳ λευκῷ ἀποζεόμενον πρωῒ. καὶ πρὸς δεῖπνον, ὅτε ῥόος ἐπαύσατο καὶ οὐ βραδέως ἐκύησεν, ἔτεκεν ἄρσεν. τὸ χρῶμα, λευκόχρως. εὔσαρκος. Περὶ μύλης. Περὶ δὲ μύλης κυήσιος, τὸ δὲ αἴτιον. ἐπὴν πολλὰ τὰ ἐπιμήνια ἐόντα γονὴν ὀλίγην καὶ νοσώδεα ξυλλάβωσιν, οὔτε κύημα ἰθαγενὲς γίνεται, ἥ τε γαστὴρ πλήρης, ὥσπερ κυούσης. κινέεται δ' οὐδὲν ἐν τῇ γα-

στρί. οὐδὲ γάλα ἐν τοῖσι τιτθοῖσιν ἐγγίνεται. σφριγᾷ δὲ τοὺς τιτθοὺς αὕτη. καὶ δύο ἔτεα. πολλάκις δὲ καὶ τρία οὕτως ἔχει. καὶ ἢν μὲν μία σὰρξ γένηται, ἡ γυνὴ ἀπόλλυται. οὐ γὰρ οἵη τέ ἐστι περιγενέσθαι. ἢν δὲ πολλά, ἐκγίνονται αὐτέῃ κατὰ τὸ αἰδοῖον, ἅμα τε πολὺ καὶ σαρκῶδες. καὶ ἢν μὲν μετεκάσῃ, σώζεται. ἢν δὲ μή, ἀπὸ ῥόου ἁλοῦσα ἀπόλλυται. τὸ μὲν νόσημα τοιοῦτόν ἐστι. κρίνεσθαι δὲ χρή, τῷ πληρώματι. καὶ ὅ, τι οὐ κινέεται ἐν τῇ γαστρί. τὸ μὲν γὰρ ἄρσεν, τρίμηνον. τὸ δέ γε θῆλυ, τετράμηνον τὴν κίνησιν ἔχει. ἐπὴν οὖν τοῦ χρόνου παρελθόντος, μὴ κινέηται, δηλονότι τοῦτό ἐστι. τὸ δέ τι τεκμήριον μέγα ἐν τοῖσι τιτθοῖσι γάλα οὐκ ἐγγίνεται. ταύτην μάλιστα μέν, μὴ ἰῆσθαι. εἰ δὲ μὴ προσπίπτοντα ἰῆσθαι. καὶ πρῶτα μὲν πυριῆσαι τὴν γυναῖκα. ὅλην τὸ σῶμα. ἔπειτα κατὰ τὴν ἕδρην κλύσαι ὅπως διακαθαίρηται. πολλοὶ γὰρ ἴσως κλύσασαν κινήσειε τὸ ἔμβρυον τὸ δοκέον εἶναι τὸ ξυνεστηκός, διαθερμανθείσης τῆς γυναικὸς ἀπὸ τοῦ φαρμάκου. κλύζειν δὲ κατὰ τὰς μήτρας ὅκως αἷμα ἀγάγῃ. ἢν δὲ μὴ προσθέτοισι χρῆσθαι, τοῖσιν ἀπὸ τῆς βουπρήστιος, ὡς ἰσχυροτάτοισι. καὶ πιπίσκειν τὸ δίκταμνον τὸ κρητικὸν ἐν οἴνῳ. εἰ δὲ μὴ καὶ τὸν καστόρειον ὄρχιν. καὶ ὄπισθεν αὐτῆς σικύην προσβάλλειν πρὸς τοὺς κενεῶνας. καὶ ἀφαιρέειν ὅτι πλεῖστον. πρόσβαλλε δὲ ὅτι μάλιστα, τεκμαιρόμενος πρὸς τὰς μήτρας καθάρσιος. ὅταν δὲ μὴ γίνηται, ἤν τε ἐκ τόκου, ἤν τε καὶ ἄλλως, σίδια ὡς πιοτάτην κόψαντα λεπτήν, ἑψεῖν ἐν οἴνῳ λευκῷ. καὶ ἀποχρῆσθαι ὡς τρισὶ κυάθοισι. γλυκυσίδης κόκκοι τέσσαρες, κυμίνου αἰθιοπικοῦ, σμικρόν, καὶ σεσέλιος πλεῖον. ἢ κεδρίδες. ἢν δὲ πνιγμοὶ ἔωσι, καστόρεος σμικρόν. ἢν δὲ ἐκ τόκου καθάρσιος γινομένης μετρίης ἡ γαστὴρ μένῃ, ἢ καὶ φύσα ἀποκεκλεισμένη, καὶ ὀδυνώδης γένηται, ἤν τε ξὺν πυρετῷ, ἤν τε ἄνευ πυρετοῦ, ὁποῦ σκαμμωνίης πέμπτον μέρος πόσιος, ἢ σεσέλιος, ἢ ἄλλου τινὸς τῶν εὐωδέων. καὶ πήγανον ἐν οἴνῳ λευκῷ. ἢν δὲ μὴ βούληται πιεῖν, πρὸς τὴν ἕδρην ἄλειμμα ποιέειν. δεῖ ἐκ χολῆς ταυρείης, καὶ μέλιτος, καὶ λίτρου. ἢν δ' ἐκ διαφθορῆς καθάρσιος, ὀδυνώδης ᾖ, καὶ τῶν εὐωδέων διδόμενον μηδὲν ὑπακούῃ, καὶ πυρετοῦ ἐόντος, γάλακτος αἰγείου δύο κοτύλας ἀφεψεῖν. εἶτα ψυχθέντος τὴν ὑγρὴν ἀφελεῖν. δινεύσας, μελικρήτου ὅσον τρίτον μέρος μίξαι, ὅκως γλυκύτερον ἔσται. πιεῖν δὲ δὶς νῆστιν. ἢν δὲ μὴ παύηται ἡ ὀδύνη, μηδὲ ἡ κοιλίη ὑποχωρήσῃ, ἐς τὴν λεκάνην ἐν σκάφῃ ἐς θερμὸν ὕδωρ ἐγκαθιζέσθω. ὅταν δὲ διαπυριηθῇ, ἐξαναστήσαντα κλύζειν ἐν οἴνῳ αὐστηρῷ μέλανι δίς, καὶ ὕδατι ἅπαξ ἐλαίου ἢ μύσου, τὸ ὕδωρ χλιαρὸς κλύζειν καὶ ἐπικοιμηθήτω. Προσθετὸν ὑστερέων, ἢν ξυμμεμύκῃ, ἢ σκληρὸν ᾖ τὸ στόμα. Σῦκον λευκὸν ἐκκαθήρας, καὶ λίτρον αἰγύπτιον, τὸ καθαρώτατον μίξας λεῖον τετριμμένον, προσθετὸν ποιῆσαι ἴσον κικίδα, μὴ μεγάλην ἐν εἰρίῳ μαλθακῷ. ἐς ἴρινον μύρον βάψασα, προσθέτω, ἤν τε τρεῖς ἤν τε πλείους ἡμέρας δοκέῃ. πυρίησις μετὰ τοῦτο ξυμφέρει ἐν εὐώδει. μετὰ δέ, μαλθακόν τι δεῖ προσθετόν, ὅ, τι ἰχωροειδέα ἄξει μάλιστα. μετὰ δέ, λινοζῶστις. ἢν ἡ ἁπαλὴ μύρῳ ῥοδίνῳ χρῆσθαι ἐν ὀθονίῳ ἐς ἡμέρην καὶ νύκτα. Ἐπὶ τοῦ αὐτοῦ. Χολὴν ταύρου καὶ ἅλας ἀναξέσαι. καὶ θεῖον λεῖον παραμίσγειν πρὸς μακρὸν μῆκος μέγα πυρὴν ψιλὸν προστίθεσθαι ἐπὶ δύο ἡμέρας καὶ νύκτας, πρὸς αὐτὰς τὰς ὑστέρας. πάλιν λινοζῶστιν. μετὰ τοῦτο ἐπιπάσσειν σμύρναν ἄκρητον μίξας διεῖναι ῥοδίνῳ ἄκρῳ, καὶ μύρῳ ἰρίνῳ διαχρίεσθαι τὸ στόμα ὡς ἐσωτάτω. Θεραπείᾳ ἐπὶ τὸ αὐτὸ νόσημα. Ἴριν εὐώδεα κόψας καὶ διασήσας χωρίς, κυπέρου ἴσον, καὶ ἔκμαγμα ὅσον μαγίδα οἴνῳ ἀνθοσμίῃ διεῖναι. εἶτα ἀλειμματῶδες ποιέειν. καὶ ἐς πλῆνας ἀλείψας μῆκος σπιθαμῆς ἐς σμικρὴν σιπυΐδα ἐνθείς, ὅκως μὴ παραπνέῃ προσθέσθω. ἢν δὲ ἑλκωθέωσιν αἱ μῆτραι, ἢ τρηχυνθῇ τὸ στόμα, ἢ ἀπὸ προσθέτου τινὸς δηχθέωσιν, ἐν εἰρίῳ χρίσαι στέαρ. καὶ ῥόδινον ἀλείψαι. καὶ κηροῦ μικρόν.

Ὅταν ἴσχουσα ἐν γαστρὶ διαφθείρῃ, τὸ δὲ ἔμβρυον μηνιαῖον, καὶ ἐκφέρειν ἐς τέλος μὴ δύνηται, καὶ λεπτὴ παρὰ φύσιν γένηται, ταύτην χρὴ καθήραντα τὰς ὑστέρας. καὶ αὐτὴν φαρμακεύειν καὶ παχύνειν. οὐ γὰρ δυνήσεται ἐκφέρειν ἐς τέλος, ἐς ἂν ἑωυτήν τε ἀναλάβῃ, καὶ αἱ ὑστέραι ἰσχύσωσιν. ἢν δὲ κυΐσκηται μέν, διαφθείρῃ δὲ δίμηνα τὰ παιδία ἐς ἀκριβῶς τὸν αὐτὸν χρόνον, καὶ μήτε πρότερον μήθ' ὕστερον. καὶ τοῦτο πάθῃ δὶς ἢ τρὶς κατὰ ταῦτα. ἢ καὶ πλείονα χρόνον γεγονότα κατὰ τὸν αὐτὸν τρόπον τοῦτο διαφθείρει. ταύτης αἱ μῆτραι οὐκ ἐπιδιδοῦσιν ἐπὶ τὸ μεῖζον, τοῦ παιδίου ἐν αὐτῇσιν αὐξανομένου καὶ ὑπερβάλλοντος ἐκ τοῦ διμήνου ἢ τριμήνου εἰς τὸ πλέον. ἀλλὰ τὸ μέν, αὔξεται. αἱ δὲ μῆτραι, οὐδὲν ἐπιδιδοῦσι. διὰ δὴ τοῦτο διαφθείρουσιν αἱ πολλαὶ ἐς τὸν αὐτὸν χρόνον. ταύτην χρὴ κλίσαι τὴν μήτρην διαφυσῆσαι ὡς μάλιστα προσθέτοισιν, ἢ φαρμάκοισι τοῖσδε. τῆς σικυώνης τὴν ἐντεριώνην κόψαντα διασῆσαι. καὶ σίλφιον ὀλίγον παραμίξαι ὀλίγα ἐν πλείονι. καὶ καθεφθοτέρῳ τῷ μέλιτι, τοῦτο περιπλάσσαι περὶ μήλην, ποιέοντα τὸ πάχος ὅσον μέλλει παραδέξασθαι ὁ στόμαχος πρὸς τὸ στόμα τῆς μήτρης. καὶ ὦσαι πόρρω, ἕως ἂν περιρρήσσῃς τὸ ἔξω τῆς μήτρης. ὅταν δὲ ἀποτακῇ τὸ φάρμακον, ἐξελεῖν τὴν μήλην, καὶ πάλιν οὕτω τὸ ἐλατήριον, καὶ τῆς κολοκυντίδος τῆς ἀγρίης ποιέων ὡσαύτως τῷ προτέρῳ προστιθέναι. ἐσθιέτω δὲ τοῦτον τὸν χρόνον σκόροδα ὡς πλεῖστα. καὶ καυλὸν σιλφίου. καὶ τῇ ἄλλῃ διαίτῃ χρῆσθαι, ὁκοίη ἂν μέλλοι φῦσαν ἐμποιῆσαι μάλιστα ἐν τῇ κοιλίῃ. προστιθέσθω δὲ τὸ προσθετὸν διὰ τρίτης ἡμέρης ἕως ἂν δοκέῃ καλῶς ἔχειν. ἐνίοτε δὲ καὶ διὰ πλείονος. τὸ δ' ὅλον, ὅκως ἂν προσίηται. τὰς δὲ μεταξὺ ἡμέρας, μαλθακοῖσι χρῆσθαι. ὅταν δὲ καταστήσῃ τοῖσι μαλ-

θακτηρίοισι· ἡ σόμα τῆς μήδης, ἢ φανῆναι τὰ ἐπιμήνια ἐπιμεῖναι, ὅταν ξηρὴ ᾖ δηλονότι, μιγνύσθω τῷ αὐσρί. φορέειν δὲ φύσιν οὐ τῇ μήδρῃ. ὅταν δὲ βούλῃ σκορόδου μάλυζαν καὶ ὀπὸν σιλφίου παραμιγνύναι πρὸς τὰ προδεδεμένα· καὶ ἤν τις αὖ μὴ διὰ τοῦτο διατελεῖν τὰς δεινὰ μιλῶσα κύουσα, ἀλλὰ διαφθείρει, καὶ τοῦτο πάσχει πολεμωνίης, τούτης τῆς μήδρης καθαίρειν ὕδωρ, καὶ αὐτὴν φαρμακᾶσθαι ὅκως ὕδωρ καθαίρηται. Ἢν δὲ ἀκατέχουσα μὴ γονὴν μὴ κυΐσκηται, συμβαίνει δὲ τοῦτο πολεῖσι τῶν γυναικῶν τοῦτο πάσχουσι μήδρης παρὰ φύσιν, πρὸ ἐπιμήνια πολέως γίνεται τῶν προσηκόντος, καὶ ὑγρότερα. ὡς τε ἡ ἀρὴ τῆς γυναικὸς μὴ ξυλλαμβάνεσθαι πρὸς πὶν τέκνωσιν, τήν τε τῶν ἀνδρῶν γονὴν ἐπιοῦσαν διαφθείρεσθαι. γίνεται δὲ παῦτα, τῶν τε σώματος ἢ τῆν μηδέων, νοσεόντων. ἀλλὰ δεῖ ταύτην, ἡνίκα περικὰ δίδοναι σιαλίσαντα. καὶ πυελίω ὅλον τὸ σῶμα καὶ τὰς μήδας, ὄξει, καὶ θαλάσσῃ, μήλασα διαπύρους ἐμβάλλοντα. ἐμβάλλειν δὲ ἐς τὸ πυείημα, κυπαρίσσου πρίσματα. καὶ σάφυης φύλλα κόψασα χλωρῆς. καὶ πολυκνήμου αὐτῆς φύλλα. πυελίω δὲ ὁκοίσιν ἂν δοκέῃ καιρὸς εἶναι χρόνον. μετὰ δὲ τῶτον λουέεσθω. καὶ ὄξει ἀνέλαῦ λωτῆς τορυβήματα. καὶ ῥόδινον. ἢ πολυκνήμου αὐτῆς τὰ φύλλα. ὠδὶ τελευτῆς δὲ, θυμιάω, φλοιοῦ φύλλα κόψασα, καὶ λωτῆς τορυβήματα. ἐμπροσθεν δὲ πρὶν ἐκλούσασθαι, θυμιάσθω σμύρνῃ καὶ λιβανωτῷ, τελέως ἑκατέρου. καὶ μυρσίνης καὶ σάφυης φύλλα· ταῦτα ἀνὰ μέσα ἢ ἐπιβαλὼν ὠδὶ μαλθακὴν πῦρ, θυμιάω νεσπερίην τοῦ σίτης τῆς ἡμέρης, πυελίω νεόλλουτον ἐοῦσαν· ἢ τῆς θυμιήσεως ὕσδρον, λουέεσθω. καὶ ἢν σόμαχον κεκθετέναι ἐς πὶν ἀρχαίην φύσιν. καὶ ἰὼ ἰδαρικέσασα ἢ. πρόσθεν δὲ τούτων πάντων, τάνυσθαι πὶν σὺν τῇ χειρὶ φλέβα, τῇ ἀριστερῇ· ἢ οὕτω τἄλλα ποιέειν. Ἢν δὲ ὁ σόμαχος οὕτως ἔχῃ, τὰ λ' ἐπιμήνια μὴ ἴη φλαύρως ἢ ὠδὶ τοῦλατῖον, ἢ πρὸς πολέισι κεκάρσιον ῥέπεσθαι τοῖσιν ἄλλοισιν ἅπασι. καὶ οὕτως βρασσεύειν καὶ προσιθέναι ἰὼ δή, καὶ ἐκ τῆν πρόσθεν λούων, καὶ θυμιῶν, καὶ ξηραίνων. ἰὼ δὲ γυνὴ ἐκπιζώσῃ ἀέκουσα, καὶ μὴ θέλῃ ἐκβάλλειν πυρούς τεφρυγμένους καὶ κατελλασμένους. καὶ τὰ φλοιὰ κεκομμένην λευκὴν, μελικρήτῳ γλυκρῷ ταῦτα δεῖς ἐλαίου σμικρὸν παραχέων, νήσει πίνειν διδόναι. μετὰ δὲ ἁφαφάσου ἀσβόμα τελέως καὶ ὄξος καὶ χλωὸς σέρ, ταῦτα μέξασ' ἐσθιέτω, ἢ προσιθέσθω σάφυης φύλλα τεῖβουσα. μετὰ δὲ πινέτω σέλινον καὶ γλήχωνα καὶ ἄλφιτον οὐδὲν τι ἐπιπάσουσα σάφυης φύλλα κεκομμένα καὶ τερεμινθίνα λᾶα κόμμι παραμέξασ'. καὶ δεῖς ὕσκτι, πίνειν διδόναι. Οἶος σέρ. καὶ χλωὸς ἄλειφα. καὶ μέλι, ἐς ἢ αὐτὸ μέξασ' καὶ τεῖψασ', ἐλικτὸν διδόναι. Σταφυλίνου τείβων ὡς λειότατον, ἢ χάλακτος ὑπόστασιν οἷ τούτω μέξασ' ἢ χνοῦ σέαρ τήξας, πρῶτα αὖ ἐψήσας, διδόναι ῥυφεῖν. Ὀρίγανου τεῖψας φύλλα ὡς λειότατα. ἢν μὲν ἔχει, χλωρῆς. εἰ δὲ μή, ξηρῆς δεῖς οὐσδατοῦ πίνειν διδόναι. Σάφυης καρπὸν βῖψασ' ὡς λειότατον, καὶ ὑὸς θηλείης σέαρ τήξασ' καὶ μέλιτι, τοῦτα ὁμοῦ πάντα μέξασ' καὶ τεῖψασ', ἐλικτὸν διδόναι. Σταφυλίνου βῖβων ὡς λειότατον οἰνόπωα δεῖς κεκριμένα, πίνειν διδόναι. Ἢν αἱ μῆδραι μὴ κατέχωσιν πὶ γονιό. Μόλυβδον ἢ λίθον ἤτις ἂν σίδηρον αἱρπάζει, τοῦτα βῖψασ' λεῖα, ἐς ῥάκος ἀποδήσαν, καὶ ἐς χάλα γυναικὸς ἐμβάψασ', προσδετὸ χρῆσθαι. Χαλκοῦ ἄνθος βῖψασ', μέλιτι σεῖναι καὶ προσιθέναι. τοῦτο ὅταν αἱ μῆδραι τὸ αὐτρὸς πὶ γονιὸ ὀξυδοῦντα, τείτην ἡμέρην πάσας αὐάγκη τῆς γυναικὸς, ἢν ταῦτα πάσχῃ, πῶρον πεπαλημμένον εἶναι τὸν μήδρεον. καὶ οὐ δύναται τὸ αὐτρὸς ἡ γονὴ ἐμμένειν οἱ τῇσι μήδῃσιν, ἀλλὰ ἀποκλείεται. ἢ οὐ τούτων οὐ δύναται κυΐσκεσθαι ἕως ἰὼ ὁ πῶρος εἰῇ οἱ τῇσι μήδῃσι. τὸ δὲ πῶρον, ὧδε ἢ ὄξει λύσας. πῖδρα λοβῶν ὡς ἐλάχιστα καὶ μαλθακώτατα ξυωδήσας ὁμοῦ, τούτοισιν ἐπαλείφειν τὰς μήδρεον, ὡς τὸν ὀφθαλμοὺς ἐπαλείφουσιν, ὁμαλώσασ' τὰ πῖδρα ἄμματι ὡς λεπτοτάτῳ, καταδήσασ' τὸ ἄκρεα, εἶτα ῥοδίνῳ πολλῷ χρίσασ' αὐτὰ, ὑπ' ἰὼ ἀνακλίνασ', λοῦσθαι πὶ ὀσφύϊ μέσην ὑποθέναι προσηκεφάλαιον, ὑποθέναι πὶ μήλιν. τὰ σκέλεα τανύσας τῆς γυναικὸς· ἢ διαστείσας, ἢ μὲν κάδον, τὸ δ' ἕτερον, ἀνασχεφέειν αὖθις καὶ κάτω πὶ μήλιν, ἕως αὖ προκύψῃ. ἐπὴν δὲ ἴδῃς σὺ τῷ σώματι τὸ μήδης. ἰὼ μὲν μὴ προσίσχηται σὺ τῷ ἰχίῳ, καὶ ἐθέλῃ ἐπακολουθῆσαι, πάντων αἴρεσιν τὸ. ἢν δὲ σὺδέχηται σὺ τῷ σώματι τῆς μήδρης, λαβίσθαι ὡς λεπτοτάτης, προμηθευόμενος ὄξελκῦσαι ἠσυχῆ, καὶ μὴ βιαίως. καὶ μετὰ ταῦτα, ξυμομάσθω τῷ αὐσρί. ἰὼ κυσὸν ἐπιφαίνηται, ὀνίδας ξηρὴν, μέλτον ὄξρακον σὴ πύης βῖψασ' λεῖα, ἐς ῥάκος ἀποδήσας προσιθέναι. Γλυκυσίδης τὸν μέλανα σ' ἠρπυὸς βῖβων σὺ οἴνῳ διδόναι πεῖν κεκριμένῳ. ἢν δὲ σωθοῦσα ἀλγέει πὶ νέῳ δραν γαστρὶ, καὶ ἅμα οἱ φανῇ νεαρὸν, λίνον κόψασ', καὶ θρύον ἀπαλὸν, καὶ χλωέων ἔλαιον, ταῦτα μέξας οἴνῳ λευκῷ ὑδρηρεῖ, δεῖς διδόναι πίνειν. Ἢν αἱ μῆδραι προσέλθωσιν ἔξω τῆς φύσιος, πῦρ ἔχει. μάλιστα μὲν τὰ αἰδδία, ἢ πὶ ὀσφῦν. καὶ ὁ θυρὸν ῥύζει, καὶ ὀλίγον, καὶ δάκνεται τὰ αἰδδία. ταῦτα πάσχει. Εἰς ὁ αὖ πάθεος.

Ἢν δὲ ἐκ τόκου ἐοῦσα τῷ αὐσρὶ μὴ παρακομάται, ὅταν οὕτως ἔχῃ, μύρτα ἢ λωτῆς πρίσματα ἐμβήσασ' σὺ ὕδατι καταθεὶς ὁ ὕσδωρ ἐς πὶν ἔσδον, προχείσθω ὡς ψυχρότατον ἐς τὰ αἰδδία, καὶ ῥίβων λεῖα προσπλάσσειν. ἔπειτα ὑσδωρ πίνουσα, φακὸν μέλι ἢ ὄξος ξυμμίσγουσα, ἐμέτῳ, ἕως αὖ αἱ μῆδραι ἀναστομωθῶσιν. καὶ πὶν κλίνλω ὑφηλοτέρω πρὸς φοδῶν κείσθαι. ὑποθυμιῶ δὲ κάτω τὰ αἰδδία

τὰ αἰδδία καὶ κώδεα. κάτω δὲ τὰς ῥίνας ὀδώδεα. σιτίοισι δὲ χρήσθω ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι. καὶ ἢν οἶνον ὑσδαρέα λευκὸν πινέτω. καὶ μὴ λουέσθω. καὶ τῷ αὐσρὶ ξυγκοιμάσθω. Ἢν δὲ παντάπασιν ἐκ τῆν αἰδδίων ἐκπέσωσιν, ἐκκρέμανται δὶ πδρ ὄχη. καὶ ὀδυνὴ λαμβάνει. τοῦτο δὲ ὅταν ἐκ τόκου τὰ λαυπωρήσῃ, ὡς τε σείῃσι τὰς ὑσδέας, καὶ τῷ αὐσρὶ μὴ ξυγκοιμᾶται σὺ τῷ λοχείῳ. ὅταν οὖτος ἔχῃ, ψύγματα προσίθεσθαι πρὸς τὰ αἰδδία. ἢ τὰ ἐξωθεν ὑπομενθέρεα, σίδιον οἰνῳ μέλανι οἰνώδει ἐψήσας, οὕτω ὠδὶ πολυώσασ' εἴσω ἀπωθείειν. ἔπειτα μέλι καὶ ῥητίνῃ σωτήσασ' ἴσον ἐνασδόν, ἐγχεῖ ἐς τὰ αἰδδία. καὶ κεῖσθαι ὑπτίῳ, ἀνω τὰ σκέλη ἐχουσαν ἐκτεταμένην. ἢ ἔπειτα ἀπόδον προσθεῖς, ἀναδήσασ' ἐκ τῆν ἰξύων. ἐς ἂν ἅ οὗτος ἔχῃ, σιτίων θέσιν ἀπέχεσθαι· ποτῷ δὲ ὡς ἐλαχίσῳ χρέεσθαι, μέχρις ἂν ἔπᾳ ἡμέρας παρέλθωσι. ἢ ἰὼ μὲν ὅτως ἐθέλωσιν ἰέναι. εἰ δὲ μὴ ἄκρεα ὠδὶ ἐξίεται τὰς μήδας, καὶ ἀποπλώσαι τῇ πιτύῃ ἐφθῇ. ἔπειτα πρὸς κλίμακα δήκας τῶν πόσθας, κρούειν καὶ τὰ πὶ κεφαλῶ, καὶ τῇ χειρὶ ἐσωθεῖειν. ἔπειτα ξυνδήσασ' τὰ σκέλεα, ἐπάλμακα ἐάσασ' ἡμέρην καὶ νύκτα. ἀφέμασ διδόναι ὀλίγον χυλὸν πισσίνης. ψυχρὸν δὲ διδόναι μηδέν. τῇ δὲ ἐπαύριον ἐγκατα κλίνας ὠδὶ ἐχίσασ, σικύην προσβάλλειν ὡς μεγίσην, καὶ ἀνέλκειν πουλλὰ χρόνον. καὶ ὅταν ἀφέλῃς καὶ τὰ κλίνασ', ἐγκεῖσθαι καὶ προσφορέειν ἄλλο μηδέν, ἢ ἅ χυλὸν, ἐς ἂν ἔπᾳ ἡμέραι παρέλθωσιν. σιτίοισι δὲ ὡς μαλθακωτάτοισι καὶ ἐλαχίστοισι χρήσθω. ἰὼ δὲ ἀποπατεῖν ἐθέλῃ, ἀποπατείτω ἐκείνῃ αὐακκεμένῃ, ἕως ἂν τεσσερεσκαίδεκα ἡμέραι παρέλθωσιν. ἔπειτα αὐίσασθαι καὶ ὠδὶ βρέχεσθαι ὡς ἐλάχιστα. καὶ μὴ λουέσθω. σιτίοισιν ὀλίγοισι χρήσθω. τὰ αἰδδία τοῖσι κατακώδεσι θυμάσθω. καὶ ἐπὴν αὖχηται ὠδὶ χωρέειν, πὶν σφονδύλῳ φορείτω.

Ἐξαίρεσις τῆς ἐμβρύου. Ἢν δὲ ἔμβρυον ἐπὴν ἀναποθαίῃ σὺ πῆσι γονίοισιν ἐς πελεσσινίῳ χρήσθαι κατ' ὀλίγον ἢ φαινόμενον κατὰ λόγον θραύοντα. ἢ ῥίρεσι κατὰ λιπόντα προσβολὴν τῷ σιδήρῳ.

Νόθα, τῇ πελευτῇ τῶν πρώτου ὠδὶ γυναικείων βιβλίου προσκείμενα.

Βηλὸς παυδίου. θαψίλῳ ἐπ' ἄλφιτοις ψαμίζειν. ἔτδρον. ὠὸν ὀπτήσαντα, πὶ λέκιθον ὀξελόντα ξίψαι. καὶ σήσαμον λευκὸν πεφρυγμένον καὶ ἄλες, σὺ μέλιτι σλείχειν. Τιῶ κοιλίῃ λύζει παυδίου. εἰείον ἄπλυτον ἐς μέλι βάψασ', σὺθεῖναι. ἐὰν δὲ γεραίτερον ᾖ, κρομμύων τὰ ἔξωθεν ξίψασ', σὶ τιθώναι. ἐὰν δὲ γάλα μὴ ᾖ, σπάνιον ἄλδυρον ἐκπλύνας, μέλι καὶ ἔλαιον μίξασ' γλυκρῷ κλύσαι.

Ἀθματος παυδίου. λιβανωτὸν σὺ οἴνῳ γλυκεῖ ἁλουσίν. καθαρτήριον. βαλανίδας ποιέειν κοτύλῃ μέλιτος. αἰθίσιν ὀξύβαφον. ἀσφάλτου δύο σδραχμάς. χρλῷ βοός. σμύρνης δεῖς σδραχμάς. πόσιν ἐλατηρίῳ. ἐφεῖν σὺ χαλκῷ, μίσγειν ἔλαιον χλωὸς. ἢ ὅτου μέλι χρῆσθαι, ἀλείφειν τὰς βαλανίους τῷ χλωείῳ μαλακῷ. εἰείῳ δὲ χρῆσθαι, τῷ ὀΐῳ. ἐλαίῳ δὲ, χιονίῳ. τούτῳ μίσγειν κυνάβαρι. Ἑμέτου λύει. Ὠχύμου χυλὸς σὺ οἴνῳ λευκῷ. Ἕτδρον. Ἀλήτου σταφίδος κεχυλισμένου ἢ ὕσδατος ἐψήσας γλυκείῃ καὶ ὀξείῃ ἀποχυλώσας. ἔπειτα μέλιτι μίξασ'. Τὸ σπληνῶδες ὧδε ποιεῖ. ἐλλεβόρου μέλανος. ζωσθερᾶκη. λεπὶς χαλκοῦ, ἴσον ἑνὸς τοῦ βηνὸς χωρεῖς. ὅταν δὲ λεῖον ᾖ, παρὰ μίξαι μᾶς μερίδος διπλάσιον πίτυρον, ἀνακλύζας, κεσρίνῳ χριέτω. Ὃ πὸν φάρμακον ὧδε ποιεῖ. Ἄνθος κεχαυμένου καθαρῶς. ἄχρις ἂν φοινικοῦν γένῃ, τρίψασ' λεῖον, τουτέῳ χρῶ.

Τὸ μέλαν φάρμακον. Λεπὶς. ἄνθος. χωρεῖς τρίβειν ἑνὸς τρόπου. ὅταν δὲ λεῖον τρίβῃς, οὕτω μίσγε. ποιέειν δυοῖν ξιαείδη τῷ φαρμάκῳ. ἢ μὲν ἰχυρότατον, ἢ ἄνθος, ξιτη μόριον τῆς λεπίδος. ἢ δὲ δευτέρου, τεταρτη μόριον. ἢ τρίτου, πεμπτη μόριον. Τοῦτο ἢ φάρμακον ἐπιπᾶν ἁρμόζει. Διαλειπτῶν πρὸς πὶν σωνάγχην. καὶ χρυα. σαφὶς ἀγρία. ἀψίνθιον. ἐλατηρίου. μέλι. Ἐν τοῖς ποδαλγικοῖς ὀδυνήμασιν τὰ ἀφιστάμενα καὶ πεπλάσσειν ὕσδατι φύροντα λεῖον. ἰὼ μὴ λούειν ῥιῶν ἡμβρέων. ὅταν δὲ λούσῃς, αὖθις νίτρον ὠμὸν τὸ ὀρυθροῦ τρίψαντα. ἰὼ μέλι ὀλίγον. τουτέῳ ὡς πδρ αἰεὶ χρέεσθαι. ἢ ἢν ἴσον χρόνον ἐς κύθραν ἐμβάλλειν λείους. εἶτα, συπηείλω. εἶτα καὶ τὰ λέψασ' ὑποκεῖν, νύκτα καὶ ἡμέρην. πὶ ὅρον ἐμβαλεῖν ἀσταῖδι λείη, τεδιμμένῃ, ξηρῇ, οἰαλείφοντι πὶ ὅρον. τὰ πεπυρωμένα διάχριε. αὐσοράχνην οἰ στυπτηρίδεος δεκάς τῆς ὀρυθρῆς, ὁ πόσον ὁλκὶω, λύει πάζων οὐ ὕσδατι. σαθμὸς ἡ μοβόλιον ἀπικόν. Ὀφθαλμικόν. Χαλκὸς. εἴδος χρλῇ, αἰγός. σμύρνα. ταῦτα λύεται. πάντα ὁμοῦ τρίψασ' λεῖα, οἴνῳ διϊσάνι λευκῷ. ἔπειτα ἐς κάλαμον ἐμβάλων, ξηρῷ χρῆσθαι.

Ἐμπλαστρον. Μίσυ κατασκευάζεις, ξίβε σὶ γύρι. ξυμμίσγειν δὲ αὐτῷ, κοσδοῦ χρισὶν πεπαλυμένην. ἔσω δὲ τῆς σποδοῦ, ξίλα. τὰ μυσύος, σὶ. ἢ μυσὶ κατάκαυε ἐς μάζαν, φυλασσόμενος, ὅκως μὴ ἐκρυῇ. ὀπτώμενον χαίρ, ὀξυγραίνεται. ὅταν δὲ κάλως ὀπτὸν ᾖ, φοινίκεον γίνεται. Ἐμπλαστρον. Τιμάδιον ἢν αὐτὸν ῥόπον μεσχόμενον ᾧ μυσὶ ὠπτημένῳ, ὡς πδρ σὶ τῇ χρυσοκόλλῃ σποδῷ, ἢ μυσὶ γίνεται. Ἕτδρον ἐμπλαστρον ἰχυρότερον τούτου. Σποδὸς κυπρίας ἐκ τῶν ἀσβόλου πεπαλυμένου. ἢ φλοιοῦ. ἢ μυσὶ ὀπτὸν. εἶναι δὲ δύο μοίρεα τῆς σποδοῦ τὸ ἡμιμόριον. σὶ τούτῳ μυσὸς ὑγρόν. ἀνέμωνης τὰ φύλλα κόψαντα, ἐκπίεσαι. καὶ ἐς ἢν ἥλιον θεῖναι σὺ χαλκῷ δρυθρῷ κα-

παραλύωντα, ὅκως μηδὲν ἐμπεσῆται. ὅταν ᾖ παχὺ ἦ, διαπλάσειν φθοεῖς. εἶτα ξηράνειν. ὅταν δὲ ξηρανθῇ, κατακαίειν ὡς δυνατὸν μάλιστα. εἶτα ἐπεισβὰν ψυχθῇ, ζίβειν λεῖα. μὴ μύσσειν ἀσβόλῃ πεπαλυμένῃ τῇ ἐκ τῆς ἀσβόλου ἴσον. εἶτα παρεσταίζων νέπωπον, μικρὸν ζίβειν. εἶτα μέλιτι διϊέναι. εἶτα ξηρήνας ἐς χαλκῆν κνησίδα τουτέῳ χρῶ. Ξηρὸν μαλακήν. Σποδὸς κυπρία. χαλκῖτις ἄπλυτος λεῖα τρισσιμένη. μὴ ἄνθος χαλκοῦ. τούτῃ ἴσα μύσσειν μὴ ζίβειν λεῖα. Ἕτερον ξηρόν. Σποδὸς κυπρία. χαλκῖτις διαπεπρισσιμένη. καὶ σποδὸς χρυσῖτις ἄπλυτος ἐναφεψῆται ᾧ χρυσίον. ταύτας ἀλλήλαις διαρίζειν. Ἕτερον ξηρόν. Σποδὸς πεπαλυμένη. χρυσῖτις. μὴ ἄφρος χαλκᾶ ἴσα λεῖα.

Ἕτερον. Ὀμφακος χυλός. μὴ σποδὸς κυπρία. πρῶτον ὄμφακα ἀκμάζοντα χρὴ ἐκπιέσαι. ἔπειτα χυλὸν διϊθρίου ἐς χαλκεῖον βρύθερον. μὲξαι ὄξεος ζῖτον μόριον λευκοῦ ὡς ὀξυτάτου. μὴ οὕτως κατατρῖψαι ὡς τῷ ἡλίῳ. καὶ ἀνακαίειν πεντάκις τῆς ἡμέρης. ὅταν δὲ παχὺς γένηται ὁ χυλός, σποδοῦ τῆς κυπρίης τῆς χαλκίτιδος λείην ἐμβαλεῖν μὴ ἀναμέξαι. ὅταν ἐκ πέσῃ ἢ ἑβδομαῖος ἢ ὁ χυλὸς σὺ τῷ ἡλίῳ κείμενος, ἐς κοτύλην ἀπίκιλλε τὸν χυλοῦ τῆς σποδοῦ σφραγὶς ὀκτώ. ἐὰν δὲ βούλῃ σβριμύτερον εἶναι, ἐλάττω πίττου σποδόν. ἐὰν δὲ μαλθακώτερον, πλέω. μεξὰς δὲ ταῦτα ξηραίνειν, ἄχρις οὗ ἄμφακα διαπλάσει φθοεῖς. εἶτα ἐγξηράνειν, κερμάζας ἀεὶ ὑπὸ κάπυς. μὴ ἔτως ξηραίνειν, μέχρις οὗ ὄσσε κώδης γένηται, ὡς τε ῥιβούμενον, μὴ ἐωυῤῥεφεσθαι. εἰθ' ἔτως χρῶ. κείσθω δὲ, ὅκου ἰκμάδα μὴ ἔξει.

Μετὰ ῥίγεος ἄπνοια, κακόν. κακὸν δὲ καὶ λήθη. Αἱ ἐκ ῥίγεος καταψύξιες, μὴ ἀναθερμαινόμεναι, κακαί. Οἱ ἐκ καταψύξιος ἱδρώδεες ἀναθερμαινόμενοι, κακόν. ἆρα τούτοις ἐν πλευροῖς καῦμα ὀδυνῶδες, καὶ τὸ ἐπιῤῥιγοῦν, κακόν. Τὰ καυματώδεα ῥίγεα, ὑπό τι ὀλέθρια, καὶ τὸ φλογῶδες ἐν προσώπῳ μεθ' ἱδρῶτος ἐν τούτοις κακόν. ἆρα τούτοις ἡ ψύξις τῶν ὄπισθεν, σπασμὸν ἐπικαλέεται. Οἱ ἐφιδροῦντες ἄγρυπνοι, ἀναθερμαινόμενοι, κακόν. Ἐξ ὀσφύος ἀναδρομῆς, ὀφθαλμοῦ ἴλλωσις κακόν. Ὀδύνη ἐς στῆθος καθρωθεῖσα σὺν νωθρότητι, κακόν. ἐπιπυρετήναντες τοι καυστικοὶ, ὀξέως ἀποθνήσκουσιν. Οἱ ἐπανεμέοντες μέλανα, ἄποσιτοι, παράφοροι, κατ' ὀσφὺν μικρὰ ὀδυνώδεες, ὄμμα θρασὺ, κεκλεισμένον, τούτους μὴ φαρμακεύειν, ὀλέθριοι γάρ. Μηδὲ τοὺς ἐν πυρετοῖσι ἐπιδιδόντας, σκοτώδεα, ἐν τῷ πλανᾶσθαι ἐκλείποντας, ἀποσίτους, ἀχρόους. Μηδὲ τοὺς ἐν πυρετῷ, ἐν κωματώδεες, κατακεκλασμένους. ὀλέθριοι γάρ. Καρδίης πόνος ἅμα ὑποχονδρίῳ συντόνῳ, καὶ κεφαλαλγίη κακοήθεες, καίτοι ἀσθματώδες, ἆρά γε ἐξαίφνης οὗτοι τελευτῶσιν; ὡς ἐν Δυσώλει, τούτῳ καὶ οὖρα ἐξυμμένα, ἐγένετο βιαίως ἐξέρυθρα. Τραχήλου πόνος, κακὸν μὲν ἐν παντὶ πυρετῷ. κάκιστον δὲ οἷσιν ἐκμανῆναι ἐλπίς. Κωματώδεες, κοπιώδεες, ἀχλυώδεες, ἄγρυπνοι, ἐφιδροῦντες πυρετοὶ κακοήθεες. Ἐκ νώτου φρῖκαι πυκναί, ὀξέως μεταπίπτουσαι, δύσφοροι, οὔρου ἀπόληψιν ἐπώδυνον σημαίνουσιν. κακόν. Καὶ οἱ ἀσώδεες ἀεμέτως παροξυνόμενοι, κακόν. Καταψύξις μετὰ σκληρυσμοῦ, σημεῖον ὀλέθριον. Ἀπὸ κοιλίης λεπτὰ μὴ ἀναπνοήσι διιούσης, ἔοντι παρ' ἑωυτῷ κακόν. ἆρα τῷ ἡπατικῷ. Τὰ σμικρὰ ἐμέσματα χολώδεα κακόν, ἄλλως τε καὶ ἢν ἐπαγρυπνήσωσι, μυκτὴρ ἐν τουτέοισιν ἀποστάξαν ὀλέθριον. Αἷς ἐκ τόκου γε ἄλλως, ἐπὶ πάντα δ' ἅμα πυρετῷ, κώφωσις, καὶ ἐς πλευρὸν ὀδύνη ὀξέη, ἐξίστανται ὀλεθρίως. Ἐν πυρετοῖσι καυσώδεσιν ὑποπεριψύχουσι διαχωρήμασιν, ὑδατοχόλοις, συχνοῖσιν, ὀφθαλμῶν ἴλλωσις, σημεῖον κακὸν, ἄλλως τε καὶ ἢν κάτοχοι γένωνται. Τὰ ἐξαίφνης ἀποπληκτικὰ λελυμένως, ἐπιπυρετήναντι χρονίως ὀλέθρια. δὴ τι ἐπεπόνθη ὁ καὶ Νουμηνίου υἱός. Ἐξ ὀσφύος ἀλγήματος ἀναδρομαὶ εἰς καρδίην, πυρετώδεες, φρικώδεες, ἐμέουσαι ὑδατώδεα, λεπτὰ, πλέονα, παρανεχθεῖσαι ἄφωνοι, ἐμέσασαι μέλανα, τελευτῶσιν. Ὄμματος κατάκλεισις, ἐν ὀξέσι κακόν. Ἆρά γε τοῖς ἀσώδεσιν ἀεμέτοισιν, ὀσφυαλγέσι, ἢν θρασέως παρακρούσωσι, ἐλπὶς μέλανα διελθεῖν. Φάρυγξ ἐπωδύνως ἰσχνὴ μετὰ δυσφορίης, πνιγώδης ὀλεθρίη ὀξέως. Οἷς πνεῦμα ἀνέλκεται. φωνὴ δὲ πνιγώδης ὁ σπόνδυλος ἐγκάθηται, τουτέοισιν ἆρα τὴν τελευτὴν, ὡς συσπῶντός τινος τὸ πνεῦμα γίνεται. Οἱ κεφαλαλγικοὶ κατόχως παρακρούοντες κοιλίης ἀπολελαμμένης, ὄμμα θρασύνοντες, ἀνθηροὶ, ὀπισθοτονώδεες γίνονται. Ἐπ' ὀμμάτων διαστροφῇ πυρετώδεα, κοπιώδεα, ῥίγος ὀλέθριον, καὶ οἱ κωματώδεες ἐν τούτοισι, πονηρόν. Αἱ ἐν πυρετοῖσι πρὸς ὑποχόνδριον ὀδύναι, ἀναύδως, ἱδρῶτι λυόμεναι, κακοήθεες. τούτοισιν ἐς ἰσχία ἀλγήματα ἅμα καυσώδεϊ πυρετῷ, καὶ ἢν κοιλίη καταῤῥαγῇ, ὀλέθριον. Οἷσι φωναὶ ἅμα πυρετοῖσιν ἐκλείπουσι μετὰ κρίσιν, τρομώδεες καὶ κωματώδεες τελευτῶσιν. Οἷσι καυστικὰ, μεμωρωμένα, κάτοχα, ποικίλλονται ὑποχόνδρια καὶ κοιλίην ἐπηρμένοι, σίτων ἀπολελαμμένων, ἐφιδροῦσι, ἆρα τούτοις τὸ θολερὸν πνεῦμα, καὶ τὸ γονοειδὲς ἐπελθὸν, λύσιν διασημαίνει; καὶ κοιλίη δὲ ἐπαφραχολώδεα προσδιδόχεται, τὸ λαμπῶδες ἐν τουτέοισιν ὠφελέει οὐρηθὲν, κοιλίη δὲ τουτέοισιν ἐπιταράσσεται. Οἷς κῶμα γίνεται ἐπιδεως παρελθόντων πυρετὸς παροξύνεται ὀξύς. Αἱ ἐκ κεφαλαλγίης ἀφωνίαι ἅμα ἱδρῶσι πυρετώδεες χαλῶνται ἐφ' ἑωυτῶν, ἐπανιόντα χρονιώτερον ἐπιῤῥιγοῦσι τούτοισιν οὐ πονηρόν.

Χεῖρες τρομώδεες, κεφαλαλγέες, τραχήλου ὀδυνώδεες, ὑπόκωφοι, οὐρέοντες μέλανα διεστεῶτα, οἷσιν ταῦτα ἤ, μέλανα προσδέχεσθαι ἥξειν, ὀλέθριον. Αἱ μετ' ἐκλύσιος κατόχως ἀφωνίαι, ὀλέθριαι. Πλευροῦ ἄλγημα ἐπὶ πτύσει χολώδεσιν ἀλόγως ἀφανισθὲν ἐξίστανται. Ἐπὶ τραχήλου ἀλγήματι κωματώδει ἱδρώδει κοιλίη φυσηθεῖσα, εἰ δέ τι πρὸς ἀνάγκην ὑγρὰ, χαλῶσα, ὑποπεριπλευθεῖσα, ἐκ τουτέων ἄχολα ἐξίστανται, τὰ τοιαῦτα διασωζόμενα μακροτέρως διανοσέει. ἆρά γε εἰσὶν ἄχολοι περιπλύσιες ἐνθέδραι, καὶ τὸ φυσώδες ὄγκω προσωφελέοι; Κοιλίης περιίστασις πρὸς ἀνάγκην ὑγρὰ, χαλῶσα, ταχὺ ὀγκουμένη ἔχει τι σπασμῶδες. δὴ καὶ τῷ Ἀσπασίου υἱῷ, τὸ ἐπιῤῥιγοῦν τούτοις ὀλέθριον. ἐκ τουτέων σπασμώδης γενηθεὶς καὶ ἐμφυσηθεὶς μακροτέρην διανοσήσας, στόματι σήψις χλωρὴ ἐπεγένετο. Τὰ κατ' ὀσφὺν κατὰ λεπτὸν χρόνια ἀλγήματα πρὸς ὑποχόνδριον γριφόμενα ἀποσιτικὰ ἅμα πυρετῷ, τούτοισιν εἰς κεφαλὴν ἄλγημα συντονον ἐλθὸν κτείνει ὀξέως τρόπῳ σπασμώδει. Τὰ ἐπιῤῥιγοῦντα καὶ ἐς νύκτα μᾶλλον τι παροξυνόμενα ἄγρυπνα φλεβοδονώδεα ὄντα ἐν τοῖς ὕπνοις. ἔστιν ὅτε οὖρα ὑφ' ἑωυτῶν χαλῶνται ἐς σπασμοὺς ἀποτελευτᾷ κωματώδεας. Οἱ δὲ ἀρχῆς ἐφιδροῦντες οὔροισι, πέποσι, καυστικοὶ, ἀκρίτως περιψύχοντες, διὰ ταχέως περικαέες. νωθροὶ. κωματώδεες. σπασμώδεες, ὀλέθριοι. Τῆσιν ἐπιφόροισι κεφαλαλγικὰ καρώδεα μετὰ βάρεος γινόμενα, φλαῦρα, ἴσως δὲ ταύτῃσι καὶ σπασμώδες τι παθεῖν ὠφελεῖ. Τὰ ἐν φάρυγγι ἰσχνῷ ἀλγήματα πνιγώδεα ἔχει τι σπασμώδες,

ἄλλως τε καὶ ἀπὸ κεφαλῆς ὁρμῶντα δὴ καὶ τῇ Θρασύνοντος ἀδελφῇ. Τὰ τρομώδεα σπασμώδεα γινόμενα ἐφιδροῦσι πολυπόστροφα, τούτοις ἡ κρίσις ἐπιῤῥιγοῦσιν. οὗτοι ἐπιῤῥιγέουσι περὶ κοιλίην καύματι προκληθέντες. Ὁ σφύος πόνος, καὶ κεφαλαλγικὸς καὶ καρδιαλγικὸς μετὰ ἀναχρέμψιος βιαίης, ἔχει τι σπασμῶδες. Ἀπὸ κοιλίης ὑποπέλια ταραχώδεα, καὶ οὖρα λεπτὰ, καὶ ὑδατώδεα, ὕπωπα. Φάρυγξ τρηχυνθεῖσα ἐπ' ὀλίγον, καὶ κοιλίη διαβορβορύζουσα κεναῖς ἐξαναστάσεσι, καὶ μετώπου ἀλγήματα, ψηλαφώδεες, κοπιώδεες, ἐν στρώμασι, καὶ ἱματίοισιν ὀδυνώδεες. τὰ ἐκ τούτων αὐξανόμενα, δυσκόλα. ὕπνος πολὺς ἐν τούτοισι σπασμώδης, καὶ τὰ εἰς μέτωπον ἀλγήματα βαρέα, καὶ οὔρησις δυσκολαίνουσα. Οὔρου ἐπίστασις καὶ οἷσι ῥίγεα ἆρα τούτοισι σπασμώδεσι, δὴ καὶ αὐτὴ φρίξασα ἐφίδρωσεν. Αἱ ἄκριτοι τελευτῶσαι καθάρσιες, ἐν πᾶσι μὲν παροξυντικαί. τούτοισι δὲ καὶ πάνυ ἐκ τοιούτων καὶ παρ' οὓς ἀνίστανται. Αἱ ταραχώδεες θρασύταται ἐπεγέρσιες σπασμώδεες ἄλλως τε καὶ μεθ' ἱδρῶτος. Καὶ αἱ τραχήλου καὶ αἱ μεταφρένου καταψύξιες δοκέουσαι, καὶ ὅλου δὲ τοῦ σώματος, ἐν τούτοισι καὶ ἀφρώδεες οὐρήσιες ἅμα ἀψυχίη, καὶ ὀμμάτων ἀμαύρωσις, σπασμὸν ἐγγὺς σημαίνει. Βήχιος ἀλγήματα μετὰ τραχήλου, σπασμώδεα. ἀπὸ προσώπου δὲ ταῦτα καὶ κατὰ φάρυγγα, ἦχοι συχνοὶ σπελίζοντες. ἐν τούτοισι ἐν ὕπνοις ἱδρῶτες, ἀγαθοί. ἆρά γε καὶ τῷ ἱδρῶτι κουφίζεσθαι τοῖς πλείστοις οὐ πονηρόν; οἱ εἰς τὰ κάτω μόρια πόνοι, τούτοισιν εὔφοροι. Οἱ ἐν πυρετοῖσιν ἐφιδροῦντες, κεφαλαλγέες, κοιλίης ἀπολελαμμένης, σπασμώδεες.

Τὰ ὑποψαθυρὰ ὑγρὰ διαχωρήματα περιψύχοντα, οὐκ ἀπύρως, φλαῦρα, τὰ ἆρα τούτοισι ῥίγεα, κύστιν καὶ κοιλίην ἐπιλαμβανόμενα ὀδυνώδεα, ἆρα τὸ κωματῶδες τούτοισιν ἔχειν τι σπασμῶδες; οὐκ ἂν θαυμάζοιμι. Τὰ ἐν ὀξέσι ἐμετώδεως ἐληγόμενα φλαῦρα, καὶ αἱ λευκαὶ διαχωρήσιες δύσκολοι. ἀγλισχρὰ ἐκ τούτων διεξελθόντα ἐξίστανται καύματι πολλῷ. οἱ ἐκ τούτων κωματώδεες νωθροὶ, ἀπογίνονται. τὰ ἐκ τοιούτων μακροτέρως ἐπινοσέει, ἆρα περὶ κρίσιν οὗτοι ξηρώδεες δύσπνοοι;

Τὰ δὲ ὀσφύος εἰς τράχηλον καὶ κεφαλὴν ἀναδιδόντα καὶ παραλύοντα παραπληκτικὸν τρόπον σπασμώδεα, παρακρουστικὰ, ἆρά γε καὶ λύεται τὰ τοιαῦτα σπασμῷ; ἐκ τῶν τοιούτων ποικίλως διανοσέουσι καὶ διὰ τῶν αὐτῶν ἰόντες. Οἱ ἐν ὑστερικοῖσιν ἀπύρως σπασμοὶ εὐχερέες, δὴ καὶ Δορκάδι. Κύστις ἀποληφθεῖσα ἄλλως τε καὶ μετὰ κεφαλαλγίης, ἔχει τι σπασμῶδες, τὰ ναρκώδεως ἐν τούτοισιν ἐκλυόμενα δύσκολα, οὐ μὴν ὀλέθρια. ἆρά γε καὶ παρακρουστικὸν τὸ τοιοῦτον;

Ἆρά γε καὶ περὶ κρόταφον ὀστέων διακοπαὶ σπασμὸν ἐπικαλέονται; ἢ τὸ, μεθύοντα πληγῆναι; ἢ τὸ, ῥυῆναι πολὺ, ἐν ἀρχῇσι, εἰ δ' ἔτι ποιεῖ σπασμώδεα. Ἐν ἱδρῶτι πτύελα παραῤῥέοντα πυρετώδει ἐόντι, ἀήθεα, ἆρά γε τουτέοισιν ἐπί τινας ἡμέρας κοιλίαι καθυγραίνονται; οἶμαι, ἆρά γε τούτοισιν εἰς ἄρθρον ἀπόστημα ἔσεσθαι; Τὰ ἐπ' ὀλίγον θρασέως παρακρούοντα, μελαγχολικὰ. ἢν δὲ ἀπὸ γυναικείων ἢ, θηριώδεα, ἆρα πλεῖω δὲ ταῦτα συμπίπτει, ἆρά γε καὶ σπασμώδεες αὗται; ἆρά γε καὶ αἱ μετὰ κόρων ἀφωνίαι, σπασμώδεες αὗται; δὴ τῇ τοῦ σκυτέος θυγατρὶ, ἤρξατο γυναικείων παρεόντων. Οἷσιν σπασμώδεσιν ὀφθαλμοὶ ἐκλάμπουσιν ἀτενέως οὔτε παρ' ἑωυτοῖσιν εἰσὶν, διανοσέουσί τε μακροτέρως. Τὰ ἀνάπαλιν αἱμοῤῥαγέοντα κακὸν, δὴ ἆρα σπληνὶ μεγάλῳ ἐκ δεξιοῦ ῥέειν, καὶ τὰ καθ' ὑποχόνδριον ὡσαύτως, ἐφιδροῦντι δὲ κάκιον. Ἐκ ῥινῶν μικροῖς ἱδρῶσιν περιψυχόμενα κακοήθεα μοχθηρά. Μεθ' αἱμοῤῥαγίαν μελαίνων δίοδος, κακὸν, πονηρὰ δὲ καὶ τὰ ἐξέρυθρα, εἰ δὲ ἆρά γε τεταρταίοισι ταῦτα αἱμοῤῥαγέει, κωματώδεες; ἐκ τοιούτων σπασμῷ τελευτῶσιν. ἆρα μελαίνων προσδιελθόντων καὶ κοιλίης ἐπαρθείσης; Τὰ αἱμοῤῥαγέοντα ἐφιδροῦντα, τρώματα, κακοήθεα, οὗτοι διαλεγόμενοι λαθραίως τελευτῶσιν. Ἡ μεθ' αἱμοῤῥαγίαν βραχεῖαν, καὶ μελαίνων διαχώρησιν ἐν ὀξέσι κώφωσις, κακόν. αἵματος διαχώρησις ἐν τούτοισι, ὀλέθριον, κώφωσιν δὲ λύει. Ὁ σφυῖ ἐπωδυνώ καρδιαλγικὰ προσιόντα σημεῖα αἱμοῤῥαγώδεα. οἶμαι δὲ καὶ προγεγενημένον σημεῖον. Τὰ τεταγμένοισι χρόνοισιν αἱμοῤῥαγέοντα, διψώδεα, δύσκολα, ἐκλυόμενα, μὴ αἱμοῤῥαγήσαντα, ἐπιληπτικὰ τελευτᾷ. Τὰ εὐθὺ ταραχώδεα, ἄγρυπνα, ἀποτάξαντα ἐκ τρίτα κουφισθέντα, νύκτα πονήσαντα, εἰς τὴν αὔριον ἐφιδρώσαντα κατενεχθέντα, παρακρούσαντα αἱμοῤῥαγήσει λαύρως, ἆρά γε τὸ ὑδατῶδες οὖρον τοιοῦτόν τι σημαίνει;

Οἷσιν αἱμοῤῥαγίαι πλείους παρεληλυθότος χρόνου κοιλίαι πονηρεύονται, ἢν μὴ τὰ οὖρα πεπανθῇ. Ἐν κρισίμοις περιψύξεσι τῶν αἱμοῤῥαγιῶν αἱ νεανικαὶ κάκισται. Οἱ καρηβαρικοὶ κατὰ βρέγμα ὀδυνώδεες, ἄγρυπνοι, αἱμοῤῥαγικοὶ, ἄλλως τε καὶ ἤν τι ἐν τραχήλῳ ἐντείνει. Τὰ ἀγρυπνήσαντα ἐξαίφνης ἀλυσμῷ αἱμοῤῥαγέει, ἄλλως τε καὶ ἢν μή τι προσεῤῥύη, ἆρά γε φρίξαντα;

Τραχήλου ὀδυνώδεα ὄμματα ἐξέρυθρα αἱμοῤῥαγικά. Οἷσι κοιλίης ἐπιστάσης αἱμοῤῥαγέει, καὶ ἐπεισγέει. ἆρα κοιλίη λειεντεριώδης καὶ ἐπίσκληρος ἢ ἀσκαρίδες ἢ ἀμφότερον; Οἷσιν δὲ ὀσφύος ἀναδρομὴ ἐς κεφαλὴν καὶ χεῖρας, ναρκώδεες, καρδιαλγικοὶ, ἰχωρώδεες, αἱμοῤῥαγέουσι λάβρως, καὶ κοιλίη δὲ καταῤῥήγνυται, τούτοισι ταραχώδεσιν. Οἷς ἐφ' αἱμοῤῥαγίῃ λαύρως πυκνὴ, μελαινῶν, συχνῶν διαχώρησις, ἐπιστάσης αἱμοῤῥαγοῦσιν, οὗτοι, κοιλίης ὀδυνώδεες, ἅμα δέ τινι ῥυ-

σι εὔφοροι, ἆρα οὗτοι ψυχροῖς ἐφιδρῶσι πολλοῖς; τὸ ἀνατεταραγμένον ἐν τούτοισιν οὖρον οὐ πονηρὸν, οὐδὲ τὸ ὑφιστάμενον γονοειδὲς, ἐπίτυχον δὲ οὗτοι ὑδατώδεα οὐρέουσιν. Οἷς ἂν ἀπὸ ῥινῶν ἐπικώφωσις, καὶ νωθείη, μικρὰ ἡ ἀπόσταξις, ἔχει τι δύσκολον, ἔμετος τούτοις συμφέρει καὶ κοιλίης ταραχή. Οἷσιν ἐκ ῥίγεος πυρετοὶ κοπιώδεες γυναικεῖα καταῤῥέχει, τράχηλος δ' ἐν τούτοις ὀδυνώδης, αἱμοῤῥαγικόν. Καὶ διὰ ῥινῶν αἱμοῤῥαγῆσαι ἐλπίζειν τὰ σείοντα κεφαλὴν καὶ τὰ ἠχώδεα, αἱμοῤῥαγέει ἢ γυναικεῖα καταβιβάζει, ἄλλως τε καὶ ἢν κατὰ ῥάχιν καῦμα παρακολουθήσῃ, ἴσως δὲ καὶ δυσεντερικόν. Καὶ οἱ κατὰ κοιλίην παλμοὶ, ὑποχονδρίου ἐντάσεις ὑπομάκρω, ἐγκαύλεει, αἱμοῤῥαγικοὶ, φρικώδεες οὗτοι. Ἐκ ῥινῶν λαῦρα βίαια πολλὰ ῥυέντα ἑτοῖμον εἰς σπασμοὺς προσάγεται, φλεβοτομία λύει. Αἱ πυκναὶ, καὶ κατὰ μικρὰ ἐπαναστάσιες ὑπόξανθοι γλίσχραι ἔχουσαι μικρὰ κοπρώδεα μεθ' ὑποχονδρίου ἀλγήματος, καὶ περὶ ὀμφαλοῦ ἰκτεριώδεες, ἆρα δὲ ἐπισχόντων αὐτῶν οὗτοι ἐκλύονται; οἶμαί τε καὶ αἱμοῤῥαγέει, τούτοις τάσις ὀσφύος, ἀλγήματα ἐν τούτοισιν αἱμοῤῥαγικά. Ὑποχονδρίου τάσις μετὰ καρηβαρίης καὶ κωφώσιος καὶ τὰ πρὸς αὐτὰς ὀχλέοντα αἱμοῤῥαγικά. Ἐνδεκαταίοισι στάξιες δύσκολαι, ἄλλως τε καὶ ἢν ἐπιστάξις. Τὰ ἐν φρίκῃσιν ἅμα ἱδρώσαντα κρισίμως. εἰς δὲ τὴν αὔριον φρίξαντα παραλόγως ἀγρυπνέοντα, τὰ πεπαινόμενα αἱμοῤῥαγήσειν οἴομαι. Οἷσιν ἐξ ἀρχῆς αἱμοῤῥαγίαι λαῦραι ῥῖγος ἵστησι ῥύσιν. Ἐξ αἱμοῤῥαγίας, ῥίγεα μακρά. Οἷσι κεφαλαλγίαι καὶ τραχήλου πόνοι καὶ ὅλου δέ τις ἀκράτεια τοῦ σώματος τρομώδης. αἱμοῤῥαγικαὶ λύουσιν, ἀτὰρ καὶ χρόνῳ οὕτω λύονται. Οὖρα τοῖσι παρ' ὦτα ταχὺ καὶ ἐπ' ὀλίγον πεπαινόμενα φλαῦρα, καὶ τὸ καταψύχεσθαι ὧδε πονηρόν. Τὰ ὑποχονδρώδεα ἰκτερώδεα οὐ πάνυ αἰσθανόμενα οἷσι λύσιες κοιλίη καταῤῥήγνυται, ἴσως καὶ ἐπίστασις. οὗτοι ἐκλύονται, ἆρα τούτοισι καὶ τὰ παρὰ τὰ ὦτα; Τὰ ἐπεσχημένα μετὰ ῥίγεος οὖρα πονηρὰ, ἄλλως τε καὶ προκαρωθέντα τὰ παρ' οὖς. ἆρα ἤδη τούτοισιν ἐλπίς; Ἐκ στροφώδους ὑπόστασις ἰλυώδης, ὑπόπελιος, κακὴ, ἆρά γε ἐκ τῶν ὑποχονδρίων ὀδυνᾶται; δοκέω δὲ δεξιὸν ἐκλύονται. ἆρα τὰ παρ' ὦτα τοιούτοισιν ὀδυνώδεα ἐπ' ὀλίγῳ; κοιλίη καταῤῥαγεῖσα τούτοισιν ἐν ἅπασιν ὀλέθριον. Ἐν πᾶσιν ἀσώδεσιν ἀγρυπνίῃσι τὰ παρ' οὖς μάλιστα. Ἐπὶ ἐλεῶσι δυσώδεσι πυρετῷ ὀξεῖ, ὑποχονδρίῳ μετεώρῳ χρονιωτέρῳ, τὰ παρ' οὖς ἐπαρθέντα κτείνει. Ἐκ κωφώσιος ἐπιεικῶς τὰ παρ' ὦτα, ἄλλως τε καὶ ἢν ἀσῶδές τι ἐπιγίνηται, καὶ τοῖσι κωματώδεσιν, ἤδη τούτοισι μᾶλλον. Τὰ παρ' ὦτα φλαῦρα τοῖσι παραπληγικοῖς. Τὰ σπασμώδη τρόπον παροξυνόμενα κατόχως τὰ παρ' οὖς ἀνίστησιν. Τὸ σπασμῶδες τρομῶδες ἀσῶδες, κατόχως μικρὰ παρ' οὖς ἐπιπαροξυνόμενα. Ἆρά γε εἰσὶ τὰ παρ' ὦτα κεφαλαλγικοί; ἆρά γε καὶ ἐφιδρῶσι τὰ ἄνω. εἶτα καὶ κοιλίη καταῤῥήγνυται, καί τι κωματῶδες; ἆρά γε καὶ ὑδατώδεα οὖρα ἐναιωρεύμενα λευκοῖς, καὶ ποικίλως ἔκλευκα, δυσώδεα ποιέει τὰ παρ' οὖς; ἆρά γε εἰσὶ τὰ τοιαῦτα οὖρα, στάξιες πυκναί, ἆρά γε καὶ γλῶσσα τούτοις λείη; Οἷσι πνευματουμένοισιν ἐοῦσιν ἰκτεροὶ, καὶ πυρετοὶ ὀξέες μεθ' ὑποχονδρίων σκληρῶν καταψύχεσθαι, εἶτα παρ' ὦτα μεγάλα ἵστανται. Τὰ κωματώδεα, ἀσώδεα, ὑποχόνδρια ὀδυνώδεα, ἐμετώδεα μικρὰ, ἐν τούτοισι τὰ παρ' οὖς ἐπανίστανται, πρόσθεν δὲ καὶ τὰ περὶ πρόσωπον. Κοιλίης μέλανα κοπρώδεα διέσης, κῶμα ἐπιφανὲν τὸ παρ' οὖς ἀνίστησιν. Βῆχα μετὰ πτυελισμοὺς ὄντα τὸ παρ' οὖς ἀπαλλάσσει. Ἐν κεφαλαλγίῃ κῶμα, καὶ κώφωσις παρ' οὖς τι ὑβρίζεται. Ὑποχονδρίου σύντασις μετὰ κώματος ἀσώδεος καὶ κεφαλαλγίης, τὰ παρ' οὖς ἐπαίρει. Τὰ ἐπώδυνα παρ' οὖς ἀκρίτως καταμολυνθέντα φλαῦρα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΤΙΚΟΝ ΒΙΒΛΙΟΝ Β'.

Τὰς ἰητρῶν προῤῥήσιας ἀπαγγέλλονται συχναί τε καὶ μαλακαί, καὶ θαυμασταί. οἵας ἐγὼ μὲν οὔτ' αὐτὸς προεῖπον, οὔτ' ἄλλου του ἤκουσα προλέγοντος. εἰσὶ δ' αὐτῶν, αἱ μὲν τοιαίδε. ἄνθρωπον δοκέειν ὀλέθριον εἶναι, καὶ τῷ ἰητρῷ τῷ μελεδαίνοντι αὐτέου, καὶ τοῖσιν ἄλλοισιν. ἐπεισιόντα δὲ ἰητρὸν ἕτερον εἰπεῖν, ὅτι ὁ μὲν ἄνθρωπος οὐκ ἀπολεῖται, ὀφθαλμῶν δὲ τυφλὸς ἔσται. καὶ παρ' ἕτερον δοκέοντα παγκάκως ἔχειν, ἐσελθόντα προειπεῖν, τὸν μὲν ἄνθρωπον ἀναστήσεσθαι, χεῖρα δὲ χωλὴν ἕξειν. καὶ ἄλλῳ τῳ δοκέοντι οὐ περιέσεσθαι, εἰπεῖν, αὐτὸν μὲν ὑγιέα ἔσεσθαι, τῶν δὲ ποδῶν τοὺς δακτύλους μελανθέντας ἀποσαπήσεσθαι. καὶ τἄλλα τοιουτότροπα προῤῥήματα λέγεται ἐν τοιουτέῳ τῷ εἴδει. ἕτερος δὲ τρόπος προῤῥήσιος ὠνεομένοισί τε καὶ διαπρηξομένοισι προειπεῖν. τοῖσι μὲν, θανάτους. τοῖσι δὲ, μανίας. τοῖσι δὲ, ἄλλας νόσους. ἤδη πᾶσι τούτοισί τε καὶ τοῖσι προτέροισι χρόνοισι, προφητίζειν, καὶ πάντα ἀληθεύειν. ἄλλο δὲ σχῆμα προῤῥήσιων, τάδε λέγεται. τοὺς ἀθλητὰς γινώσκειν καὶ τοὺς τῶν νούσων εἵνεκα γυμναζομένους τε καὶ ταλαιπωρέοντας, ἤν τι ἢ τοῦ σιτίου ἀπολίπωσιν, ἢ ἑτεροῖόν τι φάγωσιν, ἢ ποτῷ πλέονι χρήσωνται, ἢ τοῦ περιπάτου ἀπολίπωσιν, ἢ ἀφροδισίων τι πρήξωσι. τούτων πάντων οὐδὲν λανθάνει, οὐδ' εἰ σμικρόν τι εἴη ἀπιθήσας ὥνθρωπος. οὕτως ὑπερήκει βοᾶσθαι. οὗτοι πάντες οἱ τρόποι λέγονται τῶν προῤῥησίων. ἐγὼ δὲ τοιαῦτα μὲν οὐ μαντεύομαι. σημεῖα δὲ γράφω, οἷσι χρὴ τεκμαίρεσθαι τούς τε ὑγιέας ἐσομένους τῶν ἀνθρώπων, καὶ τοὺς ἀποθανουμένους. τούς τε ἐν ὀλίγῳ χρόνῳ, ἢ ἐν πολλῷ ὑγιέας ἐσομένους, ἢ ἀπολουμένους. γέγραπται δέ μοι καὶ περὶ ἀποστασίων, ὡς χρὴ ἐπισκέπτεσθαι ἑκάστας. δοκέω δὲ καὶ τοὺς προειπόντας περί τε τῶν χωλωσίων, καὶ τῶν ἄλλων τῶν τοιουτέων ἤδη ἀποσκηριζομένους τοῦ νοσήματος προειπεῖν, καὶ δῆλον ἐόντος, ὅτι οὐ παλινδρομήσει ἡ ἀπόστασις, εἴπερ νόον εἶχον πολὺ μᾶλλον, ἢ πρὶν ἄρξασθαι τὴν ἀπόστασιν γινομένην. ἐλπίζω δὲ καὶ τἄλλα προῤῥηθῆναι θανάτους τε καὶ νοσήματα καὶ μανίας. ταῦτα δέ μοι δοκέει τοιαῦτα γενέσθαι, καὶ οὐδέν τι δοκέει χαλεπὰ εἶναι προειπεῖν τῷ βουλομένῳ τὰ τοιάδε διαγωνίζεσθαι. πρῶτον μὲν γὰρ τοὺς ἐφύδρους τε καὶ φθινώδεας τίς οὐκ ἂν γνοίη; ἔπειτα τοὺς παραφρονήσαντας δεῖ μὴ πολὺ λανθάνειν, εἴ τις εἰδείη οἷσι τὸ νόσημα τοῦτο ἢ ξυγγενές ἐστιν, ἢ πρόσθεν πότ' ἐμάνησαν. εἰ δ' οὗτοι οἱ αὐτοὶ οἰνοφλυγέοιεν, ἢ κρεηφαγοῖεν, ἢ ἀγρυπνοῖεν, ἢ τῷ ψύχει ἢ τῷ θάλπει ἀλογίστως ὁμιλέοιεν, πολλαὶ ἐλπίδες ἐκ τουτέων τῶν διαιτημάτων, παραφρονῆσαι αὐτούς. τούς τε τὰς αἱμοῤῥοΐδας ἔχοντας, εἴ τις ὁρῴη τοῦ χειμῶνος πολυποτέοντάς τε καὶ εὐχρόους ἐόντας, ἔστι προειπεῖν ἀμφὶ τούτων. ἐς γὰρ τὸ ἔαρ καταῤῥαγῆναι τὸ αἷμα πολλαὶ ἐλπίδες, ὥς τε ἀχρόους τε καὶ ὑδαλέους ἀπὸ τὴν θερείην τούτους εἶναι. ἀλλὰ χρὴ προλέγειν καταμανθάνοντα πάντα ταῦτα, ὅς τις τῶν τοιουτέων ἐπιθυμέει ἀγωνισμάτων. ἔστι γὰρ ἐκ τῶν γεγραμμένων προειπεῖν, καὶ θάνατον, καὶ μανίην, καὶ εὐεξίην. εἴη μοι δ' ἂν καὶ ἄλλα πάμπολλα τοιαῦτα, ἀλλὰ τὰ εὐγνωστότατα ἔδοξέ μοι γράψαι. συμβουλεύω δὲ ὡς σωφρονεστάτους εἶναι, καὶ ἐν τῇ ἄλλῃ τέχνῃ, καὶ ἐν τοῖσι τοιούτοισι προῤῥήμασι. γινώσκοντας ὅτι ἐπιτυχὼν μὲν αὔτις τοῦ προῤῥήματος, θαυμασθείη ὑπὸ τοῦ ξυνιέντος ἀλγέοντος. ἁμαρτὼν δ' αὔτις, πρὸς τῷ μισεῖσθαι, τάχ' ἂν καὶ μεμηνέναι δόξειεν. ὧν δὴ εἵνεκα κελεύω, σωφρόνως τὰ προῤῥήματα ποιέεσθαι, καὶ τἄλλα πάντα καὶ ταῦτα. καίτοι γε ἀκούω καὶ ὁρῶ οὔτε κρίνοντας ὀρθῶς τοὺς ἀνθρώπους τὰ λεγόμενά τε καὶ ποιεύμενα ἐν τῇ τέχνῃ, οὔτ' ἀπαγγέλλοντας, ἀμφὶ δὲ τῶν γυμναζομένων καὶ ταλαιπωρεόντων, τὰς μὲν ἀτρεκείας τὰς λεγομένας ὡς λέγουσιν οἱ λέγοντες, οὔτε δοκέω εἶναι, οὔτ' εἴ τις δοκέει, κωλύω δοκέειν. ἀπὸ σημείου μὲν γὰρ οὐδενὸς βλάπτεται τὰ ὑπονοήματα, οὔτε καλοῦ, οὔτε κακοῦ, ὧ χρὴ πιστεύσαντα εἰδέναι, εἴτε ὀρθῶς ἀπήγγελται, εἴτε οὔ. ἄλλως δὲ ἐκποιέει τῷ βουλομένῳ πιστεύειν, οὐ γὰρ ἐμποδὼν ἵσταμαι. δοκέω δὲ αὐτῶν ἔτι ἀληθὲς λέγεται, ἢ τῶν δὲ τῶν περὶ τοὺς γυμναζομένους, ἢ ἐκείνων τῶν πρότερον γεγραμμένων, πρῶτον μὲν τῶν σημείων τεκμήρασθαι τοῦτον γνόντα. ἔπειτα ἐνδοιαστῶς τε καὶ ἀνθρωπίνως προειπεῖν. ἅμα δὲ καὶ τοὺς ἀπαγγέλλοντας τερατωδεστέρους διηγεῖσθαι ἢ ὡς ἐγένετο. ἐπεὶ οὐδὲν τῇσι νούσοισιν οὔτε τὸ γινώσκειν τὰ ἁμαρτήματα. καίτοι κατάκεινται γε οἱ ἄνθρωποι, καὶ διαιτήμασιν ὀλιγοτρόφοισι χρῶνται. ὥς τε μὴ πάμπολλα δεῖ ὁρᾶσθαι ὑποσκεπτόμενον τὸν μελεδαίνοντα. οἱ μὲν γὰρ πίνουσι μόνον. οἱ δὲ πρὸς τῷ πίνειν, ἢ ῥόφημα ἢ σιτίον ὀλίγιστον ἐπιφέρονται. ἀνάγκη οὖν ἐν τῷ τοιούτῳ, τοὺς μὲν τῷ ποτῷ πλέονι χρησαμένους, δυσπνοωτέρους γίνεσθαι, καὶ οὐρέοντας πλέον φαίνεσθαι. τοὺς δὲ τῷ ῥοφήματι ἢ τῷ σιτίῳ πλεονάσαντας, διψᾶν τε μᾶλλον καὶ πυρεταίνειν. εἰ δέ τις ἀμφοτέροις καὶ τῷ ποτῷ, καὶ τοῖσι περὶ τὰ σιτία ἀμέτρως χρήσαιτο, πρὸς τῷ πυρεταίνειν καὶ δυσπνοεῖν, καὶ τὴν γαστέρα περιτεταμένην ἂν καὶ μείζω ἔχειν. ἔξεστι δὲ καὶ ταῦτα πάντα καταβασανίζειν κάλλιστα, καὶ τἄλλα τοῖσι δοκιμίοισι, οἷσιν ἔχομέν τε καὶ χρεόμεθα οὐ πάντα. πρῶτον μὲν γὰρ τῇ γνώμῃ τε καὶ τοῖσιν ὀφθαλμοῖσιν ἄνθρωπον κατακείμενον ἐν τῷ αὐτῷ, καὶ ἀτρεκέως διαιτώμενον, ῥᾷον ἐστὶ γνῶναι, ἤν τι ἀπειθήσῃ, ἢ περιοδοιπορέοντα, καὶ πάμπολλα ἐσθίοντα. ἔπειτα τῇσι χερσὶ ψαύσαντα τῆς γαστρός τε καὶ τῶν φλεβῶν, ἧσσόν ἐστιν ἐξαπατᾶσθαι ἢ μὴ ψαύσαντα. αἵ τε ῥῖνες ἐν μὲν τοῖσι πυρεταίνουσι, πολλά τε καὶ καλῶς σημαίνουσι. αἱ γὰρ ὀδμαὶ μέγα διαφέρουσιν. ἐν δὲ τοῖσιν ἰσχύουσί τε καὶ ὀρθῶς διαιτωμένοισιν, οὐκ οἶδα τί ἂν χρησαίμην. οὐδ' ἐν τούτῳ τῷ δοκιμίῳ. ἔπειτα τοῖς ὠσὶ, τῆς φωνῆς ἀκούσαντα καὶ τοῦ πνεύματος ἔστι διαγινώσκειν, ἃ ἐν τοῖσιν ἰσχύουσιν, οὐχ ὁμοίως ἐστὶ δῆλα. ἀλλ' οἷως πρόσθεν. ἢν τὰ ἤθεα τῶν νοσημάτων τε καὶ τῶν ἀλγεόντων ἐκμάθοι ὁ ἰητρὸς, οὐ χρὴ προλέγειν οὐδέν. οὐ γὰρ ἂν δυσπνούστερος ἄνθρωπος γένοιτο, ἔτι πλανωμένης τῆς νόσου, καὶ πυρετήνειεν ὀξυτέρῳ πυρί. καὶ ἡ γαστὴρ ἐπιταθείη. ὥς τε διὰ ταῦτα, οὐκ ἀσφαλὲς προλέγειν πρόσθεν, πρὶν ἂν κατάστασιν λαβεῖν τὸ νόσημα. μετὰ δὲ τοῦτον τὸν χρόνον ὅτι ἂν παράλογον γένηται λέγειν χρή. δῆλα δὲ τὰ διὰ τὴν ἀπειρίην γινόμενα κακά. αἵ τε γὰρ δυσπνοίαι, καὶ τἄλλα ταῦτα, τῇ ὑστεραίῃ πεπαύσεται, ἢν δ' ἁμαρτάδα γένηται. ἢν οὖν τις ταύτην τὴν κρίσιν περιιδὼν λέγῃ, οὐχ ἁμαρτήσεται. ἐγὼ μὲν νῦν τόνδε τὸν τρόπον ἐσηγέομαι τῶν ἐπισκεψίων, καὶ περὶ τῶν οἴκοι μενόντων, οἷα ὑπεξαμαρτάνουσιν. καὶ περὶ τῶν γυμναζομένων τε καὶ τῶν ἄλλων πάντων. τὰς δ' ἀκριβείας ἐκείνας ἀκούω τε καὶ καταγελῶ τῶν ἀπαγγελλόντων, σμικρὰ μὲν γὰρ ἀπειθούντων τῶν ἀνθρώπων, οὐκ

δι' ὅπως ἂν ἐλέγξαιμι. εἰ δ' εἴη μέζονα τὰ ἁμαρτήματα, ὅν τινα τρόπον ὑποσκέπτεσθαι χρὴ, γράφω. χρὴ δὲ πρῶτον μὲν τὸν ἄνθρωπον ἐν ᾧ μέλλει τις γνώσεσθαι τὰ ἀπηθυμένα, ἅπασαν ἡμέρην ὁρᾶν, ἐν τῷ αὐτῷ τε χωρίῳ, καὶ τὴν αὐτὴν ὥρην, μάλιστα τὴν ἦμος ἥλιος νεωστὶ καταλάμπει, τοῦτον γὰρ τὸν χρόνον ὑποκεκενωμένος ἂν εἴη. καὶ νῆστις ἂν ἔτι ἐστὶ, καὶ τεταλαιπωρηκὼς οὐδὲν, πλὴν τῶν ὀρθρινῶν περιπάτων, ἐν οἷς ἥκιστα ἀπηθεῖ. ἤν γε ἐπανεγερθεὶς ἄνθρωπος ἐς τὴν περίοδον καταστῇ. ὥς τε ἀνάγκη τὸν δικαίως διαιτώμενον μάλιστα ταύτην τὴν ὥρην, ὁμαλῶς ἔχειν τὴν κατάστασιν τοῦ χρώματός τε, καὶ τοῦ ξύμπαντος σώματος, διὸ καὶ ὁ ἐπιμελούμενος ὀξύτατος τ' ἂν εἴη καὶ τὸν νόον καὶ τοὺς ὀφθαλμοὺς, ἀπὸ τοῦτον τὸν χρόνον. ἐνθυμέεσθαι δὲ χρὴ καὶ τοῦ ἀνθρώπου, τὴν γνώμην. τοὺς τρόπους. τοῦ σώματος τὴν δύναμιν. ἄλλοι γὰρ ἄλλα ἐνιδίως ἐπιτελοῦσι τῶν προστασσομένων, ἢ χαλεπῶς. πρῶτον μὲν οὖν ὁ λιμαγχούμενος εἰ πλείονα φάγῃ τε καὶ πίῃ, τούτοισι δῆλος ἔσται, καὶ ὀγκηρότερος αὐτοῦ τὸ σῶμα φαίνεται, καὶ λιπαρότερον καὶ εὐχρούστερον ἔσται, ἢν μὴ κακῶς διακεχωρήκῃ τὰ ἀπὸ τῆς γαστρὸς αὐτῷ. ἔσται δὲ καὶ εὐθυμότερος ἐν τῇ ταλαιπωρίᾳ. σκεπτέον δὲ καὶ ἤν τι δρυπτάνῃ ἢ ἀπὸ φύσιος ἔχηται. ταῦτα γὰρ προσήκει γίνεσθαι, τοῖσιν ὧδε διακειμένοισιν, ἐπὶ ταύτῃ τῇ ἁμαρτάδι. ἢν δὲ ἐσθίειν τε ἤδη ἀναγκαζόμενος συχνὰ, καὶ ταλαιπωρέειν ἰσχυρῶς, ἢ τὸ σιτίον μὴ καταφάγῃ, ἢ θωρηχθῇ, ἢ μὴ περιέλθῃ ἀπὸ τοῦ δείπνου συχνοῦ, ᾧ δ' ὑποσκέπτεσθαι. τὸ μὲν δεῖπνον εἰ μὴ καταφάγοι, περιπατῆσαι δὲ τὰ μεμαθηκότα, ἥδιόν τε ἂν προσιδεῖν, ὀξύτερός τε καὶ ὀργᾶσι κατώτερος, ἐν τοῖσι γυμνασίοισι. ὁ δ' ἀπόπατος, σμικρότερός τε καὶ ξυνεστηκὼς μάλιστ' ἂν τούτῳ γίνοιτο. ἢν δὲ τὸ δεῖπνον καταφαγὼν μὴ περιπατήσῃ δρυπτάνοι τ' ἄν. καὶ φυσώδης εἴη. καὶ πλῆθος οὐκ ἔλασσον φαίνοιτο. καὶ ἱδρώσῃ ἂν μᾶλλον ἢ πρόσθεν ἐν τῇ ταλαιπωρίῃ. καὶ δύσπνοος ἂν εἴη καὶ βαρύς. αἵ τε διέξοδοι τῆς κοιλίης, μέζονές τε καὶ ἧσσον γλίσχραι τουτέων γένοιτ' ἄν. εἰ δὲ μήτε τὸ σιτίον καταναλώσειε, μήτε περιπατήσειε, νωθρότερος ἂν εἴη καὶ ὀγκωδέστερος. εἰ δὲ μεθυσθείη, ἱδρώη τ' ἂν μᾶλλον ἢ πρόσθεν, καὶ δύσπνοος ἂν εἴη, καὶ βαρύτερος αὐτὸς ἑωυτοῦ, καὶ ὑγρότερος. εἴη δ' ἂν καὶ εὐθυμότερος, ἢν μή τι αὐτῷ ἡ κεφαλὴ ἀνιῷτο. γυναικὶ δὲ χρησάμενος ἅπαξ, ὀξύτερός τ' ἂν εἴη καὶ λελυμένος μᾶλλον. εἰ δὲ πλειστάκις διαπρήξαιτο, σκληρότερος ἂν γένοιτο. καὶ αὐχμηρόν τι ἔχων. καὶ ἀχρούστερός τε καὶ κοπιώδης μᾶλλον. Ἀποπάτους δὲ χρὴ διαχωρέειν τοῖσι ταλαιπωρέουσιν, ἐς ἂν ὀλιγοσιτέωσί τε καὶ ὀλιγοποτέωσι, σμικρούς τε καὶ σκληρούς. ἢν δὲ παύσηται ἡμέρην, ἤν τε καὶ διὰ τρίτης, ἢ τετάρτης, ἢ διὰ πλείονος χρόνου διαχωρέῃ, κίνδυνος ἢ πυρετὸν, ἢ διάῤῥοιαν ἐπιλαβεῖν. ὅσα δὲ ὑγρότερα ἐστὶ τῶν διαχωρημάτων, ἢ ὥς τε ἐκπτύεσθαι ἐν τῇ διεξόδῳ, ταῦτα δὲ πάντα τοῖσι κακίω. τοῖσι δὲ συχνὰ ἐσθίουσιν ἤδη, καὶ πολλὰ ταλαιπωρέουσι. τὴν διέξοδον χρὴ μαλθακὴν ἐοῦσαν, ξηρὴν εἶναι. πλῆθος τῶν τε εἰσιόντων κατὰ λόγον τῆς ταλαιπωρίης. διαχωρέει δὲ ἀπὸ τῶν ἴσων σιτίων. τοῖσι μὲν ἐλάχιστα ταλαιπωρέουσι, πλεῖστα. τοῖσι δὲ ταλαιπωρέουσι πλεῖστα, σμικρὸν, ἢν ὑγιαίνωσί τε καὶ δικαίως διαιτῶνται, ἀλλὰ πρὸς ταῦτα συμβάλλεσθαι. αἱ δὲ ὑγρότεραι τῶν διαχωρήσιων καὶ ἄτερ πυρετῶν γινόμεναι, καὶ ἑβδομαῖαι, καὶ θᾶσσον κρινόμεναι, λυσιτελέες ἐς ἅπαξ παῦσαι γινόμεναι, καὶ μὴ ὑποστρέφουσαι. εἰ δ' ἐπιπυρεταίνοιεν οἱ ἄνθρωποι, ἢ ὑποστρέφοιεν αἱ διάῤῥοιαι εἰ μακραὶ γίγνοιντο, πάντως πονηραὶ, εἴτε χολώδεες εἶεν, εἴτε φλεγματώδεες, εἴτε ὠμαί. καὶ διαιτημάτων τε ἰδίων προσδεόμεναι ἕκασται, ἢ φαρμακευσίων ἄλλαι ἄλλων.

Οὖρον δὲ χρὴ κατά τε τὸ τοῦ πινομένου πλῆθος διουρέεσθαι. καὶ ἴσον αἰεί. καὶ ἀθρόον ὡς μάλιστα. καὶ ἔστιν ὀλίγον παχύτερον, ἢ ὅτε ἐπόθη. εἰ δὲ εἴη ὑδατώδεές τε, καὶ πλεῖον τοῦ προστασσομένου πίνεσθαι, σημαίνει μὴ πείθεσθαι τὸν ἄνθρωπον, ἀλλὰ πλέονι ποτῷ χρῆσθαι, ἢ οὐ δύνασθαι ἀναξαφῆναι, ἐς ἂν τὰ τοιαῦτα ποιέῃ τὸ οὖρον. εἰ δὲ κατ' ὀλίγον βίζοι τὸ οὖρον, σημαίνει ἢ φαρμακευσίης δεῖσθαι τὸν ἄνθρωπον, ἢ νόσημά τι τῶν περὶ κύστιν ἔχειν. αἷμα δὲ οὐρῆσαι, ὀλιγάκις μὲν καὶ ἄτερ πυρετοῦ καὶ ὀδύνης οὐδὲν κακὸν σημαίνει, ἀλλὰ κόπων λύσις γίνεται. εἰ δὲ πολλάκις οὐρέοι, ἤ τι τούτων προσγίνοιτο, δεινόν. ἀλλὰ προλέγειν ἤν τε ξὺν ὀδύνης οὐρέηται, ἤν τε ξὺν πυρετῷ, πόνον ἐπιδιουρήσειν, καὶ οὔπω παύεσθαι τῶν ἀλγεόντων. παχὺ δὲ οὖρον λεπτὴν ὑπόστασιν ἔχον, σημαίνει ἢ περὶ τὰ ἄρθρα τινὰ ὀδύνην καὶ ἔπαρσιν. αἱ δ' ἄλλαι ὑποστάσιες αἱ ἐν τοῖσιν οὔροισι τῶν γυμναζομένων πᾶσαι ἀπὸ τῶν νοσημάτων γίνονται τῶν περὶ τὴν κύστιν. δῆλον δὲ ποιέουσι, ξὺν ὀδύνῃσί τε γὰρ ἔσονται, καὶ δυσαπάλλακτοι. καὶ ταῦτα μὲν γράφω περὶ τούτων καὶ λέγω τοιαῦτα ἕτερα. ὧν δὲ δι' ἀκρίβειαν κατηγορέονται τῶν προῤῥήσιων, τοῖσι μὲν αὐτῶν, αὐτὸς ξυνεγενόμην, τῶν δὲ παισί τε καὶ μαθητῇσιν ἐντυχὼν εὐσήμως. τῶν δὲ ξυγγράμματα ἔλαβον. ὥς τε εὖ εἰδὼς οἷα ἕκαστος αὐτῶν ἐφρόνει. καὶ τὰς ἀκριβείας οὐδαμοῦ εὑρὼν, ἐπεχείρησα τάδε γράφειν. Περὶ δὲ ὑδρώπων τε καὶ φθισίων. καὶ τῶν ποδαγρῶν, τῶν τε καὶ λαμβανομένων ἀπὸ τῆς ἱερῆς νόσου καλεομένης, τάδε λέγω. καὶ τὰ μέν τι περὶ πάντων, τὸ αὐτό. τὸν γὰρ ξυνιέντα τουτέων τῶν νουσημάτων ἔστιν εἰδέναι δυσαπάλλακτον ἐόντα. τὰ δὲ ἄλλα καθ' ἕκαστον γράψω. χρὴ δὲ τὸν ἀπὸ τοῦ ὕδρωπος ἐχόμενον καὶ μέλλοντα περιέσεσθαι, ἄσπλαγχνόν τε εἶναι, καὶ ἀνατείνεσθαι, καὶ φύσιν ἅμα πέπτεσθαί τε εὐπετέως.

εὔπνοόν τε ὄντα, ἀνώδυνον εἶναι καὶ χλιαρόν. ὁμαλῶς πᾶν τὸ σῶμα ἔχειν καὶ μὴ περιτετηκὸς περὶ τὰ ἔσχατα. κρέσσον δὲ ἐπάρματα μᾶλλον ἔχειν ἐν τοῖσιν ἀκρωτηρίοισι. ἄριστον δὲ μηδὲ ἕτερον τούτων, ἀλλὰ μαλακά τε χρὴ καὶ ἰσχνὰ εἶναι τὰ ἀκρωτήρια. καὶ τὴν γαστέρα μαλθακὴν εἶναι, ψαυομένην. βῆχα δὲ μὴ προσεῖναι, μὴ δὲ δίψαν, μὴ δὲ τὴν γλῶσσαν ἐπιξηραίνεσθαι, ἔν τε τῷ ἄλλῳ χρόνῳ, καὶ μετὰ τοὺς ὕπνους. γίνεται δὲ ταῦτα, κάρτα. τὰ δὲ σιτία ἡδέως δέχεσθαι. καὶ ἐσθίοντα ἱκανὰ, μὴ πονέεσθαι. τὴν δὲ κοιλίην πρὸς μὲν τὰ φάρμακα, ὀξέην εἶναι. τὸν δ' ἄλλον χρόνον διαχωρέειν, μαλθακὸν ἐκτετυπωμένον. τὸ δὲ οὖρον φαίνεσθαι περαιούμενον πρὸς τὰ ἐπιτηδεύματα, καὶ τῶν οἴνων τὰς μεταβολάς. τὴν δὲ ταλαιπωρίην εὐπετέως φέρειν, καὶ ἄκοπον εἶναι. ἄριστον μὲν οὕτω πάντα διακέεσθαι τὸν ἄνθρωπον, καὶ ἀσφαλέστατ' ἂν γένοιτο ὑγιής. εἰ δὲ μὴ, ὡς πλεῖστα τουτέων ἐχέτω. ἐν ἐλπίδι γὰρ ἔσται περιγενέσθαι. ὃς δ' ἂν μηδὲν τούτων ἔχῃ, ἀλλὰ τὰ ἐναντία, ἀνέλπιστον ἐόντα εἰδέναι. ὃς δ' ἂν τούτων ὀλίγα ἔχῃ, ἀφημὶ χρηστὰ εἶναι τῷ ὑδρωπιῶντι προσόντα, ὀλίγαι ἐλπίδες αὐτῷ. ᾧ δ' ἂν αἱμοῤῥαγίη πολλὸν ἄνω καὶ κάτω, καὶ πυρετὸς ἐπιγένηται, ὕδατος ἐμπλησθῆναι πολλοῦ ἐλπίδες τοῦτον, καὶ τῶν ὑδρώπων, οὗτος ὀλιγοχρονιώτατός τε, καὶ ἐν τοῖσιν ἀφλεκτοτάτοισιν. ἄλλῳ δὲ προσημαίνειν περὶ τούτου. οἷσι δὲ οἰδήματα μεγάλα γινόμενα καταμαραίνεται, καὶ αὖθις ἐπαίρεται, οὗτοι δὲ μᾶλλον περιγίνονται τῶν ἐκ τῶν αἱμάτων τῆς ἀναῤῥήξιος, ἐμπιπραμένων. ἐξαπατέουσι δὲ τοὺς ἀλγέοντας οὗτοι οἱ ὕδρωπες, ὥς τε ποιέουσιν αὐτοὺς ἀπιέντας τοῖσιν ἰητροῖσιν ἀπόλλυσθαι. Περὶ δὲ τῶν φθινόντων, κατὰ μὲν τὸ πτύελον καὶ τὴν βῆχα, ταῦτα λέγω, ἅπερ περὶ τῶν ἐμπύων ἔγραφον. χρὴ γὰρ τὸ πτύελον τῷ μέλλοντι καλῶς ἀπαλλάξειν, εὐπετέως τε ἀναβήσσεσθαι, καὶ εἶναι λευκόν. καὶ ὁμαλόν. καὶ ὁμόχροον. καὶ ἀφλέγμαντον. τὸ δ' ἀπὸ τῆς κεφαλῆς καταῤῥέον, εἰς τὰς ῥῖνας τρέπεσθαι. πυρετὸν δὲ μὴ λαμβάνειν, ὥς τε τῶν δείπνων μὴ κωλύεσθαι, μὴ δὲ δίψην. ἡ δὲ γαστὴρ ὑποχωρέέτω πᾶσαν ἡμέρην. καὶ τὸ ὑποχωρέον ἔστω σκληρόν. πλῆθος δὲ κατὰ τὰ εἰσιόντα. τὸν δὲ ἄνθρωπον ὡς ἥκιστα λεπτὸν εἶναι. τὸ δὲ στῆθος ἐπαινέειν χρὴ, τετράγωνόν γε ἐὸν, καὶ λάσιον. καὶ ὁ χόνδρος αὐτοῦ μικρὸς ἔστω. καὶ σεσαρκωμένος ἰσχυρῶς. ὅς τις μὲν γὰρ ταῦτα πάντα ἔχει, περιεσηκότατος γίνεται. ὃς δ' ἂν μηδὲν τούτων ἔχῃ, ὀλεθριώτατος. ὅσοι δ' ἂν ἔμπυοι γένωνται. νέοι ἐόντες ἐξ ἀποσκήψιος, ἢ σύριγγος, ἢ ἀπ' ἄλλου τινὸς τῶν τοιούτων, ἢ ἐκ παλινδρομίης ἀποστάσιος, οὐ περιγίνονται, ἢν μὴ πολλὰ κάρτα αὐτοῖσιν ἐπιγένηται τῶν ἀγαθῶν σημείων. ἀπόλλυνται δὲ οἱ ἄνθρωποι οὗτοι, ἐς τὸ φθινόπωρον. ἰσχυρῶς δὲ καὶ ἐκ τῶν ἄλλων νοσημάτων μακρῶν, ἐς τὴν ὥραν ταύτην τελευτῶσιν οἱ πλεῖστοι. τῶν δ' ἄλλων ἥκιστα περιγίνονται, αἵ τε παρθένοι καὶ αἱ γυναῖκες, ἧσιν ἀπολήψει ἐπιμηνίων ἡ φθίσις γίνηται. εἰ δὲ μέλλοι τις περιέσεσθαι τῶν παρθένων, ἢ τῶν γυναικῶν τῶν τε ἄλλων σημείων τῶν τε ἀγαθῶν δεῖ πολλὰ ἐπιγενέσθαι, καὶ τὰ ἐπιμήνια λαμπρῶς τε καὶ καθαρῶς ἐπιφαίνεσθαι, ἢ οὐδεμία ἐλπίς. οἱ δὲ ἐκ τῶν αἱμάτων τῆς ἀναῤῥήξιος ἔμπυοι γινόμενοι τῶν τε ἀνδρῶν καὶ τῶν γυναικῶν καὶ τῶν παρθένων, περιγίνονται μὲν οὐχ ἧσσον. τὰ δὲ σημεῖα χρὴ πάντα ἀναλογισάμενον τά τε περὶ τῶν ἐμπύων καὶ τῶν φθινόντων προλέγειν, τόν τε περιεσόμενον, καὶ τὸν ἀπολλύμενον. μάλιστα δὲ περιγίνονται, ἐκ τῶν τοῦ αἵματος ἀναῤῥήξεων, οἷσιν ἂν ἀλγήματα ὑπάρχῃ μελαγχολικὰ, ἔν τε τῷ νώτῳ καὶ ἐν τῷ στήθει. καὶ μετὰ τὴν ἀνάῤῥηξιν ἀνωδυνότεροι γίνωνται. βῆχές τε γὰρ οὐ κάρτα ἐπιγίνονται καὶ πυρετοὶ, οἱ πλεῖστοι διατελέουσιν ἐόντες, δίψαν εὐπετέως φέρουσιν. ὑποστροφαὶ δὲ τῆς ἀναῤῥήξιος μάλιστα γίνονται τούτοισιν, εἰ μὴ ἀποστάσιες ἐπιγένωνται. ἄρισται δὲ τῶν ἀποστασίων, αἱ αἱματηρότεραι. ὁκόσοισι δὲ ἐν τοῖσι στήθεσιν ἀλγήματα ἔνεστι, καὶ διὰ χρόνου λεπτύνονταί τε καὶ βήσσουσι, καὶ δύσπνοοι γίνονται, οὔτε πυρετῶν ἐπιλαμβανόντων, οὔτε ἐκπυημάτων ἐπιγινομένων, τούτους ἐπανορθέεσθαι, ὁκόταν βήσσωσί τε καὶ δύσπνοοι ἔωσι, καὶ ξυνεστραμμένον τι καὶ μικρὸν ὀλίγον ἔχον, ἐκβήσσωσι. Περὶ ποδαγριώντων τάδε. ὅσοι μὲν ἢ γέροντες, ἢ περὶ τοῖσιν ἄρθροισιν ἐπιπωρώματα ἔχουσιν, ἢ τρόπον ταλαίπωρον ζῶσι κοιλίας ξηρὰς ἔχοντες, οὗτοι μὲν πάντες ἀδύνατον ὑγιέες γίνεσθαι ἀνθρωπίνῃ τέχνῃ, ὅσον ἐγὼ οἶδα. ἰῶνται μὲν τούτους, ἄρισται μὲν δυσεντερίαι, ἢν ἐπιγένωνται, ἅπερ καὶ ἄλλαι ἐκτήξιες ὠφελέουσι κάρτα, αἱ ἐς τὰ κάτω χωρία ῥέπουσαι. ὅς τις δὲ νέος ἐστὶ, καὶ ἀμφὶ τοῖσιν ἄρθροισιν οὔπω ἐπιπωρώματα ἔχει καὶ τὸν τρόπον ἐστὶν ἐπιμελής τε καὶ φιλόπονος, καὶ κοιλίας ἀγαθὰς ἔχων, ὑπακούειν πρὸς τὰ ἐπιτηδεύματα, οὗτος δὴ ἰητροῦ γνώμην ἔχοντος ἐπιτυχὼν, ὑγιὴς ἂν γένοιτο.

Τῶν δ' ἀπὸ τῆς ἱερῆς νόσου λαμβανομένων, χαλεπώτατοι μὲν ἐξίστασθαι. ὁκόσοισι δ' ἂν ἀπὸ παιδὸς ξυμβῇ τε καὶ συναναδρωθῇ τὸ νόσημα, ἔπειτα δὲ ὅσοισιν ἂν γένηται ἐν ἀκμάζοντι τῷ σώματι τῆς ἡλικίης. εἴη δ' ἂν ἀπὸ εἴκοσι καὶ πέντε ἐτέων, ἐς πέντε καὶ τεσσαράκοντα ἔτεα. μετὰ δὲ τούτους, ὅσοις ἂν γένηται τὸ νούσημα μηδὲν προσημαῖνον, ὁκόθεν ἄρχεται τοῦ σώματος. οἷσι δὲ ἀπὸ τῆς κεφαλῆς δοκέει ἄρχεσθαι, ἢ ἀπὸ τοῦ πλευροῦ, ἢ ἀπὸ τῆς χειρὸς, ἢ ποδὸς, εὐπετέστεροι ἰᾶσθαι. διαφέρει γὰρ καὶ ταῦτα. τὰ γὰρ ἀπὸ τῆς κεφαλῆς, τούτων χαλεπώτατα. ἔπειτα τὰ ἀπὸ τοῦ πλευροῦ. τὰ δὲ ἀπὸ τῶν χειρῶν τε καὶ τῶν ποδῶν μάλιστα οἷά τε ἐξυγιαίνεσθαι. ἐπιχειρέειν δὲ χρὴ τουτέοισι τὸν

ἰησὸν, εἰδότα τὸν τρόπον τῆς ἰήσιος. ἢν ἔωσιν οἱ ἄνθρωποι νέοι τε καὶ φιλόπονοι. πλὴν ὅσον αἱ φρένες τι κακὸν ἔχουσιν. ἢ εἴ τις ἀπόπληκτος γέγονεν. αἱ μὲν γὰρ μελαγχολικαὶ αὗται ἐκστάσιες, οὐ λυσιτελέες. αἱ δὲ ἄλλαι, αἱ ἐς τὰ κάτω τρεπόμεναι, πᾶσαι ἀγαθαί. ἄρισται δὲ καὶ ἐνταῦθα πολλῷ, αἱ αἱματηρόταται. ὁπόσοι δὲ γέροντες ἤρξαντο λαμβάνεσθαι, ἀποθνήσκουσί τε μάλιστα, καὶ ἢν μὴ ἀπόλλωνται, τάχιστα ἀπαλλάσσονται ἀπὸ τοῦ αὐτομάτου. ἀπὸ δὲ τῶν ἰητρῶν ἥκιστα ὠφελέονται.

Οἷσι δὲ τῶν παιδίων ἐξαπίνης οἱ ὀφθαλμοὶ διεστράφησαν, ἢ μεῖζόν τι κακὸν ἔπαθον, ἢ φύματα ἀπὸ τὸν αὐχένα ἔφυν, ἢ ἰσχνοφωνότεροι ἐγένοντο, ἢ βῆχες ξηραὶ χρόνιοι προσέχουσιν, ἢ ἐς τὴν γαστέρα μείζοσι γινομένοισιν ὀδύνη φοιτᾷ, καὶ οὐκ ἐκταράσσεται. ἢ ἐν τοῖσι πλευροῖσι διαστρέμματα ἔχουσιν. ἢ φλέβας παχέας περὶ τὴν γαστέρα κιρσώδεας. ἢ ἐπίπλοον καταβαίνει. ἢ ὄρχις μέγας γέγονεν. ἢ χεὶρ λεπτὴ καὶ ἀκρατής. ἢ πούς. ἢ κνήμη ξύμπασα ἐχωλώθη, ἄτερ προφάσιος ἄλλης, τούτοισι πᾶσιν εἰδέναι ὅτι ἡ νοῦσος προεγένετο, πρὸ τούτων ἁπάντων. καὶ οἱ μὲν πλεῖστοι τῶν τρεφόντων τὰ παιδία, ἐρωτώμενοι ὁμολογήσουσι. τοὺς δὲ καὶ λανθάνει. καὶ οὔ φασιν εἰδέναι τοιοῦτον οὐδὲν γενόμενον. Τὸν δὲ περὶ τῶν ἑλκέων μέλλοντα γνώσεσθαι, ὅκως ἕκαστα τελευτήσει, πρῶτον μὲν χρὴ τὰ εἴδεα τῶν ἀνθρώπων ἐξεπίστασθαι, τά τε ἀμείνω πρὸς τὰ ἕλκεα καὶ τὰ κακίω. ἔπειτα τὰς ἡλικίας εἰδέναι, ὁποίη ἐστὶν ἑκάστη τῶν ἑλκέων, δυσαπάλλακτα γίνεται. τά τε χωρία ἐπισκέφθαι τὰ ἐν τοῖσι σώμασιν, ὅσον διαφέρει θάτερα θατέρων. τά τε ἄλλα ὁκοῖα τε ἐφ' ἑκάστοισιν ἐπιγίνεται ἀγαθά τε καὶ κακὰ εἰδέναι. εἰδὼς μὲν γὰρ ἄν τις ταῦτα πάντα, εἰδείη ἂν καὶ ὅκως ἕκαστα ἀποβήσεται. μὴ εἰδὼς δὲ ταῦτα, οὐκ ἂν εἰδείη, ὅπως αἱ τελευταὶ ἔσονται ἀμφὶ τῶν ἑλκέων. εἴδεα μὲν γὰρ ἀγαθὰ ἐστὶ τὰ τοιάδε. ἐλαφρά. καὶ ξύμμετρα. καὶ εὔσπλαγχνα. καὶ μήτε σαρκώδεα ἰσχυρῶς. μήτε σκληρά. κατὰ δὲ χρῶμα ἔστω λευκόν, ἢ μέλαν, ἢ ἐρυθρόν. ταῦτα γὰρ πάντα ἀγαθά, ἄκρητα ἐόντα. εἰ δ' εἴη μιξόχλωρον, ἢ χλωρόν, ἢ πελιδνὸν τὸ χρῶμα, κάκιον γίνεται. τάδε εἴδεα ὅσα ἂν τοῖσι προγεγραμ- * μένοισι τἀναντία πέφυκε, εἰδέναι χρὴ κακίω ἐόντα. Περὶ δὲ ἡλικιῶν, φύματα μὲν ἔμπυα γίνεται. καὶ τὰ χοιράδεα ταῦτα πλεῖστα τῶν παιδίων ἴσχουσι. καὶ ῥᾶστα ἐξ αὐτέων ἀπαλλάσσει. τοῖσι δὲ γεραιτέροισί τε τῶν παιδίων, καὶ νεηνίσκοισιν, φύεται μέν, ἐλάσσω. χαλεπώτερα δέ, ἐξ αὐτέων ἀπαλλάσσουσι. τοῖσι δὲ ἀνδράσι, τὰ μὲν τοιαῦτα φύματα, οὐ κάρτα ἐπιγίνεται. τὰ δὲ κηρία, δεινά. καὶ οἱ κρυπτοὶ καρκῖνοι οἱ ὑποβρύχιοι. καὶ οἱ ἐκ τῶν ἐπινυκτίδων ἕρπητες ἐς ἂν ἑξήκοντα ἔτεα συχνῷ ὑπερβάλλωσι. τοῖσι δὲ γέρουσι τῶν μὲν τοιουτοτρόπων φυμάτων, οὐδὲν ἐπιγίνεται. οἱ δὲ καρκῖνοι οἱ κρυπτοὶ καὶ οἱ ἀκρόπαθοι γίνονται, καὶ ξυναποθνήσκουσι. τῶν δὲ χωρίων, μασχάλαι δυσιητότεραι. καὶ κενεῶνες τε καὶ μηροί. ὑποστάσιές τε γὰρ ἐν αὐτοῖσι γίνονται, καὶ ὑποστροφαί. Τῶν δὲ περὶ ἄρθρα, ἐπικινδυνότατοι οἱ μεγάλοι δάκτυλοι, καὶ μᾶλλον οἱ τῶν ποδῶν. οἷσι δὲ τῆς γλώτ- * της ἐν τῷ πλαγίῳ ἕλκος γίνεται πολυχρόνιον, καταμαθεῖν τῶν ὀδόντων, ἢν τις ὀξὺς τὸν κατ' αὐτό. Τὰ δὲ τρώματα, θανατωδέστερα μέν, τὰ ἐς τὰς φλέβας τὰς παχείας τὰς ἐν τῷ τραχήλου τε καὶ τοῖς βουβῶσιν. ἔπειτα ἐς τὸν ἐγκέφαλον καὶ ἐς τὸ ἧπαρ. ἔπειτα τὰ ἐς ἔντερον καὶ ἐς κύστιν. ἔστι δὲ ταῦτα πάντα ὀλέθρια, ἐόντα ἰσχυρῶς, οὐχ οὕτως ἄφυκτα ὡς δοκέει. τά τε γὰρ χωρία ὀνόματα ἔχοντα ταῦτα, μέγα διαφέρει. καὶ οἱ αὐτοὶ τρόποι. πολὺ δὲ διαφέρει, τοῦ αὐτοῦ ἀνθρώπου τοῦ σώματος ἡ παρασκευή. ἔστι μὲν γὰρ ὅτε οὔτ' ἂν πυρετήνειεν, οὔτε φλεγμήνειεν τρωθείς. ἔστι δ' ὅτε καὶ ἄνευ προφάσιος, ἐπυρέτηνεν ἄν, καὶ φλεγμανθείη τι τοῦ σώματος πάντως. ἄλλος ὅτε ἕλκος ἔχων, παραφρονέει, εὐπετέως τε φέρει τὸ τρῶμα, ἐγχειρέειν χρὴ τῷ τρώματι ὡς ἀποβησομένῳ κατὰ λόγον τῆς ἰήσιος τε, καὶ τῶν ἐπιγινομένων. ἀποθνήσκουσι μὲν γὰρ οἱ ἄνθρωποι, ἀπὸ τρωμάτων παντοίων. πολλαὶ μὲν γὰρ φλέβες εἰσί, καὶ λεπταὶ καὶ παχεῖαι, αἵ τινες αἱμοῤῥαγοῦσαι ἀποκτείνουσιν, ἢν αὐτῷ τύχωσιν ἐρῶσαι. ἃς ἐν ἑτέρῳ καιρῷ διακόπτοντες, ὠφελέουσι τὰ σώματα. πολλὰ δὲ τῶν τρωμάτων, ἐν χωρίοισί τε εἶναι εὐηθέσι, καὶ οὐδὲν τι δεινὰ φαινόμενα, οὕτως ὀδυνῆσαν ἡ πληγή, ὥς τε μὴ δύνασθαι ἀναπνεῦσαι. ἄλλοι δὲ ἀπὸ τῆς ὀδύνης τοῦ τρώματος, οὐδὲν δή τι δεινοῦ ἐόντος, τὸ μὲν πνεῦμα ἀνήνεγκαν. παρεφρόνησαν δὲ καὶ πυρετήναντες ἀπέθανον. ὅσοι γὰρ ἂν ἢ τὸ σῶμα πυρετῶδες ἔχουσιν, ἢ τὰς γνώμας θορυβώδεας, τὰ τοιαῦτα πάσχουσιν. ἀλλὰ χρὴ μήτε ταῦτα θαυμάζειν, μήτε ὀῤῥωδέειν, κεῖνα εἰδότα, ὅτι αἱ ψυχαί τε καὶ τὰ σώματα, πλεῖστον διαφέρουσιν αἱ τῶν ἀνθρώπων, καὶ δύναμιν ἔχουσι μεγίστην. ὅσα μὲν οὖν τῶν τρωμάτων καιροῦ ἔτυχεν, ἢ σώματος τε καὶ γνώμης τοιαύτης, ἢ ὀργῶντος οὕτω τοῦ σώματος, ἢ μέγεθος τοσαῦτα, ἢν ὥς τε μὴ δύνασθαι καταστῆναι τὸν ἄνθρωπον εἰς τὴν ἴησιν καταφρονέοντα, τοῖσι μὲν ἐξίστασθαι χρὴ ὁπόσα ἂν ᾖ, πλὴν τῶν ἐφημερέων λειποθυμιῶν. τοῖσι δ' ἄλλοισι πᾶσιν ἐπιχειρέειν, νεοτρώτοισι ἐοῦσιν, ὡς ἂν τούς τε πυρετοὺς διαφεύγωσιν οἱ ἄνθρωποι, καὶ τὰς αἱμοῤῥαγίας τε καὶ τὰς νομὰς περιεσομένων. ἀφεκέστατα δὲ καὶ ἐπὶ πλεῖστον χρόνον τὰς φυλακὰς αἰεὶ τῶν δεινοτάτων ποιέεσθαι. καὶ γὰρ δίκαιον οὕτως. αἱ δὲ νομαί, θανατωδέσταται μέν, ὧν αἱ σηπεδόνες βαθύταται. καὶ μελάνταται. καὶ ξηρόταται. πονηραὶ δὲ καὶ ἐπικίνδυνοι, ὅσαι μέλαιναι ἰχῶρα ἀναδιδοῦσιν. αἱ δὲ λευκαὶ καὶ μυξώδεες τῶν σηπεδόνων,

πεδόνων, ἀποκτείνουσι μὲν ἧσσον. ὑποστρέφουσι δὲ μᾶλλον. καὶ χρονιώτεραι γίνονται. οἱ δ' ἕρπητες, ἀκινδυνότατοι πάντων ἑλκέων ὅσα νέμεται. δυσαπάλλακτοι δὲ μάλιστα, κατά γε τοὺς κρυπτοὺς καρκίνους. ἐπὶ πᾶσι δὲ τοῖσι τοιουτέοισι, πυρετόν τε ἐπιγενέσθαι ξυμφέρει μίαν ἡμέρην. καὶ πῦον ὡς λευκότατον, καὶ παχύτατον. λυσιτελεῖ δὲ καὶ σφακελισμὸς νεύρου, ἢ καὶ ὀστέου, ἢ καὶ ἀμφοῖν, ἐπί τε τῇσι βαθείῃσι σηπεδόσι καὶ μελαίνῃσι. πῦον γὰρ ἐν τοῖσι σφακελισμοῖσι ῥεῖ πουλύ, καὶ λύει τὰς σηπεδόνας. Τῶν δὲ ἐν τῇ κεφαλῇ τρωμάτων, θανατωδέστατα μέν, τὰ ἐς τὸν ἐγκέφαλον ὡς καὶ προγέγραπται. δεινὰ δὲ καὶ τὰ τοιαῦτα πάντα. ὀστέον ψιλὸν μέγα. ὀστέον ἐμπεπλασμένον. ὀστέον κατεῤῥωγός. εἰ δὲ καὶ τὸ στόμα τοῦ ἕλκεος σμικρὸν εἴη, ἡ δὲ ῥωγμὴ τοῦ ὀστέου ἐπὶ πολὺ παραμένοι, ἐπικινδυνότερόν ἐστι. ταῦτα δὲ πάντα δεινότερα γίνεται. καὶ κατὰ ῥαφὴν τε ὄντα. καὶ τῶν χωρίων αἰεὶ, τὰ ἐν τοῖσι ἀνωτάτω τῆς κεφαλῆς. πυνθάνεσθαι δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀξίοις λόγου τρώμασιν, ἢν ἔτι νεότρωτοι αἱ πληγαὶ ἔωσιν, ἢ βλήματα ἐῇ, εἰ κατέπεσεν ὥνθρωπος ἢ εἰ ἐκαρώθη. ἢν γάρ τι τούτων ἢ γεγονός, φυλακῆς πλείονος δεῖται, ὡς τοῦ ἐγκεφάλου ἐπακούσαντος τοῦ τρώματος. εἰ δὲ μὴ νεότρωτος εἴη, ἐς τἄλλα σημεῖα σκέπτεσθαι καὶ βουλεύεσθαι. ἄριστον μὲν οὖν μήτε πυρετῆναι, μήθ' ἅμα τὸν τὸ ἕλκος ἔχοντα ἐν τῇ κεφαλῇ, μήθ' αἷμα ἐπαναῤῥαγῆναι αὐτῷ, μὴ δὲ φλεγμονήν, μηδὲ μίην ὀδύνην ἐπιγενέσθαι. εἰ δέ τι τούτων ἐπιφαίνοιτο, ἐν ἀρχῇσι τε γίνεσθαι ἀσφαλέστατον καὶ ὀλίγον χρόνον παραμένειν. ξυμφέρει δὲ ἐν τῇσιν ὀδύνῃσι καὶ τὰς φλεγμονὰς τὰς ἐπὶ τοῖσιν ἕλκεσιν, ἐπιγίνεσθαι. τῇσι δ' αἱμοῤῥαγίῃσι, πῦον ἐπὶ τῇσι φλεψὶ φαίνεσθαι. τοῖσι δὲ πυρετοῖσιν αἱ ἐν τοῖσιν ὀξέσι νοσήμασιν ἔγραψα, ξυμφέρει ἐπὶ τούτοισι γενέσθαι ταῦτα. καὶ ἐνθάδε λέγω ἀγαθὰ εἶναι. τὰ δ' ἐναντία, κακά. ἄρξασθαι δὲ πυρετὸν ἐπὶ κεφαλῆς τρώσει τεταρταίῳ, ἢ ἑβδομαίῳ, ἢ ἑνδεκαταίῳ, θανατῶδες μάλα. κρίνεται δὲ τοῖσι πλείστοισιν. ἢν μὲν τεταρταίου ἐόντος τοῦ ἕλκεος πυρετὸς ἄρξηται, ἐς τὴν ἑνδεκάτην. ἢν δ' ἑβδομαῖος ἐὼν πυρετήνῃ, ἐς τὴν τεσσαρεσκαιδεκάτην ἢ ἑπτακαιδεκάτην. ἢν δὲ τῇ ἑνδεκάτῃ ἄρξηται πυρεταίνειν, ἐς τὴν εἰκοστήν, ὡς ἐν τοῖσι πυρετοῖσι διαγέγραπται, τοῖς ἄνευ προφάσεων ἐμφανέων γινομένοισι. τῇσι δ' ἀρχῇσι τῶν πυρετῶν, ἢν τε παραφροσύνη ἐπιγένηται, ἤν τε ἀπόπληξις τῶν μελέων τινός, εἰδέναι τὸν ἄνθρωπον ἀπολλύμενον, ἢν μὴ πάντάπασι ἢ τῶν καλλίστων τι σημεῖον ἐπιγένηται, ἢ σώματος ἀρετὴ ὑπόκειται, ἀλλ' ὑποσκεψέσθω τὸν τρόπον τῷ ἀνθρώπῳ, ἔτι γὰρ αὕτη ἐλπὶς γίνεται σωτηρίας. χωλὸν δὲ γενέσθαι τὸ ἄρθρον ἐς ὃ ἀπεστήριξεν, ἀναγκαῖόν ἐστιν, ἢν ἄρα καὶ περιγένηται ὁ ἄνθρωπος. Τὰ δὲ τρώματα τὰ ἐν τοῖσιν ἄρθροισι, μεγάλα μὲν ὄντα καὶ τελέως ἀποκόπτοντα τὰ νεῦρα τὰ συνέχοντα, εὔδηλον ὅτι χωλοὺς ἀποδείξει. εἰ δὲ ἐνδοιαστὸν εἴη ἀμφὶ τῶν νεύρων, ὅπως ἔχοι, ὀξέος μὲν ἐόντος τοῦ βέλεος τοῦ ποιήσαντος ὀρθὸν τὸ τρῶμα, εἶναι ἄμεινον ἐπικαρσίου. εἰ δ' εἴη βαρύ τε καὶ ἀμβλὺ τὸ τρῶσαν, οὐδὲν διαφέρει. ἀλλ' ἔσται βάθος τε τῆς πληγῆς σκέπτεσθαι, καὶ τἄλλα σημεῖα. ἔστι δὲ τάδε. πῦον ἢν ἐπιγένηται ἐπὶ τὸ ἄρθρον, σκληρότερον ἀνάγκη γενέσθαι. ἢν δὲ καὶ οἰδήματα συμπαραμένῃ, σκληρὸν ἀνάγκη πουλὺν χρόνον τοῦτο τὸ χωρίον γίνεσθαι. καὶ τὸ οἴδημα ὑγιέος ἐόντος τοῦ ἕλκεος παραμένειν ἀνάγκη συγκάμπτεσθαί τε καὶ ἐκτείνεσθαι ὁκόσα ἂν τοῦ ἄρθρου καμπύλου ἐόντος θεραπεύηται. οἷσι δ' ἂν καὶ νεῦρον δοκέει ἐκπεσεῖσθαι, ἀσφαλεστέρως τὰ περὶ τῆς χωλώσιος ἢ προλέγειν, ἄλλως τε καὶ ἢν τῶν κάτωθεν νεύρων ἢ τὸ ἐκλυόμενον. γνώσῃ δὲ τοῖσι νεῦρον μέλλον ἐκπίπτειν, πῦον λευκόν τε καὶ παχύ, καὶ πουλὺν χρόνον ὑποῤῥέει. ὀδῦναι τε καὶ φλεγμοναὶ γίνονται περὶ τὸ ἄρθρον ἐν ἀρχῇσι. τὰ δ' αὐτὰ ταῦτα γίνεται, καὶ ὀστέου μέλλοντος ἐκπεσεῖσθαι. Τὰ δὲ ἐν τοῖσι ἀγκῶσι διακόμματα ἐν φλεγμονῇ μάλιστα ἐόντα, ἐς διαπύησιν ἀφικνέεται, καὶ τομάς τε καὶ καύσιας. ὁ δὲ νωτιαῖος μυελὸς ἢν νοσέῃ ἤν τε ἐκ πτώματος, ἤν τε ἐξ ἄλλης τινὸς προφάσιος, ἤν τε ἀπὸ αὐτομάτου, τῶν τε σκελέων ἀκρατὴς γίνεται ὁ ἄνθρωπος, ὥς τε μηδὲ θιγγανόμενος ἐπαΐειν καὶ τῆς γαστρὸς καὶ τῆς κύστιος. ὥς τε τοὺς μὲν πρώτους χρόνους, μήτε κόπρον, μήτε οὖρον διαχωρέειν, ἢν μὴ πρὸς ἀνάγκην. ὅταν δὲ παλαιότερον γένηται τὸ νούσημα οὐκ ἐπιόντι τῷ ἀνθρώπῳ, ἥ τε κόπρος διαχωρέει, καὶ τὸ οὖρον. ἀποθνήσκει δὲ μετὰ ταῦτα, οὐ πολλῷ ὕστερον χρόνῳ. ὧν δὲ ἐμπίπλαται αἵματος ἡ φάρυγξ, πολλάκις τῆς ἡμέρης τε καὶ τῆς νυκτὸς ἑκάστης, οὔτε κεφαλὴν προαλγήσαντι, οὔτε βηχὸς ἐχούσης, οὔτε ἐμέοντι, οὔτε πυρετοῦ λαμβάνοντος, οὔτε ὀδύνης ἐχούσης, οὔτε τοῦ στήθεος, οὔτε τοῦ μεταφρένου, τούτου κατιδεῖν ἐς τὰς ῥῖνας καὶ τὴν φάρυγγα, ἢν ἕλκος τι ἔχων φαίνηται ἐν τῷ χωρίῳ τούτῳ, ἢ βδέλλαν. Ὀφθαλμοὶ δὲ λημῶντες ἄριστα ἀπαλλάσσουσιν, ἤν τό, τε δάκρυον, καὶ ἡ λήμη, καὶ τὸ οἴδημα, ἄρξηται ὁμοῦ γινόμενα. ἢν δὲ τὸ μὲν δάκρυον τῇ λήμῃ μεμιγμένον ᾖ, καὶ μὴ θερμὸν ἰσχυρῶς. ἡ δὲ λήμη λευκή τε ᾖ καὶ μαλθακή, τό, τε οἴδημα ἐλαφρόν τε καὶ λελυμένον, εἰ γὰρ οὕτω ταῦτ' ἔχοι, ξυμπλάσσοι τ' ἂν ὀφθαλμὸς ἐς τὰς νύκτας ὥς τε ἀνώδυνος εἶναι, καὶ ἀκινδυνότατον οὕτως ἂν εἴη, καὶ ὀλιγοχρονιώτατον. εἰ δὲ τὸ δάκρυον χωρέει πουλὺ καὶ θερμὸν

ξὺν ὀλίγῃ λήμῃ, καὶ σμικρῷ οἰδήματι. εἰ μὲν ἐκ τοῦ ἑτέρου τῶν ὀφθαλμῶν, χρόνιον μὲν κάρτα γίνεται, ἀκίνδυνον δέ. καὶ ἀνώδυνος οὗτος ὁ τρόπος. ἐν τοῖσι μάλιστα τήνδε κρίσιν ὑποσκέπτεσθαι. τὴν μὲν πρώτην, ἐς τὰς εἴκοσιν ἡμέρας. ἢν δ' ὑπερβάλλῃ τοῦτον τὸν χρόνον, ἐς τὰς τεσσαράκοντα προσδέχεσθαι. ἢν δὲ μὴ δ' ἐν ταύτῃσι παύηται, ἐν τῇσιν ἑξήκοντα κρίνεται. παρὰ πάντα δὲ τὸν χρόνον τοῦτον, ἐνθυμεῖσθαι τὴν λήμην, ἢν ἐν τῷ δακτύλῳ τε μίσγηται καὶ λευκή τε καὶ μαλθακὴ γίνεται, μάλιστα δ' ἀπὸ τοὺς χρόνους τοὺς κρισίμους. ἢν γὰρ μέλλῃ παύεσθαι, ταῦτα ποιήσει. εἰ δὲ οἱ ὀφθαλμοὶ ἀμφότεροι ταῦτα πάθοιεν, ἐπικινδυνώτερον γίνεται ἑλκωθῆναι. ἡ δὲ κρίσις ἐλάσσονος χρόνου ἔσται. λῆμαι δὲ ξηραί, ἐπώδυνοι κάρτα. κρίνονται δὲ ταχέως, ἢν μὴ ῥῶμα λάβῃ ὁ ὀφθαλμός. οἴδημα δὲ ἢν μέγα ᾖ, ἀνώδυνόν τε καὶ ξηρὸν ἀκίνδυνον. εἰ δὲ εἴη ξὺν ὀδύνῃ, κακὸν μὲν ξηρὸν ἐὸν καὶ ἐπικίνδυνον ἑλκῶσαι τὸν ὀφθαλμόν, καὶ ξυμφῦσαι. δεινὸν δὲ καὶ ξὺν δακρύῳ τε ὂν καὶ ὀδύνῃ. εἰ γὰρ δάκρυον χωρέει, θερμὸν καὶ ἁλμυρόν, κίνδυνος τήν τε κόρην ἑλκωθῆναι, καὶ τοῖσι βλεφάροισιν. εἰ δὲ τὸ μὲν οἴδημα καταστείη, δάκρυον δὲ πολὺ ἐπιχέηται πουλὺν χρόνον, καὶ λῆμαι ἔωσι, τοῖσι μὲν ἀνδράσι, βλεφάρων ἐκστροφὴν προλέγειν. τῇσι δὲ γυναιξὶ, καὶ τοῖσι παιδίοισιν, ἑλκῶσιν, καὶ τῶν βλεφάρων ἐκστροφήν. ἢν δὲ λῆμαι χλωραὶ ἢ πελιδναὶ ἔωσι, καὶ δάκρυον πουλὺ καὶ θερμόν. καὶ ἐν τῇ κεφαλῇ καῦμα ᾖ. καὶ διὰ τοῦ κροτάφου ὀδύναι ἐς τὸν ὀφθαλμὸν καταστηρίξωσι. καὶ ἀγρυπνίη τουτέοισιν ἐπιγίνηται, ἕλκος ἀνάγκη γενέσθαι ἐν τῷ ὀφθαλμῷ. ἐλπὶς δὲ καὶ ῥαγῆναι τὸ τοιοῦτον. ὠφελέει δὲ καὶ πυρετὸς ἐπιγινόμενος ἢ ὀδύνη, ἐς τὴν ὀσφὺν στηρίξασα. προλέγειν δὲ δεῖ τούτοισι τὰ ἐσόμενα, ἔς τε τὸν χρόνον σκεπτόμενον, ἔς τε τὰ ἐκ τοῦ ὀφθαλμοῦ ῥέοντα, ἐς τὰς περιωδυνίας τε καὶ ἀγρυπνίας. ἐπὴν δὲ καὶ τὸν ὀφθαλμὸν οἷόν τε ᾖ κατιδεῖν, ἢν μὲν εὑρεθῇ ἐρρωγώς τε καὶ διὰ τῆς ῥωγμῆς ὑπερέχουσα ἡ ὄψις, πονηρὸν καὶ χαλεπὸν καθιδρῦσαι. εἰ δὲ καὶ σηπεδὼν ὑπείη τῷ τοιούτῳ, τελέως ἄχρηστος ὁ ὀφθαλμὸς γίνεται. τοὺς δ' ἄλλους τρόπους τῶν ἑλκέων ἔς τε τὰ χωρία σκεπτομένους προλέγειν, καὶ τάς τε σηπεδόνας καὶ βαθύτητας, ἀναγκαῖον κατὰ τὴν ἰσχὺν τῶν ἑλκέων τὰς οὐλὰς γίνεσθαι. οἷσι μὲν οὖν ῥήγνυνται οἱ ὀφθαλμοί, καὶ μὴ ὑπερέχουσιν ὥστε ἔξω τὴν ὄψιν τῆς χώρης εἶναι, ἀδύνατοι ὠφελέεσθαι καὶ χρόνῳ καὶ τέχνῃ εἰς τὸ βλέπειν. τὰ δὲ σμικρὰ μετακινήματα τῶν ὄψεων οἷά τε καθιδρύεσθαι, ἢν μήτε κακὸν ἐπιγίνηται μηδέν, ὅ, τε ἄνθρωπος νέος ᾖ. αἱ δὲ ἐκ τῶν ἑλκέων οὐλαί, οἷσιν ἂν μὴ κακόν τι ἄλλο προσῇ, πᾶσαι οἷαί τε ὠφελέεσθαι καὶ ἀπὸ τῶν χρόνων καὶ ἀπὸ τῆς τέχνης. μάλιστα δὲ αἱ νεώταταί τε καὶ ἐν τοῖσι νεωτάτοισι τῶν σωμάτων. τῶν δὲ χωρίων, μάλιστα μὲν αἱ ὄψιες βλάπτονται ἑλκούμεναι. ἔπειτα τὸ ὑπεράνω τῶν ὀφρύων. ἔπειτα δὲ καὶ ὅ, τι ἀγχίστη τούτων τῶν τόπων. αἱ δὲ κόραι γλαυκούμεναι, ἢ ἀργυροειδέες γινόμεναι, ἢ κυάνεαι, οὐδὲν χρηστόν. τουτέων δὲ, ὀλίγαι ἀμείνους. ὁκόσαι ἢ σμικρότεραι φαίνονται, ἢ εὐρύτεραι, ἢ γωνίας ἔχουσαι, εἴτ' ἐκ προφασίων τοιαῦται γίνοιντο, εἴτ' αὐτόμαται. ἀχλύες, καὶ νεφέλαι, καὶ αἰγίδες ἐκλεαίνονταί τε καὶ ἀφανίζονται, ἢν μὴ τρῶμά τι ἐπιγίνηται ἐν τούτῳ τῷ χωρίῳ. ἢ πρόσθεν τύχῃ οὐλὴν ἔχων ἐν τῷ χωρίῳ τούτῳ, ἢ πτερύγιον. ἢν δὲ παράλαμψις γίνηται ἀφελκωμένη τοῦ μέλανος μόριόν τι, εἰ πουλὺν χρόνον παραμένῃ, καὶ τρηχέη τε καὶ παχέη, καὶ μνημόσυνον ἀπὸ κάρτα λιπεῖν. αἱ δὲ κρίσιες ὡς ἐν τοῖσι πυρετοῖσιν ἔγραψα, οὕτω καὶ ἐνθάδε ἔχουσιν. ἀλλὰ χρὴ τὰ σημεῖα ἐκμαθόντα προλέγειν. τὰς μὲν διαφορὰς τῶν ὀφθαλμῶν, ὅταν τὰ κάλλιστα τῶν σημείων ἐπιγίνηται, τὰς δὲ πολυχρονίους τῶν ὀφθαλμῶν, ὡς διαγέγραπται ἐφ' ἑκάστῃσι. τὰς δ' ὀλιγοχρονίους, ὅταν τὰ σημεῖα προφαίνηται τὰ ἄριστα, τότε προλέγειν ἑβδομαίας παύσεσθαι, ἢ ἐγγὺς τουτέων, καὶ ἄλλως ἀσφαλῶς νομίζειν ἔχειν. τὰς δὲ ὑποστροφὰς προσδέχεσθαι, οἷσιν ἂν ῥᾳστῶναι γίνωνται, μήτ' ἐν ἡμέρῃσι κρισίμοισι, μήτε σημείων ἀγαθῶν ἐπιφανέντων. πάντων δὲ χρὴ μάλιστα τὴν κατάστασιν τοῦ οὔρου, ἐν τοῖσι περὶ τοὺς ὀφθαλμοὺς ἐνθυμεῖσθαι. οἱ γὰρ καιροὶ ὀξέες.

Αἱ δὲ δυσεντερίαι ξὺν πυρετῷ μὲν ἢν ἔωσιν, ἢ ποικίλοισί τε διαχωρήμασιν, ἢ ξὺν φλεγμονῇ ἥπατος, ἢ ὑποχονδρίου, ἢ γαστρὸς, ἢ ὅσαι ἐπώδυνοι, ἢ ὅσαι τῶν σιτίων ἀπολαμβάνουσιν, δίψαν τε παρέχουσιν, αὗται μὲν πᾶσαι πονηραί. καὶ ὅσαι ἂν πλεῖστα ἔχωσι τούτων τῶν κακῶν, τάχιστα ἀπολεῖται. ᾧ δ' ἂν ἐλάχιστα τῶν τοιούτων προσῇ, πλεῖσται αὐτῷ ἐλπίδες. ἀποθνήσκουσι δὲ ἀπὸ ταύτης τῆς νόσου μάλιστα παιδία, τὰ πενταετέα. καὶ γεραίτερα ἔτι, τὰ δεκαετέα. αἱ δ' ἄλλαι ἡλικίαι ἧσσον. ὅσαι δὲ τῶν δυσεντεριῶν λυσιτελέες, τὰ μὲν κακὰ ταῦτα οὐκ ἐμποιέουσιν. αἷμα δὲ καὶ ξύσματα διαχωρήσαντα, ἐπαύσαντο ἑβδομαῖα, ἢ τεσσαρεσκαιδεκαταῖα, ἢ εἰκοσταῖα, ἢ τεσσαρακονθήμερα, ἢ ἐντὸς τούτων τῶν χρόνων. τὰ τοιαῦτα γὰρ διαχωρήματα καὶ ὑπάρχοντα πρόσθεν ἐν τοῖσι σώμασι, νοσήματα ὑγιάζει. τὰ μὲν παλαιότερα, ἢν πλείονι χρόνῳ. τὰ δὲ νεώτερα δύναται καὶ ἐν ὀλίγῃσιν ἡμέρῃσιν ἀπαλλάσσειν. ἐπεὶ καὶ ἐν γαστρὶ ἔχουσαι καὶ αὗται περιγίνονται, μᾶλλον ἔς τε τοὺς τόκους τε καὶ ἐκ τῶν τόκων, καὶ τὰ ἔμβρυα διασώζουσιν,

αἵματός τε καὶ ξύσματος διαχωρεόντων, καὶ πολλοὺς μῆνας, ἢν μήτις ὀδύνη αὐτῇσι προσῇ. ἀλλ' ὅτι τῶν πονηρῶν ἔγραψα σημείων, εἶναι ἐν τῇσι δυσεντερίῃσιν ἐπιγενέσθαι. εἰ δέ τι κείνων ἐπιφαίνοιτο, τῷ τε ἐμβρύῳ ὄλεθρον σημαίνει, καὶ τῇ ἐχούσῃ κίνδυνον, ἢν μὴ μετὰ τοῦ ἐμβρύου τὴν ἀπόφυξιν, καὶ τοῦ ὑστέρου τὴν ἀπόλυσιν, ἡ δυσεντερίη παύσηται αὐθημερὸν, ἢ μετ' ὀλίγον χρόνον.

Αἱ δὲ λειεντερίαι, ξυνεχέες μὲν καὶ πολυχρόνιοι. καὶ πᾶσαν ὥρην ξὺν ψόφοισί τε καὶ ἄνευ ψόφων ἐκταρασσόμεναι. καὶ ὁμοίως νυκτός τε καὶ ἡμέρης ἐπικείμεναι. καὶ τοῦ διαχωρήματος ὑπιόντος, ἢ ὠμοῦ ἰσχυρῶς, ἢ μέλανός τε καὶ λείου, καὶ δυσώδεος. αὗται μὲν πᾶσαι πονηραί. καὶ γὰρ δίψαν παρέχουσι. καὶ τὸ ποτὸν οὐκ ἐς τὴν κύστιν τρέπουσιν, ὥστε διουρέεσθαι. καὶ τὸ στόμα ἑλκοῦσι. καὶ ἔρευθος ὀξημερινὸν ἐπὶ τῷ προσώπῳ ποιέουσι. καὶ ἐφηλίδας παντοῖα χρώματα ἐχούσας. ἅμα δὲ καὶ τὰς γαστέρας, ἀποξύμους τε καὶ ῥυπαρὰς ἀποδεικνύουσι, καὶ ῥυτιδώδεας. ἐκ δὲ τῶν τοιούτων, ἐξιέναι τε ἀδύνατοι γίνονται οἱ ἄνθρωποι, καὶ τῇσι περιόδοισι χρῆσθαι, καὶ τ' ἄλλα τὰ πρασσόμενα ποιέειν. τὸ δὲ νόσημα τοῦτο, δεινότατον μὲν τοῖσι πρεσβυτέροισιν. ἰσχυρὸν δὲ γίνεται, καὶ τοῖσιν ἀνδράσιν. τῇσι δὲ ἄλλῃσιν ἡλικίῃσι, πολλῷ ἧσσον. ὅστις δὲ μήτε ἐν τῇσιν ἡλικίῃσιν ἐστὶ ταύτῃσιν ἧσι φημὶ, ἀπὸ τοῦ νοσήματος τούτου κακῶς περιέπεται, ἐλάχιστά τε τῶν σημείων ἔχει τῶν πονηρῶν ἃ ἔγραψα εἶναι, ἀσφαλέστατα διάκειται οὗτος. θεραπείης δὲ προσδεῖται ἡ νοῦσος αὐτὴ, ἐς αὐτὸ, τό τε οὖρον χωρέηται τοῦ πινομένου κατὰ λόγον. καὶ τὸ σῶμα τῶν σιτίων εἰσιόντων αὔξηται. καὶ τῶν χροιῶν τῶν πονηρῶν ἀπαλλαχθῇ.

Αἱ δὲ ἄλλαι διάῤῥοιαι ὅσαι ἄνευ πυρετῶν, καὶ ὀλιγοχρόνιοί τε καὶ εὐήθεες. ἢ γὰρ καταπιφθεῖσαι ἐπαύσαντο, ἢ ἀπὸ τοῦ αὐτομάτου. προσαγορεύειν δὲ χρὴ παύεσθαι τὴν ὑπέξοδον, ὅταν τῇ τε χειρὶ ψαύοντι τῆς γαστρὸς, μηδεμία κίνησις ὑπῇ. καὶ φῦσα διέλθοι ἐπὶ τελευτῇ τοῦ διαχωρήματος.

Ἕδραι δὲ ἐκτρέπονται, ἀνδράσι μὲν, οὓς ἂν διάῤῥοια λάβῃ ἔχοντας αἱμοῤῥοΐδας. παιδίοισι δὲ λιθιῶσί τε καὶ ἐν τῇσι δυσεντερίῃσι τῇσι μακρῇσι τε καὶ ἀκρήτοισι. πρεσβυτέροισι δὲ, οἷς ἂν προπήγματα μύξης ἐνῇ.

Τῶν δὲ γυναικῶν ὅσαι μᾶλλον καὶ ἧσσον ἐν γαστρὶ λαμβάνειν πεφύκασιν ὧδε ὑποσκέπτεσθαι. πρῶτον μὲν γὰρ εἴδεα, σμικραί τε γὰρ μειζόνων ἀμείνονες ξυλλαμβάνειν. λεπταὶ παχειῶν. λευκαὶ ἐρυθρῶν. μέλαιναι πελιδνῶν. φλέβας ὅσαι ἐμφανέας ἔχουσιν, ἀμείνονες, ἢ ὅσῃσι μὴ καταφαίνονται. σάρκα δὲ ἐπίθρεπτον ἔχειν πρεσβυτικὴ πονηρόν. μαζοὺς δὲ ὀγκηρούς τε καὶ μεγάλους, ἀγαθόν. ταῦτα μὲν τῇ πρώτῃ ὄψει δῆλά ἐστι. πυνθάνεσθαι χρὴ καὶ περὶ καταμηνίων. ἢν πάντας μῆνας φαίνωνται. καὶ ἢν πλῆθος ἱκανόν. καὶ ἢν εὔχροά τε καὶ ἴσα ἐν ἑκάστοισι τῶν χρόνων, καὶ ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσι τῶν μηνῶν. οὕτω γὰρ ταῦτα γίνεσθαι ἄριστον. τὸ δὲ χωρίον ἐν ᾧ ἡ σύλληψις ἐστίν, ὃ δὴ μήτρην ὀνομάζομεν, ὑγιές τε χρὴ εἶναι καὶ ξηρὸν, καὶ μαλθακὸν, καὶ μήτ' ἀνεσπασμένον ἔστω, μήτε προπετὲς, μήτε τὸ στόμα αὐτοῦ ἀπεστράφθω, μήτε ξυμμεμυκέτω, μήτ' ἐκπεπλήχθω. ἀμήχανον γὰρ ἄτι ἂν ἡ τῶν τοιούτων κωλυμάτων σύλληψις γενέσθαι. ὁκόσαι μὲν οὖν τῶν γυναικῶν, μὴ δύνανται ἐν γαστρὶ λαμβάνειν. φαίνονται δὲ χλωραὶ, μήτε πυρετοῦ, μήτε τῶν σπλάγχνων αἰτίων ἐόντων, αὗται φήσουσι κεφαλὴν ἀλγέειν. καὶ τὰ καταμήνια πονηρῶς τε σφίσι καὶ ἀκρήτως γίνεσθαι. καὶ ὀλίγως δὲ καὶ πολλῷ χρόνῳ, αὐτῇσιν οὕτω διακειμένῃσιν ἀφανέα. ἢ αἱ μῆτραι καθάρσιος ταύτῃσι προσχρῄζουσιν. ὁκόσαι τε δύσχροοί τε εἰσί. καὶ σάρκα πολλήν τε καὶ πίειραν ἔχουσι. καὶ φλέβια κεκρυμμένα, ἀνώδυνοί τε εἰσι, καὶ τὰ καταμήνια ταύτῃσιν ἢ παντάπασιν οὐ φαίνεται, ἢ ὀλίγα τε καὶ ἀκρήτως γίνεται. τῶν τρόπων, οὗτος ἐν τοῖσι χαλεπωτάτοισιν ἐστὶ καταναγκάσαι ὡς ἐν γαστρὶ λαμβάνειν. ἢν δὲ ἐπιφαινομένων τῶν καταμηνίων ἀπροφασίστως, τότε σῶμα ὧδε διάκειται ἡ γυνὴ, κἢν μὴ συλλαμβάνῃ, τὸ χωρίον ἐν ᾧ ἡ μήτρη, αἴτιον, ὥστε μὴ δύνασθαι γίνεσθαι ἔκγονα. ἢ γὰρ ἀνεσπασμένον ἐστὶν, ἢ ἐκπεπληγμένον. τὰ δ' ἄλλα κατὰ γινόμενα ἐνταῦθα ξὺν ὀδύνῃσί τε γίνεται, καὶ ἀχροίῃσί τε καὶ τήξει.

Ἧσι δ' ἂν ἕλκος γένηται ἐν τῇσι μήτρῃσιν, εἴτε ἐκ τόκου, εἴτε ἐκ φύματος, εἴτε δι' ἄλλης τινὸς προφάσιος, πυρετούς τε καὶ βουβῶνας ταύτῃσιν ἀνάγκη ἐπιγίνεσθαι. καὶ ὀδύνας ἐν τοῖσι χωρίοισι τούτοισιν. εἰ δὲ καὶ τὰ λοχεῖα συναπολειφθείη, ταῦτα ὑπάρχοντα κακὰ πάντῃ ἀκριτώτερά τε καὶ χρονιώτερα. καὶ πρὸς τούτοισιν ὑποχονδρίων τε καὶ κεφαλῆς ὀδύναι. ἕλκεος δὲ γινομένου, καὶ ὑγιασθέντος, τὸ χωρίον τοῦτο ἀνάγκη λειότερον καὶ σκληρότερον γίνεσθαι, καὶ ἧσσον δύνασθαι ἐν γαστρὶ λαμβάνειν. εἰ δὲ μοῦνον ἐν τοῖσιν ἐπ' ἀριστερὰ γένοιτο ἕλκος, ἡ δὲ γυνὴ ἐν γαστρὶ λάβοι, εἴτε τὸ ἕλκος ἐπεχούσης, εἴτε λοιπὸν ἤδη ὑγιὴς ἐούσα, ἄρσεν μᾶλλον τεκεῖν αὐτὴν ἐλπίς ἐστιν. εἰ δὲ ἐν τοῖσι ἐπὶ δεξιὰ τὸ ἕλκος γένοιτο, ἡ δὲ γυνὴ ἐν γαστρὶ ἔχοι, θῆλυ μᾶλλον τὸ ἔκγονον χρὴ δοκέειν ἔσεσθαι. ἢν δὲ πυρετοὶ γίνωνται, οὐ δυναμένῃ ἐν γαστρὶ λαβεῖν, καὶ λεπτῆς βηχὸς ἐχούσης, πυνθάνεσθαι χρὴ, μή τι αἱ μῆτραι ἕλκος ἔχουσιν, ἢ ἄλλό τι τῶν πονηρῶν ὧν ἔγραψα. εἰ γὰρ ἐν τῷ χωρίῳ τούτῳ μηδὲν ὕπεστι κακὸν φαίνοιτο αἴτιον τῆς λεπτώσιός τε καὶ τοῦ μὴ συλλαμβάνειν δύνασθαι, αἷμα ἐμέσαι τὴν γυναῖκα πρόσδοκιμον. τὰ δὲ καταμήνια τῇ τοιαύτῃ ἠφανίσθαι ἀνάγκη. ἢν δὲ ὁ πυρετὸς λυθῇ ἀπὸ τῆς ῥήξιος

χεῖρα διεγραμμένα γίνεται. τείνει τε γαρ ταῦτα τὰ νεῦρα πρὸς ἐν τῶ βραχίονος ὀστέον, ὃθεν ὁ πῆχυς μεβέβηται. ὧν τοι τοσαῦτοι καὶ τοιαῦτοι αἱ ἁμαρτάδες καὶ ἄγνοιαι τῆς φύσιος τῆς χειρός, εἰ δ' ὡς ἐτῶ κελεύω χεῖρα καταγῆσαν καταπείνοι τὶς ἐπιβρέψαι μὲν ἐν ὀστέον ἐς ἰθὺ ἐν καταὶ ἐν σμικρὸν δάκτυλον ἐν ἐς ἐν ἀγκῶνα πείνον. ἐυθυωρέλω δὲ ἔξει τὰ νεῦρα τὰ ἀπὸ τῶ ἠερποῦ πρὸς τῶ βραχίονος τὰ ἄκρα πείνοντα. ἀναλαμβανομένη δὲ ἡ χειρ, σὺ παρατοπισάς χήματ' ἔσται, σὺ ὦῶν τῶν καὶ ἐπιδεσμόν. ἄπονος μὲν ὁδοιπορέοντι. ἄπονος δὲ καταικεμένω καὶ ἀκάματος. καθίννυσθαι δὲ χρὴ ἐν αὔθρωπον οὕτως ὁκωσῆ ἐν ὑβέλχον τῶ ὀστέου πρὸς πῶι λαμπροτάτην τῆν παρεουσέων αὐγέων, ὡς μὴ λάθῃ ἐν χειρίζοντα σὺ τῆ καταστάσει ἐκνεῶς ὑβίβωντα. τῶ γε μὲν ἐπιπέρου, ἀ δ' αὖ πῶι χεῖρα λάθοι ἐπεγομένην ἐν ὑβέλχον ψαυόμενον. τῆν δὲ ὀστέων τῶ πήχεος, ὧν μὲν ἀμφότερα καταπέπτωκεν, ῥᾴων ἡ ἴησις, ἴν' ἐν αὖῶ ὀστέον τέτρωται. καὶ πῆ παχύτερον ἐόν. ἅμα μὲν ὅτι ἐν ὑγιὲς ὑποτετμημένον γίνεται αὐτὸ θεμελίου. ἅμα δ' ὅτι ὀλκερὸν πάχος γίνεται, σπλῶι εἰ ἐν ἐπὶς τῶ καρποῦ. πακείη γαρ ἡ τῆς σαρκὸς ἐπίφυσις ἡ ὠδὶ ἐν αὖῶ. ἐν δὲ καταὶ ὀστέον ἀσαρκον, καὶ οὐκ ὀξυγκαμπὲς, καὶ καταστάσιος ἀρκέει. ἰῶ δ' ἀμφότερα καπεπῆ, ἰσχυρότερης ἢ καταστάσιος δεῖται. παυδὲ μὲν γαρ ἠδὴ εἰδὸν καταπαθόντα μᾶλλον, ἢ ὡς δεῖ. οἱ δὲ σπλείστοι ἦσαν τείνοντ), ἢ ὡς δεῖ. χρὴ δ' ἐπὴν τείνωσιν τὰ βαθέα προσβάλλοντα διορθοῦν. ἐπειτα χρίσαντα κηρωτῆ μὴ πάνυ πολλῆ, ὡς μὴ σπλεῖν τὰ ἐπιδέσματα, οὕτως ἐπιπλεῖν. ὅπως μὴ καταστρέφω ἀκρίλω πῶι χεῖρα ἔξει τῶ ἀγκῶνος, ἀλλὰ σμικρῶ καὶ ἀναστρέφω, ὡς μὴ ἐ αἷμα ἐς ἄκρον ἐπιῤῥέῃ, ἀλλὰ ἀπολαμβάνηται. ἐπειτα ἐπιπλέειν τῶ ὀθονίω πῶι ἀρχὴν βαλλόμενος καταὶ ἐν καταγμα. ὀρθίσων μὲν οὖν, μὴ πλέζων δὲ καρτα. ἐπὴν δὲ σπλεῖν, καταὶ τῶν ἐν δὶς ἢ τρὶς ὠδὶ ἐν ἀνω νεμέσθω ἐπιδέων, ἵνα αἱ ἐπιῤῥέαι τῶ αἵματος ἀπολαμβάνωνται, καὶ τελευτησάτω κεῖθι. χρὴ δὲ μὴ μακρὴ εἶναι τὰ πρῶτα ὀθόνια. τῆν δὲ ἀλυτέρων ὀθονίων. πῶι μὲν ἀρχὴν βάλλεσθαι ὠδὶ ἐν καταγμα. σπλειβαλὼν δὲ ἄπαξ ἐς ἐν αὐτό. ἐπειτα νεμέσθω ἐς ἐν καταγμα ἢ ὠδὶ ἧσον πλέζων, ἢ ὠδὶ μέζον διαζεβάσκων, ὡς ἂν αὐτέω ἰσχνὸν γένῃ ἐν ὀθόνιον ἀπαπαλινοσφύμησει κεῖθι, ἵνα σπῇ ἐν ἐπιῤῥέῃ ἐς τὰ ἐλυτέρα ἐπιδέσματα. ἐπειτα ἐπιπλεῖν τοῖσιν ὀθονίοισιν ὡς ἐναλλάξ. ὅτε μὲν, ὠδὶ δεξιά. ὅτε δὲ, ἐπ' ἀριστερά. μὴ τὰ μὲν πλείω καταπωθεν ἀῤῥόμενος ἐς ἐν ἄνω ἄγειν. ἔστ δ' ὅτε καὶ ἄνωθεν ἐς ἐν καταγμα. τὰ δὲ ὑποξήρα ἀκίνητα ἐᾶσαι τοῖσι πλείοσι κυκλοῦντας. τῶ δὲ πλήθει τῆν ὠδὶ πολέων μὴ πάνυ ἀθρόον ξωισιρεθῆναι, ἀλλὰ καὶ τὰ μόρος. πρὸς ὠδὶ βάλλειν δὲ χρὴ χαλαρὰ καὶ ὠδὶ ἐν καρπὸν τῆς χειρὸς, ἄλλοτε καὶ ἄλλοτε. πλῆθος δὲ τῆν ὀθονίων ἰσχνὸν ἐν πρῶτον αἰ δύο μοῖραι. σημεῖα δὲ τῶ καλῶς ἐνῤῥυμένου ταῦτα, καὶ ὄρος ἐπιδεομένου, εἰ ὀξωτάτω αὐτὸν ἐν πεπέκτασι. καὶ ἰῶ φαίνεται μὲν πεπιέχθαι, ἠούχως δὲ καὶ μάλιστα εἰ καταὶ ἐν καταγμα φαίνεται. τοιοῦτα τοίνυν φαῦαι χρὴ πεποιημένα ὀξὺ τέλεος ἐν ὀρθῶς ἐπιδεόμενον. σημεῖα δὲ ταῦτα τῆς μεριότητος πῶι μὲν ἡμέρῃσι ἰῶ ἂν ἐπιδεθῆ καὶ πῶι νύκτα δοκείτω αὐτῶ ἑαυτῶ μὴ ὠδὶ ἧσον πεπιέχθαι, ἀλλ' ἔτι μᾶλλον. τῆ δ' ὑξυτάτη οἰδήματον ἐλθεῖν ἐς χεῖρα ἄκρίλω μαλθακῶν. μεριότητος γαρ σημεῖον τῆς πιέξιός σου. τελευτώσης δὲ τῆς ἡμέρης ὠδὶ ἧσον δοκείτω πεπιέχθαι. τῆ δὲ ῥίτη χαλαρὰ σοι δοκείτω εἶναι τὰ ἐπιδέσματα. κ' ἰῶ μόνον τούτων τῆν ἐιρημένων ἐλλίπῃ, γνώσκειν χρὴ ὅτι χαλαρωτέρη ὀξὺν ἐπίδεσις τῶ μεβίου. ἰῶ δ' ἔτι τῆν ἐιρημένων τελευτάζῃ, χρὴ γνώσκειν ὅτι μᾶλλον ἐπέχει τῶ μεβίου. καὶ τουτοισι σημαινόμενος ἐν ὑσδρον ἐπιδέειν, ἢ χαλαὸ μᾶλλον, ἢ πιέζειν. ἀπολύσαντα δὲ χρὴ ῥιταίον ἐόντα, καταπεινάμενον καὶ διορθωσάμενον, κ' ἰῶ μεβίως ἐν πρῶτον ἐπετυχήκει ἐπιδήσας. ταύτην πῶι ἐπιδέσιν χρὴ ὁλίτω μᾶλλον ἢ ἐκείνω πιέζειν. βάλλεσθαι δὲ χρὴ τὰς ἀρχὰς καταὶ ἐν καταγμα, ὡσπῦ καὶ ἐν πρότερον, ἰῶ μὲν ἔσσον πρότερον ἐπιδέης ὀξωρείαται ἐκ τούτου ἰχῶρες ἐς τὰς ἐκατὰς σάρκα καὶ σῶα. ἰῶ δὲ τι ἄλλο πρότερον πιέξης, ἐς ἔσσον ὀξωρείαται ἐκ τῶ πιεχθέντος. ἐς πολλὰ δ' ὀψὲ ἐν ξωισίναι. οὕτως οὖν ἀῤῥχεσθαι μὲν ἀεὶ χρὴ πῶι ἐπιδέσιν καὶ πῶι πιέξιν ἐκ τουτέου τῶ χωρίου. τὰ δ' ἄλλα καταὶ λόγον, ὡς ἂν προσωτέρω ἀπὸ τῶ καταγματος ἀχαγὴς ὠδὶ ἧσον πῶι πιέξειν ποιέεσθαι. χαλαρὰ δὲ παντάπασιν μηδέποτε προσεπιθεωκότα. ἐπειτα δὲ τελείοισιν ὀθονίοισιν χρὴ ἐπιπλεῖν ἐνάσσιν τῆν ἐπιδέσιον. ὁρωτώμενος δὲ φάτω ὁλίτω μᾶλλον οἱ πεπιέχθαι, ἢ ἐν πρότερον, καὶ μάλιστα φάτω καταὶ ἐν καταγμα. καὶ τὰ ἄλλα δὲ καταὶ λόγον, καὶ ἀμφὶ τῶ οἰδήματι, καὶ ἀμφὶ τῶ πονέειν, καὶ ἀμφὶ τῶ ῥηΐζειν, καταὶ λόγον τῆς προτέρης ἐπιδέσιος γινέσθω. ἐπὴν δὲ ῥιζωθέος ἢ, χαλαρωτέρα οἱ δοκείτω εἶναι τὰ ἐπιδέσματα. ἐπειτα ἀπολύσαντα χρὴ αὖθις ἐπιδῆσαι ὁλίτω μᾶλλον πιέζοντα καὶ σὺ πᾶσι τοῖσιν ὀθονίοισιν οἷσιπερ ἤμελλον ἐπιλέεσθαι. καὶ ἔπειτα αὖῶν πάντα ταῦτα καταλαβέτω, ἅπερ καὶ σὺ τῆσι πρώτῃσι ἐπεδίδοσιον τῆ ἐπιδέσιος.

ἐπὴν δὲ τριταῖος γένηται, ἑβδομαῖος δὲ ἀπὸ τῆς πρώτης ἐπιδέσιος ἢν ὀρθῶς ἐπιδέηται, τὸ μὲν οἴδημα ἐν ἄκρῃ τῇ χειρὶ ἔσται οὐ δὲ τοῦτο λίην μέγα. τὸ δ' ἐπιδεόμενον χωρίον ἐν πάσῃσι τῇσιν ἐπιδέσεσιν αἰεὶ τὸ λεπτότερον καὶ ἰσχνότερον εὑρεθήσεται. ἐν δὲ τῇ ἑβδόμῃ, καὶ πάνυ λεπτόν, καὶ τὰ ὀστέα τὰ κατεηγότα αἰεὶ μᾶλλον κινεύμενα καὶ εὐπαράγωγα ἐς κατόρθωσιν. καὶ ἢν ᾖ ταῦτα τοιαῦτα, κατορθωσάμενον χρὴ ἐπιδῆσαι ὡς ἐς νάρθηκας, ὀλίγῳ μᾶλλον πιέζοντας, ἢ τὸ πρότερον, ἢν μὴ πόνος τις πλείων ᾖ ἀπὸ τοῦ οἰδήματος τοῦ ἐν ἄκρῃ τῇ χειρί. ἐπὴν δ' ἐπιδήσῃς τοῖσιν ὀθονίοισι, τοὺς νάρθηκας περιθεῖναι χρὴ καὶ περιλαβεῖν ἐν τοῖσι δεσμοῖσιν, ὡς χαλαρωτάτοισιν ὅκως ἂν ἠρεμέειν, ὥς τε μηδὲν ξυμβάλλεσθαι ἐς τὴν πίεξιν τῆς χειρὸς τὴν τῶν ναρθήκων πρόσθεσιν. μετὰ δὲ ταῦτα ὅ, τε πόνος, αἵ τε ῥαστῶναι αἱ αὐταὶ γινέσθωσαν, αἵπερ καὶ ἐν τῇσι πρώτῃσι περιόδοισι τῶν ἐπιδεσίων. ἐπὴν δὲ τριταῖος ἐὼν φῇ χαλαρὸν εἶναι, τότ' ἔπειτα χρὴ τοὺς νάρθηκας ἐρείσαι, μάλιστα μὲν κατὰ τὸ κάτηγμα, ἀτὰρ καὶ τἄλλα κατὰ λόγον, ἧπερ καὶ ἡ ἐπίδεσις ἐχάλα μᾶλλον ἢ ἐπίεζε. παχύτατον δὲ χρὴ εἶναι τὸν νάρθηκα, ᾗ ἐξέστη τὸ κάτηγμα μὴ μὲν πολλῷ. ἐπιτηδεύειν δὲ χρή, μάλιστα μὲν κατ' ἰθυωρίην τοῦ μεγάλου δακτύλου ὡς μὴ κείσεται ὁ νάρθηξ, ἀλλὰ τῇ ἢ τῇ. μηδὲ κατὰ τὴν τοῦ σμικροῦ δακτύλου ἰθυωρίην, ᾗ τὸ ὀστέον ὑπερέχει ἐν τῷ καρπῷ, ἀλλὰ τῇ ἢ τῇ. ἢν δὲ ἄρα πρὸς τὸ κάτηγμα ξυμφέρει κεῖσθαι κατὰ ταῦτα τινὰς τῶν ναρθήκων βραχυτέρους αὐτοὺς χρὴ τῶν ἄλλων ποιέειν, ὡς μὴ ἐξικνέωνται πρὸς τὰ ὀστέα τὰ ὑπερέχοντα παρὰ τὸν καρπόν, κίνδυνος γὰρ ἑλκώσιος, καὶ νεύρων ψιλώσιος. χρὴ δὲ διὰ τρίτης ἐρείδειν τοῖσι νάρθηξι πάνυ ἡσυχῇ, οὕτω τῇ γνώμῃ ἔχοντας ὡς οἱ νάρθηκες φυλακῆς εἵνεκα τῆς ἐπιδέσιος προσκέονται, ἀλλ' οὐ τῆς πιέξιος εἵνεκεν ἐπιδέονται. ἢν μὲν οὖν εὖ εἰδῇς ὅτι ἱκανῶς τὰ ὀστέα ἀπίθυνται ἐν τῇσι προτέρῃσιν ἐπιδέσεσιν καὶ μήτε κνησμοὶ λυπέωσι, μήτε τις ἕλκωσις μηδεμία ὑποπτεύηται εἶναι, ἐᾶν χρὴ ἐπιδεδέσθαι ἐν τοῖσι νάρθηξιν ἔστ' ἂν ὑπὲρ εἴκοσιν ἡμέρας γίνηται. ἐν τριήκοντα μάλιστα τῇσι ξυμπάσῃσι κρατύνεται ὀστέα τὰ ἐν τῷ πήχει τὸ ἐπίπαν. ἀτρεκὲς δὲ οὐδέν. μάλα γάρ τοι καὶ φύσις φύσιος καὶ ἡλικίη ἡλικίης διαφέρει. ἐπὴν δὲ λύσῃς, ὕδωρ θερμὸν καταχέαι χρὴ καὶ μετεπιδῆσαι, ἧσσον μὲν ὀλίγῳ πιέζοντα, ἢ τὸ πρόσθεν. ἐλάσσοσι δὲ τοῖσιν ὀθονίοισιν, ἢ τὸ πρότερον. καὶ ἔπειτα διὰ τρίτης ἡμέρης λύοντα ἐπιδεῖν, αἰεὶ μὲν ἧσσον πιέζοντα, αἰεὶ δὲ ἐλάσσοσι τοῖσιν ὀθονίοισιν. ἐπὴν δὲ ὅταν τοῖσι νάρθηξιν ἐπιδεθῇ ὑποπτεύῃς τὰ ὀστέα μὴ ὀρθῶς κεῖσθαι, ἢ ἄλλο τι ὀχλέῃ τὸν τετρωμένον, λῦσαι ἐν τῷ ἡμίσει τοῦ χρόνου, ἢ ὀλίγῳ πρόσθεν μετεπιδῆσαι. δίαιτα δὲ τουτέοισιν οἷσιν ἂν μὴ ἕλκεα ἐξ ἀρχῆς γένηται, ἢ ὀστέα ἔξω ἐξίσχει ἀρκέει ὑποφαύλη. ἐνδεεστέρην δὲ χρὴ διαιτᾶν ἄχρι ἡμερέων δέκα, ἅτε ἤδη καὶ ἐλινύοντας. καὶ ἑψοῖσιν ἁπαλοῖσιν χρῆσθαι ὅκοσα τῇ διεξόδῳ μετριότητα παρέχουσι. οἴνου δὲ καὶ κρεηφαγίης ἀπέχεσθαι. ἔπειτα μέντοι ἐκ προσαγωγῆς ἀνακομίζεσθαι. οὗτος ὁ λόγος ὥσπερ νόμος κεῖται δίκαιος περὶ καταγμάτων ἰήσιος. ὥς τε χειρίζειν χρὴ ὥς τε ἀποβαίνειν ἀπὸ τῆς δικαίης χειρίξιος. ὅτι δ' ἂν μὴ οὕτως ἀποβαίνῃ, εἰδέναι χρὴ ὅτι ἐν τῇ χειρίξει τι ἐνδεὲς πεποίηται, ἢ πεπλεόνασται. ἔτι δὲ τάδε χρὴ προσξυνιέναι ἐν τούτῳ τῷ ἁπλῷ τρόπῳ, ᾧ οὐ κάρτα ἐπιμελέονται οἱ ἰητροί, καίτοι πᾶσαν μελέτην, καὶ πᾶσαν ἐπίδεσιν οἷά τε διαφθείρειν ἐστὶ μὴ ὀρθῶς ποιεύμενα. ἢν γὰρ τὰ μὲν ὀστέα ἄμφω καταγῇ ἢ τὸ κάτω μοῦνον, ὁ δὲ ἐπιδεδεμένος ἐν ταινίῃ τινὶ τὴν χεῖρα ἔχει ἀναλελαμμένος. τυγχάνει δὲ ἡ ταινίη κατὰ τὸ κάτηγμα πλείστη ἐοῦσα, ἔνθεν δὲ καὶ ἔνθεν ἡ χεὶρ ἀπαιωρέηται, τοῦτον ἀνάγκη τὸ ὀστέον εὑρεθῆναι διεστραμμένον ἔχοντα πρὸς τὸ ἄνω μέρος. ἢν δὲ κατεηγότων τῶν ὀστέων οὕτως ἄκρην τε τὴν χεῖρα ἐν τῇ ταινίῃ ἔχει, καὶ παρὰ τὸν ἀγκῶνα, ὁ δὲ ἄλλος πῆχυς μὴ μετέωρος ᾖ, οὕτως εὑρεθήσεται τὸ ὀστέον ἐς τὸ κάτω μέρος διεστραμμένος ἔχων. χρὴ οὖν ἐν ταινίῃ πλάτος ἐχούσῃ μαλθακῇ τὸ πλεῖστον τοῦ πήχεος καὶ τὸν καρπὸν τῆς χειρὸς ὁμαλῶς αἰωρέεσθαι. Ἢν δὲ ὁ βραχίων καταγῇ. ἢν μέν τις ἀποτανύσας τὴν χεῖρα ἐν τούτῳ τῷ σχήματι διατείνῃ ὁ μῦς τοῦ βραχίονος κατατεταμένος, ἐπιδεθήσεται. ἐπὴν δ' ἐπιδεθεὶς ξυγκάμψῃ τὸν ἀγκῶνα ὁ μῦς τοῦ βραχίονος, ἄλλο σχῆμα σχήσει. δικαιοτάτη οὖν βραχίονος κατάτασις ἥδε. ξύλον πηχυαῖον ἢ ὀλίγῳ βραχύτερον ὁκοῖοι εἰσὶ σύλαιοι τῶν σκαφίων κρεμάσαι χρὴ ἔνθεν καὶ ἔνθεν σειρῇ δήσαντα. καθίσαντα δὲ τὸν ἄνθρωπον ἀπὸ ὑψηλοῦ τινὸς τὴν χεῖρα ὑπερκεῖσθαι ὡς ὑπὸ τῇ μασχάλῃ γένηται ὁ σύλαιος, ἔχων ξυμμέτρως, ὥς τε μόλις δύνασθαι καθίζεσθαι τὸν ἄνθρωπον. σμικροῦ δέοντα μετέωρον εἶναι. ἔπειτα θέντα τι ἄλλο ἕδρανον καὶ ὑποθέντα σκύτινον ὑποκεφάλαιον ἢ ἓν ἢ πλείω, ὅκως ξυμμέτρως σχήσει ὕψος τοῦ πήχεος πλαγίου πρὸς ὀρθὴν γωνίην. ἄριστον μὲν σκῦτος πλατὺ καὶ μαλθακὸν ἢ ταινίην πλατείην ἀμφιβάλλοντα τῶν μεγάλων τι σταθμίων ἐξαρτῆσαι ὅτι μετρίως ἕξει κατατείνειν. εἰ δὲ μὴ τῶν ἀνδρῶν ὅς τις ἐρρωμένος ἐν τούτῳ τῷ σχήματι τοῦ πήχεος παρὰ τὸν ἀγκῶνα καταναγκαζέτω ἐς τὸ κάτω. ὁ δὲ ἰητρὸς ὀρθὸς μὲν ἐὼν χειριζέτω τὸν ἕτερον πόδα ἐπί τινος ὑψηλοτέρου τινὸς ἔχων. κατορθώσας δὲ τοῖσι θέναρσι τὸ ὀστέον, ῥηϊδίως δὲ κατορθώσεται. ἀγαθὴ γὰρ ἡ κατάτασις ἢν τις καλῶς παρασκευάσηται. ἔπειτα ἐπιδείτω τάς τε ἀρχὰς βαλλόμενος ἐπὶ τὸ κάτηγμα, καὶ τἄλλα πάντα ὥσπερ πρότερον παρῃνέθη χειριζέτω. καὶ ἐρωτήματα

ταὐτὰ ἐρωτάτω. καὶ σημείοισι χρήσθω τοῖσιν αὐτέοισιν. ἢν μετρίως ἔχει ἢ οὔ. καὶ διὰ τρίτης ἐπιδείτω. καὶ αἰεὶ μᾶλλον πιεζέτω. καὶ ἑβδομαῖον ἢ ἐναταῖον ἐν νάρθηξιν δησάτω. καὶ ἢν ὑποπτεύσῃ μὴ καλῶς κεῖσθαι τὸ ὀστέον μεσηγὺ τουτέου τοῦ χρόνου λυσάτω, καὶ εὐθετησάμενος μετεπιδησάτω. κρατύνεται δὲ μάλιστα βραχίονος ὀστέον ἐν τεσσαράκοντα ἡμέρῃσιν. ἐπὴν δὲ ταύτας ὑπερβάλῃ, λύειν χρὴ καὶ αἰεὶ ἧσσον πιέζειν τοῖσιν ὀθονίοισι καὶ αἰεὶ ἐλάσσοσιν ἐπιδεῖν. δίαιταν δὲ ἀκριβεστέρην τινὰ ἢ τὸ πρότερον διαιτᾶν καὶ πλείω χρόνον. τεκμαίρεσθαι δὲ πρὸς τοῦ οἰδήματος τοῦ ἐν ἄκρῃ τῇ χειρὶ τὴν ῥώμην ὁρῶν. προσξυνιέναι δὲ χρὴ καὶ τάδε. ὅτι βραχίων κυρτὸς πέφυκεν ἐς τὸ ἔξω μέρος, καὶ διαστρέφεσθαι φιλέει, ἐπὴν μὴ καλῶς ἰητρεύηται. ἀτὰρ καὶ τἄλλα πάντα ὀστέα ἅπερ πέφυκε διεστραμμένα ἐς τοῦτο καὶ ἰητρευόμενα φιλέει διαστρέφεσθαι ἐπὴν κατεαγῇ. χρὴ τοίνυν ἐπὴν τοιοῦτό τι ὑποπτεύηται ταινίῃ πλατείῃ προσπεριλαμβάνειν τὸν βραχίονα κύκλῳ περὶ τὸ στῆθος περιδέοντα. καὶ ἐπὴν ἀναπαύεσθαι μέλλῃ μεσηγὺ τοῦ ἀγκῶνος καὶ τῶν πλευρέων σπλῆνα τινὰ πουλύπτυχον πτύξαντα ὑποτιθέναι, ἢ ἄλλό τι ὃ τουτέῳ ἔοικεν. οὕτω γὰρ ἂν ἰθὺ τὸ κύρτωμα τοῦ ὀστέου γένοιτο. φυλάσσεσθαι μέντοι χρή, ὅπως μὴ ἄγαν ἐς τὸ ἔσω μέρος. Ποὺς δὲ ἀνθρώπου ἐκ πολλῶν καὶ μικρῶν ὀστέων ξύγκειται, ὥσπερ χεὶρ ἄκρη. κατάγνυται μέν, οὐ πάνυ τι ταῦτα τὰ ὀστέα, ἢν μὴ ξὺν τῷ χρωτὶ τιτρωσκομένῳ ὑπὸ ὀξέος τινὸς ἢ βαρέος. τὰ μὲν οὖν τιτρωσκόμενα, ἐν ἑλκωσίων μέρει εἰρήσεται ὡς χρὴ ἰητρεύειν. ἢν δέ τι κινηθῇ ἐκ τῆς χώρης. ἢ τῶν δακτύλων ἄρθρον. ἢ ἄλλό τι τῶν ὀστέων τοῦ ταρσοῦ καλεομένου, ἀναγκάζειν μὲν χρὴ ἐς τὴν ἑωυτοῦ χώρην ἕκαστον, ὥσπερ καὶ τὰ ἐν τῇ χειρὶ εἴρηται. καὶ ἰητρεύειν δὲ κηρωτῇ καὶ σπλήνεσιν καὶ ὀθονίοισιν, ὥσπερ καὶ τὰ κατήγματα. πλὴν τῶν ναρθήκων. τὸν μὲν αὐτὸν τρόπον πιεζοῦντα. διὰ τρίτης δὲ ἐπιδέοντα. ὑποκρινέσθω δὲ ὁ ἐπιδεόμενος παραπλήσια, οἷάπερ καὶ ἐν τοῖσι κατήγμασι. καὶ περὶ τοῦ πεπιέχθαι. καὶ περὶ τοῦ χαλαρὰ εἶναι. ὑγιέα δὲ γίνεται ἐν εἴκοσιν ἡμέρῃσι τελέως ἅπαντα, πλὴν ὁκόσα κοινωνέει τοῖσι τῆς κνήμης ὀστέοισι, καὶ αὐτέῃ τῇ ἴξει. ξυμφέρει δὲ κατακεῖσθαι τοῦτον τὸν χρόνον. ἀλλὰ γὰρ οὐ τολμέουσιν ὑπερορῶντες τὸ νόσημα, ἀλλὰ περιέρχονται πρὶν ὑγιέες γενέσθαι. διὰ τοῦτο καὶ οἱ πλεῖστοι οὐκ ἐξυγιαίνουσι τελέως. ἀλλὰ πολλάκις αὐτοὺς ὁ πόνος ὑπομιμνήσκει εἰκότως. ὅλον γὰρ τὸ ἄχθος τοῦ σώματος οἱ πόδες ὀχέουσιν. ὁκόταν οὖν μήπω ὑγιέες ἐόντες, ὁδοιπορέουσιν φλαύρως ξυναλθάσσεται τὰ ἄρθρα τὰ κινηθέντα. διὰ τοῦτο ἄλλοτε καὶ ἄλλοτε ὀδυνῶνται τὰ πρὸς τῇ κνήμῃ. τὰ δὲ κοινωνέοντα τοῖσι τῆς κνήμης ὀστέοισιν, μείζω τε τῶν ἑτέρων ἐστίν, καὶ κινηθέντων τούτων πουλυχρονιωτέρη ἡ ἄλθαξις. ἴησις μὲν οὖν ἡ αὐτή. ὀθονίοισι δὲ πλείοσι χρέεσθαι καὶ σπλήνεσιν. καὶ αἰεὶ πᾶν ἔνθεν καὶ ἔνθεν ἐπιδεῖν. πιέζειν δὲ ὥσπερ καὶ τἄλλα πάντα, ταύτῃ μάλιστα ᾗ ἐκινήθη, καὶ τὰς πρώτας περιβολὰς τῶν ὀθονίων, κατὰ ταῦτα ποιέεσθαι. ἐν δὲ ἑκάστῃ τῶν ἀπολυσίων ὕδατι πολλῷ θερμῷ χρέεσθαι. ἐν πᾶσι δὲ πολλὸν ὕδωρ θερμὸν καταχέειν τοῖσι κατ' ἄρθρα σίνεσιν. αἱ δὲ πιέξιες καὶ αἱ χαλάσιες ἐν τοῖσιν αὐτέοισιν χρόνοισι τὰ αὐτὰ σημεῖα δεικνυόντων ἅπερ αἰεὶ τοῖσιν πρόσθεν. καὶ τὰς μετεπιδέσιας, ὡσαύτως χρὴ ποιέεσθαι. ὑγιέες δὲ τελέως οὗτοι γίνονται ἐν τεσσαράκοντα ἡμέρῃσι μάλιστα, ἢν τολμέωσι κατακεῖσθαι. ἢν δὲ μή, πάσχουσι ταῦτα ἃ καὶ πρότερον καὶ αἰεὶ μᾶλλον. Ὅσοι δὲ πηδήσαντες ἀφ' ὑψηλοῦ τινὸς ἐστηρίξαντο τῇ πτέρνῃ ἰσχυρῶς. τουτέοισι διίστανται μὲν τὰ ὀστέα. φλέβια δ' ἐκχυμοῦνται ἀμφιφλασθείσης τῆς σαρκὸς ἀμφὶ τὸ ὀστέον. οἴδημα δ' ἐπιγίνεται καὶ πόνος πουλύς. τὸ γὰρ ὀστέον τοῦτο, οὐ σμικρόν ἐστιν, καὶ ὑπερέχει μὲν ὑπὸ τὴν ἰθυωρίην τῆς κνήμης. κοινωνέει δὲ φλεψὶ καὶ νεύροις ἐπικαίροισιν. ὁ τένων δὲ ὁ ὄπισθιος τούτῳ προσήρτηται τῷ ὀστέῳ. τούτους χρὴ ἰητρεύειν μὲν κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισιν. ὕδατι δὲ θερμῷ, πλείστῳ τουτέοισι χρῆσθαι, καὶ ὀθονίοισι πλείοσιν. αἰεὶ τουτέοισι δεῖ καὶ ἄλλως ὡς βελτίστων, καὶ προσηνεστάτων. καὶ ἢν μὲν τύχῃ ἁπαλὸν τὸ δέρμα φύσει ἔχον τὸ ἀμφὶ τὴν πτέρνην, ἐᾶν οὕτως. ἢν δὲ παχὺ καὶ σκληρὸν οἷα μετεξέτεροι ἴσχουσιν, καταταμνέειν χρὴ ὁμαλῶς καὶ διαλεπτύνειν μὴ διατιτρώσκοντα. ἐπιδεῖν δὲ ἀγαθῶς, οὐ παντὸς ἀνδρὸς ἐστὶ τὰ τοιαῦτα. ἢν γάρ τις ἐπιδέῃ ὥσπερ καὶ τἄλλα τὰ κατὰ τὰ σφυρὰ ἐπιδεῖται, ὁτὲ μὲν περὶ τὸν πόδα περιβαλλόμενος. ὁτὲ δὲ περὶ τὸν τένοντα, αἱ ἀποσφίγξιες αὗται χωρίζουσι τὴν πτέρνην, ᾗ τὸ φλάσμα ἐγένετο. καὶ οὕτω κίνδυνος σφακελίσαι τὸ ὀστέον τῆς πτέρνης. καί τοι ἢν σφακελίσῃ τὸν αἰῶνα ταῦτα ἱκανὸν ἀντισχεῖν τὸ νόσημα. καὶ γὰρ τἄλλα ὅσα μὴ ἐκ τοιούτου τρόπου σφακελίζει, ἀλλ' ἐν κατακλίσει μελανθείσης τῆς πτέρνης ὑπὸ ἀμελείης τοῦ σχήματος. ἢ ἐν κνήμῃ τρώματος γινομένου, ἐπικαίρου καὶ χρονίου, καὶ κοινοῦ τῇ πτέρνῃ. ἢ ἐν μηρῷ. ἢ αἰεὶ ἄλλῳ νοσήματι ὑπτιασμοῦ χρονίου γινομένου. ὅμως καὶ τοῖσι τοιούτοισι χρόνια καὶ ὀχλώδεα, καὶ πολλάκις ἀναρρηγνύμενα, ἢν μὴ χρηστῇ μετὰ μελέτῃ θεραπευθῇ. πολλῇ δ' ἡσυχίῃ, ὡς τάγ' ἐκ τοῦ τοιούτου τρόπου σφακελίζοντα κινδύνους μεγάλους τῷ σώματι παρέχει πρὸς τῇ ἄλλῃ λύμῃ. καὶ γὰρ πυρετοὶ ὑπεροξέες. ξυνεχέες. τρομώδεες. λυγγώδεες. γνώμης ἁπτόμενοι. καὶ ὀλιγήμεροι, κτείνοντές τε. γένοιτο δ' ἂν καὶ φλεβῶν αἱμορρόων, πελιώσιες. ναυσιώδεες καὶ γαγγραινώσιες ὑπὸ τῆς πιέξιος. γένοιτο δ' ἂν ταῦτα ἔξω τοῦ ἄλλου σφακελισμοῦ. ταῦτα μὲν οὖν εἴρηται, οἷα τὰ ἰσχυρότατα θλάσματα γίνεται.

ταῦτα μέντοι πλεῖστα ἡσυχαίως ἀμφιβάλλεται, καὶ οὐδὲ μὴν πολλὴ σπουδὴ τῆς μελέτης, ἀλλ' ὅμως ὀρθῶς γε χρὴ χειρίζειν. ἐπὴν μέντοι ἰσχυρὸν δόξῃ εἶναι τὸ ἔρεισμα, τά τε εἰρημένα ποιέειν χρὴ καὶ τὴν ἐπίδεσιν τὴν πλείστην ποιέεσθαι ἀμφὶ τὴν πτέρναν περιβάλλοντα. ἄλλοτε πρὸς τὰ ἄκρα τοῦ ποδὸς ἀντιπεριβάλλοντα. ἄλλοτε πρὸς τὰ μέσα. ἄλλοτε πρὸς τὰ περὶ τὴν κνήμην. προσεπιδεῖν δὲ καὶ τὰ πλησίον πάντα καὶ ἔνθεν καὶ ἔνθεν, ὥσπερ καὶ πρόσθεν εἴρηται. καὶ ἰσχυρὴν μὲν μὴ ποιέεσθαι τὴν πίεξιν, πολλοῖσι τοῖς ὀθονίοισιν· ἄμεινον δὲ καὶ ἐλλέβορον πιπίσκειν αὐθημερὸν ἢ τῇ ὑστεραίῃ. ἀπολῦσαι δὲ τριταῖον καὶ αὖθις μετεπιδῆσαι. σημεῖα δὲ τάδε ἢν παλιγκοτέειν, ἢν οὔ. ἐπὴν μὲν τὰ ἐκχυμώματα τῶν φλεβῶν καὶ τὰ πελιάσματα, καὶ τὰ ἐγγὺς ἐκείνων ὑπέρυθρα γένηται καὶ ὑπόσκληρα, κίνδυνος παλιγκοτῆσαι. ἀλλ' ἢν μὲν ἀπύρετος ᾖ, φαρμακεύειν, ὥσπερ εἴρηται. καὶ ὅσα μὴ ξυνεχῶς πυρεταίνηται. ἢν δὲ ξυνεχῶς πυρεταίνηται, μὴ φαρμακεύειν. ἀπέχειν δὲ σιτίων καὶ ῥοφημάτων. ποτῷ δὲ χρῆσθαι ὕδατι καὶ μὴ οἴνῳ. ἀλλὰ ὀξυγλυκεῖ. ἢν δὲ μὴ μέλλῃ παλιγκοτέειν, τὰ ἐκχυμώματα καὶ τὰ πελιάσματα, καὶ τὰ περιέχοντα ὑπόχλωρα γίνεται καὶ μὴ σκληρά. ἀγαθὸν γὰρ τὸ μαρτύριον ἐν πᾶσιν ἐκχυμώμασι, τοῖσι μὴ μέλλουσι παλιγκοτέειν. ὅσοισι δὲ σὺν σκληρύσμασι πελιοῦ κίνδυνος, ἢ μελανθῆναι. τὸν δὲ πόδα ἐπιτηδείως χρὴ, ὅκως ἀνωτέρω τοῦ ἄλλου σώματος ἔσται τὰ πλεῖστα ὀλίγον. ὑγιὴς δ' ἂν γένοιτο ἐν ἑξήκοντα ἡμέρῃσιν εἰ ἀτρεμέοι.

Ἡ δὲ κνήμη δύο ὀστέα ἐστί· τῇ μὲν, συχνῷ λεπτότερον τὸ ἕτερον τοῦ ἑτέρου. τῇ δὲ, οὐ πολλῷ λεπτότερον. ξυνέχεται δὲ ἀλλήλοισι τὰ πρὸς τοῦ ποδὸς, καὶ ἐπίφυσιν κοινὴν ἔχει. ἐν δὲ τῇ ἰθυωρίῃ τῆς κνήμης οὐ ξυνέχεται. τὰ δὲ πρὸς τοῦ μηροῦ ξυνέχεται, καὶ ἐπίφυσιν ἔχει. καὶ ἡ ἐπίφυσις διάφυσιν. μακρότερον δὲ τὸ ἕτερον ὀστέον σμικρῷ τὸ κατὰ τὸν σμικρὸν δάκτυλον. ἡ μὲν φύσις τοιαύτη τῶν ὀστέων τῶν ἐν τῇ κνήμῃ. ὀλισθαίνει δὲ ἔστιν ὅτε τὰ πρὸς τοῦ ποδός. ὅτε μὲν ξὺν τῇ ἐπιφύσει ἀμφότερα τὰ ὀστέα. ὅτε δὲ ἡ ἐπίφυσις ἐκινήθη. ὅτε δὲ τὸ ἕτερον ὀστέον. ταῦτα δὲ ὀχλώδεα μὲν ἧσσον, ἢ τὰ ἐν τῷ καρπῷ τῶν χειρέων, εἰ τολμῷεν ἀτρεμέειν οἱ ἄνθρωποι. ἴησις δὲ παραπλησίη, οἵηπερ ἐκείνῳ. τήν τε γὰρ ἐμβολὴν χρὴ ποιέεσθαι ἐκ κατατάσιος ὥσπερ ἐκείνων. ἰσχυροτέρης δὲ δεῖται τῆς κατατάσιος, ὅσῳ ἰσχυρότερον τὸ σῶμα ταύτῃ. ἐς τὰ πλεῖστα μὲν γὰρ ἀρκέοισιν ἄνδρες δύο. ὁ μὲν, ἔνθεν. ὁ δὲ, ἔνθεν κατατείνοντες. ἢν δὲ μὴ ἰσχύωσιν, ἰσχυροτέρην ῥηΐδιόν ἐστι ποιέειν τὴν κατάτασιν. ἢ γὰρ πλήμνην κατορύξαντα χρὴ, ἢ ἄλλο τι ὅτι τούτῳ ἔοικε, μαλθακόν τι περὶ τὸν πόδα περιβάλλειν. ἔπειτα πλατέσι βοείοισιν ἱμᾶσι περιδήσαντα τὸν πόδα τὰς ἀρχὰς τῶν ἱμάντων ἢ πρὸς ὕπερον, ἢ πρὸς ἕτερον ξύλον προσδήσαντας τὸ ξύλον πρὸς τὴν πλήμνην ἄκρην ἐνθέντα ἀνακλᾶν. τοὺς δὲ ἀντιτείνειν, ἀνωθέοντα τῶν ὤμων ἐχομένους καὶ τῆς ἰγνύης. ἔστι δὲ καὶ τὸ ἄνω σώματος ἀνάγκην προσλαβεῖν. ἢν μὲν βούλῃ, ξύλον στρογγύλον λεῖον κατορύξας βαθέως, μέρος τι αὐτοῦ ὑπερέχον τοῦ ξύλου μεσηγὺ τῶν σκελέων ποιήσασθαι παρὰ τὸν περίνεον ὡς κωλύει ἀκολουθέειν τὸ σῶμα τοῖσι πρὸς ποδῶν τείνουσιν. ἔπειτα πρὸς τὸ τεινόμενον σκέλος μὴ ἐξέπειν. τὸν δέ τινα πλάγιον παρακαθήμενον ἀπωθέειν τὸ γλουτὸν ὡς μὴ περιέλκηται τὸ σῶμα. ἢν δὲ καὶ ἢν περὶ τὰς μασχάλας ἔνθεν καὶ ἔνθεν τὰ ξύλα παραπεπηγῇ. αἱ δὲ χεῖρες παρατεταμέναι φυλάσσονται. προσεπιλαμβανέτω δέ τις κατὰ γόνυ, καὶ οὕτως ἀντιτείνοιτο. ἢν δ' ἢν παρὰ τὸ γόνυ βούληται ἄλλους ἱμάντας περιδήσας ἢ περὶ τὸν μηρὸν πλήμνην ἄλλην ὑπὲρ κεφαλῆς κατορύξας, ἐξαρτήσας τε τοὺς ἱμάντας ἔκ τινος ξύλου τὸ ξύλον στηρίζων ἐς τὴν πλήμνην, τἀναντία τῶν πρὸς ποδῶν ἕλκειν. ἢν δ' ἢν βούλῃ ἀντὶ τῶν πλημνέων δοκίδα ὑποτείνας ὑπὸ τὴν κλίνην μετεῖναι. ἔπειτα πρὸς τῆς δοκίδος, ἔνθεν καὶ ἔνθεν τὴν κεφαλὴν στηρίζων καὶ ἀνακλῶν τὰ ξύλα κατατείνειν τοὺς ἱμάντας. ἢν δὲ θέλῃς, ὀνίσκους καταστήσας ἔνθεν καὶ ἔνθεν ἐπ' ἐκείνων τὴν κατάτασιν ποιέεσθαι. πολλοὶ δὲ καὶ ἄλλοι τρόποι κατατασίων. ἄριστον δὲ ὅστις ἐν πόλει μεγάλῃ ἰητρεύει κεκτῆσθαι ἐσκευασμένον ξύλον ἐν ᾧ πᾶσαι ἀνάγκαι ἔσονται. πάντων μὲν καταγμάτων, πάντων δὲ ἄρθρων ἐμβολῆς ἐκ κατατάσιος καὶ μοχλεύσιος. ἀρκέει δὲ τὸ ξύλον ἢν ᾖ τοιοῦτον. οἷοι οἱ τετράγωνοι στύλοι οἱ δρύϊνοι γίνονται μῆκος καὶ πλάτος καὶ πάχος. ἐπὴν δὲ ἱκανῶς κατατανύσῃς, ῥηΐδιον ἤδη τὸ ἄρθρον ἐμβαλεῖν. ὑπεραιωρέεται γὰρ ἐς ἰθυωρίην ὑπὲρ τῆς ἀρχαίης ἕδρης. κατορθοῦσθαι οὖν χρὴ τοῖσι θέναρσι τῶν χειρῶν, τοῖσι δὲ ἐς τὸ ἐξεστηκὸς ἐρείδοντα. τοῖσι δὲ ἐπὶ θάτερα κατωτέρω τοῦ σφυροῦ ἀντερείδοντα. ἐπὴν δ' ἐμβάλῃς. ἢν μὲν οἷόν τε ἐν κατατεταμένῳ ἐπιδεῖν χρή. ἢν δὲ κωλύηται ὑπὸ τῶν ἱμάντων, ἐκείνους λύσαντα ἀντικατατείνειν ἐς ἂν ἐπιδήσῃς. ἐπιδεῖν δὲ τὸν αὐτὸν τρόπον καὶ τὰς ἀρχὰς ὡσαύτως βαλλόμενον κατὰ τὸ ἐξεστηκὸς, καὶ τὰς περιβολὰς τὰς πρώτας πλείστας κατὰ τοῦτο ποιέεσθαι. καὶ τοὺς σπλῆνας πλείστους κατὰ τοῦτο. καὶ τὴν πίεξιν μάλιστα κατὰ τοῦτο. προσεπιδεῖν δὲ καὶ ἔνθεν καὶ ἔνθεν ἐπὶ συχνόν. μᾶλλον δέ τι τοῦτο τὸ ἄρθρον πεπιέχθαι χρὴ ἐν τῇ πρώτῃ ἐπιδέσει ἢ τὸ ἐν τῇ χειρί. ἐπὴν δὲ ἐπιδήσῃς. ἀνωτέρω μὲν τοῦ ἄλλου σώματος ἐχέτω τὸ ἐπιδεθέν. τὴν δὲ θέσιν δεῖ ποιήσασθαι, οὕτω δὲ, ὅκως ἥκιστα ἀπαιωρηθήσεται ὁ πούς. τὸν δὲ ἰσχνασμὸν τοῦ σώματος οὕτως ποιέεσθαι, ὁκοίην τινὰ δύναμιν ἔχει καὶ τὸ ὀλίσθημα, τὰ μὲν γὰρ σμικρόν. τὰ δὲ μέγα ὀλισθαίνει.

τὸ ἐπίπαν δεῖ ἰσχναίνειν μᾶλλον καὶ ἐπὶ πλείω χρόνον χρὴ ἐν τοῖσι κατὰ σκέλεα τρώμασιν, ἢ ἐν τοῖσι κατὰ χεῖρας. καὶ γὰρ μέζω καὶ παχύτερα ταῦτα ἐκείνων. καὶ δὴ καὶ ἀναγκαῖον ἐλιννύειν τὸ σῶμα καὶ κατακεῖσθαι. μετεπιδήσας δὲ τὸ ἄρθρον, οὔτε τι κωλύει τριταῖον, οὔτε κατεπείγει. καὶ τὰ ἄλλα πάντα παραπλησίως χρὴ ἰητρεύειν, ὥσπερ καὶ τὰ παροιχόμενα. καὶ ἢν μὲν ἀτρέμα κατακεῖσθαι ἱκαναὶ τεσσαράκοντα ἡμέραι, ἢν μοῦνον ἐς τὴν ἑωυτῶν χώρην τὰ ὀστέα αὖθις καθίζηται. ἢν δὲ μὴ θέλῃ ἀτρεμέειν, χρῷτο μὲν ἂν οὐ ῥᾳδίως τῷ σκέλει, ἐπιδεῖσθαι δὲ ἀναγκάζοιτ' ἂν πολὺν χρόνον. ὁκόσα μέντοι τῶν ὀστέων μὴ τελέως ἵζει ἐς τὴν ἑωυτῶν χώρην, ἀλλά τι ἐπιλείπει, τῷ χρόνῳ λεπτύνεται ἰσχίον καὶ μηρὸς καὶ κνήμη. καὶ ἢν μὲν εἴσω ὀλισθῇ, τὸ ἔξω μέρος λεπτύνεται. ἢν δὲ ἔξω, τὸ εἴσω. τὰ πλεῖστα δὲ ἐς τὸ εἴσω ὀλισθαίνει. ἐπὴν δὲ κνήμης ὀστέα ἀμφότερα καταγῇ ἄνευ ἑλκώσιος, κατατάσιος ἰσχυροτέρης δεῖται. τείνειν δὲ τουτέων τῶν τρόπων ἐνίοισι τῶν προειρημένων τισί. ἢν μεγάλαι αἱ παραλλάξιες ἔωσιν, ἱκαναὶ δὲ καὶ αἱ ἀπὸ τῶν ἀνδρῶν κατατάσιες. τὰ πλεῖστα γὰρ ἀρκέοιεν ἂν δύο ἄνδρες ἐρρωμένοι, ὁ μὲν ἔνθεν. ὁ δ' ἔνθεν ἀντιτείνοντες. τείνειν δὲ ἐς τὸ ἰθὺ χρὴ κατὰ φύσιν, καὶ κατὰ τὴν ἰθυωρίην τῆς κνήμης καὶ τοῦ μηροῦ. καὶ ἢν κνήμης ὀστέα κατεηγότα κατατείνῃς, καὶ ἢν μηροῦ. καὶ ἐπιδεῖν δὲ οὕτως ἐκτεταμένων ἀμφοτέρων ὁκότερον ἂν τουτέων ἐπιδέῃς, οὐ γὰρ ταὐτὰ ξυμφέρει σκέλει τε καὶ χειρί. πήχεος μὲν γὰρ καὶ βραχίονος ἐπὴν ἐπιδεθῶσι ὀστέα κατεηγότα, ἀναλαμβάνεται ἡ χείρ. καὶ ἢν ἐκτεταμένα ἐπιδέῃς τὰ σχήματα τῶν σαρκῶν ἑτεροιοῦται ἐν τῇ ξυγκάμψει τοῦ ἀγκῶνος. ἀδύνατος γὰρ ὁ ἀγκὼν ἐκτετάσθαι πολὺν χρόνον. οὐ γὰρ πολλάκις ἐν τοιούτῳ ἔθισται, ἀλλ' ἐν τῷ ξυγκεκάμφθαι. καὶ δὴ καὶ ἅτε δυνάμενοι οἱ ἄνθρωποι περιϊέναι, ἐπὴν κατὰ χεῖρα τρωθῶσι ξυγκεκάμφθαι κατὰ τὸν ἀγκῶνα δέονται. σκέλος δὲ ἔν τε τῇσιν ὁδοιπορίῃσιν, καὶ ἐν τῷ ἑστάναι ἔθισται. ὅτε μὲν, ἐκτετάσθαι. ὅτε δὲ, μικροῦ δεῖν ἐκτετάσθαι ἐς τὸ κάτω κατὰ φύσιν. καὶ δὴ καὶ πρὸς τὸ ὀχέειν τὸ ἄλλο σῶμα διὰ τοῦτο εὔφορον αὐτῷ ἐστὶν τὸ ἐκτετάσθαι, ὅταν ἀνάγειν ἔχῃ, καὶ δὴ καὶ ἐν τῇσι κοίτῃσι πολλάκις ἐν τῷ σχήματι τουτέῳ ἐστὶν ἐν τῷ ἐκτετάσθαι. ἐπὴν δὲ δὴ τρωθῇ, ἀνάγκη καταδουλοῦται τὴν γνώμην ὅτι ἀδύνατοι μετεωρίζεσθαι γίνονται. ὥστε οὐδὲ μέμνηνται περὶ τοῦ συγκαμφθῆναι, καὶ ἀναστῆναι, ἀλλὰ ἀτρεμέωσιν ἐν τουτέῳ τῷ σχήματι κείμενοι. διὰ οὖν ταύτας τὰς προφάσιας χειρὸς καὶ σκέλεος, οὔτε ἡ κατάτασις οὔτε ἡ ἐπίδεσις τοῦ σχήματος ξυμφέρει αὐτῇ. ἢν μὲν οὖν ἱκανὴ ἡ κατάτασις ἡ ἀπὸ τῶν ἀνδρῶν ᾖ, οὐδὲν δεῖ μάτην πονέεσθαι. καὶ γὰρ σολοικότερον μηχανοποιέειν μηδὲν δέον. ἢν δὲ μὴ ἱκανὴ ἡ κατάτασις ἡ ἀπὸ τῶν ἀνδρῶν καὶ ἄλλων τινὰ τῶν ἀναγκαίων προσφέρειν ἢν τινά γε προσχωρέῃ. ὅταν δὲ δὴ ἱκανῶς κατατανθῇ ῥηΐδιον ἤδη κατορθοῦσθαι τὰ ὀστέα καὶ ἐς τὴν φύσιν ἀγαγεῖν τοῖσι θέναρσι τῶν χειρέων ἀπευθύνοντα καὶ διευκρινέοντα. ἐπὴν δὲ κατορθώσῃ, ἐπιδεῖν τοῖσιν ὀθονίοισιν κατατεταμένα. ἢν τ' ἐπὶ δεξιά. ἢν τ' ἐπ' ἀριστερὰ περιφέρει αὐτέοισιν τὰ πρῶτα ὀθόνια. βαλλέσθω δὲ τὴν ἀρχὴν κατὰ τὸ κάτηγμα. καὶ περιβαλλέσθω κατὰ τοῦτο τὰς πρώτας περιβολάς. κἄπειτα νεμέσθω ἐπὶ τὴν ἄνω κνήμην ἐπιδέων, ὥσπερ ἐπὶ τοῖσιν ἄλλοισι κατήγμασιν εἴρηται. τὰ δὲ ὀθόνια πλατύτερα χρὴ εἶναι καὶ μακρότερα καὶ πλέω πολὺ αὐτὰ κατὰ τὸ σκέλος τῶν ἐν τῇ χειρί. ἐπὴν δ' ἐπιδέῃς καταθεῖναι ἐφ' ὁμαλοῦ τινος καὶ μαλθακοῦ, ὥστε μὴ διεστράφθαι, ἢ τῇ, ἢ τῇ, μήτε λορδὸν, μήτε κυφὸν εἶναι. μάλιστα δὲ ξυμφέρει προσκεφάλαιον, ἢ λινέον, ἢ ἐρίνεον μὴ σκληρὸν λαπαρὸν μέσον κατὰ μῆκος ποιήσαντα ὑποθεῖναι, ἢ ἄλλο τι, ὃ τούτῳ ἔοικεν. περὶ δὲ τῶν σωλήνων τῶν ὑποτιθεμένων ὑπὸ τὰ σκέλεα τὰ κατεηγότα ἀπορέω ὅτι ξυμβουλεύσω, ἢ ὑποτιθέναι χρὴ ἢ οὔ. ὠφελέουσι μὲν γὰρ, οὐχ ὅσον δὲ οἱ ὑποτιθέντες οἴονται. οὐ γὰρ ἀναγκάζουσιν οἱ σωλῆνες ἀτρεμέειν, ὡς οἴονται. οὔτε γὰρ τῷ ἄλλῳ σώματι στρεφομένῳ, ἢ ἔνθα, ἢ ἔνθα ἐπαναγκάζει ὁ σωλὴν μὴ ἐπακολουθέειν τὸ σκέλος, ἢν μὴ ἐπιμελέηται αὐτὸς ὥνθρωπος. οὔτε αὖ τὸ σκέλος ἄνευ τοῦ σώματος κωλύει ὁ σωλὴν κινηθῆναι, ἢ τῇ ἢ τῇ, ἀλλὰ μὴν ἀτερπέστερον ξύλον ὑποτετάσθαι, ἢν μὴ ὁμῶς ἄν τις μαλθακόν τι ἐς αὐτὸ ἐντεθῇ, ἀχρηστότατον δὲ ἐστὶν ἐν τῇσι μεθυποστρώσεσιν, καὶ ἐν τῇσιν ἐς ἄφοδον προχωρήσεσιν. ἔστιν οὖν σὺν σωλῆνι καὶ ἄνευ σωλῆνος καὶ καλῶς καὶ αἰσχρῶς κατασκευάσασθαι. πιθανώτερον δὲ τοῖσι δημότῃσιν ἐστὶν, καὶ τὸν ἰατρὸν ἀναμαρτητότερον εἶναι, ἢν σωλὴν ὑποκέηται, καίτοι ἀτεχνέστερόν γε ἐστίν. δεῖ μὲν γὰρ ἐφ' ὁμαλοῦ καὶ μαλθακοῦ κεῖσθαι πάντῃ πάντως ἐς ἰθύ. ἐπεί τοι γε ἀνάγκη κρατηθῆναι τὴν ἐπίδεσιν ὑπὸ τῆς διαστροφῆς τῆς ἐν τῇ διαθέσει, ὅποι ἂν ῥέπῃ, καὶ ὁκόσον ἂν ῥέπῃ. ὑποκρινέσθω δὲ ὁ ὑποδεδεμένος ταῦτα, ἅπερ καὶ πρότερον εἴρηται. καὶ γὰρ τὴν ἐπίδεσιν χρὴ τοιαύτην εἶναι. καὶ τὸ οἴδημα οὕτως ἐξαείρεσθαι ἐς τὰ ἄκρα, καὶ τὰς χαλάσιας οὕτως, καὶ τὰς μετεπιδέσιας διὰ τρίτης, καὶ εὑρισκέσθω ἰσχνότερον τὸ ἐπιδεόμενον, καὶ τὰς ἐπιδέσιας ἐπὶ μᾶλλον ποιέεσθαι, καὶ πλέοσι τοῖσιν ὀθονίοισιν περιλαμβάνειν τε καὶ τὸν πόδα χαλαρῶς, ἢν μὴ ἄγαν ἐγγὺς ᾖ τοῦ γόνατος τὸ τρῶμα. κατατείνειν δὲ μετρίως καὶ ἐπικατορθοῦν ἐφ' ἑκάστῃ ἐπιδέσει χρὴ τὰ ὀστέα. ἢν γὰρ ὀρθῶς μὲν ἰητρεύηται, κατὰ λόγον δὲ τὸ οἴδημα χωρέῃ, ἐπὶ μὲν λεπτότερον καὶ ἰσχνότερον τὸ ἐπιδεόμενον χωρίον ἔσται, ἐπὶ δὲ αὖ παραχαλαρώτερα τὰ ὀστέα, ἀνέχονται δὲ τῆς κατατάσιος μᾶλλον. ἐπὴν δὲ ἑβδομαῖος ἢ ἐνναταῖος ἢ ἑνδεκαταῖος γένηται, τοὺς νάρθηκας προστιθέναι, ὥσπερ καὶ ἐπὶ τοῖς ἄλλοισι κατήγμασιν εἴρηται. τῶν

δὲ ναρθήκων τὰς ἐνέδρας χρὴ φυλάττεσθαι κατά τε τῶν σφυρῶν τὴν ἴξιν, καὶ κατὰ τὰ τένοντα τὰ ἐν τῇ κνήμῃ τοῦ ποδός. ὀστέα δὲ κνήμης κρατύνεται ἐν τεσσαράκοντα ἡμέρῃσιν ἢν ὀρθῶς ἰητρεύηται. ἢν δ᾽ ὑποπτεύῃς τῶν ὀστέων τι δεῖσθαί τινος διορθώσιος, ἢ τινὰ ἑλκώσιν ὀρρωδέῃς ἐν τῷ μεσηγὺ χρόνῳ, χρὴ λύσαντα καὶ εὐθετησάμενον μετεπιδῆσαι. ἢν δὲ τὸ ἕτερον ὀστέον κατεαγῇ ἐν κνήμῃ, κατατάσιος μὲν ἀσθενεστέρης δεῖται, ἀτὰρ οὐδὲ ἐλλείπειν χρὴ, οὐδὲ βλακεύειν ἐν τῇ κατατάσει. μάλιστα μὲν ἐν τῇ πρώτῃ ἐπιδέσει κατατείνεσθαι ὅσον ἐφικνέεται αἰεί ποτε πάντα τὰ κατήγματα, εἰ δὲ μὴ ὡς τάχιστα. ὅτι γὰρ ἂν μὴ κατὰ τρόπον εὐθετισμένων τῶν ὀστέων ἐπιδέων τις πιέζῃ, ὀδυνηρότερον τὸ χωρίον γίνεται. ἡ δὲ ἄλλη ἴησις ἡ αὐτή. τῶν δὲ ὀστέων τὸ μὲν ἔσω τοῦ ἀντικνημίου καλεόμενον ὀχλωδέστερον ἐν τῇ ἰήσει ἐστὶν, καὶ κατατάσιος μᾶλλον δεόμενον, καὶ ἢν μὴ ὀρθῶς τὰ ὀστέα τεθῇ, ἀδύνατον κρύψαι. φανερὸν γὰρ καὶ ἄσαρκον πᾶν ἐστὶν, καὶ ἐπιβαίνειν ἐπὶ τὸ σκέλος πολλῷ βραδύτερον δύναται αὐτοῦ τουτέου κατεηγότος. ἢν δὲ τὸ ἔξω ὀστέον κατεηγῇ, πουλὺ μὲν εὐφορώτερον φέρουσι, πουλὺ δ᾽ εὐκρυπτότερον. καὶ ἢν μὴ καλῶς ξυντεθῇ, ἐπίσαρκον γάρ ἐστιν, ἐπὶ πόδας τε ταχέως ἵστανται. τὸ πλεῖστον γὰρ τοῦ ἄχθεος ὀχέει τὸ ἔσωθεν τοῦ ἀντικνημίου ὀστέον. ἅμα μὲν γὰρ αὐτῷ σκέλει καὶ τῇ ἰθυωρίῃ τοῦ ἄχθεος, τὸ κατὰ τὸ σκέλος, τὸ πλεῖον ἔχει τοῦ πόνου τὸ ἔσω ὀστέον. τοῦ γὰρ μηροῦ ἡ κεφαλὴ ὑπερέχει τὸ ὕπερθεν τοῦ σώματος, αὕτη δὲ ἔσωθεν πέφυκε τοῦ σκέλεος, καὶ οὐκ ἔξωθεν, ἀλλὰ κατὰ τὴν τοῦ ἀντικνημίου ἴξιν. ἅμα δὲ τὸ ἄλλο ἥμισυ τοῦ σώματος γειτονεύεται ταύτῃ μᾶλλον τῇ ἴξει ἀλλ᾽ οὐχὶ τῇ ἔσωθεν. ἅμα δὲ ὅτι παχύτερον τὸ ἔσω τοῦ ἔξωθεν. ὥσπερ καὶ τὸ ἐν τῷ πήχει τὸ κατὰ τὴν τοῦ μικροῦ δακτύλου ἴξιν λεπτότερον καὶ μακρότερον. ἐν μέντοι τῷ ἄρθρῳ τῷ κάτω οὐχ ὁμοίη ἡ ὑπόστασις τοῦ ὀστέου τοῦ μακροτέρου. ἀνομοίως γὰρ ὁ ἀγκών τε καὶ ἡ ἰγνύη κάμπτεται. διὰ οὖν ταύτας τὰς προφάσιας τοῦ μὲν ἔξωθεν ὀστέου κατεαγέντος, ταχεῖαι αἱ ἐπιβάσιες. τοῦ δὲ ἔσωθεν κατεαγέντος, βραδεῖαι αἱ ἐπιβάσιες. Ἢν δὲ τὸ τοῦ μηροῦ ὀστέον κατεαγῇ, τὴν κατάτασιν χρὴ ποιέεσθαι περὶ παντὸς, ὅκως μὴ ἐνδεεστέρως σχήσει. πλεονασθεῖσα μὲν γὰρ οὐδὲν ἂν σίνοιτο, οὐδὲ γὰρ εἰ διεστεῶτα τὰ ὀστέα ὑπὸ τῆς ἰσχύος τῆς κατατάσιος ἐπιδέοι τις, οὐκ ἂν δύναιτο κρατέειν ἡ ἐπίδεσις, ὥς τε διεστάναι, ἀλλὰ συνέλθοι ἂν πρὸς ἄλληλα τὰ ὀστέα ὅτι τάχιστα ἂν ἀφίησιν οἱ τείνοντες. παχεῖαι γὰρ καὶ ἰσχυραὶ, αἱ σάρκες ἐοῦσαι, κρατήσουσι τῆς ἐπιδέσιος ἀλλ᾽ οὐ κρατηθήσονται. περὶ οὗ οὖν ὁ λόγος διατείνειν εὖ καὶ ἀδιαστρόφως χρὴ μηδὲν ἐπιλείποντα. μεγάλη γὰρ ἡ αἰσχύνη καὶ βλάβη βραχύτερον τὸν μηρὸν ἀποδεῖξαι. χεὶρ μὲν γὰρ βραχυτέρη γενομένη καὶ ξυγκρυφθείη ἂν, καὶ οὐ μέγα τὸ σφάλμα. σκέλος δὲ βραχύτερον γενόμενον χωλὸν ἀποδείξει τὸν ἄνθρωπον. τὸ γὰρ ὑγιὲς ἐλέγχει μακρότερον ἐόν. ὥς τε λυσιτελέει τὸν μέλλοντα κακῶς ἰητρεύεσθαι ἀμφότερα κατεαγῆναι τὰ σκέλεα μᾶλλον ἢ τὸ ἕτερον. ἰσόρροπος γοῦν ἂν εἴη αὐτὸς ἑωυτῷ. ἐπὴν μέντοι ἱκανῶς κατατανύσῃς κατορθωσάμενον χρὴ τοῖσι θέναρσι τῶν χειρῶν ἐπιδεῖν τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ πρόσθεν γέγραπται. καὶ τὰς ἀρχὰς βαλλόμενον, ὥσπερ εἴρηται. καὶ νεμόμενον ἐς τὸ ἄνω τῇ ἐπιδέσει, καὶ ὑποκρινέσθω ταῦτα ὥσπερ καὶ πρόσθεν. καὶ πονείτω κατ᾽ αὐτὰ καὶ ῥηιζέτω καὶ μετεπιδείσθω ὡσαύτως. καὶ ναρθήκων πρόσθεσις ἡ αὐτή. κρατύνεται δὲ μηρὸς ἐν πεντήκοντα ἡμέρῃσιν. προσξυνιέναι δὲ χρὴ καὶ τόδε. ὅτι μηρὸς γαῦσός ἐστιν ἐς τὸ ἔξω μέρος, ἢ ἐς τὸ ἔσω. καὶ ἐς τὸ ἔμπροσθεν μᾶλλον, ἢ ἐς τοὔπισθεν. ἐς ταῦτα τοίνυν τὰ μέρεα καὶ διαστρέφεται ἐπὴν μὴ καλῶς ἰητρεύηται. καὶ δὴ καὶ κατὰ ταῦτα ἀσαρκότερος αὐτὸς ἑωυτοῦ ἐστιν. ὥς τε οὐδὲ ξυγκρύπτειν δύναται ἐν τῇ διαστροφῇ. ἢν οὖν τι τοιοῦτον ὑποπτεύῃς, μηχανοποιέεσθαι χρὴ οἷα περ ἐν τῷ βραχίονι τῷ διαστρεφομένῳ παρῄνηται. προσπεριβάλλειν δὲ χρὴ ὀλίγα τῶν ὀθονίων κύκλῳ ἀμφὶ τὸ ἰσχίον, καὶ τὰς ἰξύας, ὅκως ἂν οἱ βουβῶνές τε καὶ τὸ ἄρθρον τὸ κατὰ τὴν πληχάδα καλεομένην προσεπιδῆται. καὶ γὰρ ἄλλως ξυμφέρει καὶ ὅκως μὴ τὰ ἄκρεα τῶν ναρθήκων σίνηται πρὸς τὰ ἀνεπίδετα προσβαλλόμενα. ἀπολείπειν δὲ χρὴ ἀπὸ τοῦ γυμνοῦ αἰεὶ τοὺς νάρθηκας, καὶ ἔνθεν καὶ ἔνθεν ἱκανόν. καὶ τὴν θέσιν αἰεὶ τῶν ναρθήκων προμυθέεσθαι χρὴ, ὅκως μήτε κατὰ τὸ ὀστέον τῶν ὑπερεχόντων παρὰ τὰ ἄρθρα φύσει πεφυκότων, μήτε κατὰ τὸ ἄρθρον νεῦρον ἔσται. τὰ δὲ οἰδήματα κατ᾽ ἰγνύην, ἢ κατὰ πόδα, ἢ κατά τι ἄλλο ὑπαειρόμενα ὑπὸ τῆς πιέξιος εἰρίοισι πολλοῖσι ῥυπαροῖσιν εὐκατεργασμένοις, οἴνῳ καὶ ἐλαίῳ ῥαίνας, κηρωτῇ ὑποχρίων καταδεῖν. καὶ ἢν πιέζωσιν οἱ νάρθηκες χαλᾶν θᾶσσον. ἰσχναίνειν δ᾽ ἂν εἰ ἐπάνω ἐς τοὺς νάρθηκας ὀθονίοισιν ἰσχνοῖσιν ἐπιδέοις τὰ οἰδήματα ἀρξάμενος ἀπὸ τοῦ κατωτάτω ἐπὶ τὸ ἄνω νεμόμενος. οὕτω γὰρ ἂν τάχιστα ἰσχνὸν τὸ οἴδημα γένοιτο. καὶ ὑπερθείη ὑπὲρ τὰ ἀρχαῖα ἐπιδέσματα. ἀλλ᾽ οὐ χρὴ τούτῳ τῷ τρόπῳ χρῆσθαι τῆς ἐπιδέσιος ἢν μὴ κίνδυνος ᾖ ἐν τῷ οἰδήματι φλυκταινώσιος ἢ μελασμοῦ. γίνεται δὲ οὐδὲν τοιοῦτο, ἢν μὴ ἄγαν τις πιέζῃ τὸ κάτηγμα, ἢ κατακεκραμμένον ἔχῃ, ἢ κνῆται τῇ χειρὶ, ἢ ἄλλο τι προσπίπτῃ ἐρεθιστικὸν πρὸς τὸν χρῶτα. σωλῆνα δὲ, εἰ μέν τις ὑπ᾽ αὐτὸν τὸν μηρὸν ὑποθείη, μὴ ὑπερβάλλοντα τὴν ἰγνύην, βλάπτοι ἂν μᾶλλον ἢ ὠφελέοι. οὔτε γὰρ ἂν τὸ σῶμα κωλύοι, οὔτε τὴν κνήμην ἄνευ τοῦ μηροῦ κινεῖσθαι. ἀσηρὸν γὰρ εἴη πρὸς τὴν ἰγνύην προσβαλλόμενον, καὶ ὃ ἥκιστα δεῖ τοῦτ᾽ ἂν ἐμποιοίη ποιέειν. ἥκιστα γὰρ δεῖ κατὰ τὸ γόνυ κάμπτειν. παίζειν γὰρ ἂν τύρβην παρέχοι τῇσιν ἐπιδέσεσιν, καὶ μηροῦ ἐπιδεδεμένου καὶ κνήμης ὅς τις

κατὰ τὸ γόνυ κάμπτοι ἀνάγκη ἂν εἴη ὑπὲρ τοὺς μῦας ἄλλοτε καὶ ἄλλοτε ἄλλο σχῆμα ἴσχειν. ἀνάγκη δ᾽ ἂν εἴη καὶ τὰ ὀστέα τὰ κατεηγότα κίνησιν ἔχειν. περὶ παντὸς οὖν ποιητέον τὴν ἰγνύην ἐντετάσθαι. δοκεῖ ἂν οὖν ὁμοίως ὁ σωλὴν ὁ περιέχων πρὸς τὸν πόδα ἀπὸ τοῦ ἰσχίου ὠφελέειν ὑποτιθέμενος. καὶ ἄλλως κατ᾽ ἰγνύην ταινίην χαλαρῶς περιβάλλειν ξὺν τῷ σωλῆνι. ὥσπερ τὰ παιδία ἐν τῇσι κοίτῃσι σπαργανοῦται. εἶτα ἐπὴν ὁ μηρὸς ἐς τὸ ἄνω διαστρέφοιτο, ἢ ἐς τὸ πλάγιον, δύναται ἐχεπώτερον εἴη ἂν ξὺν τῷ σωλῆνι οὕτως. ἢν οὖν διαμπερὲς εἴη ποιητέος ὁ σωλὴν ἢ οὐ ποιητέος. πτέρνης δὲ ἀκρῆς κάρτα χρὴ ἐπιμελέεσθαι ὡς εὐθέτως ἔχῃ, καὶ ἐν τοῖσι κατὰ κνήμην, καὶ ἐν τοῖσι κατὰ μηρὸν κατήγμασιν. ἢν μὲν γὰρ ἀπαιωρῆται ὁ ποὺς τῆς ἄλλης κνήμης ἠρτισμένης, ἀνάγκη κατὰ τὸ ἀντικνήμιον τὰ ὀστέα κυρτὰ φαίνεσθαι. ἢν δὲ ἡ μὲν πτέρνη ὑψηλοτέρη ᾖ τοῦ μετρίου ἠρτισμένη. ἡ δὲ ἄλλη κνήμη ὑπομετέωρος ᾖ, ἀνάγκη τῷ ὀστέῳ τούτῳ κατὰ τὸ ἀντικνήμιον ὑπὲρ κοιλότερον φανῆναι τοῦ μετρίου, προσέτι καὶ ἢν ἡ πτέρνη τυγχάνῃ ἐοῦσα τοῦ ἀνθρώπου φύσει μεγάλη. ἀτὰρ καὶ κρατύνεται πάντα τὰ ὀστέα βραδύτερον, ἢν μὴ κατὰ φύσιν κείμενα ᾖ. καὶ τὰ μὴ ἀτρεμέοντα ἐν τῷ αὐτέῳ σχήματι. καὶ αἱ πωρώσιες ἀσθενέστεραι. ταῦτα μὲν δὴ ὅσοισι τὰ μὲν ὀστέα κατεήγει. ὑπερέχει δὲ, μηδὲ ἄλλως ἕλκος ἐγένετο. οἷσι δὲ τὰ ὀστέα κατεήγει ἁπλῷ τρόπῳ, καὶ μὴ πουλυσχιδέα, αὐθήμερα ἐμβληθέντα ἢ τῇ ὑστεραίῃ κατὰ χώρην ἱζόμενα, καὶ μὴ ἐπίδοξος ἡ ἀπόστασις παραχίδων ὀστέων ἀπιέναι. ἢ καὶ οἷσιν ἕλκος μὲν ἐγένετο. τὰ δὲ ὀστέα κατεηγότα οὐχ ὑπερίσχει. οὐδ᾽ ὁ τρόπος τῆς κατήξιος τοιοῦτος, οἷος παραχίδας ὀστέων ἐούσας ἐπιδόξους εἶναι ἀναπλῶσαι τοὺς τοιούτους. οἱ μὲν μήτε μέγα ἀγαθὸν μήτε μέγα κακὸν ποιέοντες ἰητρεύουσι τὰ μὲν ἕλκεα καθαρτικῷ τινι ἢ πισσηρῇ ἐπιθέντες. ἢ ἐναίμῳ. ἢ ἄλλο τι ὧν εἰώθασιν ποιέειν. ἐπαινέω δὲ τοὺς οἰνηροὺς σπλῆνας ἢ εἴρια ῥυπαρὰ ὁκόσοι ἐπιδέουσιν. ἢ ἄλλο τι τοιοῦτον. ἐπὴν δὲ τὰ ἕλκεα καθαρὰ γένηται, καὶ ἤδη ξυμφύηται, τότε τοῖς ὀθονίοισιν συχνοῖσι πειρῶνται ἐπιδεῖν καὶ ναρθηξεῖν κατορθοῦν. αὕτη μὲν ἡ ἴησις ἀγαθὸν τι ποιεῖ. κακὸν δὲ οὐ μέγα. τὰ μέντοι ὀστέα οὐχ ὁμοίως δύναται ἱδρύεσθαι ἐς τὴν ἑωυτῶν χώρην, ἀλλὰ τινὶ ὀγκηρότερα τὰ σώματα τοῦ καιροῦ ταύτῃ γίνεται. γένοιτο δ᾽ ἂν καὶ βραχύτερα ὧν ἀμφότερα τὰ ὀστέα κατεήγει ἢ πήχεος, ἢ κνήμης. ἄλλοι δ᾽ αὖ τινες εἰσὶν οἱ ὀθονίοισιν τὰ τοιαῦτα ἰητρεύουσιν εὐθέως. καὶ ἔνθεν μὲν καὶ ἔνθεν ἐπιδέουσιν τοῖς ὀθονίοισιν. κατὰ δὲ τὸ ἕλκος αὐτὸ διαλείπουσιν καὶ ἐῶσιν ἀναψύχειν. ἔπειτα ἐπιτιθέασιν ἐπὶ τὸ ἕλκος τῶν καθαρτικῶν τι, καὶ σπλήνεσιν οἰνηροῖσιν, ἢ εἰρίοισιν ῥυπαροῖσι θεραπεύουσιν. αὕτη ἡ ἴησις κακή. καὶ εἰκὸς τοὺς οὕτως ἰητρεύοντας τὰ μέγιστα ἀσυνετέειν, καὶ ἐν τοῖσιν ἄλλοισι κατήγμασιν, καὶ ἐν τοῖσι τοιουτοισι. μέγιστον γάρ ἐστιν τὸ γινώσκειν καθ᾽ ὁποῖον τρόπον χρὴ τὴν ἀρχὴν βάλλεσθαι τοῦ ὀθονίου, καὶ καθ᾽ ὁποῖον μάλιστα πεπιέχθαι. καὶ οἷα τε ὠφελέονται, ἢν ὀρθῶς τις βάλληται τὴν ἀρχὴν καὶ πιέζῃ ᾗ μάλιστα χρὴ. καὶ οἷα βλάπτονται, ἢν μὴ ὀρθῶς τις βάλληται μηδὲ πιέζῃ ᾗ μάλιστα χρὴ, ἀλλὰ ἔνθεν καὶ ἔνθεν. εἴρηται μὲν οὖν καὶ ἐν τοῖσι πρόσθεν γεγραμμένοισιν ὁποῖα ἐφ᾽ ἑκατέρων ἀποβαίνει. μαρτυρεῖ δὲ καὶ αὐτὴ ἡ ἰητρική. ἀνάγκη γὰρ τῷ οὕτως ἐπιδεομένῳ τὸ οἶδος ὑπαείρεσθαι ἐς αὐτὸ τὸ ἕλκος. καὶ γὰρ εἰ ὑγιὴς χρὼς ἔνθεν καὶ ἔνθεν ἐπιδεθείη. ἐν μέσῳ δὲ διαλειφθῇ, μάλιστα κατὰ τὴν διάληψιν οἰδήσειεν ἂν, καὶ ἀχροιήσειεν. πῶς οὖν οὐχὶ ἕλκος γε ταῦτα ἂν πάθοι; ἀναγκαίως οὖν ἔχει ἄχροον μὲν καὶ ἐκπεπιεγμένον τὸ ἕλκος εἶναι. δακρυῶδες δὲ καὶ ἀνεκπύητον εἶναι. ὀστέα δὲ καὶ μὴ μέλλοντα ἀποστῆναι ἀποστατικὰ γίνεσθαι, σφυγμῶδές τε καὶ πυρετῶδες τὸ ἕλκος ἂν εἴη. ἀναγκάζονται δὲ διὰ τὸ οἶδος ἐπικαταπλάσσειν. ἀσύμφορον δὲ καὶ τοῦτο τοῖσιν ἔνθεν καὶ ἔνθεν ἐπιδεομένοισιν. ἄχθος γὰρ ἀνωφελὲς πρὸς τῷ ἄλλῳ σφυγμῷ ἐπιγίνεται. τελευτῶντες δὲ ἀπολύουσι τὰ ἐπιδέσματα, ὁπότ᾽ ἂν σφιν παλιγκοτέῃ. καὶ ἰητρεύουσι τὸ λοιπὸν ἄνευ ἐπιδέσιος. οὐδὲν δ᾽ ἧσσον, καὶ ἢν τι ἄλλο τρῶμα τοιοῦτο λάβωσι τῷ αὐτῷ τρόπῳ ἰητρεύουσιν. οὐ γὰρ οἴονται τὴν ἐπίδεσιν τὴν ἔνθεν καὶ ἔνθεν. καὶ τὴν ἀνάψυξιν τοῦ ἕλκεος αἰτίην, ἀλλ᾽ ἄλλην τινὰ ἀτυχίην. οὐ μέντοι γε ἂν ἔγραφον περὶ τουτέου τοσαῦτα, εἰ μὴ εὖ μὲν ᾔδειν ἀσύμφορον ἐοῦσαν τὴν ἐπίδεσιν. συχνοὺς δὲ οὕτως ἰητρεύοντας. ἐπίκαιρον δὲ τὸ ἀπομάθημα. μαρτύριον δὲ τοῦ ὀρθῶς γεγράφθαι τὰ πρόσθεν γεγραμμένα ἤτε μάλιστα πιεστέα τὰ κατήγματα, ἤτε ἥκιστα. χρὴ δὲ ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι, οἷσιν ἂν μὴ ἐπίδοξος ᾖ ἡ τῶν ὀστέων ἀπόστασις ἔσεσθαι, τὴν αὐτὴν ἰητρείην ἰητρεύειν. ὥσπερ ἂν οἷσιν, ὀστέα μὲν, κατεηγότα εἴη. ἕλκος δὲ, μὴ ἔχονται. τάς τε γὰρ κατατάσιας καὶ κατορθώσιας τῶν ὀστέων τὸν αὐτὸν τρόπον ποιέεσθαι, τήν τε ἐπίδεσιν παραπλησίαν. ἐπὶ μὲν γὰρ αὐτὸ τὸ ἕλκος πισσηρὴν κηρωτὴν χρίσαντα σπλῆνα λεπτὸν διπλόον ἐπιδεθῆναι. τὰ δὲ πέριξ κηρωτῇ λεπτῇ χρίειν. τὰ δὲ ὀθόνια καὶ τὰ ἄλλα πλατύτερα τινὶ ἐσχισμένα ἔστω, εἰ μὴ ἕλκος εἶχεν. καὶ ᾧ ἂν πρώτῳ ἐπιδεῖται συχνῷ ἔστω τοῦ ἕλκεος πλατύτερα. τὰ γὰρ στενώτερα τοῦ ἕλκεος ζώσαντα ἔχει τὸ ἕλκος. τὸ δ᾽ οὐ χρὴ. ἀλλ᾽ ἡ πρώτη περιβολὴ ὅλον κατεχέτω τὸ ἕλκος. καὶ ὑπερεχέτω τὸ ὀθόνιον ἔνθεν τε καὶ ἔνθεν. βάλλεσθαι μὲν οὖν χρὴ τὸ ὀθόνιον κατ᾽ αὐτὴν τὴν ἴξιν τοῦ ἕλκεος. πιέζειν δὲ ὀλίγῳ ἧσσον ἢ εἰ μὴ ἕλκος εἶχε. ἐπινέμεσθαι δὲ τῇ ἐπιδέσει ὥσπερ καὶ πρόσθεν εἴρηται. τὰ δὲ ὀθόνια αἰεὶ μὲν τοῦ τρόπου τοῦ μαλθακοῦ ἴστωσαν. μᾶλλον δέ τι δεῖ ἐν τοῖσιν τοιουτοισιν ἢ εἰ μὴ ἕλκος εἶχεν. πλῆθος δὲ τῶν ὀθονίων μὴ ἐλάσσω ἔστω τῶν πρότερον

εἰρημένων. ἀλλὰ τινὶ καὶ πλείω. ἢν δ᾽ ἐπιδεθῇ, δοκέτω τῷ ἐπιδεδεμένῳ ἡρμόσθαι μὲν, πεπιέχθαι δὲ μή. φάτω δὲ κατὰ τὸ ἕλκος μάλιστα ἡρμόσθαι. τοὺς δὲ χρόνους τοὺς αὐτοὺς μὲν χρὴ εἶναι ἤδη τὸ μᾶλλον δοκέειν ἡρμόσθαι. τοὺς αὐτοὺς δὲ ἤδη τὸ μᾶλλον δοκέειν χαλᾶν. ὥσπερ καὶ ἐν τοῖσι πρόσθεν εἴρηται. μεταπιλέειν δὲ διὰ τρίτης πάντα μεταποιέοντα ἐς τοὺς τρόπους τοὺς παραπλησίους, ὥσπερ καὶ πρόσθεν εἴρηται, πλὴν ἐς τὸ σύμπαν ἧσσόν τινι πιέζειν ταῦτα ἢ ἐκεῖνα. καὶ ἢν κατὰ λόγον τὰ εἰκότα γένηται, ἰσχνότερον μὲν αἰεὶ εὑρεθήσεται τὸ κατὰ τὸ ἕλκος. ἰσχνὸν δὲ, καὶ τὸ ἄλλο πᾶν τὸ ὑπὸ τῆς ἐπιδέσιος κατεχόμενον. καὶ αἵ τε ἐκπυήσιες ἔσονται θάσσους ἢ τῶν ἄλλων ἰητρευομένων ἑλκέων. ὅσα τε σφακελίσματα ἐν τῷ τρώματι ἐμελάνθη, καὶ ἐθανατώθη θᾶσσον περιρρήγνυται, καὶ ἐκπίπτει ἤδη ταύτῃ τῇ ἰήσει, ἢ ἐν τῇσιν ἄλλῃσιν ἐς ὠτειλάς τε θᾶσσον ὁρμᾶται τὸ ἕλκος οὕτως ἢ ἄλλως ἰητρευομένου. πάντων δὲ τούτων αἴτιον ὅτι ἰσχνὸν μὲν τὸ κατὰ τὸ ἕλκος χωρίον γίνεται. ἰσχνὰ δὲ τὰ περιέχοντα. τὰ μὲν οὖν ἄλλα πάντα, παραπλησίως χρὴ ἰητρεύειν, ὥς τε ἄνευ ἑλκώσιων ὀστέα κατηγνύμενα. τοὺς δὲ νάρθηκας οὐ χρὴ προστιθέναι. διὰ τοῦτο καὶ τὰ ὀθόνια χρὴ τούτοισι πλείω εἶναι, ἢ τοῖσιν ἑτέροισιν ὅτε ἧσσον πιέζεται, ὅτι τε οἱ νάρθηκες, βραδύτεροι προστίθενται. ἢν μέν τοι τοὺς νάρθηκας προστιθῇς, μὴ κατὰ τὴν ἴξιν τοῦ ἕλκεος προστιθέναι. ἀλλ᾽ ὥς τε καὶ χαλαρῶς προστιθέναι προθυμεόμενος, ὅκως μηδεμία σφίγξις μεγάλη ἔσται ἀπὸ τῶν ναρθήκων. εἴρηται δὲ τοῦτο καὶ ἐν τοῖσι πρότερον γεγραμμένοισι. τὴν μέν τοι δίαιταν ἀκριβεστέρην καὶ πλείω χρόνον χρὴ ποιέεσθαι, οἷσιν ἐξ ἀρχῆς ἕλκεα γίνεται καὶ οἷσιν ὀστέα ἐξίσχει. καὶ τὸ ξύμπαν δὲ εἰρῆσθαι, ἤδη τοῖσιν ἰσχυροτάτοισιν τρώμασιν ἀκριβεστέρην, καὶ πουλυχρονιωτέρην εἶναι χρὴ τὴν δίαιταν. ἡ αὐτὴ δὲ ἴησις τῶν ἑλκέων, καὶ οἷσιν ὀστέα μὲν κατέηγεν. ἕλκος δὲ ἐξ ἀρχῆς μηδὲν ἦ. ἢν δὲ ἐν τῇ ἰήσει ἕλκος γένηται ἢ τοῖσιν ὀθονίοισιν μᾶλλον πιεχθέντος. ἢ ὑπὸ νάρθηκος ἐνέδρης. ἢ ὑπὸ ἄλλης τινὸς προφάσιος. γινώσκεται μὲν οὖν τὰ τοιαῦτα ἢν ἕλκος ὑπῇ τῇ τε ὀδύνῃ καὶ τοῖσι σφυγμοῖσιν. καὶ τὸ οἴδημα τὸ ἐν τοῖσιν ἄκροισιν σκληρὸν γίνεται τῶν τοιουτέων. καὶ εἰ τὸν δάκτυλον ἐπαγάγοις ἐξαείρεται. ἀτὰρ καὶ αὖτις ὑποφέρει ταχέως. ἢν οὖν τι τοιοῦτον ὑποπτεύῃς, λύσαντα χρή. ἢν μὲν ἡ κνησμὸς κατὰ τὰς ὑποδεσμίδας. ἢ ἤδη τὸ ἄλλο τὸ ἐπιδεδεμένον πισσηρῇ κηρωτῇ ἀντὶ τῆς ἑτέρης χρῆσθαι. ἢν δὲ τούτων μὲν μηδὲν ἦ. αὐτὸ δὲ τὸ ἕλκος ἠρεθισμένον εὑρίσκεται μέλαν ἤδη πουλὺ ἢ ἀκάθαρτον. καὶ τῶν μὲν σαρκῶν ἐκπυησομένων. τῶν δὲ νεύρων προσεκπεσουμένων. τουτέους οὐδὲν δεῖ ἀναψύχειν παντάπασιν, οὐδέ τι φοβέεσθαι τὰς ἐκπυήσιας ταύτας. ἀλλ᾽ ἰητρεύειν. τὰ μὲν ἄλλα παραπλήσιον τρόπον, ὥσπερ καὶ οἷσιν ἐξ ἀρχῆς ἕλκος ἐγένετο. τοῖσι δὲ ὀθονίοισιν ἄρχεσθαι χρὴ ἐπιδέοντα ἀπὸ τοῦ οἰδήματος, τοῦ ἐν τοῖς ἀκραίοις πάνυ, χαλαροῖσιν. καὶ ἔπειτα ἐπινέμεσθαι τῇ ἐπιδέσει, αἰεὶ ἐς τὸ ἄνω, καὶ πεπιέχθαι μὲν μηδαμῇ. ἡρμόσθαι δὲ μάλιστα κατὰ τὸ ἕλκος. τὰ δὲ ἄλλα ἤδη ἧσσον. τὰ δὲ ὀθόνια τὰ πρῶτα ταῦτα μὲν καθαρὰ ἔστω καὶ μὴ στενά. τὸ δὲ πλῆθος τῶν ὀθονίων ἔστω, ὅσονπερ καὶ ἐν τῇσι νάρθηξιν εἰ ἐπιδέοιτο, ἢ ὀλίγῳ ἔλασσον. ἤδη δὲ αὐτὸ τὸ ἕλκος ἱκανὸν σπληνίον τῇ λευκῇ κηρωτῇ κεχρισμένον. ἢν τε γὰρ σὰρξ. ἢν τε νεῦρον μελανθῇ προσεκπεσεῖται. τὰ γὰρ τοιαῦτα οὐ χρὴ δριμέσιν ἰητρεύειν, ἀλλὰ μαλθακοῖσιν, ὥσπερ τὰ πυρίκαυτα. μεταπιλέειν δὲ διὰ τρίτης. νάρθηκας δὲ μὴ προστιθέναι. ἀτρεμέειν δὲ ἤδη μᾶλλον, ἢ τὸ πρόσθεν, καὶ ὀλιγοσιτέειν. εἰδέναι δὲ χρὴ, εἴτε σὰρξ, εἴτε νεῦρον τὸ ἐκπεσούμενον ἐστὶν, ὅτι οὕτω πολλῷ μὲν ἧσσον νέμεται ἐπὶ πλεῖον. πολλῷ δὲ θᾶσσον ἐκπεσεῖται. πολλῷ δὲ ἰσχνότερα τὰ περιέχοντα ἔσται, ἢ εἴ τις ἀπολύσας τὰ ὀθόνια ἐπιθείη τι τῶν καθαρτικῶν φαρμάκων ἤδη τὸ ἕλκος. καίτοι καὶ ἢν ἐκπέσῃ τὸ ἐκπυησόμενον θᾶσσον τε σαρκοῦται ἐκείνως ἢ ἑτέρως ἰητρευόμενον. καὶ θᾶσσον ὠτειλοῦται. πάντα μὴν ἐστὶ ταῦτα ὀρθῶς ἐπιπλέειν καὶ μετρίως ἐπίστασθαι. προσυμβάλλεται δὲ καὶ τὰ σχήματα ἣν οἷα χρὴ εἶναι, καὶ ἡ ἄλλη δίαιτα, καὶ τῶν ὀθονίων ἡ ἐπιτηδειότης. ἢν δ᾽ ἄρα ἐξαπατηθῇς ἐν τοῖς νεοτρώτοισι μὴ οἰόμενος ὀστέων ἀπόστασιν ἔσεσθαι. τὰ δ᾽ ἐπίδοξα ᾖ ἀναπλῶσαι, οὐ χρὴ ὀρρωδέειν τὸν τρόπον τῆς ἰήσιος. οὐδὲν γὰρ ἂν μέγα φλαῦρον γένοιτο. ἢν μοῦνον οἷος ἔσῃ τῇ χειρὶ τὰς ἐπιδέσιας ἀγαθὰς καὶ ἀσινέας ποιέεσθαι. σημεῖον δὲ τόδε, ἢν μέλλῃ ὀστέων ἀπόστασις ἔσεσθαι ἐν τῷ τρόπῳ τούτῳ τῆς ἰήσιος. πύον γὰρ συχνὸν ῥέει ἐκ τοῦ ἕλκεος, καὶ ὀργᾶν φαίνεται. πυκνότερον οὖν μεταπιδέεσθαι διὰ τὸν πλάδον, ἐπεὶ ἄλλως τε καὶ πυρετοὶ γίνονται. καὶ ἢν μὲν κάρτα πιέζωνται ὑπὸ τῆς ἐπιδέσιος καὶ τὸ ἕλκος καὶ τὰ περιέχοντα ἰσχνά. ὅσα μὲν οὖν λεπτῶν πάνυ ὀστέων ἀποστάσιες οὐδεμιῆς μεγάλης μεταβολῆς δέονται, ἀλλ᾽ ἢ χαλαρωτέρως ἐπιδέειν, ὡς μὴ ἀπολαμβάνηται τὸ πύον, ἀλλ᾽ εὐαπόρρυτον ᾖ. καὶ πυκνότερον μεταπιλέειν ἐς ἂν ἀποστῇ τὸ ὀστέον. καὶ νάρθηκας μὴ προστιθέναι. ὁκόσοισι δὲ μείζονος ὀστέου ἀπόστασις ἐπίδοξος γένηται. ἢν τε ἐξ ἀρχῆς προγνῷς. ἢν τε καὶ ἔπειτα μεταγνῷς, οὐκέτι τῆς αὐτῆς ἰήσιος δεῖται, ἀλλὰ τὰς μὲν καταστάσιας, καὶ τὰς διορθώσιας οὕτω ποιέεσθαι, ὥσπερ εἴρηται. σπλῆνας δὲ χρὴ διπλοῦς. πλάτος μὲν ἡμισπιθαμιαίους μὴ ἐλάσσους. ὁκοῖον δὲ ἄν τι καὶ τρῶμα ᾖ πρὸς τοῦτο τεκμαίρεσθαι. μῆκος δὲ βραχυτέρους μικρῷ ὀλίγῳ, ἢ ὥς τε δὶς περιϊκνέεσθαι περὶ τὸ σῶμα τὸ τετρωμένον. μακροτέρους δὲ συχνῷ, ἢ ὥς τε ἅπαξ περιϊκνέεσθαι. πλῆθος δὲ, ὁκόσους ἂν ξυμφέρει ποιησάμενον τούτους ἐν οἴνῳ

μέλανι

μέλανι αὐστηρῷ βρέχοντα χρὴ ἐκ μέσου ἀρχόμενον, ὡς ἀπὸ δύο ἀρχῶν ὑπόδεσμος ἐπιδεῖται περιελίσσειν. κἄπειτα σκεπαρνηδὸν παραλλάσσοντα τὰς ἀρχὰς ἀφιέναι. ταῦτα κατά τε αὐτὸ τὸ ἕλκος ποιέειν, καὶ κατὰ τὸ ἔνθεν καὶ ἔνθεν τοῦ ἕλκεος. καὶ πιέζειν μὲν μή, ἀλλ᾽ ὅσον ἑρμασμοῦ εἵνεκεν τοῦ ἕλκεος προσκείσθω. καὶ ἢν μὲν ἡ ὥρη θερινὴ ᾖ ἐπιτέγγειν τῷ οἴνῳ τοὺς σπλῆνας πυκνά, ἢν δὲ χειμερινὴ ἡ ὥρη ᾖ, εἴρια πολλὰ ῥυπαρὰ νενοτισμένα οἴνῳ καὶ ἐλαίῳ ἐπικείσθω. ἰξάλην δ᾽ αἰγὸς χρὴ ὑποτετάσθαι καὶ εὐαπόρρυτα ποιέειν φυλάσσοντα τοὺς ὑπορρόους, μεμνημένον ὅτι οἱ τόποι οὗτοι ἐν τοῖσιν αὐτοῖσι σχήμασιν πολλὸν χρόνον κείμενοι ἐκτρίμματα δυσαλθέα ποιέουσιν. ὅσους δὲ μὴ οἷόν τε ἐπιδέσει ἰήσασθαι διά τινα τούτων τῶν εἰρημένων τρόπων, ἢ τῶν εἰρησομένων, τούτους περὶ πλείονος χρὴ ποιέεσθαι, ὅκως εὐθέτως σχήσουσιν τὸ κατεηγὸς τοῦ σώματος κατ᾽ ἰθυωρίην προσέχοντα τὸν νόον. καὶ τῷ ἀνωτέρω δὲ μᾶλλον ἢ κατωτέρω. εἰ δέ τις μέλλοι καλῶς καὶ εὐχερῶς ἐργάζεσθαι, ἄξιον καὶ μηχανοποιήσασθαι, ὅκως κατάστασιν δικαίην, καὶ μὴ βιαίην σχῇ τὸ κατεηγὸς τοῦ σώματος, μάλιστα δὲ ἐν κνήμῃ ἐνδέχεται μηχανοποιέειν. εἰσὶ μὲν οὖν τινὲς οἳ ἤδη πᾶσι τοῖς τῆς κνήμης κατήγμασιν, καὶ τοῖσιν ἐπιδεομένοισι καὶ τοῖσι μὴ ἐπιδεομένοισι καὶ τὸν πόδα ἄκρον προσδέουσιν πρὸς τὴν κλίνην, ἢ πρὸς ἄλλο τι ξύλον παρὰ τὴν κλίνην κατορύξαντες. οὗτοι μὲν οὖν πάντα κακὰ ποιέουσιν, ἀγαθὸν δὲ οὐδέν, οὔτε γὰρ τοῦ κατατείνεσθαι ἄκος ἐστὶ τὸ προσδεδέσθαι τὸν πόδα. οὐδὲν ἧσσον τὸ ἄλλο σῶμα προσχωρήσει πρὸς τὸν πόδα. καὶ οὕτως οὐκ ἂν ἔτι τείνοιτο. οὔτ᾽ αὖ ἐς τὴν ἰθυωρίην οὐδὲν ὠφελέει, ἀλλὰ καὶ βλάπτει. στρεφομένου γὰρ τοῦ ἄλλου σώματος ἢ τῇ ἢ τῇ οὐδὲν κωλύσει ὁ δεσμὸς τὸν πόδα καὶ τὰ ὀστέα τῷ ποδὶ προσηρτημένα ἐπακολουθέει τῷ ἄλλῳ σώματι. εἰ δὲ μὴ προσεδέδετο ἧσσον ἂν διεστρέφετο. ἧσσον γὰρ ἂν ἐγκατελείπετο ἐν τῇ κινήσει τοῦ ἄλλου σώματος. εἰ δέ τις σφαίρας δύο ῥάψαιτο ἐκ σκύτεος αἰγυπτίου τοιαύτας οἵας φορέουσιν οἱ ἐν τῇσι μεγάλῃσι πέδῃσιν πολλὸν χρόνον πεπεδημένοι. αἱ δὲ σφαῖραι ἔχοιεν ἔνθεν καὶ ἔνθεν χιτῶνας. τὰ μὲν πρὸς τοῦ τρώματος, βαθυτέρους. τὰ δὲ πρὸς τῶν ἄρθρων, βραχυτέρους. εἶεν δὲ ὀγκηραὶ μὲν καὶ μαλθακαί. ἁρμόζουσαι δέ, ἡ μὲν ἄνωθεν τῶν σφυρῶν. ἡ δὲ κάτωθεν τοῦ γόνατος. ἐκ δὲ πλαγίης ἑκατέρη δισσὰ ἑκατέρωθεν ἔχοι προσηρτημένα ἢ ἁπλοῦ ἱμάντος ἢ διπλόου βραχύτερα ὥσπερ ἀγκύλας. τὰ μέν τι τοῦ σφυροῦ ἑκατέρωθεν. τὰ δέ τι τοῦ γούνατος. καὶ ἡ ἄνωθεν σφαῖρα ἕτερα τοιαῦτα ἔχοι κατὰ τὴν ἰθυωρίην τὴν αὐτήν, κἄπειτα κρανείνας ῥάβδους λαβὼν ἴσας μέγεθος ἀλλήλῃσιν ἐχούσας. πάχος μὲν ὡς δακτυλιαίας. μῆκος δὲ ὡς κεκαμμέναι ἐναρμόζωσιν ἐς τὰ ἀπαιωρήματα, ἐπιμελεόμενος ὅκως τὰ ἄκρα τῶν ῥάβδων μὴ ἐς τὸν χρῶτα, ἀλλ᾽ ἐς τὰ ἄκρα τῶν σφαιρέων ἐγκέλσει. εἶναι δὲ χρὴ ζεύγεα τρία τῶν ῥάβδων, καὶ πλέω, καὶ τινὶ μακροτέρας τὰς ἑτέρας τῶν ἑτέρων. καὶ τινὶ καὶ βραχυτέρας, καὶ μικροτέρας ὡς καὶ μᾶλλον διατείνειν ἢν βούληται. ἔστωσαν δὲ αἱ ῥάβδοι ἑκατέρωθεν ἔνθεν καὶ ἔνθεν τῶν σφυρῶν. ταῦτα εἰ καλῶς μηχανοποιηθείη, τήν τε κατάστασιν δικαίην παρέχοι καὶ ὁμαλὴν κατὰ τὴν ἰθυωρίην, καὶ τῷ τρώματι πόνος οὐδεὶς ἂν εἴη. τὰ γὰρ ἀποπιέσματα, εἴ τι καὶ ἀποπιέζοιτο. τὰ μὲν ἂν, ἐς τὸν πόδα ἀπάγοιτο. τὰ δὲ, ἐς τὸν μηρόν. αἵ τε ῥάβδοι εὐθετώτεραι. αἱ μὲν, ἔνθεν. αἱ δὲ, ἔνθεν τῶν σφυρῶν. ὥστε μὴ κωλύεσθαι τὴν θέσιν τῆς κνήμης. τό τε τρῶμα εὐκατάσκεπτον καὶ εὐβάστακτον. οὐδὲ γὰρ ἐμποδὼν εἴ τις ἐθέλοι τὰς δύο τῶν ῥάβδων τὰς ἀνωτέρω αὐτὰς πρὸς ἀλλήλας ζεῦξαι. καὶ ἤν τις κούφως βούλοιτο ἐπιβάλλειν, ὥστε τὸ ἐπιβαλλόμενον μετέωρον ἀπὸ τοῦ τρώματος εἶναι. εἰ μὲν οὖν αἵ τε σφαῖραι προσηνέες. καὶ καλαί. καὶ μαλθακαί. καὶ καιναὶ ῥαφεῖεν. καὶ ἡ ἔντασις τῶν ῥάβδων χρηστῶς ἐνταθείη, ὥσπερ ἤδη εἴρηται, εὔχρηστον τὸ μηχάνημα. εἰ δέ τι τουτέων μὴ καλῶς ἕξει, βλάπτοι ἂν μᾶλλον ἢ ὠφελέοι. χρὴ δὲ καὶ τὰς ἄλλας μηχανὰς, ἢ καλῶς μηχανᾶσθαι, ἢ μὴ μηχανᾶσθαι. αἰσχρὸν γὰρ καὶ ἄτεχνον μηχανοποιέοντα ἀμηχανοποιέεσθαι. τοῦτο δὲ οἱ πλεῖστοι τῶν ἰητρῶν τὰ κατήγματα, καὶ τὰ ξὺν ἕλκεσιν, καὶ τὰ ἄνευ ἑλκέων τὰς πρώτας τῶν ἡμερέων ἰητρεύουσιν εἰρίοισιν ῥυπαροῖσιν, καὶ οὐδέν τι ἄτεχνον δοκέει τοῦτο εἶναι. ὅσοι μὲν ἀναγκάζονται ὑπὸ τῶν αὐτίκα νεοτρώτων ἐόντων μὴ ἔχοντες ὀθόνια, εἰρίοισι παρασκευάσασθαι, τουτέοισι πλείστη συγγνώμη. οὐ γὰρ ἄν τις ἔχοι ἄνευ ὀθονίων ἄλλο τι πολλῷ βέλτιον εἰρίου ἐπιδῆσαι ἤδη τὰ τοιαῦτα. εἶναι δὲ χρὴ πάμπολλα. καὶ πάνυ καλῶς εἰργασμένα καὶ μὴ τρηχέα. τῶν γε ὀλίγων καὶ φλαύρων ὀλίγη καὶ ἡ δύναμις. ὅσοι δὲ ἤδη μίαν ἢ δύο ἡμέρας, εἰρία ἐπιδέειν δικαιέουσι, τρίτῃ δὲ καὶ τετάρτῃ ὀθονίοισιν ἐπιδέοντες πιέζουσι καὶ κατατείνουσιν, τότε μάλιστα οὗτοι πουλύ τι ἰητρικῆς καὶ κάρτα ἤδη καιρὸν ἀσυνετέουσιν. ἥκιστα γὰρ χρὴ τῇ τρίτῃ καὶ τετάρτῃ συσφελίζειν πάντα τὰ τρώματα. ὡς ἐν κεφαλαίῳ δὲ εἰρῆσθαι, καὶ μηλώσιας δὲ πάσας φυλάττεσθαι χρὴ. ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν καὶ ὁκόσοισιν ἄλλοισι τρώμασιν ἠρέθισται. τὸ ἐπίπαν γὰρ ἡ τρίτη καὶ ἡ τετάρτη ἡμέρη ἤδη τοῖσι πλείστοισι τῶν τρωμάτων τίκτει τὰς παλιγκοτήσιας, καὶ ὅσα ἐς φλεγμονὴν καὶ ἀκαθαρσίην ὁρμᾷ, καὶ ὅσα αὖ ἐς πυρετοὺς ἴει. καὶ μάλα πολλοῦ ἄξιον τοῦτο μάθημα, εἴπερ τι καὶ ἄλλο. τινὶ γὰρ οὐκ ἐπικοινωνέει τῶν ἐπικαιροτάτων ἐν ἰητρικῇ, οὐ κατὰ τὰ ἕλκεα μόνον, ἀλλὰ καὶ κατὰ ἄλλα πολλὰ νουσήματα. εἰ μή τις φύσει καὶ τἄλλα νουσήματα ἕλκεα εἶναι.

ἔχει γάρ τινα καὶ οὗτος ὁ λόγος ἐπιείκειαν, πολλαχῆ ἠδὲ λωφῆσαι τὰ ἕτερα τοῖσιν ἑτέροισιν. ὁκόσοισι μέντοι δικαιεῦσιν ἐρείδοισιν χρῆσθαι, ἐς ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν. ἔπειτα κατατείνειν τε καὶ κατορθοῦν, καὶ ὀθονίοισιν ἐπιδεῖν, οὗτοι οὐκ ἂν ἀσινέτοι ὁμοίως φανεῖεν. καὶ γὰρ τῆς φλεγμονῆς τὸ ἐπικαιρότατον παρελήλυθεν, καὶ τὰ ὀστέα χαλαρὰ καὶ εὔθετα μετὰ ταύτας τὰς ἡμέρας ἂν εἴη. πολλῷ μέντοι ἥσσων ἐστὶ καὶ αὕτη ἡ μελέτη τῆς ἐξ ἀρχῆς τοῖσιν ὀθονίοισιν ἐπιδέσιος. κεῖνος μὲν γὰρ ὁ τρόπος ἑβδομαίους ἐόντας ἀποδείκνυσι καὶ παρασκευάζει ναρθήκιξιν τελέως ἐπιδεῖν. οὗτος δὲ ὁ τρόπος πολὺ ὑστερεῖ. βλάβας δέ τινας καὶ ἄλλας ἔχει, ἀλλὰ μακρὸν ἂν εἴη πάντα γράφειν. ὁκόσοισι δὲ τὰ ὀστέα κατεηγότα καὶ ἐξίσχοντα μὴ δύνηται ἐς τὴν ἑωυτῶν χώρην καθιδρύεσθαι, ἥδε ἡ κατάτασις. σιδήρια χρὴ ποιέεσθαι, ἐς τοῦτον τὸν τρόπον ὅνπερ οἱ μοχλοὶ ἔχουσιν, οἷς οἱ λατύποι χρέονται. τὸ μέν τι πλατύτερον. τὸ δέ τι, στενότερον. εἶναι δὲ χρὴ καὶ τρία καὶ ἔτι πλείω, ὡς τοῖσι μάλιστα ἁρμόζουσί τις χρήσαιτο. ἔπειτα τουτέοισι χρὴ ἅμα τῇ κατατάσει μοχλεύειν ὑποβάλλοντα. πρὸς μὲν τὸ κατώτερον τοῦ ὀστέου, ἐρείδοντα. πρὸς δὲ τὸ ἀνώτερον, τῷ ἀνωτέρῳ τοῦ σιδηρίου. ἁπλῶς δὲ λόγῳ. ὥσπερ εἰ λίθον τις ἢ ξύλον μοχλεύοι ἰσχυρῶς. ἔστω δὲ ὡς δυνατὰ τὰ σιδήρια ὡς οἷόν τε, ὡς μὴ κάμπτηται. αὕτη μεγάλη τιμωρίη, ἤν τε τὰ σιδήρια ἐπιτήδεια ᾖ καὶ μοχλεύηταί τις ὡς χρή. ὁκόσα γὰρ ἀνθρώποις ἄρμενα μεμηχάνηται, πάντων ἰσχυρότατά ἐστι τρία ταῦτα, ὄνου τε περιαγωγή, καὶ μόχλευσις, καὶ σφήνωσις. ἄνευ δὲ τούτων ἢ ἑνός δή τινος ἢ πάντων οὐδὲν τῶν ἔργων τῶν ἰσχυροτάτων οἱ ἄνθρωποι ἐπιτελέουσιν. οὔκουν ἀτιμαστέη αὕτη ἡ μόχλευσις. εἰ γὰρ οὕτως ἐμπεσεῖται τὰ ὀστέα, ἢ οὐκ ἄλλως. ἢν δ' ἄρα τοῦ ὀστέου τὸ ἄνω παρηλλαγμένον μὴ ἐπιτήδειον ἔχῃ ἐνέδρην τῷ μοχλῷ, ἀλλὰ παροξὺ ὂν παραφέρῃ, παραγλύψαντα χρὴ τοῦ ὀστέου ἐνέδρην τῷ μοχλῷ ἀσφαλέα ποιῆσαι. μοχλεύειν δὲ χρὴ καὶ τείνειν αὐθημερὸν, ἢ δευτεραῖα. τριταῖα δὲ μή. τεταρταῖα δὲ, ὡς ἥκιστα, καὶ πεμπταῖα. καὶ γὰρ μὴ ἐμβάλλοντι, ὀχλήσαντι δὲ, ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν φλεγμονὴν ἂν ποιήσειε, καὶ ἐμβάλλοντι οὐδὲν ἧσσον. σπασμὸν μέντοι ἐμβάλλοντι, πουλὺ ἂν μᾶλλον ποιήσειεν ἢ ἀπορήσαντι ἐμβαλεῖν. ταῦτα εὖ χρὴ εἰδέναι. καὶ γὰρ εἰ ἐπιγένοιτο σπασμὸς ἐμβάλλοντι, ἐλπίδες μὲν οὐ πολλαὶ σωτηρίης. λυσιτελέει δὲ ὀπίσω ἐκβάλλειν τὸ ὀστέον, εἰ οἷόν τε εἴη ἀλύπως. οὐ γὰρ ἐπὶ τοῖσι χαλαρωτέροισι τοῦ καιροῦ σπασμοὶ καὶ τέτανοι ἐπιγίνονται, ἀλλ' ἐπὶ τοῖς ἐντεταμένοισι μᾶλλον. περὶ οὗ νῦν ὁ λόγος. οὐ χρὴ ἐνοχλέειν ἐν τῇσι προειρημένῃσιν ἡμέρῃσιν ταύτῃσιν, ἀλλὰ μελετᾶν ὅκως ἥκιστα φλεγμαίνῃ τὸ ἕλκος καὶ μάλιστα ἐκπυήσῃ. ἐπὴν δὲ ἑπτὰ ἡμέραι παρέλθωσιν, ἢ ὀλίγῳ πλείους, ἢν ἀπύρετος ᾖ, καὶ μὴ φλεγμαίνῃ τὸ ἕλκος, τότε ἧσσον κωλύειν ἢ πειρῆσθαι ἐμβάλλειν ἢν ἐλπίζῃς κρατήσειν, εἰ δὲ μὴ οὐδὲν δεῖ μάτην ὀχλέειν καὶ ὀχλέεσθαι. ἢν μὲν οὖν ἐμβάλῃς τὰ ὀστέα ἐς τὴν ἑωυτῶν χώρην, γεγράφαται ἤδη οἱ τρόποι ὡς χρὴ ἰητρεύειν, ἤν τε ἐλπίζῃς ὀστέα ἀποστήσεσθαι, ἤν τε μή. χρὴ δὲ καὶ ἢν μὲν ἐλπίζῃς ὀστέα ἀποστήσεσθαι ὡς ἔφην τῷ τρόπῳ τῶν ὀθονίων ἐπὶ πᾶσι τοῖσι τοιουτέοισι τὴν ἐπίδεσιν ποιέεσθαι ἐκ μέσου τοῦ ὀθονίου ἀρχόμενον, ὡς ἐπὶ τὸ πουλὺ, ὡς ἐπὶ δύο ἀρχαίων ἐπίδεσμις ὑποδεῖται. τεκμαίρεσθαι δὲ χρὴ πρὸς τὴν μορφὴν τοῦ ἕλκεος, ὅκως ἥκιστα σεσηρὸς, καὶ ὑποπεπληγμένον ἔσται παρὰ τὴν ἐπίδεσιν. τοῖσι μὲν γὰρ ἐπὶ δεξιὰ ἐπιδεῖν ξυντρόφως ἔχει. τοῖσι δὲ ἐπ' ἀριστερά. τοῖσι δὲ ἀπὸ δύο ἀρχέων. ὁκόσα δὲ κατηπορήθη ὀστέα ἐμπεσεῖν, ταῦτα αὐτὰ εἰδέναι χρὴ ὅτι ἀποστήσεται, καὶ ὅσα τελέως ἐψιλώθη τῶν σαρκῶν, ψιλοῦται δὲ, ἐνίων μὲν, τὸ ἄνω μέρος, μετεξετέρων δὲ κύκλωθεν ἀμφιθνήσκουσιν αἱ σάρκες. καὶ τῶν μὲν ὑπὸ τοῦ ἀρχαίου τρώματος σεσάπρισται ἔνια τῶν ὀστέων, τῶν δ' οὔ. καὶ τῶν μὲν μᾶλλον, τῶν δ' ἧσσον. καὶ τὰ μὲν σμικρά. τὰ δὲ, μεγάλα. διὰ οὖν ταῦτα τὰ εἰρημένα οὐκ ἔστιν ἑνὶ ὀνόματι εἰπεῖν ὁκότε τὰ ὀστέα ἀποστήσεται. τὰ μὲν γὰρ διὰ μικρότητα. τὰ δὲ, διὰ τὸ ἐπ' ἄκρον ἔχεσθαι θᾶσσον ἀφίσταται. τὰ δὲ, διὰ τὸ μὴ ἀφίστασθαι, ἀλλὰ λεπιδοῦσθαι καταξηρανθέντα, καὶ σαπρὰ γινόμενα. πρὸς δὲ τούτοις, διαφέρει τε καὶ ἰητρείη ἰητρείης. ὡς μὲν οὖν τὸ ἐπίπαν τάχιστα τουτέων ὀστέα ἀφίσταται, ὧν τάχισται μὲν αἱ ἐκπυήσιες. τάχισται δὲ καὶ κάλλισται αἱ σαρκοφυΐαι. καὶ γὰρ αἱ ὑποφυόμεναι σάρκες κατὰ τὸ σιναρὸν αὗται μετεωρίζουσι τὰ ὀστέα ὡς ἐπὶ τὸ πουλύ. ὅλος μὲν ὁ κύκλος τοῦ ὀστέου, ἢν ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποστῇ, καλῶς ἀποστήσεται. ἔνια γὰρ ὡς ἐξήκοντα ἡμέρας ἀφικνεῖται. τὰ μὲν γὰρ ἀραιότερα τῶν ὀστέων, θᾶσσον ἀφίσταται. τὰ δὲ στερεώτερα, βραδύτερον. τὰ δὲ ἄλλα τὰ μείω, πολλὸν ἐνδοτέρω. ἄλλα δ' ἄλλως. ἀποπρίειν δ' ὀστέον ὑπερέχον ἐπὶ τῶνδε τῶν προφασίων χρή, ἢν μὴ δύνηται ἐμβάλλειν, μικροῦ δέ τινος αὐτῷ δοκέει δεῖν παρελθεῖν, καὶ οἷόν τε ᾖ παραιρεθῆναι, ἤν τε ἀστηρὸν ᾖ καὶ θραύῃ τι τῶν σαρκίων, καὶ δυσθεσίην παρέχει. ψιλὸν δὲ τυγχάνει ἐόν. καὶ τὸ τοιοῦτον ἀφαιρέειν χρή, τὰ δ' ἄλλα οὐδὲν μέγα διαφέρει, οὔτε ἀποπρίσαι, οὔτε μὴ ἀποπρίσαι. σαφέως γὰρ εἰδέναι χρὴ ὅτι ὀστέα ὅσα τελέως στερέεται τῶν σαρκῶν καὶ ἐπιξηραίνεται, ὅτι πάντα τελέως ἀποστήσεται. ὅσα δὲ ἀπολεπιδοῦσθαι μέλλει, ταῦτα οὐ χρὴ ἀποπρίειν. τεκμαίρεσθαι δὲ χρὴ ἀπὸ τῶν γεγραμμένων σημείων τὰ τελέως ἀποστησόμενα. ἰητρεύειν δὲ τοὺς τοιούτους σπλήνεσι καὶ τῇ οἰνηρῇ ἰητρείῃ, ὥσπερ καὶ πρόσθεν γέγραπται τῶν ἀποστησομένων ὀστέων. φυλάσσεσθαι

δὲ χρὴ

δὲ χρὴ μὴ καταψυχροῖσι τέγγειν τὸν πρῶτον χρόνον. ῥιγέων γὰρ πυρετωδέων κίνδυνος. κίνδυνος δὲ καὶ σπασμῶν, προκαλέεται γὰρ ἀεὶ σπασμὸν τὰ ψυχρά. ποτὶ δὲ καὶ ἑλκοῖ. εἰδέναι δὲ χρὴ ὅτι περ ἀνάγκη βραχύτερα τὰ σώματα ταύτῃ γενέσθαι, ὧν ἀμφότερα τὰ ὀστέα κατεηγότα καὶ παρηλλαγμένα ἰητρεύηται, καὶ οἷς ὅλως καὶ ὁ κύκλος τοῦ ὀστέου ἀποστῇ. ὅσων δὲ μηροῦ ὀστέον ἢ βραχίονος ἐξέχῃ, οὗτοι οὐ μάλα περιγίνονται. τὰ γὰρ ὀστέα μεγάλα καὶ πολυμύελα καὶ πολλὰ καὶ ἐπίκαιρα τὰ συντιτρωσκόμενα καὶ νεῦρα, καὶ μύες καὶ φλέβες, καὶ ἢν μὲν ἐμβάλλῃς σπασμοὶ φιλέουσιν ἐπιγίνεσθαι. μὴ ἐμβληθεῖσι δὲ πυρετοὶ ὀξέες καὶ ἐπίχολοι καὶ λυγγώδεες, καὶ ἐπιμελαίνονται. περιγίνονται δὲ οὐχ ἧσσον οἷσι μὴ ἐμβληθῇ μηδὲ πειρηθῇ ἐμβάλλεσθαι. ἔτι δὲ μᾶλλον περιγίνονται οἷσι τὸ κάτω μέρος τοῦ ὀστέου ἐξέχει, ἢ οἷσι τὸ ἄνω. περιγίνονται δ' ἂν καὶ οἷσιν ἐμβληθείη. σπανίως γε μήν. μελέται γὰρ μελετέων μέγα διαφέρουσιν, καὶ φύσιες φυσίων τῶν σωμάτων ἐς εὐφορίην. διαφέρει δὲ μέγα καὶ ἢν ἔσω τοῦ βραχίονος καὶ τοῦ μηροῦ τὰ ὀστέα ἐξέχῃ. πολλαὶ γὰρ καὶ ἐπίκαιροι κατατάσιες φλεβῶν ἐν τῷ ἔσω μέρει. ὧν ἔνιαι τιτρωσκόμεναι σφαγιαί εἰσιν. εἰσὶ δὲ καὶ ἐν τῷ ἔξω μέρει. ἧσσον δὲ. ἐν τοῖσιν οὖν τοιούτοισι τρώμασι τοὺς μὲν κινδύνους οὐ χρὴ λήθειν, ὁκοῖοί τινές εἰσιν, καὶ προλέγειν χρὴ πρὸς τοὺς καιρούς. εἰ δὲ ἀναγκάζοιο μὲν ἐμβαλεῖν. ἐλπίζοις δὲ ἐμβάλλειν καὶ μὴ πολλὴ ἡ παράλλαξις ᾖ τοῦ ὀστέου, καὶ μὴ ξυνδεδραμήκοιεν οἱ μύες, φιλέουσι γὰρ ξυνθέειν, ἡ μόχλευσις καὶ τούτοισι μετὰ τῆς κατατάσιος εὖ ἂν ξυλλαμβάνοιτο. ἐμβάλλοντα δὲ ἐλλέβορον μαλθακὸν πιπίσαι χρὴ αὐθημερὸν, ἢν αὐθημερὸν ἐμβληθῇ, εἰ δὲ μὴ οὐδ' ἐγχειρέειν χρή. τὸ δὲ ἕλκος ἰητρεύειν χρὴ οἷάπερ κεφαλῆς ὀστέα κατεηγνυίης, καὶ ψυχρὸν μηδὲν προσφέρειν. σιτίων δὲ στερῆσαι τελέως. καὶ ἢν μὲν πικρόχολος φύσει ᾖ, ὀξύγλυκυ εὐῶδες ὀλίγον ἐπὶ ὕδωρ ἐπιστάζοντα τουτέῳ διαιτᾶν. ἢν δὲ μὴ πικρόχολος ᾖ, ὕδατος πόματι χρῆσθαι. καὶ ἢν μὲν πυρεταίνῃ ξυνεχῶς, τεσσαρεσκαίδεκα ἡμέρας τὸ ἐλάχιστον οὕτω διαιτᾶν. ἢν δὲ ἀπύρετος ᾖ, ἑπτὰ ἡμέρῃσιν. ἔπειτα ἐκ προσαγωγῆς κατὰ λόγον, φαύλην δίαιταν ἄγειν. καὶ οἷσιν ἂν μὴ ἐμβληθῇ τὰ ὀστέα καὶ τὴν φαρμακείην χρὴ τοιαύτην ποιέεσθαι, καὶ τῶν ἑλκέων τὴν μελέτην, καὶ τὴν δίαιταν. ὡσαύτως καὶ τὸ ἀπαιωρεύμενον τοῦ σώματος μὴ κατατείνειν, ἀλλὰ προσάγειν μᾶλλον, ὥστε χαλαρώτερον εἶναι τὸ κατὰ τὸ ἕλκος. τῶν δὲ ὀστέων ἀπόστασις χρονίη, ὥσπερ καὶ πρόσθεν εἴρηται. μάλιστα δὲ χρὴ τὰ τοιαῦτα διαφυγεῖν. ἀλλ' ἤν τις καλὴν ἔχῃ τὴν ἀποφυγήν, αἵ τε γὰρ ἐλπίδες ὀλίγαι, καὶ οἱ κίνδυνοι πολλοί. καὶ μὴ ἐμβάλλων ἄτεχνος ἂν δοκέοι εἶναι, καὶ ἐμβάλλων ἂν ἐγγυτέρω τοῦ θανάτου ἀγάγοι, ἢ σωτηρίης. τὰ δὲ ὀλισθήματα τὰ κατὰ γούνατα, καὶ τὰ διακινήματα τῶν ὀστέων εὐηθέστερα πουλὺ τῶν κατ' ἀγκῶνα κινημάτων καὶ ὀλισθημάτων. τό, τε γὰρ ἄρθρον τοῦ μηροῦ εὐσταλέστερον ὡς ἐπὶ μεγέθει, ἢ τὸ τοῦ βραχίονος. καὶ δικαίην φύσιν μοῦνον ἔχον, καὶ ταύτην περιφερέα. τὸ δὲ τοῦ βραχίονος ἄρθρον μέγα καὶ βαθμίδας πλείονας ἔχον. πρὸς δὲ τούτοις. τὰ μὲν κνήμης ὀστέα παραπλήσια μήκός ἐστι καὶ σμικρόν τι οὐκ ἄξιον λόγου τὸ ἔξω ὀστέον ὑπερέχει οὐδενὸς μεγάλου κώλυμα ἐόν, ἀφ' οὗ πεφύκασιν ὁ ἔξω τένων ὁ παρὰ τὴν ἰγνύην. τὰ δὲ τοῦ πήχεος ὀστέα, ἄνισά ἐστιν. καὶ τὸ βραχύτερον παχύτερον συχνῷ. τὸ δὲ λεπτότερον, πολλῷ ὑπερβάλλει καὶ ὑπερέχει τὸ ἄρθρον. ἐξήρτηται μέντοι καὶ τοῦτο τῶν νεύρων κατὰ τὴν κοινὴν ξύμφυσιν τῶν ὀστέων. πλεῖον δὲ μέρος ἔχει τὸ ἄρθρον. ἐξήρτηται μέντοι καὶ τούτων τῶν νεύρων κατὰ τὴν κοινὴν ξύμφυσιν τῶν ὀστέων. πλεῖον δὲ μέρος ἔχει τῆς ἐξαρτήσιος τῶν νεύρων ἐν τῷ βραχίονι τὸ λεπτὸν ὀστέον, ἤπερ τὸ παχύ. ἡ μὲν οὖν φύσις τοιουτότροπος τῶν ἄρθρων τούτων καὶ τῶν ὀστέων τοῦ ἀγκῶνος. καὶ διὰ τὸν τρόπον τῆς φύσιος τὰ κατὰ γόνυ ὀστέα. πολλάκις μὲν ὀλισθαίνει. ῥηϊδίως δὲ ἐμπίπτει. φλεγμονὴ δὲ οὐ μεγάλη προσγίνεται, οὐδὲ δεσμὸς τοῦ ἄρθρου. ὀλισθαίνει δὲ τὰ πλεῖστα ἐς τὸ εἴσω μέρος, ἔστι δ' ὅτε καὶ ἐς τὸ ἔξω. ποτὲ δὲ καὶ ἐς τὴν ἰγνύην. τούτων ἁπάντων αἱ ἐμβολαὶ οὐ χαλεπαί, ἀλλὰ τὰ μὲν ἔξω καὶ ἔσω ὀλισθαίνοντα, καθῆσθαι μὲν χρὴ τὸν ἄνθρωπον ἐπὶ χαμαιζήλου τινός. τὸ δὲ σκέλος ἀνωτέρω ἔχειν μὴ μὴν πολλῷ. κατάτασις δὲ ὡς ἐπὶ τὸ πουλὺ μετρίη ἀρκέει. τῇ μὲν κατατείνειν τὴν κνήμην. τῇ δὲ ἀντιτείνειν τὸν μηρόν.

Τὰ δὲ κατὰ τὴν ἀγκῶνα ὀχλωδέστερά ἐστι τῶν κατὰ τὸ γόνυ καὶ δυσεμβολώτερα, καὶ διὰ τὴν φλεγμονήν, ἤν μή τις αὐτίκα ἐμβάλοι. ὀλισθαίνει μὲν γὰρ ἧσσον, ἢ ἐκεῖνα, δυσεμβολώτερα δὲ καὶ δυσθετώτερα, καὶ ἐπιφλεγμαίνει μᾶλλον καὶ ἐπιπωροῦται. ἔστι δὲ καὶ τούτων τὰ μὲν πλεῖστα, σμικραὶ ἐγκλίσιες. ἄλλοτε ἐς τὸ πρὸς τῶν πλευρέων μέρος. ἄλλοτε ἐς τὸ ἔξω. οὐ πᾶν δὲ τὸ ἄρθρον μεταβεβηκός, ἀλλὰ μένον τὸ κατὰ τὸ κοῖλον ὀστέον τοῦ ὀστέου τοῦ βραχίονος, ἢ τὸ τοῦ πήχεος ὀστέον τὸ ὑπερέχον ἔχει. τὰ μὲν οὖν τοιαῦτα, κἂν τῇ ἢ τῇ ὀλισθῇ, ῥηΐδιον ἐμβάλλειν, καὶ ἀπόχρη ἡ κατάτασις ἡ ἐς τὸ ἰθὺ γινομένη κατ' ἰθυωρίην τοῦ βραχίονος, τὸν μὲν κατὰ τὸν καρπὸν τῆς χειρὸς τείνειν. τὸν δὲ κατὰ τὴν μασχάλην περιβάλλοντα. τὸν δὲ τῇ ἑτέρῃ πρὸς τὸ ἐξεστὸς ἄρθρον τὸ θέναρ προσβάλλοντα ὠθέειν. τῇ δ' ἑτέρῃ ἀντωθέειν προσβάλλοντα ἐγγὺς τῷ ἄρθρῳ. ἀκούει δὲ οὐ βραδέως ἐμβαλλόμενα, τὰ τοιαῦτα ὀλισθήματα, ἢν πρὶν φλεγμῆναι ἐμβάλλῃ τις. ὀλισθαίνει δὲ, ὡς ἐπὶ τὸ πουλὺ μᾶλλον ἐς τὸ ἔσω μέρος. ὀλισθαίνει δὲ καὶ ἐς τὸ ἔξω. εὔδηλα δὲ τῷ σχήματι, καὶ

πολλάκις ἐμπίπτει τὰ τοιαῦτα, καὶ αὖθις ἡ χειρὸς κατάτασις. χρὴ δὲ τὴν ἔσω ὀλισθαινόντων. ἐὰν μὲν ἄρθρον ἄπω ἴῃσιν ἐς πλὴν φύσιν. ἢν δὲ ἴσχιον ἐς ἐ κατάτασις πρώτιστα μᾶλλον ἐξ ἐπόντα τοῦδε ἀγειν. τὰ μὲν ἄλλα ἄγμασιν τοιαῦτα ὀλισθήματα. ὧδε δὲ ἔσται βῆ ἐ ἄρθρον ἢ σῶμα ἢ σῶμα ἔσται ἐ ὅσιον τῷ πήχεος ἐ ὑξέχον ἐς ἐ κοίλον τῷ βραχίονος. γίνεται μὲν οὖν ὀλιγάκις ὧδε. ὧδε δὲ γίνεται ὅκ ἔπι ὁμοίως ἡ κατάτασις, ἢ ἐς πλὴν ἰθυωρείω γιγνομένη ἐπιτηδείη τὴν τοιουτέων ὀλισθημάτων. κωλύει γὰρ σὺ τῇ τοιαύτῃ κατατάσει ἐ ἄχρι τῷ πήχεος ἔσται ὅσιον πλὴ ὑπὸ βασιν τῷ βραχίονος. χρὴ τοίνυν τοῖσιν οὕτως ἐκβεβλημένοισι πλὴ κατάστασιν ποιήσασθαι τοιαύτην, οἵηπερ πρόσθεν γέγραπται, ἐπὴν τις ὀστέα βραχίονος κατιδηλότα ἐπιδέῃ. ἀχρὶ μὲν τῆς μασχάλης, ἐς ἐ ἄνω τείνεσθαι. ἀχρὶ δὲ τῷ ἀγμῶνος αὐτῷ ἐς ἐ κάτω ἀναγκάζειν. οὕτω γὰρ ἂν μάλιστα ὁ βραχίων ἔσται ἐπιδεωρημένη ὑπὸ τῆς ἑωυτῷ βαθμίδος. ὧδε δὲ ἔσται ἐπιδεωρημένη, ῥηϊδίη ἡ κατάτασις τοῖσι θεήσασιν τὴν χειρῶνα. ἐ μὲν ὑξέτερος τῷ βραχίονος ἐμβάλλονται ὠθέειν. ἐ δὲ ἐς ἐ τῷ πήχεος ὀστέον ἐ παρὲκ ἐ ἄρθρον ἐμβάλλονται ἀπωθέειν. ἐὰν αὖ ἐν τρόπον ἄμφω κατὰ μὲν τοι ἡ τοιαύτη κατάτασις τῷ τοιούτου ὀλισθήματος δικαιοτάτη. ἐμβληθεὶς δὲ μὴ ἀχρὶ τῆς ἐς ἰθὺ κατάτασις. κατὰ δὲ ἡ οὕτω. ὧδε δὲ ἐς τοῦμπροσθεν ὀλισθῇ ὁ βραχίων. ἐλαχίστας μὲν ὄφις γίνεται. ἀλλὰ τὰ αὖ ὑξαρπάσης ἐκπάλησις οὐκ ἐμβάλλοι. πολλαχοῦ καὶ παρὲκ πλὴ οἰκείαν φύσιν ἐμπίπτει. κλῶ μέγα τι ὧδε κωλύειν. ταύτῃ δὲ τῇ ἐκπαλήσει μέγα τι ἐ ὑπόρρωγμενον ἐ ὑπόρρ ἐ παχύτερον τῆν ὀστέων καὶ τῆν νόμων συχνὴ κατάτασις. ὁμοίως δὲ δὴ τῶν ὑξεπάλησιν. σημεῖον δὲ τοῖς οὕτως ἐκπαλήσασιν. οὐδὲν γὰρ χρῆμα τῷ ἀγμῶνος ἡμῖραι δοκέουσιν. οὐδήλον δὲ καὶ ἐ ἄρθρον φαινόμενον. ὧδε μὲν οὖν μὴ αὐτίκα ἐμβληθῇ ἰσχυρὰ καὶ βίαιοι φλεγμοναὶ καὶ πυρετώδεες γίνονται. ὧδε δὲ δὴ αὐτίκα τις παρακτύχῃ θύμβολον. χρὴ δὲ ὀδύνιον σκληρὸν ἐλιγμένον ἀρκέσει μὴ μέγα οὐθὲν ἐ πλάγιον ἐς πλὴ κατάτην τῷ ἀγμῶνος ὑξαπίνης ξυγκάμπαι ἐν ἀγμῶνα, καὶ προσαγαγεῖν ὡς μάλιστα πλὴ χεῖρα πρὸς ἐν ὦμον. ἡ κατὰ μὲν οὖν αὐτὴ ἡ ἐμβολὴ τοῖσιν οὕτω ἐκπαλήσασιν. ἀτὰρ καὶ ἐς ἐ ἰθὺ κατάστασις, δύναται θυμβετίζειν ὧδε ἐν ζόπον τῆς ἐμβολῆς, τοῖσι μὲν τοι θεήσασι τῆς χειρὸς χρή. ἐν μὲν ἐμβάλλονται ἐς ἐ τῷ βραχίονος ὑξέχον τὸ παρὲκ πλὴ κάμπην ὀπίσω ἀπωθέειν. ἢν δέ τινα κατώσειν ἐς τὸ τῷ ἀγμῶνος ὀξὺ ἐμβάλλονται αὐτῶθειν ἐς πλὴ ἰθυωείλω τῷ πήχεος ἐ πόντα. δύναται δὲ οἱ τουτέῳ τῷ τρόπῳ ὀλισθήσιος κατὰ κεῖνη ἡ κατάτασις ἡ πρόσθεν γεγραμμένη ὡς χρὴ κατατείνειν τὰ ὀστέα τῷ βραχίονος κατεκτηνότα, ἐπὴν μέλλωσιν ἐπιδεῖσθαι. ἐπὴν δὲ κατατανθῇ οὕτω χρὴ τοῖσι θεήσασιν τὰς προσβολὰς ποιέεσθαι, ὡς πρῶτα καὶ πρόσθεν γέγραπται. ὧδε δὲ ἐς τοὐπίσω βραχίων ἐκπέσῃ, ὀλιγάκις δὲ ὧδε γίνεται, ἐπῳδύω ὡ τα τον δὲ ὧδε πάντων καὶ πυρετωδέστατον ξυνεχέων πυρετῶν καὶ ἀχρηχόλων θανατωδέων καὶ ὀλιγαμυρέων. ὁ τοιοῦτοι ἐκτανύειν οὐ δύνανται. ὧδε μὲν οὖν αὐτὴμα παρατύχοις διάσασθαι χρὴ ἐκτανύζοντα τον ἀγκῶνα, καὶ αὐτόματον ἐμπίπτει. ὧδε δέ γε φθάσῃ πυρετήνασ', οὐκέτι χρὴ ἐμβάλλειν κατατείνειν γὰρ ἀὴ ὀδύνη ἀναγκαζομένου. ὡς δὲ σὺ κεφαλαίω ἐρῆσθαι, οὐδ' ἄλλο χρὴ ἄρθρον πυρετοῦντι ἐμβάλλειν. ἥκιστα δὲ ἀγκῶνα. ἔστι δὲ καὶ ἄλλα σύνεα κατ' ἀγκῶνα καὶ ὀλιγάδε. ὧδε μὲν γὰρ τὸ παχύτερον ὅσέων ἔστιν ὅτε ἐκνήθη ἀχρὶ τῷ ἐτέρου καὶ οὔτε ξυγκάμπτειν, οὔτε κατατανύειν ὁμοίως δύναται. δῆλον δὲ γίνεται φαινόμενον κατὰ πλὴ σύγκαμψιν τῷ ἀγμῶνος παρὰ πλὴ διαχίδα τῆς φλεβὸς πλὴ ἀπωθεν τῷ μυὸς τείνουζαν. ὅσι δὲ τὸ τοιοῦτον οὐκ ἔτι ῥηϊδίον ἐς πλὴ ἑωυτῷ φύσιν ἀναγειν. οὐδὲ γὰρ ἄλλω οὐδὲ μάλω ῥηϊδίον ξυμφυάσασθαι κοινῇ δύο ὀστέων κινηθέζαν ἐς πλὴ ἀρχαίην φύσιν ἱδρωθῆναι, ἀλλ' ἀνάγκη ὄγκον ἴσχειν πλὴ διάστασιν. ὡς δ' ἐπιδεῖν χρὴ οἱ ἀρθρω ἐ τῇ κατὰ σφυρὸν ἐπιδέσει ἐρέεται. ἔστι δ' ὅσι κατήγυνται τῷ πήχεος τὸ ὀστέον τὸ ἔσω τα γμόσι τῷ βραχίονι. ὁτὲ μὲν τὸ χονδρώδες αὐτῷ ἀφ' οὗ πέφυκεν ὁ τένων ὄπιθεν τῷ βραχίονος, καὶ ἐπὴν ὧδε κινηθῇ πυρετώδες, καὶ κακόηθες γίνεται, τὸ μέν τοι ἄρθρον μένει οἱ τῇ ἑωυτῷ χώρῃ. ἴσως γὰρ ἡ βάσις αὐτέου ταύτη ὑπόρρηκει. ὅταν δὲ παγῇ ταύτῃ ἡ ὑπόρρηξις ἡ κεφαλὴ τῷ βραχίονος ἐλαυνομένη τὸ ἄρθρον γίνεται, ὧδε παντα πάσιν ἀποκαλιωθῇ. ἀσινέστατα δὲ ὡς οἱ κεφαλαίω ἐρῆσθαι πάντα τα κατηγυμένα τῶν ὀστέων ὧδε, ἢ ὅσι τὰ μὲν ὀστέα οὐ κατάγνυται, φλέβες δὲ καὶ νεῦρα ἐπίκαιρα ἀμφιφλᾶται, οἱ τούτοισι τοῖσι χωρείοισιν. ἐπὶ τοῦτο γὰρ θανάτου πιλάζει ταῦτα ἢ ἑκεῖνα. ὧδε ἐκπυρωθῇ ξυνεχεῖ πυρετῷ ὁλίγα γε μὲν τὰ τοιαῦτα κατήγματα γίνεται. ἔστι δ' ὅτε αὐτὴ ἡ κεφαλὴ τῷ βραχίονος κατὰ πλὴ ἐπίφυσιν κατάγνυται. ὅπω δὲ δοκέω κακοσωότερον εἶναι πολλῷ, πολλῷ πηι δυσηδέστερον τῶν κατ' ἀγκῶνα σινέων ὧδε ἐστίν. ὡς μὲν οὖν ἕκαστα τῶν ὁλισθημάτων ἁρμόσει ἐμβάλλειν μάλιστα ἰητρὸν γεγράπται. καὶ ὅτι παρακρῆμα ἐμβάλλειν μάλιστα ἀρθρον ξυμφορέει ὁκῷ τὸ πάχος τῆς φλεγμονῆς τῶν νόμων. καὶ γὰρ ὧδε ἐκπεσόντα αὐτὴκα ἔμπεσῃ, ὁμοίως φλεγει τὰ νόμων ξυνεστοῖσι ποιέεσθαι, μὴ κωλύειν ἐπὶ πόσον χρόνον τὴν τε ἔκτασιν ὁκοίη πρὸ φλέγει ποιέεσθαι, τήνδε ξύγκαμψιν. ἡ δύνειν ὁ πάντα παρακολήσας τοῦτα ξυμφορέει, καὶ ὁκόσα ἄγνυται, καὶ ὁκόσα διέστατε, ἡ ὁκόσα ὀλισθαίνει. πάντα γὰρ χρὴ ὀδυνίοισι πολλοῖσι καὶ σπλιώσιν καὶ κυρωτὴ ἡ δύνειν, ὡς πρὸ καὶ τἄλλα κατήγματα τοῦ

τα. ἐ δὲ σχῆμα τῷ ἀγμῶνος. ὧ τούτοισι δὲ καὶ παντάπασι δεῖ τοιοῦτον ποιέεσθαι, διὰ πρὸ ὅσιν ἔρχονται ἐ πελέτο κατάγεις, καὶ πῆχυς. κοινότατον μὲν γὰρ πᾶσι τοῖσιν ὀλισθήμασιν. καὶ τοῖσι κινήμασιν. καὶ τοῖσι κατήγμασιν ὧδε. ἐ σχῆμα ὅδιν. κοινότατον δὲ πρὸς πλὴ ἑ πειτε διάτασιν, καὶ ἐ ἔκτανύσιν ἔκτασα, καὶ ξυγκάμπτειν. σὺ τοῦδε γὰρ ὁλοὶ ἐς ἀμφότερα παρασκεπτοί. βουλόμεθα τον δὲ καὶ ὀλιγάκλινον αὖ τῷ πήχυνον τι ὧδε ἐ σχῆμα. ἔτι δὲ πρὸς τούτοις εἰ αἴρε κρατηθείη ὑπὸ τῷ πωρώματος. εἰ μὲν ἐκτεταμένη ἡ χεὶρ κρατηθείη, κρέασιν αὖξειν μὴ προσοῦσα. πολλῷ μὲν γὰρ κώλυμα εἶναι. ὠφελεῖη δὲ ὀλίγον. εἰ δ' αὖ ξυγκεκαμμένη, μᾶλλον ὄγκρισος ἀὴ εἶναι. πολλῷ δὲ ὄγκρισος τόδ' ἂν εἶη, ἐ ὀξὺ μέσου σχῆμα ἐ χουσα πωρωθείη κρέασιν. τὰ μὲν ὧδε τῷ σχήματος τοιαῦτα. ἐπιδεῖν δὲ χρὴ τήν τε ἀρχὴν τῷ πρώτου ὀθονίου καλλομένου κατὰ ἐ βλαφθὲν ἰῷ τε κατανῆ, ἰῷ τε ἔκσῃ, ἰῷ τε διαῖῃ. καὶ τὰς ὧδε βολὰς τὰς πρώτας κατὰ τούτου ποιέεσθαι, καὶ ὑπερείσθω μᾶλιστα ταύτῃ. σύθεν δὲ ἢ σύθεν ὧδὴ ἦσσον. πλὴ δὲ ἐπίδεσιν κοινῷ ποιέεσθαι χρὴ τῷ τε πήχεος καὶ τῷ βραχίονος, καὶ ὧδὴ πουλὺ πλέον ἐνάτερον ἢ ὡς οἱ πολλοῖσι ποιέουσιν, ὅκως ὑξωρίσατε ὡς μάλιστα ἀχρὶ τῷ σίνεος ἐ οἰδήμα σύθεν καὶ σύθεν. πρόσθορι δὲ καλλέσθω δὲ καὶ ἐ ὀξὺ τῷ πήχεος ἢ, ἰῷ τε μὴ, ἵνα ἐ οἰδήμα σὺ ταῦθα ὧδὲ αὐτα ξυλλέγηται. ὧδὲ φθάγειν δὲ χρὴ σὺ τῇ ἐπιδέσει, ὅκως μὴ κατὰ πλὴ κάμπην πολλῷ τῷ ὀθενίου ἠθεισμένον ἔσται ἐν τῷ δωακτῦλ. πεπίχθαι δὲ κατὰ ἐ σίνος ὡς μάλιστα, καὶ τὰ ἄλλα κατα λαβέτω αὖ ἐν ὧδὲ τῆς πτέρεις καὶ τῆς χαλάσιος τῷτα. καὶ κατὰ θὴν αὐτὸν χρόνους ἑκάστα ὡς πρῶτα τῆν ὀστέων τῆν κατεκτηνότων σὺ τῇ ἰητρείῃ πρόσθεν γέγραπται. καὶ αἱ μετεπιδέσεις ὁμῶς τετάρτης ἐσωζειν. χαλαῦ δὲ δοκέεσθω τῇ τετάρτῃ ὡς πρῶτα καὶ τότε καὶ ἐν ἀρῤῥηκτοις προσβοράβαλλειν σὺ τῷ ἰκνευμένῳ χρόνῳ. οὐδὲν γὰρ ἀχρὶ τόπου. καὶ τοῖσι τὰ ὀστέα κατεκτηνόσι, καὶ τοῖσι μὴ, ἰῷ μὴ πυρετεύειν. ὡς χαλαρωτάτους δὲ δὴν μὲν, ἀχρὶ τῷ βραχίονος κατατεταμένους. ὧδὲ δὲ, ἀχρὶ τῷ πήχεος κεκμηκότος. ἐσωζειν δὲ μὴ παχέες οἱ ἀρῤῥηκες. ἀναγκαῖον δὲ καὶ αὖ ἰσους αὐτὸν εἶναι ἀλλήλοισιν. παρεμβάλασειν δὲ πειρ ἀλλήλους. ἢ αὖ ξυμφορέει τεκμαιρόμενον πρὸς πλὴ ξύγκαμψιν. ἀτὰρ καὶ τῆν κατλλων πλὴ πρόσθεσιν τοιαύτην χρὴ ποιέεσθαι. ὡς πρῶτα καὶ τῆν ναρθήκων ἐρέεται. ὄγκρισος δὲ ὁλίσθαινει. ὡς πρῶτα καὶ τῆν ὀξέων ὧδε ἐστίν. ὁ γκρισος δὲ ὁλίσθαινει. πάντα γὰρ χρὴ ὀδυνίοισι πολλοῖσι καὶ σπλιώσιν καὶ κυρωτὴ ἡ δύνειν, ὡς πρὸ καὶ τἄλλα κατήγματα τοῦ

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΡΘΡΩΝ.

Μου δὲ ἄρθρον σὺα πρόπον ὅιδε ὀλισθαίνειν ἐν ἐς πλὴ μαχάλλω. ἄνω δὲ, οὐ δὲ ποτε εἴδον, οὐδὲ ἐς ἐ ἔξω. οὐ μέντοι δὶ ἴσχυρείω γε, εἰ ὀλισθαίνοι ἀὴ, ἢ οὔ, καὶ πρὸ ἔχων ὧδὲ αὐτῷ, ὁ, τι λέγω, ἀτὰρ, οὐδὲ ἐς ἐ ἔμπροσθεν οὐδέπω ὅπως πα οὐ δὲ ὧδε ὅτι ἔδοξέ μοι ὠλισθηκέναι, τοῖσι μὲν τοι ἰατροῖσι δοκέει κάρτα ἐς τοῦμπροσθεν ὀλισθαίνειν, καὶ μάλιστα ὑξαπατῆν ται σὺ τούτοισιν, ὧν αὖ φθίσις κατὰ λάβῃ τὰς σάρκας τὰς πρὸ ἐ ἄρθρον τε ἰῷ ἦν βραχίονα. φαίνεται γὰρ σὶ τοῖσι τοιούτοισι παντάπασιν ἡ κεφαλὴ τῷ βραχίονος, ὑξέχουσα ἐς τοῦμπροσθεν. ἐγὼ δὲ ποτὲ ἐ τοιοῦτον οὐ σφὰς ἐκπεπωκέναι ἤκουσα φλαύρως ὑπό τε τῆν ἰατρῶν, ὑπό τε τῆν δημοτέων ὅτε ὧδε ἐ πρᾶγμα, ἐδόκεον γὰρ αὐτοῖσι ἠγνωκέναι, μοῦνος, οἱ δὲ ἄλλοι πάντες ἐγνωκέναι, καὶ οὐκ ἂν δυνάμω αὐτὸν ἀναγνῶναι, εἰ μὴ μόλις ὅτι ἐ ὀξὺ τοιόνδε. εἴ τις τῷ βραχίονος μὲν τῆν ὠμέων πλὴ ἔπω μέλα, μὲν λώσειε δὲ, ἢ ὁμῦς ἀνατείνει. μὲν λώσειε δὲ, ἐν τένοντα, ἐν κατὰ πλὴ μαχάλλω ἢ πλὴ κλιτὺν πρὸς ἐ σῆμος ἔχοντα, φαίνοιτο ἂὴ κεφαλὴ τῷ ὠμέων ἐς τοῦμπροσθεν ὑξέχουσα ἰσχυρῶς, καὶ περ ἂν ἐκπεπωκυῖα. πέφυκε δὲ ἐς τοῦμπροσθεν, προπετὴς ἡ κεφαλὴ τῷ βραχίονος. τὸ δ' ἄλλο ὀστέον τῷ βραχίονος, ἐς ἐ ἔξω κάμπυλον. ὁμαλέει δὲ ὁ βραχίων τῷ κοίλω τῆς ὠμοπλάτης πλάγιος, ὅταν μὲν τὰς πλείστας παρατεταμένος ἔῃ ὅταν μεν τοι ἐς τοῦμπροσθεν ἐκτανυσθῇ ἡ ξύμπασα χεὶρ, τότε ἡ κεφαλὴ τῷ βραχίονος, κατ' ἶξιν τῆς ὠμοπλάτης τῷ κοίλω γίνεται, μὴ οὐκέτι ὑξέχειν ἐς τοῦμπροσθεν φαίνεται. πῦ οὖν ὁ λόγος, οὐδὲ ποτε εἴδον, οὐ δὲ ἐς τοῦμπροσθεν ἐκπεσὸν οὐ μὲν ἰσχυρείω γε οὐ δὲ πω δὲ τούτου, εἰ μὴ ἐκπεσὸν αὖ οὕτως, ἢ οὔ. ὅταν οὖν ἐκπέσῃ ὁ βραχίων ἐς πλὴ μαχάλλω, ἄτε πολλοῖσιν ἐκπίπτοντος, πολλοὶ ἐπίστανται ἐμβάλλειν. δύπαν δὲ λύθυτον δὲ ὅτι ἐ εἰδέναι πάντας τῷ τρόπους οἵσιν οἱ ἰητροὶ ἐμβάλλουσι. μὴ ὡς ἂν τις αὐτοῖσι τοῖσι δόκιμοισι τούτοισι μάλιστα χρῶτο. χρεὼν δὲ χρὴ τῷ κρατίστῳ τῷ δόκιμον ἰῷ πλὴ ἰσχυροτάτην ἀνάγκην ὁρᾶς. κράτιστος δὲ ὁ ὕστατος γεγραφόμενος. ὁ οἷσι μὲν ἂν πυκνὰ ἐκπίπτει ὁ ὦμος, ἐκκυκλοῦσιν ὡδὶ ἐ τοιοῦτον αὐτοῖσιν αὐτοῖσιν ἐμβάλλειν εἰσιν. σύθεν τες ἐκ τῆς ἑτέρης χειρὸς τὸν ἀγκῶνα τὸν ὄγκλους ἐς πλὴ μαχάλλω, ἀναγκάζουσιν ἄνω ἐ ἄρθρον, τόνδε ἀγκῶνα παρέχουσιν ὧδὶ ἐ σῆμος. ἐν αὖ ἐν δὲ ἔδοξεν ὧδε καὶ ὁ ἰατρὸς ἂὴ ἐμβάλλοι, εἰ αὖ ἐς μὲν ὀπίσω πλὴ μαχάλλω, ἐσωτέρω τῷ ἄρθρου ἐκπεπωκότος, ὁ ποτείνασ' τὸν ἀγκῶνα ἀπαναγκάζοι ἀχρὶ τῆν πλευρέων ἐμβάλλειν πλὴ ἑωυτῷ κεφαλὴν ἐς ἐ ἀκρώμιον, αὐτερείσιος σθένος, τοῖσι δὲ γουάσι πο-

ἐς τὸν ἀγκῶνα ἐς τὸν βραχίονα ἐμβαλὼν ἀντωθέειν πρὸς τὰς πλευράς. ξυμφέρει δὲ καὶ ἑτέρας τὰς χεῖρας ἔχειν τὸν ἐμβάλλοντα, ἢ αὐτὸς μὲν τῇσι χερσὶ καὶ τῇ κεφαλῇ, οὕτω ποιέειν. ἄλλος δέ τις τὸν ἀγκῶνα παράγοι παρὰ τὸ στῆθος. ἔστι δὲ ἐμβολὴ ὤμου, καὶ ἐς τοὐπίσω ὑποβάλλοντα τὸν πῆχυν ἐπὶ τὴν ῥάχιν, ἔπειτα τῇ μὲν ἑτέρῃ χειρὶ ἀνακλᾶν ἐς τὸ ἄνω τοῦ ἀγκῶνος ἐχόμενον, τῇ δὲ ἑτέρῃ παρὰ τὸ ἄρθρον ὄπισθεν ἐρείδειν. αὕτη ἡ ἐμβολή, καὶ ἡ πρόσθεν εἰρημένη, οὐ κατὰ φύσιν ἐοῦσαι, ὅμως ἀμφιβάλλουσαι τὸ ἄρθρον, ἀναγκάζουσιν ἐμπίπτειν. οἱ δὲ τῇ πτέρνῃ πειρώμενοι ἐμβάλλειν ἐγγύς τι τοῦ κατὰ φύσιν ἀναγκάζουσι. χρὴ δὲ τὸν μὲν ἄνθρωπον, χαμαὶ κατακλῖναι ὕπτιον, τὸν δὲ ἐμβάλλοντα χαμαὶ ἵζεσθαι ἐφ' ὁπότερα ἂν τὸ ἄρθρον ἐκπεπτώκῃ. ἔπειτα λαβόμενον τῇσι χερσὶ τῇσιν ἑωυτοῦ, τῆς χειρὸς τῆς σιναρῆς, κατατείνειν αὐτήν, τὴν δὲ πτέρνην ἐς τὴν μασχάλην ἐμβάλλοντα ἀντωθέειν, τῇ μὲν δεξιῇ, ἐς τὴν δεξιήν, τῇ δὲ ἀριστερῇ, ἐς τὴν ἀριστερήν. δεῖ δὲ ἐς τὸ κοῖλον τῆς μασχάλης, ἐνθεῖναι στρογγύλον τι ἐναρμότερον. ἐπιτηδειόταται δὲ αἱ πάνυ σμικραὶ σφαῖραι καὶ σκληραί, οἷαι πολλαὶ ἐκ τῶν σκυτέων ῥάπτονται, ἢν γὰρ μή τι τοιοῦτον ἐγκέηται, οὐ δύναται ἡ πτέρνη ἐξικνέεσθαι πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος. κατατεινομένης γὰρ τῆς χειρὸς κοιλαίνεται ἡ μασχάλη, οἱ γὰρ τένοντες οἱ ἔνθεν καὶ ἔνθεν τῆς μασχάλης ἀντισφίγγοντες ἐναντίοι εἰσί. χρὴ δέ τινα ἐπὶ θάτερα τοῦ κατατεινομένου καθήμενον κατέχειν κατὰ τὸν ὑγιέα ὦμον ὡς μὴ περιέλκηται τὸ σῶμα τῆς χειρὸς τῆς σιναρῆς ἐπὶ θάτερα τεινομένης. ἔπειτα ἱμάντος μαλθακοῦ πλάτος ἔχοντος ἱκανόν, ὅταν ἡ σφαῖρα ἐντεθῇ ἐς τὴν μασχάλην, περὶ τὴν σφαίρην περιβεβλημένου τοῦ ἱμάντος, καὶ κατέχοντος λαβόμενον ἀμφοτέρων τῶν ἀρχῶν τοῦ ἱμάντος, ἀντικατατείνειν τινὰ ὑπὲρ κεφαλῆς τοῦ κατατεινομένου καθήμενον τῷ ποδὶ προσβάντα πρὸς τοῦ ἀκρωμίου τὸ ὀστέον, ἡ δὲ σφαίρη ὡς ἐσωτάτω καὶ ὡς μάλιστα πρὸς τῶν πλευρέων κείσθω, καὶ μὴ ἐπὶ τῇ κεφαλῇ τοῦ βραχίονος. ἔστι δὲ καὶ ἄλλη ἐμβολή, ὡς κατωμίζουσιν ἐς ἄνθρωπον. μείζω μέντοι εἶναι χρὴ τὸν κατωμίζοντα, διαλαβόντα δὲ τὴν χεῖρα, ὑποθεῖναι τὸν ὦμον τὸν ἑωυτοῦ ὑπὸ τὴν μασχάλην ὀξύν. κἄπειτα ὑποστρέψαι, ὡς ἂν ἐνίζηται ἕδρη, οὕτω στοχασάμενον ὅκως ἀμφὶ τὸν ὦμον τὸν ἑωυτοῦ κρεμάσαι τὸν ἄνθρωπον κατὰ τὴν μασχάλην. αὐτὸς δὲ ἑωυτὸν ὑψηλότερον ἐπὶ τοῦτον τὸν ὦμον ποιεέτω, ἢ ἐπὶ τὸν ἕτερον. τοῦ δὲ κρεμαμένου τὸν βραχίονα πρὸς τὸ ἑωυτοῦ στῆθος προσαναγκαζέτω ὡς τάχιστα. ἐν τούτῳ δὲ τῷ σχήματι προσκευασείετο, ὁκόταν μετεωρίσῃ τὸν ἄνθρωπον ὡς ἀντιρρέποι τὸ ἄλλο σῶμα αὐτῷ, ἀντίον τοῦ βραχίονος τοῦ κατεχομένου. ἢν δὲ ἄγαν κοῦφος ᾖ ὁ ἄνθρωπος, προσεπικρεμασθήτω τούτου ὄπισθεν τις κοῦφος παῖς. αὗται δὲ αἱ ἐμβολαὶ πᾶσαι κατὰ παλαίστρην εὔχρηστοί εἰσιν, ὅτι οὐδὲν ἀλλοίων ὀργάνων δέονται ἐπεισενεχθῆναι. χρήσαιτο δ' ἄν τις καὶ ἄλλοθι. ἀτὰρ καὶ οἱ περὶ τὸ ὕπερον ἀναγκάζοντες, ἐγγύς τι τοῦ κατὰ φύσιν ἐμβάλλουσι. χρὴ δὲ τὸ μὲν ὕπερον κατειλῆχθαι ταινίῃ τινὶ μαλθακῇ, ἧσσον γὰρ ἂν ὑπολισθάνοι, ὑπαναγκάσθαι δὲ μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος. ἀλλ' ἢν μὲν βραχὺ ᾖ τὸ ὕπερον, καθῆσθαι χρὴ τὸν ἄνθρωπον ἐπί τινος, ὡς μόλις τὸν βραχίονα περιβάλλειν δύνηται περὶ τὸ ὕπερον. μάλιστα δὲ ἔστω μακρότερον τὸ ὕπερον, ὡς ἂν ἑστεὼς ὁ ἄνθρωπος, κρέμασθαι μικροῦ δέῃ ἀμφὶ τῷ ξύλῳ. κἄπειτα ὁ μὲν βραχίων καὶ ὁ πῆχυς παρατεταμένος περὶ τὸ ὕπερον ἔστω. τὸ δὲ ἐπὶ θάτερα τοῦ σώματος, καταναγκαζέτω τις περιβάλλων κατὰ τὸν αὐχένα παρὰ τὴν κληῗδα τὰς χεῖρας. αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν ἐπιεικέως ἐστίν. καὶ ἐμβάλλειν δύναται, ἢν χρηστῶς σκευάσωνται αὐτήν. ἀτὰρ καὶ ἡ διὰ τοῦ κλιμακίου ἑτέρη τις τοιαύτη, καὶ ἔτι βελτίων, ὅτι ἀσφαλεστέρως ἂν τὸ σῶμα τὸ μὲν τῇ, τὸ δὲ τῇ, ἀντισηκωθείη μετεωρισθέν, περὶ γὰρ τὸ ὑπεροειδὲς ὁ ὦμος εἰ καὶ καταπεπείγει, περισφάλλεσθαι τὸ σῶμα κίνδυνος, ἢ τῇ, ἢ τῇ. χρὴ μέντοι καὶ ἐπὶ τῷ κλιμακτῆρι ἐπιδεδέσθαι τι ἄνωθεν στρογγύλον ἐναρμόσσον ἐς τὸ κοῖλον τῆς μασχάλης, ὃ προσδιαναγκάσῃ τὴν κεφαλὴν τοῦ βραχίονος ἐς τὴν φύσιν ἀπιέναι. κρατίστη μέντοι πασέων ἐμβολέων, ἡ τοιήδε. ξύλον χρὴ εἶναι πλάτος μὲν ὡς πεντεδάκτυλον, ἢ τετραδάκτυλον τὸ ἐπίπαν. πάχος δέ, ὡς διδάκτυλον, ἢ καὶ λεπτότερον. μῆκος δέ, δίπηχυ, ἢ ὀλίγῳ ἔλασσον. ἔστω δὲ ἐπὶ θάτερα τὸ ἄκρον περιφερὲς καὶ στενότατον ταύτῃ καὶ λεπτότατον. ἄμβην δὲ ἐχέτω, μικρὸν ὑπερέχουσαν ἐπὶ τῷ ὑστάτῳ τοῦ περιφερέος ἐν τῷ μέρει, ἀλλὰ μὴ τῷ πρὸς τὰς πλευράς, ἀλλὰ τῷ πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος ἔχοντι, ὡς ὑφαρμόσειεν τῇ μασχάλῃ παρὰ τὰς πλευρὰς ὑπὸ τὴν κεφαλὴν τοῦ βραχίονος ὑποτιθέμενος. ὀθονίῳ δέ, ἢ ταινίῃ μαλθακῇ, κατακεκολλήσθω ἄκρην τὸ ξύλον, ὅκως προσηνέστερον ᾖ. ἔπειτα χρὴ ὑπώσαντα τὴν κεφαλὴν τοῦ ξύλου, ὑπὸ τὴν μασχάλην ὡς ἐσωτάτω, μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος, τὴν δὲ ὅλην χεῖρα πρὸς τὸ ξύλον κατατείνοντα προσκαταδῆσαι κατά τε τὸν βραχίονα, κατά τε τὸν πῆχυν, κατά τε τὸν καρπὸν τῆς χειρός, ὡς ἂν ἀτρεμέῃ ὅτι μάλιστα. περὶ παντὸς δὲ χρὴ ποιέεσθαι, ὅκως τὸ ἄκρον τοῦ ξύλου, ὡς ἐσωτάτω τῆς μασχάλης ἔσται, ὑπερβεβηκὸς τὴν κεφαλὴν τοῦ βραχίονος. ἔπειτα χρὴ μεσηγὺ δύο στύλων στρωτῆρα πλάγιον εὖ προσδῆσαι, ἔπειτα ὑπερενεγκεῖν τὴν χεῖρα ξὺν τῷ ξύλῳ ὑπὲρ τοῦ στρωτῆρος, ὅκως ἡ μὲν χείρ, ἐπὶ θάτερα ᾖ, ἐπὶ θάτερα δέ, τὸ

σῶμα. κατὰ

σῶμα. κατὰ δὲ τὴν μασχάλην, ὁ στρωτήρ. κἄπειτα ἐπὶ μὲν θάτερα τὴν χεῖρα καταναγκάζειν ξὺν τῷ ξύλῳ περὶ τὸν στρωτῆρα. ἐπὶ θάτερα δέ, τὸ ἄλλο σῶμα. ὕψος δὲ ἔχων ὁ στρωτὴρ προσδεδέσθω, ὥστε μετέωρον τὸ ἄλλο σῶμα εἶναι, ἐπ' ἄκρων τῶν ποδῶν. οὗτος ὁ τρόπος παραπολὺ κράτιστος ἐμβολῆς ὤμου, δικαιότατα μὲν γὰρ μοχλεύει, ἢν καὶ μόνον ἐσωτέρω ᾖ τὸ ξύλον τῆς κεφαλῆς τοῦ βραχίονος, δικαιόταται δὲ αἱ ἀντιρροπαί, ἀσφαλέες δὲ τῷ ὀστέῳ τοῦ βραχίονος. τὰ μὲν οὖν νεαρὰ ἐμπίπτει θᾶσσον, ἢ ὡς ἄν τις οἴοιτο πρὶν ἢ κατατετάσθαι δοκέειν. ἀτὰρ καὶ τὰ παλαιὰ μούνη αὕτη τῶν ἐμβολέων οἵη τε ἐμβιβάσαι. ἢν μὴ ἤδη ὑπὸ χρόνου σὰρξ μὲν ἐπεληλύθῃ ἐπὶ τὴν κοτύλην, ἡ δὲ κεφαλὴ τοῦ βραχίονος ἤδη τρίβον ἑωυτῇ πεποιημένη ᾖ ἐν τῷ χωρίῳ ἵνα ἐξεκλίθη, οὐ μὴν ἀλλ' ἐμβάλλειν γάρ μοι δοκέει, καὶ οὕτω πεπαλαιωμένον ἔκπτωμα τοῦ βραχίονος. τί γὰρ ἂν δικαίη μόχλευσις οὐχὶ κινήσειεν, μένειν μέντοι οὐκ ἄν μοι δοκέῃ κατὰ χώρην, ἀλλ' ὀλισθαίνειν ὡς ἂν τὸ ἔθος. τὸ αὐτὸ δὲ ποιέει καὶ περὶ κλιμακτῆρα, καταναγκάζειν τοῦτον τὸν τρόπον σκευάσαντα. πάνυ μὴν ἱκανῶς ἔχει, καὶ περὶ μέγα ἔθος θεσσαλικὸν ἀναγκάζειν ἢν νεαρὸν ᾖ τὸ ὀλίσθημα, ἐσκευάσθαι μέντοι χρὴ τὸ ξύλον, ὥσπερ εἴρηται. ἀτὰρ τὸν ἄνθρωπον καθίσαι πλάγιον ἐπὶ τῷ δίφρῳ. κἄπειτα τὸν βραχίονα ξὺν τῷ ξύλῳ ὑπερβάλλειν ὑπὲρ τοῦ ἀνακλισμοῦ. καὶ ἐπὶ μὲν θάτερα τὸ σῶμα καταναγκάζειν. ἐπὶ δὲ θάτερα, τὸν βραχίονα σὺν τῷ ξύλῳ. τὸ αὐτὸ δὲ ποιέειν ἀναγκάζειν, καὶ ὑπὲρ δικλειδος θύρης. χρέεσθαι δὲ τούτοισιν, ἃ ἂν τύχῃ παρεόντα. εἰδέναι μὲν οὖν χρή, ὅτι φύσιες φυσίων μέγα διαφέρουσιν, ἐς τὸ ῥηϊδίως ἐμπίπτειν τὰ ἐκπίπτοντα. διενέγκοι μὲν γὰρ ἄν τι, καὶ κοτύλη κοτύλας. ἡ μέν, εὐυπέρβατος ἐοῦσα. ἡ δέ, ἧσσον. πλεῖστον δὲ διαφέρει καὶ τῶν νεύρων ὁ σύνδεσμος, τοῖσι μέν, ἐπίδοσιν ἔχων, τοῖσι δέ, ξυντεταμένος ἐών. καὶ γὰρ ἡ ὑγρότης τοῖσιν ἀνθρώποισι γίνεται ἡ ἐκ τῶν ἄρθρων διὰ τῶν νεύρων τὴν ἀπάρτισιν. ἢν χαλαρά τε ᾖ φύσει, καὶ τὰς ἐπιτάσιας εὐφόρως φέρει. συχνοὺς γὰρ ἄν τις ἴδοι οἵ οὕτως ὑγροί εἰσιν, ὥστε ὁπόταν ἐθέλωσιν, τότε αὐτοῖσι τὰ ἄρθρα ἐξίστανται ἀνωδύνως, καὶ καθίστανται ἀνωδύνως. διαφέρει μέντοι καὶ ἕξις τις σώματος. τοῖσι μὲν γὰρ εὖ ἔχουσι τὸ γυῖον καὶ σεσαρκωμένοισιν ἐκπίπτει τε ἧσσον, ἐμπίπτει τε χαλεπώτερον. ὅταν δὲ αὐτοὶ σφῶν αὐτῶν λεπτότεροι καὶ ἀσαρκότεροι ἔωσι, τότε ἐκπίπτει τε μᾶλλον, ἐμπίπτει τε ῥᾷον. σημεῖον δὲ ὅτι ταῦτα οὕτως ἔχοι, τόδε. τοῖσι γὰρ βουσί, τότε ἐκπίπτουσι μᾶλλον οἱ μηροὶ ἐκ τῆς κοτύλης, ἡνίκα ἂν αὐτοὶ σφῶν αὐτῶν λεπτότατοι ἔωσι. γίνονται δὲ καὶ βόες λεπτότατοι, τοῦ χειμῶνος τελευτῶντος. τότε οὖν καὶ ἐξαρθρέουσι μάλιστα. εἰ δή τι καὶ τοιοῦτο δεῖ ἐν ἰητρικῇ γράψαι, δεῖ δέ. καλῶς γὰρ Ὅμηρος καταμεμαθήκει ὅτι πάντων τῶν προβάτων βόες ὅτι μάλιστα πονέουσι ταύτην τὴν ὥρην, καὶ βοῶν οἱ ἀρόται, ὅτι κατὰ τὸν χειμῶνα ἐργάζονται. τούτοισι τοίνυν ἐκπίπτει μάλιστα. οὗτοι γὰρ μάλιστα λεπτύνονται. τὰ μὲν γὰρ ἄλλα βοσκήματα δύναται βραχεῖαν τὴν ποίην βόσκεσθαι. βοῦς δὲ οὐ μάλα πρὶν βαθεῖα γένηται. τοῖσι μὲν γὰρ ἄλλοισιν ἐστὶ λεπτὴ ἡ προβολὴ τοῦ χείλεος. λεπτὴ δὲ ἡ ἄνω γνάθος. βοῒ δὲ παχεῖα μὲν ἡ προβολὴ τοῦ χείλεος. παχεῖα δὲ ἡ ἀμβλεῖα ἡ ἄνω γνάθος. διὰ ταῦτα ὑποβάλλειν ἐς τὰς βραχείας πόας οὐ δύνανται. τά τε αὖ μώνυχα τῶν ζώων, ἅτε ἀμφόδοντα ἐόντα, δύναται μὲν σαρκάζειν. δύναται δὲ ὑπὸ τὴν βραχεῖαν ποίην ὑποβάλλειν τοὺς ὀδόντας. καὶ ἥδεται τῇ οὕτως ἐχούσῃ ποίῃ μᾶλλον, ἢ τῇ βαθείῃ. καὶ γὰρ τὸ ἐπίπαν ἀμείνων, καὶ στερεωτέρη ἡ βραχεῖα ποίη τῆς βαθείης, ὅτι καὶ πρὶν ἐκκαρπεῖν τὴν βαθεῖαν. διὰ τοῦτο οὖν ἐποίησεν ὧδε τάδε τὰ ἔπη. ὡς δ' ὁπότ' ἀσπάσιον ἔαρ ἤλυθε βουσὶν ἕλιξιν. ὅτι ἀσμενωτάτη τοῖσιν αὐτοῖσιν ἡ βαθεῖα ποίη φαίνεται. ἀτὰρ καὶ ἄλλως ὁ βοῦς χαλαρὸν φύσει τὸ ἄρθρον τοῦτο ἔχει μᾶλλον τῶν ἄλλων. διὰ τοῦτο καὶ εἰλίποδες εἰσὶ μᾶλλον τῶν ἄλλων ζώων. καὶ μάλιστα ὅταν λεπτὸν καὶ γηραλέον ᾖ. διὰ ταῦτα πάντα καὶ ἐκπίπτει βοῒ μάλιστα. πλείω δὲ γέγραπται περὶ αὐτοῦ. ὅτι πάντων τῶν προειρημένων ταῦτα μαρτύριά ἐστι, περὶ οὗ νῦν ὁ λόγος. τοῖσιν ἀσάρκοισι μᾶλλον ἐκπίπτει, ὡς θᾶσσον ἐμπίπτειν, ἢ τοῖς εὖ σεσαρκωμένοισι. καὶ ἧσσον ἐπιφλεγμαίνουσι, τοῖσιν ὑγροῖσιν καὶ τοῖσιν ἀσάρκοισιν. ἢ τοῖσι σκελιφροῖσι, καὶ σεσαρκωμένοις. καὶ ἧσσον γε δέδεται ἐς τὸν ἔπειτα χρόνον. ἀτὰρ καὶ ἡ μύξα πλείων ὑπείη τοῦ μετρίου μὴ ξὺν φλεγμονῇ. καὶ οὕτως ἂν ὀλισθηρὸν εἴη. μυξωδέστερα τοὐπίπαν τὰ ἄρθρα τοῖσιν ἀσάρκοισιν, ἢ τοῖσι σεσαρκωμένοισιν ἐστίν. καὶ γὰρ αὗται αἱ σάρκες, τῶν μὴ ἀπὸ τέχνης ὀρθῶς λελιμαγχημένων. αἱ τῶν λεπτῶν, μυξωδέστεραί εἰσιν, ἢ αἱ τῶν παχέων. ὅσοισι μέντοι ξὺν φλεγμονῇ μύξα ὑπογίνεται, ἡ φλεγμονὴ δήσασα ἔχει τὸ ἄρθρον. διὰ τοῦτο οὐ μάλα ἐκπίπτει τὰ ὑπόμυξα. ἐκπίπτοντα ἂν εἰ μή τι πλέον ἢ ἔλασσον φλεγμονῆς ὑπεγένετο. οἷσι μὲν οὖν ὅταν ἐμπέσῃ τὸ ἄρθρον, καὶ μὴ ἐπιφλεγμήνῃ τὰ περιέχοντα, χρῆσθαί τε ἀνωδύνως αὐτίκα τῷ ὤμῳ δύνανται, οὗτοι μὲν οὐδὲν νομίζουσι δεῖν ἑωυτῶν ἐπιμελέεσθαι. ἰητροῦ μὴν ἐστὶ καταμαντεύσασθαι τῶν τοιούτων. τοῖσι τοιούτοισιν ἐκπίπτει, καὶ αὖθις μᾶλλον καὶ οἷσιν ἂν ἐπιφλεγμήνῃ τὰ νεῦρα. τοῦτο κατὰ πάντα τῷ ἀνθρώπῳ οὕτως ἔχει. καὶ μάλιστα κατ' ὦμον καὶ κατὰ γόνυ. μάλιστα γὰρ οὖν καὶ ὀλισθαίνει ταῦτα. οἷσι δ' ἂν ἐπιφλεγμήνῃ τὰ νεῦρα, οὐ δύνανται χρέεσθαι τῷ ὤμῳ. κωλύει γὰρ ἡ ὀδύνη καὶ ἡ ξύντασις τῆς φλεγμονῆς. τοὺς οὖν τοιούτους ἰῆσθαι χρὴ κηρωτῇ καὶ σπλήνεσι

καὶ ὀθονίοισι πολλοῖσιν ὑποδέονται. ὑποτιθέασι δὲ ἐς τὴν μασχάλην εἴριον μαλθακὸν καθαρὸν ξυνειλίξαντα, ἐκπλήρωμα τοῦ κοίλου ποιέοντα, ἵνα αὐτὸ στήριγμα μὲν τῇ ἐπιδέσει ᾖ, ἀνακωχὴ δὲ τὸ ἄρθρον. τὸν δὲ βραχίονα ἐς τὸ ἄνω φέροντα, ἴσχειν χρὴ τὰ πλεῖστα. οὕτω γὰρ ἂν οἱ ἑκάσω εἴη τοῦ χωρίου ἐς ὃ ὠλίσθανεν ἡ κεφαλὴ τοῦ ὤμου. χρὴ δὲ ὅταν ἐπιδήσῃς τὸν ὦμον, ἔπειτα προσκαταδεῖν τὸν βραχίονα πρὸς τὰς πλευρὰς ταινίῃ τινὶ κύκλῳ περὶ τὸ σῶμα περιβάλλοντα. χρὴ δὲ καὶ ἀνατρίβειν τὸν ὦμον ἡσυχέως καὶ λιπαρῶς. πολλῶν δὲ ἔμπειρον δεῖ εἶναι τὸν ἰατρόν, ἀτὰρ δὴ καὶ ἀνατρίψιος. ἀπὸ γὰρ τοῦ αὐτοῦ ὀνόματος οὐ τὸ αὐτὸ ἀποβαίνει. καὶ γὰρ ἂν δήσειεν ἄρθρον ἀνάτριψις, χαλαρώτερον τοῦ καιροῦ ἐόν, καὶ λύσειεν ἄρθρον, σκληρότερον τοῦ καιροῦ ἐόν. ἀλλὰ διοριεῖται ἡ μὲν περὶ ἀνατρίψιος ἐν ἄλλῳ λόγῳ. τὸν γοῦν τοιοῦτον ὦμον μαλθακοῖσι χρὴ χερσὶν ἀνατρίβειν, συμφέρει γάρ, καὶ ἄλλως πρηέως. τὸ δὲ ἄρθρον διακινέειν μὴ βίῃ, ἀλλὰ τοσοῦτον, ὅσον ἀνωδύνως κινήσεται. καθίσταται δὲ πάντα. τὰ μὲν ἐν πλείονι χρόνῳ. τὰ δ' ἐν ἐλάσσονι. γινώσκειν δέ, εἰ ἐκπέπτωκεν ὁ βραχίων τοῖσι δὲ χρὴ τοῖσι σημείοισι. τοῦτο μὲν ἐπειδὴ δίκαιον ἔχουσι τὸ σῶμα οἱ ἄνθρωποι, καὶ τὰς χεῖρας, καὶ τὰ σκέλεα, παραδείγματι χρέεσθαι δεῖ τῷ ὑγιεῖ πρὸς τὸ μὴ ὑγιὲς καὶ τὸ μὴ ὑγιὲς πρὸς τὸ ὑγιές. μὴ τἀλλότρια ἄρθρα καθορῶντα. ἄλλοι γὰρ ἄλλων μᾶλλον ἔξαρθροι πεφύκασιν. ἀλλὰ τὰ αὐτὰ τοῦ κάμνοντος, ἢν ἀνόμοιον ᾖ τὸ ὑγιὲς τῷ κάμνοντι. καὶ τοῦτο εἴρηται μὲν ὀρθῶς. παραξύνεσιν δὲ ἔχει πάνυ πολλὴν διὰ τὰ τοιαῦτα. καὶ οὐκ ἀρκέει μοῦνον λόγῳ εἰδέναι τὴν τέχνην ταύτην, ἀλλὰ καὶ ὁμιλίῃ ὁμιλέειν. πολλοὶ γὰρ ὑπὸ ὀδύνης, ἢ ὑπ' ἀλλοίης προφάσιος, οὐκ ἐξεστεώτων αὐτέοισι τῶν ἄρθρων, ὅμως οὐ δύνανται ἐς τὰ ὅμοια σχήματα καθιστάναι, ἐς οἷά περ τὸ ὑγιαῖνον σῶμα σχηματίζεται. προσξυνιέναι δὲ δεῖ οὖν, καὶ ἐννοέειν καὶ τὸ τοιόνδε σχῆμα χρή, ἀτὰρ καὶ ἐν τῇ μασχάλῃ ἡ κεφαλὴ τοῦ βραχίονος φαίνεται ἐγκειμένη, πολλῷ μᾶλλον τοῦ ἐκπεπτωκότος ἢ τοῦ ὑγιέος. τοῦτο δὲ ἄνωθεν κατὰ τὴν ἐπωμίδα κοῖλον φαίνεται τὸ χωρίον. καὶ τὸ τοῦ ἀκρωμίου ὀστέον ὀξὺ ἔχον φαίνεται. ἅτε ὑποδεδυκότος τοῦ ἄρθρου ἐς τὸ κάτω τοῦ χωρίου. παραξύνεσιν μὲν καὶ ἐν τούτῳ ἔχει τινά, ἀλλ' ὕστερον περὶ αὐτοῦ γεγράψεται, ἄξιον γὰρ γραφῆς ἐστι. τοῦτο δὲ τοῦ ἐκπεπτωκότος ὁ ἀγκὼν φαίνεται ἀφεστεὼς μᾶλλον ἀπὸ τῶν πλευρέων, ἢ τοῦ ἑτέρου. εἰ μέντοι τις προσαναγκάζοι, προσάγεται μέν, ἐπιπόνως δέ. τοῦτο δὲ ἄνω τὴν χεῖρα ἄραι εὐθεῖαν παρὰ τὸ οὖς ἐκτεταμένου τοῦ ἀγκῶνος οὐ μάλα δύνανται, ὥσπερ τὴν ὑγιέα, οὐδὲ παράγειν ἔνθα καὶ ἔνθα ὁμοίως. τά τε οὖν σημεῖα ταῦτά ἐστιν ὤμου ἐκπεπτωκότος. αἵ τε ἐμβολαί, αἱ γεγραμμέναι. αἵ τε ἰητρεῖαι αὗται. ἐπάξιον δὲ τὸ μάθημα ὡς χρὴ ἰητρεύειν, τοὺς πυκνὰ ἐκπίπτοντας ὤμους. πολλοὶ μὲν γὰρ ἤδη ἀγωνίης ἐκωλύθησαν διὰ ταύτην τὴν ξυμφορήν, τἄλλα πάντα ἀξιόχρεοι ὄντες. πολλοὶ δὲ ἐν πολεμικοῖσιν ἀχρήϊοι ἐγένοντο, καὶ διεφθάρησαν διὰ ταύτην τὴν ξυμφορήν, ἅμα τε ἐπάξιον καὶ διὰ τοῦτο, ὅτι οὐδένα οἶδα ὀρθῶς ἰητρεύοντα, ἀλλὰ τοὺς μέν, μηδὲ ἐγχειρέοντας. τοὺς δέ, τἀναντία τοῦ ξυμφέροντος φρονέοντάς τε καὶ ποιέοντας. συχνοὶ γὰρ ἤδη ἰητροὶ ἔκαυσαν ὤμους ἐκπίπτοντας, κατά τε τὴν ἐπωμίδα, κατά τε τὸ ἔμπροσθεν, εἰ ἡ κεφαλὴ τοῦ βραχίονος ἐξογκέει, κατά τε τὸ ὄπισθεν ὀλίγον τῆς ἐπωμίδος. αὗται οὖν αἱ καύσιες. εἰ μὲν εἰς τὸ ἄνω ἐξέπιπτεν ὁ βραχίων, ἢ ἐς τοὔμπροσθεν, ἢ ἐς τοὔπισθεν, ὀρθῶς ἂν ἔκαιον. νῦν δὲ δὴ ὅτε ἐς τὸ κάτω ἐκπίπτει ἐκβάλλουσιν αὗται αἱ καύσιες μᾶλλον, ἢ κωλύουσιν. ἀποκλείουσι γὰρ τῆς ἄνω εὐρυχωρίης, τὴν κεφαλὴν τοῦ βραχίονος. χρὴ δὲ ὧδε καίειν ταῦτα. ἀπολαβόντα τοῖσι δακτύλοισι κατὰ τὴν μασχάλην. τὸ δέρμα ἀφελκύσαι κατ' αὐτὴν τὴν ἴξιν μάλιστα, καθ' ἣν ἡ κεφαλὴ τοῦ βραχίονος ἐκπίπτει. ἔπειτα δὲ οὕτως ἀφειλκυσμένον τὸ δέρμα, διακαῦσαι ἐς τὸ πέρην. σιδηρίοισι δὲ χρὴ τὰ τοιαῦτα καίειν, μὴ παχέσι, μηδὲ λίην φαλακροῖσιν, ἀλλὰ προμήκεσι. ταχυπορώτερα γάρ, καὶ τῇ χειρὶ ἐπερείδειν. χρὴ δὲ διαφανέσι καίειν, ὡς ὅτι τάχιστα περαιωθῇ κατὰ δύναμιν. τὰ γὰρ παχέα βραδέως περαιούμενα, πλατυτέρας τὰς ἐκπτώσιας τῶν ἐσχαρῶν ποιέεται. καὶ κίνδυνος ἂν εἴη ξυρραγῆναι τὰς ὠτειλάς. καὶ κάκιον μὲν οὐδὲν ἂν εἴη. αἴσχιον δὲ καὶ ἀτεχνότερον. ὅταν δὲ διακαύσῃς ἐς τὸ πέρην. τῶν μὲν πλείστων, ἱκανῶς ἂν ἔχοι τῷ κάτω μέρει τὰς ἐσχάρας ταύτας μούνας θεῖναι. ἢν δὲ μὴ κίνδυνος φαίνηται εἶναι ξυρραγῆναι τὰς ὠτειλάς, ἀλλὰ πολὺ τὸ διὰ μέσου ᾖ, ὑπαλειπτέον χρὴ λεπτὸν διόρισμα διὰ τῶν κατυγμάτων. ἔτι ἀναλελαμμένου τοῦ δέρματος. οὐ γὰρ ἄλλως δύναιο διορύσαι. ἐπὴν δὲ διορύσῃς, ἀφεῖναι τὸ δέρμα. ἔπειτα μεσηγὺ τῶν ἐσχαρῶν, ἄλλην ἐσχάρην ἐμβάλλειν λεπτῷ σιδηρίῳ καὶ διακαῦσαι, ἄχρις ἂν τῷ ὑπαλείπτρῳ ἐγκύρσῃ. ὁκόσον δέ τι χρὴ τὸ δέρμα τὸ ἀπὸ τῆς μασχάλης ἀπολαμβάνειν, τοῖσι δὲ χρὴ τεκμαίρεσθαι. ἀδένες ὕπεισιν ὑπὸ τῇ μασχάλῃ. πολλαχῇ δὲ καὶ ἄλλῃ τοῦ σώματος. ἀλλὰ ἐν ἄλλῳ λόγῳ περὶ ἀδένων οὐλομελίης γεγράψεται, ὅτι τέ εἰσι καὶ οἷα ἐν οἵοισι σημαίνουσί τε καὶ δύνανται. τοὺς μὲν οὖν ἀδένας οὐ χρὴ προσεπιλαμβάνειν. οὐδ' ὅσα ἐσωτέρω τῶν ἀδένων. μέγας γὰρ ὁ κίνδυνος. τοῖσι γὰρ ἐπικαιροτάτοισι τόνοισι γειτονεύονται. ὅσον δὲ ἐξωτέρω τῶν ἀδένων ἐπιπλεῖστον ἀπολαμβάνειν. ἀσινέα γάρ. γινώσκειν δὲ χρή, ὅτι ἢν μὲν ἰσχυρῶς τὸν βραχίονα ἀνατείνοις, οὐ δυνήσῃ τοῦ δέρματος ἀπολαβεῖν οὐδὲν τοῦ ἀπὸ τῇ μασχάλῃ. ὅ, τε καὶ ἄξιον λόγου κατατεῖναι. σημιοῦται γὰρ ἐν τῇ ἀνατάσει. οὐδ' αὖ τόνους οὐδεμιῇ μηχανῇ δεῖ τιτρώσκειν. οὗτοι γὰρ

πρόχειροι

πρόχειροι γίνονται καὶ κατατεταμένοι ἐν τούτῳ τῷ σχήματι. εἰ δὲ μικρὸν ἐπάρῃς τὸν βραχίονα, πολὺ μὲν τοῦ δέρματος ἀπολήψῃ. οἱ δὲ τόνοι ὧν δεῖ προμηθέεσθαι εἴσω καὶ πρόσω τοῦ χειρίσματος γίνονται. ὁρᾷς οὖν ὅτι ἐν πάσῃ τῇ τέχνῃ περὶ παντὸς χρὴ ποιέεσθαι τὰ δίκαια σχήματα ἐξευρίσκειν ἐφ' ἑκάστοισι. ταῦτα μὲν κατὰ μασχάλην καὶ ἱκαναὶ αὗται αἱ καταλήψιες, ἢν ὀρθῶς τεθῶσιν αἱ ἐσχάραι. ἔκτοσθεν δὲ τῆς μασχάλης. δισσὰ μόνα ἐστὶ χωρία ἵνα ἄν τις ἐσχάρας θείη, τιμωρεούσας τῷ παθήματι. μίαν μὲν ἐν τῷ ἔμπροσθεν μεσηγὺ τῆς κεφαλῆς τοῦ βραχίονος καὶ τοῦ τένοντος τοῦ κατὰ τὴν μασχάλην. καὶ ταύτῃ τὸ μὲν δέρμα τελέως διακαίειν χρή, βαθύτερον δὲ οὐ χρή. φλέψ γὰρ παχείη πλησίη καὶ νεῦρα, ὧν οὐδέτερα θερμαντέα. ὄπισθεν δ' αὖ ἄλλην ἐσχάρην ἐνδέχεται ἐνθεῖναι ἀνωτέρω μέν, συχνῷ τοῦ τένοντος τοῦ κατὰ τὴν μασχάλην. κατωτέρω δέ, ὀλίγῳ τῆς κεφαλῆς τοῦ βραχίονος. καὶ τὸ μὲν δέρμα τελέως χρὴ διακαίειν. βαθεῖαν δέ, μηδὲ κάρτα ταύτην ποιέειν. πολέμιον γὰρ τὸ πῦρ νεύροισιν. ἰητρεύειν μὲν οὖν χρὴ διὰ πάσης τῆς ἰητρείας τὰ ἕλκεα μηδέ ποτε ἰσχυρῶς ἀνατείνοντα τὸν βραχίονα, ἀλλὰ μετρίως ὅσον τῶν ἑλκέων ἐπιμελείης εἵνεκα. ἧσσον μὲν γὰρ ἂν διαψύχοιτο. ξυμφέρει γὰρ πάντα τὰ καύματα σκέπειν, ὡς καὶ ἐπιεικῶς ἰητρεύεσθαι. ἧσσον δ' ἂν ἐκπλήσσοιτο. ἧσσον δ' ἂν αἱμορραγοίη. ἧσσον δ' ἂν σπασμὸς ἐπιγένοιτο. ὅταν δὲ δὴ καθαρὰ γένηται τὰ ἕλκεα, ἐς ὠτειλάς τε ἴῃ, τότε δὴ καὶ παντάπασι χρὴ αἰεὶ τὸν βραχίονα πρὸς τῇσι πλευρῇσι προσδεδέσθαι, καὶ νύκτα καὶ ἡμέρην. ἀτὰρ καὶ ὅταν ὑγιέα γένηται τὰ ἕλκεα ὁμοίως ἐπὶ πολὺν χρόνον χρὴ προσδεῖν τὸν βραχίονα πρὸς τὰς πλευράς, οὕτω γὰρ ἂν μάλιστα ἐπουλωθείη καὶ ἀπολειφθείη ἡ εὐρυχωρίη καθ' ἣν μάλιστα ὀλισθάνει ὁ βραχίων. ὅσοισι δ' ἂν ὦμος κατὰ πηρωθῇ ἐμβληθῆναι. ἢν μὲν ἔτι ἐν αὐξήσει ἐῶσιν οὐκ ἐθέλει συναύξεσθαι τὸ ὀστέον τοῦ βραχίονος ὁμοίως τῷ ὑγιεῖ. ἀλλὰ αὔξεται μέν, ἐπί τι, βραχύτερον δέ, τοῦ ἑτέρου γίνεται. καὶ οἱ καλεόμενοι δὲ ἐκ γενεῆς γαλιάγκωνες, διὰ δισσὰς ξυμφορὰς ταύτας γίνονται. ἢν γέ τι τοιοῦτον αὐτοῖσιν ἐξάρθρημα καταλάβῃ ἐν γαστρὶ ἐοῦσι. διά τε ἄλλην συμφορήν, περὶ ἧς ὕστερόν ποτε γεγράψεται. ἀτὰρ καὶ οἷσιν ἔτι νηπίοισιν ἐοῦσι κατὰ τὴν κεφαλὴν τοῦ βραχίονος βαθεῖαι καὶ ὑποβρύχιοι ἐκπυήσιες γίνονται, καὶ οὗτοι πάντες γαλιάγκωνες γίνονται, καὶ ἤν τε τμηθῶσιν, ἤν τε καυθῶσιν, ἤν τε αὐτόματόν σφιν ἐκραγῇ, εὖ εἰδέναι χρή, ὅτι ταῦτα οὕτως ἔχει. χρέεσθαι μέντοι τῇ χειρὶ δυνατώτατοί εἰσιν, οἱ ἐκ γενεῆς γαλιάγκωνες, οὐ μὴν οὐδὲ ἐκεῖνοί γε ἀνατεῖναι παρὰ τὸ οὖς τὸν βραχίονα ἐκτανύσαντες τὸν ἀγκῶνα δύνανται. ἀλλὰ πολὺ ἐνδεεστέρως, ἢ τὴν ὑγιέα χεῖρα. οἷσι δ' ἂν ἤδη ἀνδράσιν ἐοῦσιν ἐκπέσῃ ὁ ὦμος, καὶ μὴ ἐμβληθῇ, ἡ ἐπωμὶς ἀσαρκοτέρη γίνεται. καὶ ἡ ἕξις λεπτὴ ἡ κατὰ τοῦτο. ὅταν μέντοι ὀδυνώμενοι παύσωνται. ὁκόσα μὲν δεῖ ἐργάζεσθαι ἐπαίροντας τὸν ἀγκῶνα ἀπὸ τῶν πλευρέων εἰς τὸ πλάγιον, ταῦτα μέν, οὐ δύνανται ἅπαντα ὁμοίως ἐργάζεσθαι. ὁκόσα δὲ δεῖ ἐργάζεσθαι, παραφέροντας τὸν βραχίονα παρὰ τὰς πλευράς, ἢ ἐς τοὔπισω ἢ ἐς τοὔμπροσθεν. ταῦτα δὲ δύνανται ἐργάζεσθαι, καὶ γὰρ ἂν ἀρίδα ἑλκύσειαν, καὶ πρίονα. καὶ πελεκήσειαν ἄν, καὶ σκάψειαν, ἂν μὴ κάρτα ἄνω αἴροντες τὸν ἀγκῶνα, καὶ τἄλλα ὅσα τῶν τοιούτων σχημάτων ἐργάζονται. ὅσοισι δ' ἂν τὸ ἀκρώμιον ἀποσπασθῇ, τουτέοισι φαίνεται ὀξὺ ἔχον τὸ ὀστέον τὸ ἀπεσπασμένον. ἔστι δὲ τοῦτο ὅσον δεσμὸς τῆς κληῗδος καὶ τῆς ὠμοπλάτης. ἑτεροίη γὰρ φύσις ἀνθρώπου ταύτῃ, ἢ τῶν ἄλλων ζώων. οἱ οὖν ἰητροὶ μάλιστα ἐξαπατέονται ἐν τούτῳ τῷ τρώματι. ἅτε γὰρ ἀνασχόντος τοῦ ὀστέου τοῦ ἀποσπασθέντος, ἡ ἐπωμὶς φαίνεται χαμαιζήλη καὶ κοίλη, ὥς τε καὶ προμηθέεσθαι τῶν ὤμων τῶν ἐκπεπτωκότων. πολλοὺς οὖν οἶδα ἰητρούς, τἄλλα οὐ φλαύρους ἐόντας, οἳ πολλὰ ἤδη ἐλυμήναντο, ἐμβάλλειν πειρώμενοι τοὺς τοιούτους ὤμους. οὕτως οἰόμενοι ἐκπεπτωκέναι, καὶ οὐ πρόσθεν παύονται πρὶν ἢ ἀπογνῶναι ἢ ἀπορῆσαι δοκέοντας, αὐτοὶ σφᾶς αὐτοὺς ἐμβαλέειν τὸν ὦμον. τούτοισι ἰητρείη μέν, ἥπερ καὶ τοῖσιν ἄλλοισι τοῖσι τοιούτοισι κηρωτὴ καὶ σπλῆνες καὶ ὀθόνια. καὶ ἐπίδεσις τοιαύτη. καταναγκάζειν μέντοι τὸ ὑπερέχον χρὴ καὶ τοὺς σπλῆνας κατὰ τοῦτο τιθέναι πλείστους. καὶ πιέζειν ταύτῃ μάλιστα. καὶ τὸν βραχίονα πρὸς τῇσι πλευρῇσι προσηρτημένον ἐς τὸ ἄνω μέρος ἔχειν. οὕτω γὰρ ἂν μάλιστα πλησιάζοιτο ἀπεσπασμένον. τὰ δὲ μὴν εὖ εἰδέναι χρή, καὶ προλέγειν ὡς ἀσφαλέα εἰ ἄλλως ἐθέλοις ὅτι βλάβη μὲν οὐδὲ μία, οὔτε μικρά, οὔτε μεγάλη τῷ ὤμῳ γίνεται ἀπὸ τούτου τοῦ τρώματος. αἴσχιον δὲ τὸ χωρίον. οὐ δὲ γὰρ τοῦτο τὸ ὀστέον ἐς τὴν ἀρχαίην ἕδρην ὁμοίως ἂν ἱδρυθείη, ὥσπερ ἐπεφύκει, ἀλλ' ἀνάγκη πλέον ἢ ἔλασσον ὀγκηρότερον εἶναι ἐς τὸ ἄνω. οὐδὲ γὰρ ἄλλο ὀστέον, οὐδὲν ἐς τὸ αὐτὸ καθίσταται ὅτι ἂν κοινωνέον ἐστὶν ἑτέρῳ ὀστέῳ καὶ προσπεφυκὸς ἀποσπασθῇ ἀπὸ τῆς ἀρχαίης φύσιος. ἀνώδυνον δὲ τὸ ἀκρώμιον ἐν ὀλίγῃσιν ἡμέρῃσιν γίνεται, ἢν χρηστῶς ἐπιδέηται. κληῒς δὲ κατεαγεῖσα, ἢν μὲν ἀφρενέως ἀποκαυλισθῇ, εὐιητοτέρη ἐστί. ἢν δὲ παραμήκεως, δυσιητοτέρη. τἀναντία δὲ τούτους ἐστὶν ἢ ὡς ἄν τις οἴοιτο. τὴν μὲν γὰρ ἀφρενέως ἀποκαυλισθεῖσαν προσαναγκάσειεν ἄν τις μᾶλλον ἐς τὴν φύσιν ἐλθεῖν. καὶ εἰ πάνυ προμηθηθείη τὸ ἀνωτέρω, κατωτέρω ἂν ποιήσειε, σχήμασί τε ἐπιτηδείοισι καὶ ἐπιδέσει ἁρμοζούσῃ. εἰ δὲ μὴ τελέως ἱδρυνθείη, ἀλλ' οὖν τὸ ὑπερέχον γε τοῦ ὀστέου οὐ κάρτα ὀξὺ γίνεται. ἢν δ' ἂν παράμηκες τὸ ὀστέον κατεαγῇ. ἱκελίη ξυμφορὰ γίνεται τοῖσιν ὀστέοισι τοῖσιν ἀπεσπασμένοισι, περὶ ὧν πρόσθεν γέγραπται, οὔτε γὰρ ἱδρυνθῆναι αὐτὸ πρὸς ἑωυτὸ κάρτα ἐθέλει, ἥ τε ὑπερέχουσα ἀκὶς τοῦ ὀστέου ὀξεῖα γίνεται κάρτα.

τὸ μὲν ὅλον σύμπαν εἶδέναι χρὴ ὅτι βλάβεν οὐ δεῖ μήτε τῷ ὤμῳ οὔτε τῷ ἄλλῳ σώματι γίνεται ὀξὺ πλὴν κατὰ τὴν ἔξιν τῆς κλινίδος, ἢν μὴ ἐπισφακελίσῃ. ὀλιγάκις δὲ τοῦτο γίνεται. αἴσχος γὰρ μᾶλλον προσγίνεται τοῦδε πλὴν κατὰ τὴν ἔξιν τῆς κλινίδος, καὶ τούτοισι τὸ πρῶτον αἴσχιστον. ἔπειτα μὲν ὧδε ἧσσον γίνεται. συμφύεται δὲ ταχέως κλινῆς, καὶ τἄλλα πάντα οὕτω καλὰ ὀστέα. τὰ χεῖρα γὰρ πλὴ ἐπὶ πῶρωσιν ποιέεται τὰ τοιαῦτα. ὅταν μὲν οὖν νεωστὶ καταγῇ οἱ τετρωμένοι τοιουδὲ ζουσιν οἷόπερ καὶ μέζον ἢ κάκιον εἶναι, ἢ ὅσον δεῖν. οἵτε ἰητροὶ προσμένουσι θεραπεύειν ὀρθῶς ἰητῆρες. προϊόντος δὲ τοῦ χρόνου οἱ τετρωμένοι, ἅτε οὐκ ὀδυνώμενοι, οὔτε κωλυόμενοι, οὔτε ὁδοιπορέοντες, οὔτε ἐσθῶσῆς κατεμελέουσιν. οἱ, τε οὖν ἰητροὶ ἅτε οὐ δυνάμενοι κατὰ τὰ χωρία ἀποδειχνύναι, μὴ οὐκ ἀχθονται τῇ ἀμελείῃ τῶν τετρωμένων. ἐν τούτῳ δὲ ἡ ἐπίπωρωσις σπερ ταχύτατα. ἐπιδέσιος μὲν οὖν πρόπος κατὰ δέσιν παραπλήσιος τοῖσι τὰ πλείοσι, κυρωτὴ καὶ σπλωτὴ καὶ ὀθονίοισι μαλθακοῖσιν ἐνδύειν. καὶ τάδε δεῖ προσιδεῖν, καὶ τὸ δεῖ προσεωνέεσθαι, καὶ μάλιστα ἐν τούτῳ τῷ χειρίσματι. ὅτι τοὺς τε σπλῶντας πλείστους κατὰ τὸ ὀξὺ ἔχον χρὴ τιθέναι καὶ τοῖσι ἐπιδέσμοισι πλείστοισι, καὶ μάλιστα κατὰ δεῖσθαι χρὴ πιέζειν. εἰσὶ δὲ δή τινες οἳ ἐπεψηφίζοντο ἤδη μολίβδινα βαρὺ προσεπιπατεῖν, ὡς κατανακάζειν τὸ ὑπόρρεον. ξυνίασι μὲν οὖν ἴσως, οὐ δὲ οἱ ἀπλῶς ἐπιδέοντες, ἀτὰρ δὲ οὐ πλοῦτος ὁ τρόπος κλινίδος κατάξις δεῖν, οὐ γὰρ δυνατὸν τὸ ὑπόρρεον κατανακάζεσθαι, ὅδεν ὅ, τι καὶ ἄξιον λόγου. ἄλλοι δ' αὖ τινες εἰσὶν οἱ τινες κατεμαθόντες δεῖσθαι, ὅτι αὐτοὶ αἱ ἐπιδέσιες πορεφορέουσι καὶ οὐ κατὰ φύσιν κατανακάζουσι τὰ ὑπόρρεοντα. ἐπιδέουσι μὲν οὖν αὐτὸν σπλήνεσι καὶ ὀθονίοισι χρώμενοι, ὡς πρὸ καὶ οἱ ἄλλοι. ξώζοντες δὲ τὸν ἄνθρωπον τοιοῦτόν τινι ἢ δύζωστότατος αὐτὸς ἑαυτῷ δεῖν. ὅταν ἐπιθῶσι τὸν σπλῶσαι ὧδε τὰ ὑπόρρεοντα τῷ κατήγματος, ὑζογκάζοντες ὧδε τὸ ὀξὺ ἔχοντα, πλὴ ἀρχὴν τῷ ὀθονίου προσιδήσαντες πρὸς τὸ ζῶσμα ἐκ τοῦ ἐμπροσθεν, καὶ οὕτως ἐπιδέουσιν ὧδε πλὴ ἴξιν τῆς κλινίδος ἐπὶ ταινύοντες ἐς τοὔπισθεν ἀγοντες. κατὰ πέτα περικαλόντες τοῦδε τὸ ζῶσμα, ἐς τοὔμπροσθεν ἄγουσι. καὶ αὖθις ἐς τοὔπισθεν. οἱ δέ τινες οὐχὶ τοῦδε τὸ ζώσματα τοῦδε βάλλουσι τὸ ὀθόνιον, ἀλλὰ τοῦδε τὸ περιένον τε καὶ παρ' αὐτὸ πλὴ ἑσορῶν, καὶ παρὰ πλὴ ἄκρην μικλίδοντες τὸ ὀθόνιον, οὕτω πιέζουσι τὸ κατάγμα. τοῦτα γε μὰ ἀπείρως μὲν ἀκούσαι, φαίνεται ἐπὶ ἐνὸς τοῦ κατὰ φύσιν εἶναι. χρεομένῳ δὲ ἄχρηστα. οὔτε γὰρ μόνιμα οὐδένα χρόνον, οὐ δεῖ καὶ καὶ καὶ τοῦτο τις, καὶ τοι ἐπυτάτω αὐτὸς, ἀλλ' ὁμοίως εἰ καὶ τὰ κείμενος, ἢ τὸ σκέλος συγκάμψοιεν, ἢ αὖτὸς καμφθεῖν. πάντα αὐτὰ τὰ ἐπιδέσματα κινέοιτο. ἄλλως τε ἀσηρὴ ἡ ἐπίδεσις. ἥτε πτ' ἐόρη ἀπολαμβανέεται, ἀέρα τε τὰ ὀθόνια ἐν τοῖσι τῇ σκοιλοχείρῃ γίνεται. τὰ τε αὖ τοῦδε πλὴ ζώλῳ περιβαλλόμενα, οὐχ οὕτως ἰσχυρὰς ἕλκουσι, ὡς οὐκ ἀναγκάσασι ἐς τὸ ἄνω πλὴ ζώλῳ ἐπανιέναι, καὶ οὕτως ἀνάγκη αὖ εἴη πάντα χαλᾶν τὰ ἐπιδέματα. ἄγχιστα δ' ἂν τις δοκέοι πείειν, καὶ πάντ' οὐ μεγάλα ποιέων. εἰ τοῖσι μοῦ ποιῇ τὸ ὀθονίων ἢ πλὴ ζώλῳ τοῦδε βάλλοι. τοῖσι δὲ πλείστοισι τὸ ὀθονίων, πλὴ αὐχαλίῳ ἐπιδέσιν ἐπιδέοι, οὕτω γὰρ ἂν μάλιστα τὰ ἐπιδέσματα μονιμά τε εἴη καὶ ἀλλήλοισι τιμωρέοιεν. τὰ μὲν οὖν πλείστα εἰρηται. ὅσα καταλαμβάνει τοῦ πλὴ κλινίδα καταγνυμένους. προσξυνιέναι δὲ καὶ τόδε χρὴ, ὅτι κλινὶς ὡς ὧδὶ τὸ πολὺ καταγνυται, ὡς τε τὸ μὲν ἀνὼ τοῦ σήθεος πεφυκὸς ὀστέον, ἐς τὸ ἄνω μόριος ὑποῤῥέχειν, τόδε ἀνὼ τῆς ἀκρωμίης πεφυκὸς ὀστέον ἐν τῷ κάτω μορίῳ εἶναι. αἴτια δὲ τούτων τάδε. ὅτι τὸ μὲν σήθεος οὔτε κατωτόρω αὖ πολὺ, οὔτε ἀνωτόρω χωρήσειεν. μικρὸς γὰρ ὁ κυκλισμὸς τοῦ αὐχένος τοῦ σὺν τῷ σήθει. αὐτὸ γὰρ ἑωυτῷ συνεχές ἐστι τὸ σήθος, καὶ τῇ ἕξει. ἄγχιστα μὲν ἡ κλινὶς πρὸς τὸ ὦμου αὐχένα πολοῦσθαι ἔοικεν. ἀναγκαστὸν γὰρ πυκνοκίνητος εἶναι, διὰ πλὴ τῆς ἀκρωμίης σύξυξιν. ἄλλως τε, ὅταν φοβῇ, φεύγει ἐς τὸ ἄνω μόριος τὸ πρὸς τῷ σήθει προσχόμενον. καὶ οὐ μάλα ἐς τὸ κάτω μόριος ἀναγκάζεσθαι ἐθέλει. καὶ γὰρ πέφυκε κοῦφον, καὶ ἡ οὐρυχωρείη αὐτῷ ἄνω πολεῖον, ἢ κάτω. ὁ δὲ ὦμος καὶ ὁ βραχίων κῇ τὸ προσηρτημένα τούτοισι οὐκ πόλυ τι ἐστὶν ἀπὸ τῆν πλευρέων καὶ τῷ σήθεος. καὶ διὰ ταῦτα δυνατὸν καὶ ἄνωτόρω πολὺ ἀπάγεσθαι καὶ κατωτόρω. ὅταν γοῦν καταγῇ κλινὶς, τὸ πρὸς τῷ ὤμῳ ὀστέον ἐς τὸ κατωτόρω ἐπιῤῥέπει. ἐς ταῦτα γὰρ ἐπιροχώτατον αὐτὸ ἅμα τῷ ὤμῳ καὶ τῷ βραχίονι κάτω ῥοῦσαι μᾶλλον, ἢ ἐς τὸ ἄνω. ὑπὸ τε οὖν τῶν τοιούτων δεῖν ἀξιωτέον οὕσοι τὸ ὑπόρρεον τῷ ὀστέον ἐς τὸ κάτω κατανακάσαι οἷόν τε εἶναι. ἀλλὰ δῆλον ὅτι τὸ κάτω πρὸς τῷ ἄνω προσακτέον δεῖ. ταῦτα γὰρ ἔχει κίνησιν, ταῦτα γὰρ δεῖ καὶ τὸ ἀποσὼν ἀπὸ τῆς φύσιος. δῆλον οὖν ὅτι ἄλλως μὲν οὐδαμῶς δεῖν ἀναγκάσαι ταῦτα γὰρ ἐπιδέσιος οὐδὲν τι μᾶλλον προσαναγκάζουσιν ἢ ἀπαναγκάζουσιν. εἰ δέ τις ἐν βραχίονα πρὸς τῆσι πλευρῆσιν ὡς μάλιστα ἐόντα ἀναγκάζοι ἄνω ὡς ὅτι ὀξύτατος ὁ ὦμος φαίνεσθαι εἶναι, δῆλον ὅτι ὅπως ἂν ἀνὰ μεθοδείη πρὸς τὸ ὀστέον τὸ ἀπὸ τῆς σήθεος πεφυκὸς ὀθόνιον ἀπεπάσθαι. εἰ δέ τις τῇ μὲν ἐπιδέσει χρῶτο τῇ νομιμωτάτῃ τοῦ χαλᾶν, ὑγιὲς δὲ τὸ ἄλλα πάντα μάτην δ' ἂν τὸ ἀκρωμίον τὸ ἐρημώσειν, ὀρθῶς τε ἀνέξοιτο, ἰητρεύσιτ' ἂν τάχιστα καὶ ἀσφαλέστατα. κατακέεσθαι μὲν τοι τὸν ἄνω μέγα τὸ διαφέρειν δεῖ καὶ ἡμέρας ἐνίοτε καὶ ἀφροντιστοῦντας. εἰκοσὶ δὲ παμπόλλας. εἰ μὲν τοι τινὶ ὧδὶ τοῦτο ἀντίον ἡ κλινὶς κατάγειη, ὃ οὐ μάλιστα γίνεται. ὡς τε τὸ μὲν ἀκρὸ τοῦ σήθεος ὀστέον ὑποδεδυ-

κέναι. τόδε ἀπὸ τῆς ἀκρωμίης ὀστέον ὑποῤῥέχειν καὶ ὑποχέεσθαι ὧδὶ τῷ ἑτέρου, οὐ δὲ μὴν μεγάλης ἰητρείης ταῦτα γ' ἂν δέοιτο. αὐτὸς γὰρ ὁ ὦμος ἀφιέμενος καὶ ὁ βραχίων, ἱσορρόει αὖ τὰ ὀστέα πρὸς ἄλληλα. καὶ φαῦλα αὖ τις ἐπίδεσις ἀρκέοι, καὶ ὀλίγαι ἡμέραι τῆς πωρώσιος γένοιντ' ἄν. εἰ δὲ μὴ κατὰ γείη μὲν οὕτω, παραλιθαίνοι δὲ ἐς τὸ σπλάγνον ἢ τῇ ἢ τῇ, ἐς πλὴ φύσιν μὲν ἀπαναγκάζειν ἂν δέοι αὐχαλίῳ φύσιν, ταχὺ αὖ ἡ ἄλλη ἰητρείη. τὰ μὲν δὴ σπλῆσι τῇ παραλλαγμοίων κατορθοῖ αὖ ὁ βραχίων αὐχμαλόμενος πρὸς τὰ αὖω. ὅσα δὲ τῇ ἄνωθεν παρολιθαίνοντα ἐς τὸ σπλάγνον ἦλθον, ἢ ἐς τὸ κατωτόρω, συμπερσύνοι αὖ πλὴ κατόρθωσιν. εἰ ὁ μὲν ἄνθρωπος ὑπλὸς κέοιτο. κατὰ δὲ τὸ μεσηγὺ τῆν ὠμοπλατέων ὑφηλότερόν τι ὀλίγον ὑποκέοιτο ὡς τοιουτοτρόπως ἐν τῷ σήθος ὡς μάλιστα καὶ τὸ βραχίονα αὐχένι τῆς παρὰ τὰς σπλευρὰς παρατεταμένον. ὁ δὲ ἰητρὸς τῇ μὲν ἑτέρῃ χειρὶ ἐς πλὴ κεφαλὴ τῷ βραχίονος ἐμβαλὼν τὸ θένειν τῆς χειρὸς ἄπωθεν. τῇ δὲ ἑτέρῃ τὸ ὀξὺ τοῦ κατατάγοντος ὀθετίζοι. οὕτως αὖ μάλιστα ἐς πλὴ φύσιν ἄγοι. ἀτὰρ ὁ πτρ ἤδη εἴρηται δι' μάλα τὸ ἀνωθεν ὀστέον, ἐς τὸ κάτω φιλέει ὑποδυνέειν. τοῖσι μὲν δὴ σπλεῖσοισιν ὅταν ἐπιδῇσθαι τὸ χῆμα αὐτῷγε, παρ' αὐτὰς τὰς σπλευρὰς τὸν ἀγκῶνα ἔχοντα, οὕτως ἐς τὸ ἄνω τὸν ὦμον αὐχμάζεσθαι. ἔστι δ' οἷσι μὲν τὸν ὦμον αὐχμάζειν δεῖ ἐς τὸ ἄνω ὡς εἴρηται. τὸν δὲ ἀγκῶνα πρὸς τὸ σήθος παράγειν. ἀκρίῃ δὲ πλὴ χέρα παρὰ τὸ ἀκρώμιον τῇ ὑγιέος ὤμου ἴσχειν. ἡ μὲν οὖν κατάκεισθαι τολμᾷ αὐτίσηι μάλιστ' προστιθέναι χρή, ὡς ἀνὸ ὦμος ἀνωτάτω ἐη. ὧδὶ δὲ τοιδεῖν, στρεπτὸν λαβὼν χρὴ ἐκτανύσας τοῦδε τὸ ὀξὺ τῷ ἀγκῶνος ποιήσαντα, ἀσκλαβαίνειν τοῦδε τὸν αὐχένα. ἀγκῶνος δὲ ἄρθρου ἀπαραξέαι χρὴ, ἢ παραῤῥηγνύναι πρὸς πλὴ πλευρὴν ἔξω μοίνοντος τῷ ὀξέος τῷ οὐ τῷ κοίλῳ τῷ βραχίονος ἐς ὀπίσω κατατείναντα, τὸ ὀξὺ ἔχον ἀπωθεῖν ὀπίσω καὶ ἐς τὸ σπλάγνον. τὰ δὲ τελέως ἐμβαίνοντα ἢ σήπεται, ἢ σήπ. κατάτασις μὲν οὖν ὁ βραχίων κατατεταγὼς ἐπιδέεται. οὕτω γὰρ ἂν τὸ ἀγκῶνος οὐ κωλύσει. ἐκπίπτει δὲ μάλιστα ἐς τὸ πρὸς σπλευρὰς μόρος. τὰς δὲ κατορθώσιος ἀποίησιν τοιήδε. ὅτι σπλεῖσον ὡς μὴ φαύσῃ τῆς κορώνης ἡ κεφαλὴ μετέωρον σπλάγνειν καὶ σπλεμπίπτειν, καὶ μὴ ἐς δύο βιάζεσθαι. ἅμα δὲ ὥσθην τοὐναντίον, ἐφ' ἑκάτερα, καὶ παρωθεῖν ἐς χώραν. σιωφελὲς δ' ἂν καὶ ἐπίξεσις ἀγκῶνος οἱ τοιοῦτοις. ἐς τὸ μὲν εἰς τὸ ὕπτιον. οἱ τῷδε, ἐς τὸ πρηνές. ἴησις δὲ χήματος μὲν, ὀλίγον αὐτοῦδε ἀκρίῃ πλὴ χέρα τῆς ἀγκῶνος ἔχειν. βραχίονα δὲ κατὰ τὰ σπλευρὰς. οὕτω δὲ καὶ ἀνάληψις. καὶ θέσις. καὶ δύσφορον. καὶ φύσις. καὶ χρῆσις οἱ κοινῶ. ὧδὶ αὖρα μὴ κακῶς πωρωθῇ. πωροῦται δὲ ταχέως. ἴησις δὲ, ὀθονίοισι κατὰ τὸν νόμον τὸν αὐρθρητικὸν καὶ τὸ ὀξὺ προσεπιπλέον. πταλιγκοτώτατον δὲ ὁ ἀγκὼν πυρετοῖσιν ὀδυήσῃσι, σωσὶδὲ ἀκρητοχόλῳσι. ἀγκῶνες δὲ μάλιστα τοὐπίσω ὀξὺ τὸ ναρκώδες. ἀβέτοτον δὲ τοὔμπροσθεν. ἴησις δὲ ἡ αὐτὴ. ἐμβολαὶ δὲ τὸ μὲν ὀπίσω ἐκτείναντι καὶ κατατείναι. σημεῖον δὲ, οὐ γὰρ δύναται ἐκτείνειν. τὸ δὲ ἔμπροσθεν, οὐ δύναται ξυγκάμπτειν. τοῦτο δὲ, σθενόν τί σωειλεγμένον σκληρὸν, τοῦδὲ ὄζῳ ξυγκάψαι ὀξὺ ἐκτάσιος ὀξαίφνης. διαστάσιος δὲ ὀστέων, σημεῖον καὶ πλὴ φλέβα πλὴ καὶ βραχίονα σιωφελὲς ἀμφοτέρα ἅμα χρὴ ποιέειν. τῆς δὲ μελέτης τῆς θραπείης. κοινὸν δὲ τὸ χῆμα καὶ ἡ ἐπίδεσις. θύραται δὲ καὶ ἐκ τῆς διατάσιος κοινῇ συμπίπτειν ἅπαντα. τῆν δὲ ἐμβολέων. αἱ μὲν ὀξὺ ὑπόρραιωρήσιος ἐμβάλλουσι. αἱ δὲ ἐκ καταπλασίος. αἱ δὲ ἐκ τοῦδε σφάλσιος. αὖται δὲ ἐκ τ' ὑπορβολέων τ' χημάτων, ἢ τῇ, ἢ τῇ ζώλῳ τῷ τόχει. χειρὸς δὲ αὖρθρου ὁλιοθάνει ἢ ἔσω, ἢ ἔξω. ἔσω δὲ, τὰ σπλεῖσα. σημεῖα δὲ ὦσημα. λῷ μὲν εἴσω. συγκάπτειν τὸν δακτύλως οὐ δύναται. λῷ δὲ ἔξω, ἐκτείνειν. ἐμβολὴ δὲ, τοῦδὲ βαπέζης τὸν δακτύλους ἔχον. τὸν μὲν, τείνειν. τὸν δὲ, αὖτι τείνειν. τὸ δὲ ὀξὺ ἔχον, ἢ θυαρὶ, ἢ πῖδρύνη ἅμα ἀπωθεῖν, καὶ ὠθεῖν πρόσω κατὰ πλὴ φύσιν. κατὰ πλὴ τὸ ἐπίδεσιν ὀστέον ὀγκεῖν μαλθακὴν ὑποθεὶς, λῷ μὲν ἄνω, κατασχέσθω πλὴ χέρα. λῷ δὲ κάτω, ὑπτίῃ λῷ. ἴησις δὲ ὀθονίοισιν. ὅλη δὲ ἡ χειρ ἐλιοθαίνει, ἢ ἔσω, ἢ ἔξω, ἢ σθένα, ἢ σθένα. μάλιστα δὲ ἔσω. ἔστι δ' ὅτε μὴ ἐπίφυσις ἐκινήθη. ἔστι δ' ὅτε ἐπὶ τὸν ἑτέρου τῆν ὀστέων δίεσιν. τοῦτοισι κατάτασις ἰσχυρὴ ποιητέη. καὶ ἐπὶ μὲν ὀξὺ ἔχον ἀπωθεῖν. ἐπὶ δὲ ἑτέρου αὖτως θεῖν δύο εἴδεα ἅμα ἐς τοὔπισω καὶ ἐς τὸ σπλάγνον. ἢ χρεὼν ὧδὶ ῥαπέζης, ἢ πῖδρύνη παλιγκότω. τὰ δὲ μὴ ἀσχήμονα, τῷ μὲν χρόνῳ, κρατύνει ἐς χρῆσιν ἡ ἴησις, ὀθονίοισι ζώλῳ τῇ χειρὶ μὴ τῇ

πήχει. ἢ ναρθηκίσαι μέχρι δακτύλων τιθέναι. ἐν νάρθηξι δὲ ἐνθάδε ταῦτα πυκνότερον λύειν ἢ τὰ κατάγματα. καὶ καταχρίσει πλείονι χρέεσθαι. ἐκ γενεῆς δὲ, βραχυτέρη ἡ χεὶρ γίνεται. ἢ μινύθησις σαρκῶν μάλιστα τἀναντία ἢ ἢ τὸ ἔκπτωμα. ἠυξημένω δὲ τὰ ὀστέα μένει, δακτύλου δὲ ἄρθρον ὀλισθὸν, μὴ εὔσημον. ἐμβολὴ δὲ κατατείνουσα ἐς ἰθύ. τὸ δὲ ὑπέχον ἀπωθέειν. τὸ δὲ ἐναντίον, ἀντωθέειν. ἴησις δὲ ταινίοισιν ὀθονίοισι. μὴ ἐκπεσὸν δὲ, ἐπιπωροῦται ἔξωθεν. ἐκ γενεῆς δὲ, ἢ ἐν αὐξήσει ἐξαρθρήσαντα τὰ ὀστέα συνήρθρωται κάτω τοῦ ὀλισθήματος καὶ σάρκες μινύθουσι τἀναντία μάλιστα ἢ πρὸς τὸ ἔκπτωμα. ἠυξημένω δὲ τὰ ὀστέα μένει. γνάθος δὲ ὀλίγοισιν ἤδη τελέως ἐξήρθρησεν. ὀστέων τε γὰρ τὸ ἀπὸ τῆς ἄνω γνάθου πεφυκὸς ὑποζύγωται πρὸς τῷ ὑπὸ τὸ οὖς ὀστέῳ προσπεφυκότι. ὅπερ ἀποκλείει τὰς κεφαλὰς τῆς κάτω γνάθου. τῆς μὲν ἀνωτέρω ἐόν. τῆς δὲ κατωτέρω τῶν κεφαλαίων. τά τε ἄκρεα τῆς κάτω γνάθου. τὸ μὲν διὰ τὸ μῆκος, οὐκ εὐπαρείσδυτον. τὸ δ' αὖ τὸ κορωνόν τε καὶ ὑπερέχον ὑπὲρ τοῦ ζυγώματος. ἅμα τε ἀμφοτέρων τῶν ἀκρέων τούτων νευρώδεες τένοντες πεφύκασιν, ἐξ ὧν ἐξήρτηνται οἱ μύες, οἱ κροταφῖται καὶ μασητῆρες καλεόμενοι. διὰ τοῦτο δὲ καλέονται, καὶ διὰ τοῦτο κινέονται, ὅτι ἐντεῦθεν ἐξήρτηνται. ἐν γὰρ τῇ ἐδωδῇ. καὶ ἐν τῇ διαλέκτῳ. καὶ ἐν τῇ ἄλλῃ χρήσει τοῦ στόματος. ἡ μὲν ἄνω γνάθος, ἀτρεμέει. συνήρτηται γὰρ τῇ κεφαλῇ. καὶ οὐ διήρθρωται. ἡ δὲ κάτω γνάθος κινέεται. ἀπήρθρωται γὰρ ἀπὸ τῆς ἄνω γνάθου, καὶ ἀπὸ τῆς κεφαλῆς. διότι μὲν οὖν ἐν σπασμοῖσι καὶ τετάνοισι, τοῦτο πρῶτον τὸ ἄρθρον ἐπισημαίνει συντεταμένον. καὶ διότι πληγαὶ καίριοι καὶ καρώδεες αἱ κροταφίτιδες γίνονται, ἐν ἄλλῳ λόγῳ εἰρήσεται. περὶ δὲ τοῦ μὴ κάρτα ἐξαρθρέειν, τάδε τὰ αἴτια. αἴτιον δὲ καὶ τόδε ὅτι οὐ μάλα καταλαμβάνουσι τοιαῦται ἀνάγκαι βρωμάτων. ὥστε τὸν ἄνθρωπον χανέειν μεῖζον ἢ ὅσον δύναται. ἐκπίπτοι δ' ἂν ἀπ' οὐδενὸς ἄλλου σχήματος, ἢ ἀπὸ τοῦ μεγάλα χανέοντα, παραγαγεῖν τὴν γένυν ἐπὶ θάτερα. προσσυμβάλλεται μέντοι καὶ τόδε πρὸς τὸ ἐκπίπτειν. ὁκόσα γὰρ νεῦρα καὶ ὁκόσοι μύες παρὰ τὰ ἄρθρα εἰσὶν, ἢ ἀπὸ ἄρθρων. ἀφ' ὧν ξυνδέδενται τούτων ὅσα ἐν τῇ χρήσει πλειστάκις διακινέεται, ταῦτα καὶ ἐς τὰς κατατάσιας δυνατώτατα ἐπιδιδόναι. ὥσπερ καὶ τὰ δέρματα τὰ εὐδεψητότατα πλείστην ἐπίδοσιν ἔχει. περὶ οὗ οὖν ὁ λόγος. ἐκπίπτει μὲν γνάθος, ὀλιγάκις. χαλᾶται μέντοι, πολλάκις ἐν χάσμασιν. ὥσπερ καὶ ἄλλαι μυῶν παραλλαγαὶ καὶ νεύρων τοῦτο ποιέουσι. δῆλον δὲ, τοῖσιν δὲ μάλιστα ἐστὶν ὅταν ἐκπεπτώκει. προΐσχεται γὰρ ἡ κάτω γνάθος, ἐς τοὔμπροσθεν. καὶ παρῆκται τἀναντία τοῦ ὀλισθήματος. καὶ τοῦ ὀστέου τὸ κόρωνον ὀγκηρότερον φαίνεται παρὰ τὴν ἄνω γνάθον. καὶ χαλεπῶς ξυμβάλλουσι τὰς κάτω γνάθους. τούτοισι δὲ ἐμβολὴ πρόδηλος, ἥτις γίνοιτ' ἂν ἁρμόζουσα. χρὴ γὰρ τὸν μέν τινα κατέχειν τὴν κεφαλὴν τοῦ τετρωμένου. τὸν δὲ περιλαβόντα τὴν κάτω γνάθον, καὶ ἔσωθεν καὶ ἔξωθεν τοῖσι δακτύλοισι κατὰ τὸ γένειον. χάσκοντος τοῦ ἀνθρώπου, ὅσον μετρίως δύναται. πρῶτον μὲν διακινέειν τὴν γνάθον χρόνον τινὰ, τῇ καὶ τῇ παράγοντα τῇ χειρί. καὶ αὐτὸν τὸν ἄνθρωπον κελεύειν χαλαρὴν τὴν γνάθον ἔχειν, καὶ συμπαράγειν καὶ συνδιδόναι ὡς μάλιστα. ἔπειτα ἐξαπίνης σχάζειν τρισὶ σχήμασιν ὁμοῦ προσέχοντα τὸν νόον. δεῖ μὲν γὰρ παράγεσθαι ἐκ τῆς διαστροφῆς ἐς τὴν φύσιν. δεῖ δὲ ἐς τοὐπίσω ἀπωσθῆναι τὴν γνάθον τὴν κάτω. δεῖ δὲ ἑπόμενον τούτοισι συμβάλλειν τὰς γνάθους καὶ μὴ χάσκειν. ἐμβολὴ μὲν οὖν αὕτη. καὶ οὐκ ἂν γένοιτο ἀπ' ἄλλων σχημάτων. ἴησις δὲ, βραχεῖα ἀρκέει. σπλῆνα προστιθέντα κεκηρωμένον χαλαρῷ ἐπιδέσμῳ ἐπιδεῖν. ἀσφαλέστερον δὲ, χειρίζειν ἐστὶν ὕπτιον κατακλίνοντα τὸν ἄνθρωπον, ἐρείσαντα τὴν κεφαλὴν αὐτοῦ, ἐπὶ σκυτίνου ὑποκεφαλαίου ὡς πληρεστάτου, ἵνα ὡς ἥκιστα ὑπείκῃ, προσκατέχειν δέ τινα χρὴ τὴν κεφαλὴν τοῦ τετρωμένου. ἢν δ' ἀμφότεραι γνάθοι ἐξαρθρήσωσιν ἡ μὲν ἴησις, ἡ αὐτή. συμβάλλειν δὲ ἧσσον οὗτοι τὸ στόμα δύνανται. καὶ γὰρ προπετέστεραι αἱ γένυες τουτοισιν. ἀστραβέες δέ. τὸ δὲ ἀστραβὲς, μάλιστ' ἂν γνοίης, τοῖσιν ὀρθίοισι τῶν ὀδόντων τῶν τε ἄνω καὶ τῶν κάτω κατ' ἴξιν. τούτοισι ξυμφέρει ἐμβαλέειν ὡς τάχιστα. ἐμβολῆς δὲ τρόπος πρόσθεν εἴρηται. ἢν δὲ μὴ ἐμπέσῃ, κίνδυνος περὶ τῆς ψυχῆς ὑπὸ πυρετῶν ξυνεχέων καὶ νωθρῆς καρώσιος. καρώδεες γὰρ οἱ μύες οὗτοι, καὶ ἀλλοιούμενοι, καὶ ἐντεινόμενοι παρὰ φύσιν. φιλέει δὲ καὶ ἡ γαστὴρ ὑποχωρέειν τούτοισι χολώδεα ἄκρητα ὀλίγα. καὶ ἢν ἐμέωσιν, ἄκρητα ἐμέουσιν. οὗτοι οὖν καὶ θνήσκουσι δεκαταῖοι μάλιστα. ἢν δὲ καταγῇ ἡ κάτω γνάθος. ἢν μὲν μὴ ἀποκαυλισθῇ παντάπασιν, ἀλλὰ ξυνέχηται τὸ ὀστέον, ἐγκεκλασμένον δὲ ᾖ. κατορθῶσαι μὲν χρὴ τὸ ὀστέον παρά γε τὴν γλῶσσαν πλαγίους ὑπείραντα τοὺς δακτύλους. τὸ δὲ ἔξωθεν ἀντερείδειν, ὡς ἂν ξυμφέρῃ. καὶ ἢν διεστραμμένοι ἔωσιν οἱ ὀδόντες οἱ κατὰ τὸ τρῶμα κεκινημένοι, ὁκόταν τὸ ὀστέον κατορθωθῇ, ζεῦξαι τοὺς ὀδόντας χρὴ πρὸς ἀλλήλους, μὴ μόνον τοὺς δύο, ἀλλὰ καὶ πλέονας, μάλιστα δὲ δὴ χρυσίῳ, ἐς ἂν κατασταθῇ τὸ ὀστέον. εἰ δὲ μὴ ἐν λίνῳ. ἔπειτα ἐπιδεῖν κηρωτῇ καὶ σπλήνεσιν ὀλίγοισιν. καὶ ὀθονίοισιν ὀλίγοισιν, μὴ ἄγαν σφίγγοντα, ἀλλὰ χαλαροῖσιν. εὖ γὰρ εἰδέναι χρὴ, ὅτι ἐπίδεσις ὀθονίων γνάθῳ κατεαγείσῃ, μικρὰ μὲν ἂν ὠφελέοι, εἰ χρηστῶς ἐπιδέοιτο. μεγάλα δὲ βλάπτοι, εἰ κακῶς ἐπιδέοιτο. πυκνὰ δὲ τὴν γλῶσσαν ἐσμάττεσθαι χρὴ, καὶ πουλὺν χρόνον ἀντέχειν τοῖσι δακτύλοισι κατορθοῦντα τοῦ ὀστέου τὸ ἐγκλιθέν. ἄριστον δὲ εἰ αἰεὶ δύναιτο, ἀλλ' οὐχ οἷόν τε. ἢν δὲ ἀποκαυλισθῇ

παντάπασι τὸ ὀστέον, ὀλιγάκις δὲ τοῦτο γίνεται. κατορθοῦν μὲν χρὴ τὸ ὀστέον οὕτως, καθάπερ εἴρηται. ὅταν δὲ κατορθώσῃς, τοὺς ὀδόντας χρὴ ζυγῶσαι, ὡς ἔμπροσθεν εἴρηται. μέγα γὰρ ἂν συλλαμβάνοιεν ἐς τὴν ἀτρεμίην. προσέτι καὶ εἴ τις ὀρθῶς ζεύξῃ ὥσπερ χρὴ τὰς ῥαφὰς ῥάψας. ἀλλὰ τί ὁ ῥηΐδιον ἐν γραφῇ χειρουργίην πᾶσαν ἀτρεκέως ἡγέεσθαι, ἀλλ' ὑποτυπέεσθαι χρὴ ἀπὸ τῶν γεγραμμένων.

Ἔπειτα χρὴ δέρματος καρχηδονίου ἢν μὲν νεώτερος ᾖ ὁ τετρωμένος, ἀρκέει τῷ λοιπῷ χρέεσθαι. ἢν δὲ τελειότερος ᾖ αὐτῷ τῷ δέρματι, τάμνοντα χρὴ εὖρος ὡς τριδάκτυλον ἢ ὅκως ἂν ἁρμόζῃ, ὑπαλείψαντα κόμμι τὴν γνάθον. εὐμενέστερον γὰρ κόλλη προσκολλῆσαι τὴν δέρριν ἄκρον πρὸς τὸ ἀποκεκαυλισμένον τῆς γνάθου, ὡς δάκτυλον ἀπὸ τοῦ τρώματος ἢ ὀλίγῳ πλέον. τοῦτο μὲν ἐς τὸ κάτω μέρος. ἐχέτω δὲ ἐντομὴν κατὰ τὴν ἴξιν τοῦ γενείου ὁ ἱμὰς ὡς ἀμφιβεβήκει ἀμφὶ τὸ ὀξὺ τοῦ γενείου. ἕτερον δὲ ἱμάντα τοιοῦτον ἢ ὀλίγῳ πλατύτερον προσκολλῆσαι χρὴ πρὸς τὸ ἄνω μέρος τῆς γνάθου. ἀπολιπόντα κατὰ τοσοῦτον ἀπὸ τοῦ τρώματος, ὅσονπερ ὁ ἕτερος ἀπέλιπεν. ἐσχίσθω δὲ καὶ οὗτος ὁ ἱμὰς τὴν ἀμφὶ τὸ οὖς περίβασιν, ἔνθα συνάπτεσθαί τε καὶ συνδέεσθαι εἰς τὰ πέρατα τῶν ἱμάντων. ἐν δὲ τῇ κολλήσει ἡ σὰρξ τοῦ σκύτεος πρὸς τοῦ χρωτὸς ἔστω, ἐχεκολλότερον γὰρ οὕτως. ἔπειτα κατατείναντα χρὴ καὶ τοῦτον τὸν ἱμάντα. μᾶλλον δέ τι τὸν περὶ τὸ γένειον. ὡς ὅτι μάλιστα μὴ ἀπομιλλαίνῃ ἡ γνάθος ξυνάψαι τοὺς ἱμάντας κατὰ τὴν κορυφήν. κἄπειτα περὶ τὸ μέτωπον, ὀθονίῳ καταδῆσαι. καὶ κατάβλημα χρὴ εἶναι, ὥσπερ νομίζεται. ὡς ἀτρεμέῃ τὰ δέσματα. τήνδε κατάκλισιν ποιείσθω ἐπὶ τὴν ὑγιέα γνάθον, μὴ τῇ γνάθῳ ἐρηρεισμένος, ἀλλὰ τῇ κεφαλῇ. ἰσχναίνειν δὲ χρὴ τὸ σῶμα ἄχρι ἡμερέων δέκα. ἔπειτα ἀνατρέφειν μὴ βραδέως. ἢν γὰρ οὖν τῇσι πρώτῃσιν ἡμέρῃσι μὴ φλεγμήνῃ, ἐν εἴκοσιν ἡμέρῃσιν γνάθος κρατύνεται. τελέως γὰρ ἐπιπωροῦται. ὥσπερ καὶ τἄλλα τὰ ἀραιὰ ὀστέα, ἢν μὴ ἐπισφακελίσῃ. ἀλλὰ γὰρ περὶ σφακελισμῶν τῶν συμπάντων ὀστέων, ἄλλος μακρὸς λόγος λείπεται. αὕτη ἡ διάστασις ἡ ἀπὸ τῶν κολλημάτων εὐμενὴς καὶ εὔτακτος καὶ ἐς πολλὰ καὶ πολλαχοῦ διορθώματα εὔχρηστος. τῶν δὲ ἰητρῶν οἱ μὴ ξὺν νόῳ εὐχερέες καὶ ἐν ἄλλοισι τρώμασι τοιοῦτοι εἰσὶ καὶ ἐν γνάθων κατήξεσιν. ἐπιδέουσι γὰρ τὴν γνάθον κατεαγεῖσαν ποικίλως καὶ καλῶς καὶ κακῶς. πᾶσα γὰρ ἐπίδεσις γνάθου οὕτω καταγείσης, ἐκκλίνει τὰ ὀστέα τὰ ἐς τὸ κάτηγμα ῥέποντα μᾶλλον, ἢ ἐς τὴν φύσιν ἄγει. ἢν δὲ ἡ κάτω γνάθος κατὰ τὴν σύμφυσιν τὴν κατὰ τὸ γένειον διασπασθῇ. μόνη δὲ αὕτη ξύμφυσις ἐν τῇ κάτω γνάθῳ ἐστίν. ἐν δὲ τῇ ἄνω, πολλαὶ ἀλλ' οὐ βούλομαι ἀποπλανᾶν τὸν λόγον. ἐν ἄλλοισι γὰρ εἴδεσι νοσημάτων περὶ τούτων λεκτέον. ἢν οὖν διαστῇ ἡ κατὰ τὸ γένειον σύμφυσις. κατορθῶσαι μὲν παντὸς ἀνδρός ἐστι. τὸ μὲν γὰρ ἐξεστεὸς ἐσωθέειν χρὴ, εἰς τὸ εἴσω μέρος, προσβάλλοντα τοὺς δακτύλους. τὸ δὲ εἴσω ῥέπον, ἀνάγειν ἐς τὸ ἔξω μέρος, ἐνερείδοντα τοὺς δακτύλους. ἐς διάστασιν μέντοι διατεινάμενοι ταῦτα χρὴ ποιέειν. ῥᾷον γὰρ οὕτως ἐς τὴν φύσιν ἥξει, ἢ εἰ ἐγχρίπτων τις ἐς ἄλληλα τὰ ὀστέα παραναγκάζειν πειρᾶται. τοῦτο παρὰ πάντα ὑπομνήματα χρεῖον εἰδέναι. ὁκόταν δὲ κατορθώσῃ. ζεῦξαι μὲν χρὴ τοὺς ὀδόντας τοὺς ἔνθεν καὶ ἔνθεν πρὸς ἀλλήλους, ὥσπερ καὶ πρόσθεν εἴρηται. ἰῆσθαι δὲ χρὴ κηρωτῇ καὶ σπλήνεσιν ὀλίγοισι καὶ ὀθονίοισιν. ἐπίδεσιν δὲ βραχείην ἢ ποικίλην μάλιστα τοῦτο τὸ χωρίον ἐπιδέχεται, ἐγγὺς γάρ τι τοῦ ἰσοῤῥόπου ἐστὶν, ὡς δὴ μὴ ἰσόῤῥοπον ἐόν. τοῦ δὲ ὀθονίου τὴν περιβολὴν ποιέεσθαι χρή. ἢν μὲν ἡ δεξιὴ γνάθος ἐξεστήκῃ, ἐπὶ δεξιά. ἐπὶ δεξιὰ δὲ νομίζεται εἶναι, ἢν ἡ δεξιὰ χεὶρ ἡγῆται τῆς ἐπιδέσιος. ἢν δὲ ἡ ἑτέρη γνάθος ἐξεστήκῃ, ὡς ἑτέρως χρὴ τὴν ἐπίδεσιν ἄγειν, κἢν μὲν ὀρθῶς τις κατορθώσηται καὶ ἐπιτρεμήσῃ ὡς χρή. ταχεῖα μὲν ἡ ἄθελξις. οἱ δὲ ὀδόντες, ἀσινέες γίνονται. ἢν δὲ μή. χρονιωτέρη μὲν, ἡ ἄθελξις. διαστροφὴν δὲ, ἴσχουσι. οἱ ὀδόντες δὲ, καὶ σιναροί. καὶ ἀχρήιοι γίνονται. ἢν δὲ ἡ ῥὶς καταγῇ, τρόπος μὲν οὐχ εἷς ἐστὶ κατάξιος.

Ἀτὰρ πολλὰ μὲν δὴ καὶ ἄλλα λωβέονται οἱ χαίροντες τῇσι καλῇσιν ἐπιδέσεσιν, ἄνευ νόου, ἐν δὲ τοῖσι περὶ τὴν ῥῖνα, καὶ μάλιστα. ἐπιδεσίων γὰρ ἐστὶν αὕτη ἡ ποικιλωτάτη. καὶ πλείστους μὲν σκεπάρνους ἔχουσα. διαῤῥωγὰς δὲ καὶ διαλήψιας, ποικιλωτάτας τοῦ χρωτὸς ῥομβοειδέας. ὡς οὖν εἴρηται οἱ τὴν ἀνόητον ἐγχειρίην ἐπιτηδεύοντες ἄσμενοι ῥινὸς κατεαγείσης ἐπιτυγχάνουσιν ὡς ἐπιδήσωσι. μίαν μὲν οὖν ἡμέρην, ἢ δύο, ἀγάλλεται μὲν ὁ ἰητρός. χαίρει δὲ ὁ ἐπιδεδεμένος. ἔπειτα ταχέως μὲν, ὁ ἐπιδεδεμένος κορέσκεται. ἀσηρὸν γὰρ τὸ φόρημα. ἀρκέει δὲ, τῷ ἰητρῷ ἐπειδὴ ἐπίδειξεν, ὅτι ἐπίσταται ποικίλως ῥῖνα ἐπιδέειν. ποιέει δὲ ἡ ἐπίδεσις ἡ τοιαύτη πάντα τἀναντία τοῦ δέοντος. τοῦτο μὲν γὰρ ὁκόσοισι σιμοῦται διὰ τὴν κάτηξιν δῆλον ὅτι εἰ ἄνωθέν τις μᾶλλον πιέζοι, σιμώτεροι ἂν εἶεν. τοῦτο δὲ ὅσοισι παραστρέφεται ἢ ἔνθα ἢ ἔνθα ἡ ῥὶς, ἢ κατὰ τὸν χόνδρον, ἢ ἀνωτέρω, δῆλον ὅτι οὐδὲν αὐτοὺς ἡ ἄνωθεν ἐπίδεσις ὠφελήσει, ἀλλὰ καὶ βλάψει μᾶλλον. οὐχ οὕτω γ' ἂν συναρμόσει σπλήνεσι τὸ ἐπὶ θάτερον τῆς ῥινὸς, καίτοι οὐδὲ τοῦτο ποιέουσιν οἱ ἐπιδέοντες. ἄγχιστα δὲ ἡ ἐπίδεσίς μοι δοκέει ἄν τι ποιέειν, εἰ κατὰ μέσην τὴν ῥῖνα κατὰ τὸ ὀξὺ ἀμφιφλασθείη ἡ σὰρξ κατὰ τὸ ὀστέον, εἰ καὶ τὸ ὀστέον μικρόν τι σίνοι εἴη καὶ μὴ μέγα. τοῖσι γοῦν τούτοισιν ἐπιπωρώματα ἴσχει ἡ ῥὶς, καὶ ὀκριοειδεστέρη τινὶ γίνεται. ἀλλ' ὅμως οὐδὲ τούτοισι δή που πολλοῦ ὄχλου δέεται ἡ ἐπίδεσις, εἰ δή τι καὶ δεῖ ἐπιδέειν. ἀρκέει δὲ ἐπὶ μὲν τὸ φλάσμα σπλήνιον ἐπιτείναντα κεκηρωμένον.

ἔπειτα ὡς ἀπὸ δύο ἀρχέων ἐπιδέεται, οὕτως ὀθονίῳ ἐς ἅπαξ περιβαλέειν. ἀρίστη μέντοι ἰητρείη, τῷ ἀλήτῳ τῷ σητανίῳ, τῷ πολυτῷ, γλίσχρῳ, πεφυρημένῳ, ὀλίγῳ, καταπλάσσειν τὰ τοιαῦτα. χρὴ δὲ ἢν μὲν ἀγαθὸν ᾖ, τῶν πυρῶν τὸ ἄλητον καὶ εὐόλκιμον τούτῳ χρέεσθαι ἐς πάντα τὰ τοιαῦτα. ἢν δὲ μὴ πάνυ ὁλκιμον ᾖ, ἐς ὀλίγην μάνναν ὕδατι ὡς λειοτάτην διέντα, τούτῳ φυρᾶν τὸ ἄλητον, ἢ κόμμι πάνυ ὀλίγον ὡσαύτως μίσγειν. ὁκόσοισι μὲν οὖν ῥὶς ἐς τὸ κάτω ἢ ἐς τὸ σιμὸν ῥέπουσα καταγῇ. ἢν μὲν ἐκ τοῦ ἔμπροσθεν μορίου κατὰ τὸν χόνδρον ἵζηται, οἷόν τε ἐστὶ καὶ ἐντιθέναι διόρθωμα ἐς τοὺς μυκτῆρας. ἢν δὲ μὴ, ἀνορθοῦν μὲν χρὴ πάντα τὰ τοιαῦτα, τοὺς δακτύλους ἐς τοὺς μυκτῆρας ἐντιθέντα, ἢν ἐνδέχηται. ἢν δὲ μὴ, παχὺ ὑπάλειπτρον μὴ ἐς τὸ ἔμπροσθεν τῆς ῥινὸς ἀπάγοντα τοῖσι δακτύλοισιν, ἀλλ' ᾗ ἵδρυται. ἔξωθεν δὲ τῆς ῥινὸς ἔνθεν καὶ ἔνθεν ἀμφιλαμβάνοντα τοῖσι δακτύλοισι, συναναγκάζειν τε ἅμα καὶ ἀναφέρειν ἐς τὸ ἄνω, καὶ ἢν μὲν πάνυ ἐς τὸ ἔμπροσθεν τὸ κάτηγμα ᾖ, οἷόν τέ τι καὶ ἔσω τῶν μυκτήρων ἐντιθέναι, ὡς πρὶν ἤδη εἴρηται. ἄχνην τὴν ἀμφὶ ἡμιτύβιον, ἢ ἄλλο τι τοιοῦτον ἐν ὀθονίῳ ἐλίσσοντα. μᾶλλον δὲ ἐν καρχηδονίῳ δέρματι ἐρράψαντα, σχηματίσαντα τὸ ἁρμόζον σχῆμα τῷ χωρίῳ ἵνα ἐγκείσεται. ἢν μέντοι προσωτέρω ᾖ τὸ κάταγμα, οὐδὲν οἷόν τε ἔσω ἐντιθέναι. καὶ γὰρ εἰ ἐν τῷ ἔμπροσθεν ἀστηρὸν τὸ φόρημα, πῶς γε δὴ οὐκ ἐν τῷ ἐσωτέρω; τὸ μὲν οὖν πρῶτον καὶ ἔσωθεν ἀναπλάσσεσθαι καὶ ἔξωθεν ἀφειδήσαντα χρὴ ἀνάγειν ἐς τὴν ἀρχαίην φύσιν καὶ διαρθρώσασθαι. κάρτα γὰρ οἱ ἤτε ῥὶς κατεαγεῖσα ἀναπλάσσεται. μάλιστα μὲν αὐθήμερος. ἢν δὲ μὴ, ὀλίγῳ ὕστερον. ἀλλὰ καταβλακεύουσιν οἱ ἰητροὶ καὶ ἁπαλωτέρως τὸ πρῶτον ἅπτονται ἢ ὡς χρή. παραβάλλοντα γὰρ τοὺς δακτύλους χρὴ ἔνθεν καὶ ἔνθεν κατὰ τὴν φύσιν τῆς ῥινὸς ὡς κατωτάτω κάτωθεν συναναγκάζειν, καὶ οὕτω μάλιστα ἀνορθοῦται σὺν τῇ ἔσωθεν διορθώσει διορθοῦντα. ἔπειτα δὲ ἐς ταῦτα ἰητρὸς οὐδεὶς ἄλλος τοιοῦτός ἐστιν εἰ ἐθέλοι μελετᾶν καὶ τολμᾶν, ὡς οἱ αὐτοῦ δάκτυλοι, οἱ λιχανοί. οὗτοι γὰρ κατὰ φύσιν μάλιστά εἰσι. παραβάλλοντα γὰρ χρὴ τῶν δακτύλων ἑκάτερον παρὰ πᾶσαν τὴν ῥῖνα ἐρείδοντα, ἡσύχως οὕτως ἔχειν. μάλιστα μὲν, εἰ οἷόν τε εἴη αἰεὶ, ἔστ' ἂν κρατυνθῇ. εἰ δὲ μὴ, ὡς πλεῖστον χρόνον, ὡς εἴρηται. εἰ δὲ μὴ, ἢ παῖδα ἢ γυναῖκά τινα, μαλθακὰς γὰρ τὰς χεῖρας δεῖ εἶναι. οὕτως, ὡς ἂν κάλλιστα ἰητρευθείη ἡ ῥὶς, ὅτεῳ μὴ ἐς τὸ κοῖλον, ἀλλ' ἐς τὸ κάτω ἱδρυμένη εἴη ἰσόρροπος. ἐγὼ μὲν οὖν οὐδεμίαν οἶδα ῥῖνα, ἥ τις οὕτω κατεαγεῖσα οὐχ οἵη τε διορθωθῆναι αὐτίκα πρὶν πωρωθῆναι συναναγκαζομένη ἐγένετο, εἴ τις ὀρθῶς ἐθέλοι ἰητρεύειν. ἀλλ' οἱ ἄνθρωποι αἰσχροὶ μὲν εἶναι πολλοῦ ἀποτιμῶσι. μελετᾶν δὲ ἅμα μὲν οὐκ ἐπίστανται, ἅμα δὲ, οὐ τολμέουσιν, ἢν μὴ ὀδυνῶνται, ἢ θάνατον δεδοίκασι. καίτοι ὀλιγοχρόνιος ἡ πώρωσις τῆς ῥινός, ἐν γὰρ δέκα ἡμέρῃσι κρατύνεται, ἢν μὴ ἐπισφακελίσῃ. ὁκόσοισι δὲ τὸ ὀστέον ἐς τὸ πλάγιον κατάγνυται. ἡ μὲν ἴησις αὐτή. τὴν δὲ διόρθωσιν δηλονότι χρὴ ποιέεσθαι, οὐχ ἰσόρροπον ἀμφοτέρωθεν, ἀλλὰ τότε ἐγκεκλιμένον ὠθέειν ἐς τὴν φύσιν ἔκτοσθεν ἀναγκάζοντα. καὶ ἐσματευόμενον ἐς τοὺς μυκτῆρας καὶ τὰ ἔσω ῥέψαντα διορθοῦν ἀόκνως ἔστ' ἂν κατορθώσῃ, εὖ εἰδότα, ὅτι ἢν μὴ αὐτίκα κατορθώσηται, οὐχ οἷόν τε μὴ καὶ διεστράφθαι τὴν ῥῖνα. ὅταν δὲ ἀγάγῃς ἐς τὴν φύσιν προσβαλόντα χρὴ ἐς τὸ χωρίον, ἢ τοὺς δακτύλους, ἢ τὸν ἕνα δάκτυλον ᾗ ἐξέσχεν ἀνακωχέειν, ἢ αὐτὸν, ἢ ἄλλον τινὰ, ἔστ' ἂν κρατυνθῇ τὸ σῶμα. ἀτὰρ καὶ ἐς τὸν μυκτῆρα τὸν μικρὸν δάκτυλον ἀπωθέοντα, ἄλλοτε καὶ ἄλλοτε, διορθοῦν χρὴ τὰ ἐκκλιθέντα. ὅτι δ' ἂν φλεγμονῆς ὑπογίνεται τούτοισι, χρὴ τῷ σταιτὶ χρέεσθαι. τοῖσι μέντοι δακτύλοισι προσέχειν χρὴ ὁμοίως, καὶ τοῦ σταιτὸς ἐπικειμένου. ἢν δέ που κατὰ τὸν χόνδρον ἐς τὰ πλάγια καταγῇ, ἀνάγκη τὴν ῥῖνα ἄκρην μεταστράφθαι. χρὴ οὖν τοῖσι τοιούτοισι ἐς τὸν μυκτῆρα ἄκρον διόρθωμά τι τῶν εἰρημένων, ἢ ὅτι τούτοισιν ἔοικεν ἐντιθέναι. πολλὰ δ' ἄν τις εὕροι τὰ ἐπιτήδεια, ὅσα μήτε ὀσμὴν ἔχει μήτε ἄλλως προσηνέα ἐστίν. ἐγὼ δέ ποτε πνεύμονος προβάτου ἀπότμημα ἐνέθηκα, τοῦτο γάρ πως παρέτυχεν. οἱ γὰρ σπόγγοι ἐντιθέμενοι ὑγράσματα δέχονται. ἔπειτα χρὴ, καρχηδονίου λοπὸν πλάτος ὡς τοῦ μεγάλου δακτύλου τετμημένον, ἢ ὅκως ἂν ξυμφέρῃ, προσκολλῆσαι ἐς τὸ ἔκτοσθεν πρὸς τὸν μυκτῆρα τὸν ἐγκεκλιμένον. κἄπειτα κατατεῖναι τὸν ἱμάντα ὅκως ἂν ξυμφέρῃ. μᾶλλον δὲ ὀλίγον τείνειν χρὴ, ὥστε ὀρθὴν καὶ ἀπαρτῆ τὴν ῥῖνα εἶναι. ἔπειτα, μακρὸς γὰρ ἔστω ὁ ἱμὰς, κάτωθεν τοῦ ὠτὸς ἀγαγόντα αὐτὸν, ἀναγαγεῖν περὶ τὴν κεφαλήν. καὶ ἔξεστι μὲν, κατὰ τὸ μέτωπον προσκολλῆσαι τὴν τελευτὴν τοῦ ἱμάντος. ἔξεστι δὲ μακρότερον ἄγειν. ἔπειτα περιελίσσοντα περὶ τὴν κεφαλὴν καταδεῖν. αὕτη ἅμα μὲν, δικαίην τὴν διόρθωσιν ἔχει. ἅμα δὲ εὐταμίευτον, καὶ μᾶλλον ἢν ἐθέλῃς καὶ ἧσσον τὴν ἀντιρρόπην ποιῆσαι τῆς ῥινός. ἀτὰρ καὶ ὁκόσοισιν ἐς τὸ πλάγιον ἡ ῥὶς κατάγνυται, τὰ μὲν ἄλλα ἰητρεύειν χρὴ, ὡς προείρηται. προσδέεται δὲ τοῖσι πλείστοισι καὶ τοῦ ἱμάντος πρὸς ἄκρην τὴν ῥῖνα προσκολλῆσαι τῆς ἀντιρρόπης εἵνεκα. ὁκόσοισι δὲ σὺν τῇ κατάξει καὶ ἕλκεα προσγίνεται, οὐδὲν δεῖ ταράσσεσθαι διὰ τοῦτο, ἀλλ' ἐπὶ μὲν τὰ ἕλκεα ἐπιτιθέναι πισσηρὴν, ἢ τῶν ἐναίμων τι, εὐαλθέα γὰρ τὰ τοιαῦτα. ὁμοίως κἢν ὀστέα μέλλῃ ἀπιέναι, τήν τε διόρθωσιν τὴν πρώτην, ἀόκνως χρὴ ποιέεσθαι μηδὲν ἐπιλείποντα, καὶ τὰς διορθώσιας τοῖσι δακτύλοισιν ἐν τῷ ἔπειτα χρόνῳ. χαλαρωτέρῃσι μὲν γὰρ χρεόμενον. χρεόμενον δὲ,

εὐπλαστότατον γάρ τι πάντων τοῦ σώματος ἡ ῥίς ἐστι. τῶν δὲ ἱμάντων τῇ κολλήσει καὶ τῇ ἀντιρρόπῃ πανταπᾶσιν οὐδὲν κωλύει χρῆσθαι. οὔτ' ἢν ἑλκώσῃ. οὔτ' ἢν ἐπιφλεγμήνῃ. ἄλυποι γάρ εἰσιν.

Ἢν δὲ οὖς καταγῇ, ἐπιδέσιες πᾶσαι πολέμιαι. οὐ γὰρ οὕτω τις χαλαρὸν περιβάλλοι. ἢν δὲ μᾶλλον πιέζῃ, πλέον κακὸν ἐργάσεται. ἐπεὶ καὶ ὑγιὲς οὖς ἐπιδέσει πιεχθὲν ὀδυνηρὸν, καὶ σφυγματῶδες, καὶ πυρετῶδες γίνεται. ἀτὰρ καὶ τὰ ἐπιπλάσματα κάκιστα μὲν τὰ βαρύτατα ἐπίπαν. ἀτὰρ καὶ τὰ πλεῖστα, φλαῦρα καὶ ἀποστατικὰ, καὶ μύξαν τε ὑπὸ ποιέει πλείω. κἄπειτα ἐκπυήσιας ἀσηράς, τούτων δὲ οὖς ἥκιστα κατεαγὲν προσδέεται. ἄγχιστα μὲν εἰ πρὶν χρὴ τὸ γλίσχρον ἄλητον. χρὴ δὲ μηδὲ τοῦτο βάρος ἔχειν. ψαύειν δὲ ὡς ἥκιστα ξυμφέρει. ἀγαθὸν γὰρ ἐνίοτε φάρμακον, καὶ τὸ μηδὲν φέρειν φάρμακον καὶ πρὸς οὖς, καὶ πρὸς ἄλλα πολλά. χρὴ δὲ καὶ τὴν ἐπικοίμησιν φυλάττεσθαι. τὸ δὲ σῶμα ἰσχναίνειν, καὶ μᾶλλον, ὧ ἂν κίνδυνος ᾖ, ἔμπυον τὸ οὖς γενέσθαι. ἄμεινον δὲ, καὶ μαλθάξαι τὴν κοιλίην. ἢν δὲ καὶ εὐήμετος ᾖ, ἐμέειν ἀπὸ συρμαισμοῦ. ἢν δὲ ἐς ἐκπύησιν ἔλθῃ, ταχέως μὲν, οὐ χρὴ στομοῦν. πολλὰ γὰρ καὶ τῶν δοκεόντων ἐκπυέεσθαι ἀναπίνεταί ποτε, κἢν μηδέ πω τις καταπλάσσῃ. ἢν δὲ ἀναγκασθῇ στομῶσαι τάχιστα μὲν, ὑγιὲς γίνεται, ἤν τις πέρην διακαύσῃ. εἰδέναι μέντοι χρὴ σαφῶς, ὅτι κυλλὸν ἔσται τὸ οὖς καὶ μεῖον τοῦ ἑτέρου, ἢν πέρην διακαυθῇ. ἢν δὲ μὴ πέρην καίηται, τάμνειν χρὴ τὸ μετέωρον, μὴ πάνυ σμικρὴν τομήν. διὰ παχυτέρου μὲν καὶ τὸ πῦον εὑρίσκεται, ἢ ὡς ἄν τις δοκέοι. ὡς δ' ἐν κεφαλαίῳ εἰπεῖν, καὶ πάντα τἄλλα τὰ μυξώδεα καὶ μυξοποιὰ, ἅτε γλίσχρα ἐόντα ὑποθιγγανόμενα διολισθαίνει ταχέως ὑπὸ τοὺς δακτύλους καὶ ἔνθα καὶ ἔνθα. διὰ τοῦτο διὰ παχυτέρου εὑρίσκουσι τὰ τοιαῦτα οἱ ἰητροὶ, ἢ ὡς οἴονται. ἐπεὶ καὶ τῶν γαγγλιωδέων ἔνια ὅσα ἂν πλαδαρὰ ᾖ, καὶ μυξώδεα σάρκα ἔχῃ, πολλοὶ στομοῦσιν οἰόμενοι ῥεῦμα ἀνευρήσειν ἐς τὰ τοιαῦτα. ἡ μὲν οὖν γνώμη τοῦ ἰητροῦ ἐξαπατᾶται. τῷ δὲ πρήγματι, τῷ τοιούτῳ οὐδεμία βλάβη στομωθέντι. ὅσα δὲ ὑδατώδεά ἐστιν, ἢ μύξης πεπληρωμένα, καὶ ἐν οἵοισι χωρίοισιν ἕκαστα θάνατον φέρει στομούμενα, ἢ κατὰ ἀλλοίας βλάβας, περὶ τούτων ἐν ἄλλῳ λόγῳ γεγράψεται. ὅταν οὖν τάμῃ τις τὸ οὖς, πάντων μὲν καταπλασμάτων, πάσης τε μοτώσιος ἀπέχεσθαι χρή. ἰητρεύειν δὲ, ἢ ἐναίμοις, ἢ ἄλλῳ τῳ, ὅ, τι μήτε βάρος, μήτε πόνον παρασχήσει. ἢν γὰρ ὁ χόνδρος ἄρξηται ψιλοῦσθαι καὶ ὑποστάσιας ἴσχῃ πυώδεας, ἢ χαλώδεας, ὁ χληρόν. γίνεται δὲ καὶ τοῦτο δι' ἐκείνας τὰς ἰήσιας. πάντων δὲ τῶν παλιγκοτησάντων ἡ πέρην διάκαυσις αὐταρκέστατον.

Σπόνδυλοι δὲ οἱ κατὰ ῥάχιν. ὁκόσοισι μὲν ὑπὸ νοσημάτων ἕλκονται ἐς τὸ κῦφον. τὰ μὲν πλεῖστα ἀδύνατα λύεσθαι. ποτὶ, καὶ ὅσα ἀνωτέρω τῶν φρενῶν τῆς προσφύσιος κυφοῦται. τῶν δὲ κατωτέρω, μεθεξέτερα λύουσι κιρσοὶ γενόμενοι ἐν τοῖσι σκέλεσι. μᾶλλον δέ τι ἐπιγινόμενοι κιρσοὶ ἐν τῇ κατ' ἰγνύην φλεβί. οἷσι δ' ἂν τι κύφωμα ᾖ, λύουσιν. ἐπιγίνονται δὲ καὶ ἐν τῇ κατὰ βουβῶνα. ἤδη δέ τισιν ἔλυσε καὶ ἡ δυσεντερίη πολυχρόνιος γινομένη. καὶ οἷσι μὲν κυφοῦται ῥάχις παισὶν ἐοῦσιν, πρὶν ἢ τὸ σῶμα τελειωθῆναι ἐς αὔξησιν, τούτοισι μὲν, οὐδὲ συναύξεσθαι ἐθέλοι κατὰ τὴν ῥάχιν τὸ σῶμα, ἀλλὰ σκέλεα μὲν καὶ χεῖρες τελειοῦνται. ταῦτα δὲ, ἐνδεέστερα γίνονται. καὶ ὅσοισι ἂν ἡ ἀνωτέρω τῶν φρενῶν τὸ κῦφος, τούτοισι μὲν αἵ τε πλευραὶ οὐκ ἐθέλουσιν ἐς τὸ εὐρὺ αὔξεσθαι, ἀλλ' ἐς τοὔμπροσθεν. τό, τε στῆθος ὀξὺ γίνεται, ἀλλ' οὐ πλατύ. αὐτοί τε δύσπνοοι γίνονται, καὶ κερχνώδεες. ἧσσον γὰρ εὐρυχωρίην ἔχουσιν αἱ κοιλίαι αἱ τὸ πνεῦμα δεχόμεναι καὶ προπέμπουσαι. καὶ μέντοι καὶ ἀναγκάζονται κατὰ τὸν μέγαν σπόνδυλον λορδὸν τὸν αὐχένα ἔχειν, ὡς μὴ προπετὴς ἔῃ αὐτοῖσιν ἡ κεφαλή. στενοχωρίην μὲν οὖν πολλὴν τῷ φάρυγγι παρέχει καὶ τοῦτο ἐς τὸ ἔσω ῥέπον. καὶ γὰρ τοῖσιν ὀρθοῖσι φύσει δύσπνοιαν παρέχει τοῦτο τὸ ὀστέον, ἢν ἔσω ῥέψῃ ἔστ' ἂν ἀναπιεχθῇ. διὰ οὖν τὸ τοιοῦτον σχῆμα ἐξεχέβρογχοι οἱ τοιοῦτοι τῶν ἀνθρώπων μᾶλλον φαίνονται, ἢ ὑγιέες. φυματίαι τε ὡς ἐπὶ τὸ πολὺ κατὰ τὸν πνεύμονά εἰσιν οἱ τοιοῦτοι σκληρῶν φυμάτων καὶ ἀπέπτων. καὶ γὰρ ἡ πρόφασις τοῦ κυφώματος, καὶ ἡ ξύστασις τοῖσι πλείστοισι, διὰ τοιαύτας συστροφάς γίνεται, ᾗσιν ἂν κοινωνήσωσιν οἱ τόνοι οἱ σύνεγγυς. ὁκόσοισι δὲ κατωτέρω τῶν φρενῶν τὸ κύφωμά ἐστι, τούτοισι νοσήματα μὲν ἐνίοισι προσγίνεται νεφριτικά, καὶ κατὰ κύστιν. ἀτὰρ καὶ ἀποστάσιες ἐς ἐμπύημά τι, καὶ κατὰ κενεῶνας, καὶ κατὰ βουβῶνας χρόνιαι, καὶ δυσαλθέες. καὶ τουτέων οὐδέτερη λύει τὰ κυφώματα. ἰσχία δὲ τοῖσι τουτέοισιν ἔτι ἀσαρκότερα γίνεται, ἢ τοῖσιν ἄνωθεν κυφοῖσιν. ἡ μέντοι σύμπασα ῥάχις, μακροτέρη τούτοισιν, ἢ τοῖσιν ἄνωθεν κυφοῖσιν. ἥβη δὲ καὶ γένειον βραχύτερα καὶ ἀτελέστερα. καὶ ἀγονώτεροι οὗτοι, τῶν ἄνωθεν κυφῶν. οἷσι δ' ἂν ηὐξημένοισιν ἤδη τὸ σῶμα γένηται κύφωσις, τούτοισιν ἀπαντικρὺ μὲν τῆς νόσου τῆς τότε παρεούσης κρίσιν ποιέει ἡ κύφωσις. ἀνὰ χρόνον μέντοι ἐπισημαίνει τι τῶν αὐτέων, ὥσπερ καὶ τοῖσι νεωτέροισιν, ἢ πλέον, ἢ ἔλασσον. ἧσσον δὲ κακοήθως ὡς τὸ ἐπίπαν μὴν τοιαῦτά ἐστι. πολλοὶ μέντοι ἤδη καὶ εὐφόρως ἤνεγκαν καὶ ὑγιεινῶς τὴν κύφωσιν ἄχρι γήρως. μάλιστα δὲ οὗτοι, οἷσιν ἂν ἐς τὸ εὔσαρκον καὶ πιμελῶδες προτρέπηται τὸ σῶμα. ὀλίγοι μὲν ἤδη καὶ τῶν τοιούτων ὑπὲρ ἑξήκοντα ἔτη ἐβίωσαν. οἱ δὲ πλεῖστοι βραχυβιώτεροί εἰσιν. ἔστι δ' οἷσι καὶ ἐς τὸ πλάγιον σκολιοῦνται σπόνδυλοι, ἢ τῇ, ἢ τῇ. πάντα, ἢ τὰ πλεῖστα τὰ τοιαῦτα γίνεται διὰ συστροφὰς τὰς ἔσωθεν ῥάχιος.

προσξυμβάλλεται δὲ ἐνίοισι ζῆν τῇ νούσῳ καὶ τὰ σχήματα, ἐφ' ὁποῖα ἂν ἐθισθέωσι κεκλίσθαι. ἀλλὰ περὶ μὲν τούτων ἐν τοῖσι χρονίοισι κατὰ πνεύμονα νοσήμασιν εἰρήσεται. ἐκεῖ γάρ εἰσιν αὐτῶν χαριέσταται προγνώσιες περὶ τῶν μελλόντων ἔσεσθαι. ὅσοισι δὲ ἐκ καταπτώσιος ῥάχις κυφοῦται, ὀλίγοι δὴ τούτων ἐκρατήθη, ὥστε ἐξιθυνθῆναι. πρῶτον μὲν γὰρ αἱ ἐν τῇ κλίμακι κατασείσιες, οὐδένα ἐξίθυναν, ὧν γε ἐγὼ οἶδα. χρέονται δὲ οἱ ἰητροὶ μάλιστα αὐτῇ οὗτοι οἱ ἐπιθυμέοντες ἐκχαυνοῦν τὸν πολὺν ὄχλον. τοῖσι γὰρ τοιούτοισι ταῦτα θαυμάσιά ἐστιν, ἢν ἢ κρεμάμενον ἴδωσιν, ἢ ῥιπτούμενον, ἢ ὅσα τοῖσι τοιούτοισιν ἔοικε, καὶ ταῦτα κληΐζουσιν αἰεὶ καὶ οὐκέτι αὐτοῖσι μέλει, ὁκοῖόν τι ἀπέβη ἀπὸ τοῦ χειρίσματος, εἴτε κακὸν, εἴτε ἀγαθόν. οἱ μέντοι ἰητροὶ οἱ τὰ τοιαῦτα ἐπιτηδεύοντες, σκαιοί εἰσιν, οὓς ἔγωγε ἔγνων. τὸ μὲν γὰρ ἐπινόημα ἀρχαῖον. καὶ ἐπαινέω ἔγωγε σφόδρα τὸν πρῶτον ἐπινοήσαντα καὶ πρῶτον καὶ ἄλλο πᾶν ὅ, τι μηχάνημα κατὰ φύσιν ἐπενοήθη. οὐδὲν γάρ μοι ἄελπτον, εἴ τις καλῶς σκευάσας κατασείσειε κἂν ἐξιθυνθῆναι ἔνια. αὐτὸς μέντοι κατῃσχύνθην πάντα τὰ τοιουτότροπα ἰητρεύειν οὕτω, διὰ τὸ ὅτι πρὸς ἀπατεώνων μᾶλλον οἱ τοιοῦτοι τρόποι. ὅσοισι μὲν οὖν ἐγγὺς τοῦ αὐχένος ἡ κύφωσις γένηται, ἧσσον εἰκὸς ὠφελέειν τὰς κατασείσιας ταύτας, τὰς ἐπὶ κεφαλήν. μικρὸν γὰρ τὸ βάρος ἡ κεφαλὴ καὶ τὰ ἀκρώμια κατὰ ῥέποντα, ἀλλὰ τούς γε τοιούτους εἰκὸς ἐπὶ τοὺς πόδας κατασεισθέντας μᾶλλον ἐξιθυνθῆναι, μείζων γὰρ οὕτως ἡ καταρροπὴ ἐπὶ τὰ τοιαῦτα. ὅσοισι δὲ κατωτέρω τὸ ὕβωμα, τούτοισιν εἰκὸς μᾶλλον ἐπὶ κεφαλὴν κατασείεσθαι. εἰ οὖν τις ἐθέλει κατασείειν, ὀρθῶς ἂν ὧδε σκευάζοι. τὴν κλίμακα χρὴ σκυτίνοισιν ἢ ἀπὸ κεφαλέοισιν πλαγίοισιν, ἢ ὀθονίοισι κατεστορῶσθαι εὖ προσδεδεμένοισιν ὀλίγῳ πλέον καὶ ἐπὶ μῆκος, καὶ ἔνθεν καὶ ἔνθεν, ἢ ὅσον ἂν τὸ σῶμα τοῦ ἀνθρώπου κατέχοι. ἔπειτα τὸν ἄνθρωπον ὕπτιον κατακλῖναι ἐπὶ τὴν κλίμακα χρή. κἄπειτα προσδῆσαι μὲν τοὺς πόδας παρὰ τὰ σφυρὰ πρὸς τὴν κλίμακα μὴ διαβεβῶτα. ἐν δεσμῷ εὐόχῳ μὲν, μαλθακῷ δέ. προσδῆσαι δὲ κατωτέρω ἑκατέρων τῶν γουνάτων, καὶ ἀνωτέρω. προσδῆσαι δὲ καὶ κατὰ τὰ ἰσχία. κατὰ δὲ τοὺς κενεῶνας καὶ κατὰ τὸ στῆθος χαλαρῇσι ταινίῃσι περιβαλέειν οὕτως ὅκως μὴ κωλύωσι τὴν κατάσεισιν. τὰς δὲ χεῖρας παρὰ τὰς πλευρὰς παρατείναντα προσκαταβαλεῖν πρὸς αὐτὸ τὸ σῶμα, καὶ μὴ πρὸς τὴν κλίμακα. ὅταν δὲ ταῦτα κατασκευάσῃς, οὕτως ἀνέλκειν τὴν κλίμακα ἢ πρὸς τύρσιν τινὰ ὑψηλὴν, ἢ πρὸς ἀέτωμα οἴκου. τὸ δὲ χωρίον ἵνα ὅπου κατασείεις, ἀντίτυπον ἔστω. τοὺς δὲ ἀνατείνοντας εὐπαιδεύτους χρὴ εἶναι, ὅκως ὁμαλῶς, καὶ καλῶς, καὶ ἰσορρόπως, καὶ ἐξαπιναίως ἀφήσωσι, καὶ μήτε ἡ κλίμαξ ἑτερόρροπος εἰς γῆν ἀφίξεται, μήτε αὐτοὶ προπετέες ἔσονται. ἀπὸ μέντοι τύρσιος ἀφιεὶς ἢ ἀπὸ ἱστοῦ καταπεπηγότος καρχήσιον ἔχοντος. ἔτι κάλλιον ἄν τις σκευάσαιτο, ὥστε ἀπὸ τροχιλίης τὰ χαλώμενα εἶναι ὅπλα ἢ ἀπὸ ὄνου. ἀηδὲς μὴν καὶ μακρηγορεῖν περὶ τούτων. ὅμως δὲ ἐκ τουτέων ἂν τῶν κατασκευῶν, μάλιστα ἄν τις κατασεισθείη. εἰ μέν τι κάρτα ἄνω εἴη τὸ ὕβωμα. δέοι δὲ κατασείειν πάντως ἐπὶ πόδας λυσιτελέει, ὡς πρόσθεν ἤδη εἴρηται. πλείων γὰρ οὕτω γίνεται ἡ καταρροπὴ ἐπὶ ταῦτα. ὁρμῆσαι μὲν χρὴ κατὰ μὲν τὸ στῆθος πρὸς τὴν κλίμακα προσδήσαντα ἰσχυρῶς. κατὰ δὲ τὸν αὐχένα, ὡς χαλαρωτάτῃ ταινίῃ ὅσον τοῦ κατορθοῦσθαι εἵνεκα. καὶ αὐτὴν τὴν κεφαλὴν κατὰ τὸ μέτωπον προσδῆσαι πρὸς τὴν κλίμακα. τὰς δὲ χεῖρας παρατανύσαντα πρὸς τὸ σῶμα προσδῆσαι, μὴ πρὸς τὴν κλίμακα. τὸ μέντοι ἄλλο σῶμα, ἄδετον εἶναι χρὴ, πλὴν ὅσον τοῦ κατορθοῦσθαι εἵνεκα, ἄλλῃ καὶ ἄλλῃ ταινίῃ χαλαρῇ περιβεβλῆσθαι. ὅκως δὲ μὴ κωλύωσιν οὗτοι οἱ δεσμοὶ τὴν κατάσεισιν, σκοπεῖν. τὰ δὲ σκέλεα πρὸς μὲν τὴν κλίμακα μὴ προσδεδέσθω. πρὸς ἄλληλα δὲ, ὡς κατὰ τὴν ῥάχιν, ἰθύρροπα ᾖ. ταῦτα μέντοι τοιουτοτρόπως ποιητέα, εἰ πάντως δέοι ἐν κλίμακι κατασεισθῆναι. αἰσχρὸν μέντοι καὶ ἐν πάσῃ τέχνῃ, καὶ οὐχ ἥκιστα ἐν ἰητρικῇ πολὺν ὄχλον, καὶ πολλὴν ὄψιν, καὶ πολὺν λόγον παρασχόντα, ἔπειτα μηδὲν ὠφελῆσαι. χρὴ δὲ πρῶτον μὲν γινώσκειν τὴν φύσιν τῆς ῥάχιος οἵη τίς ἐστιν. ἐς πολλὰ γὰρ νοσήματα, προσδέοι ἂν αὐτῆς. πρῶτον μὲν γὰρ τὸ πρὸς τὴν κοιλίην ῥέπον, οἱ σπόνδυλοι ἐντὸς ἄρτιοί εἰσιν ἀλλήλοισι. καὶ δέδενται πρὸς ἀλλήλους δεσμῷ μυξώδει καὶ νευρώδει ἀπὸ χόνδρων ἀποπεφυκότι ἄχρι πρὸς τὸν νωτιαῖον. ἄλλοι δέ τινες τόνοι νευρώδεες διανταῖοι πρόσφυτοι παρατέτανται ἔνθεν καὶ ἔνθεν αὐτῶν. αἱ δὲ φλεβῶν καὶ ἀρτηριῶν κοινωνίαι, ἐν ἑτέρῳ λόγῳ δεδηλώσονται, ὅσαι τε καὶ οἷαι καὶ ὅθεν ὡρμημέναι. καὶ ἐν οἵοισιν οἷα δύνανται. αὐτὸς δὲ ὁ νωτιαῖος οἵοισιν ἐλύτρωται ἐλύτροισι, καὶ ὅθεν ὡρμημένοισι, καὶ ὅπῃ κραίνουσι, καὶ οἷσι κοινωνέουσι, καὶ οἷσι δυναμένοισιν. ἐν δὲ τῷ ἐπέκεινα ἐν ἄρθροισι γιγγλυμῶνται πρὸς ἀλλήλους οἱ σπόνδυλοι. τόνοι δὲ κοινοὶ παρὰ πάντας, καὶ ἐν τοῖσιν ἔξω μέρεσι, καὶ ἐν τοῖσιν ἔσω παρατέτανται. ἀπόφυσίς τε ἐστὶν ὀστέου ἐς τὸ ἔξω μέρος ἀπὸ πάντων τῶν σπονδύλων μία ἀπὸ ἑνὸς ἑκάστου, ἀπό τε τῶν μειζόνων, ἀπό τε τῶν ἐλασσόνων. ἐπὶ δὲ τῇσιν ἀποφύσεσι ταύτῃσι χονδρίων ἐπιφύσιες. καὶ ἀπ' ἐκείνων νεύρων ἀποβλάστησις ἀδελφισμένη τοῖσιν ἐξωτάτω τόνοισι. πλευραὶ δὲ προσπεφύκασιν ἐς τὸ ἔσω μέρος τὰς κεφαλὰς ῥέπουσαι μᾶλλον, ἢ ἐς τὸ ἔξω. καθ' ἕνα δὲ ἕκαστον τῶν σπονδύλων προσήρθρωνται. καμπυλώταται δὲ πλευραὶ ἀνθρώπου εἰσὶ, ῥοιβοειδέα τρόπον. τὸ δὲ μεσηγὺ τῶν πλευρέων καὶ τῶν ὀστέων τῶν ἀποπεφυκότων ἀπὸ τῶν

ἀπὸ τῶν σπονδύλων, ἀποπληρέουσιν ἑκατέρωθεν οἱ μύες ἀπὸ τοῦ αὐχένος ἀρξάμενοι, ἄχρι τῆς τῶν φρενῶν τῆς προσφύσιος. αὐτὴ δὲ ἡ ῥάχις κατὰ μῆκος ἰθυσκολιός ἐστι. ἀπὸ μὲν τοῦ ἱεροῦ ὀστέου ἄχρι τοῦ μεγάλου σπονδύλου παρ' ὃν προσήρτηται τῶν σκελέων ἡ πρόσφυσις, ἄχρι μὲν τούτου κυφή. κύστις τε γὰρ, καὶ γοναὶ, καὶ ἀρχοῦ τὸ χαλαρὸν ἐν τουτέῳ ἔκτισται. ἀπὸ δὲ τούτου ἄχρι φρενῶν προσαρτήσιος, ἰθυλόρδη. καὶ παραφύσιας ἔχει μυῶν, πρῶτον μοῦνον τὸ χωρίον ἐκ τοῦ ἔσωθεν, ἃς δὴ καλέουσι ψόας. ἀπὸ δὲ τούτου ἄχρι τοῦ μεγάλου σπονδύλου, τοῦ ὑπὲρ τῶν ἐπωμίδων ἰθυκυφή. ἔτι δὲ μᾶλλον δοκέει ἢ ἐστίν. ἡ γὰρ ἄκανθα κατὰ μέσον ὑψηλοτάτας τὰς ἐκφύσιας τῶν ὀστέων ἔχει. ἔνθεν δὲ, καὶ ἔνθεν, ἐλάσσους. αὐτὸ δὲ τὸ ἄρθρον τοῦ αὐχένος λορδόν ἐστιν. ὁκόσοισι μὲν οὖν κυφώματα γίνεται κατὰ τοὺς σπονδύλους, ἔξωσις μὲν μεγάλη ἀπορραγεῖσα ἀπὸ τῆς συμφύσιος, ἢ ἑνὸς σπονδύλου, ἢ καὶ πλειόνων, οὐ μάλα πολλοῖσι γίνεται, ἀλλ' ὀλίγοισιν. οὐδὲ γὰρ τὰ τρώματα τὰ τοιαῦτα ῥηΐδιον γίνεσθαι, οὔτε γὰρ ἐς τὸ ἔξω ἐξωσθῆναι ῥηΐδιόν ἐστιν, εἰ μὴ ἐκ τοῦ ἔμπροσθεν ἰσχυρῷ τινὶ τρωθείη διὰ τῆς κοιλίης. οὕτω δ' ἂν ἀπόλλοιτο, ἢ εἴ τις ἀφ' ὑψηλοῦ τοῦ χωρίου πεσὼν, ἐρείσειε τοῖσιν ἰσχίοισιν, ἢ τοῖσιν ὤμοισιν. ἀλλὰ καὶ οὕτως ἂν ἀποθάνοι, παραχρῆμα δὲ, οὐκ ἂν ἀποθάνοι. ἐκ δὲ τοῦ ὄπισθεν οὐ ῥηΐδιον τοιαύτην ἔξαλσιν γενέσθαι ἐς τὸ ἔσω, εἰ μὴ ὑπερβαρύ τι ἄχθος ἐμπέσοι. τῶν τε γὰρ ὀστέων τῶν ἐκπεφυκότων ἔξωθεν ἕκαστον τοιοῦτόν ἐστιν, ὥστε πρόσθεν ἂν αὐτὸ καταγῆναι, πρὶν ἢ μεγάλην ῥοπὴν ἔσω ποιῆσαι, τούς τε συνδέσμους βιασάμενον, καὶ τὰ ἄρθρα τὰ ἐνηλλαγμένα. ὅ, τε ἂν νωτιαῖος πονοίη ἂν, εἰ δι' ὀλίγου χωρίου τὴν περικαμπὴν ἔχοι τοιαύτην ἔξαλσιν ἐξαλλομένου σπονδύλου, ὅ, τ' ἐκπηδήσας σπόνδυλος πιέζοι ἂν τὸν νωτιαῖον, εἰ μὴ καὶ ἀπορρήξειε. πιεχθεὶς δ' ἂν καὶ ἀπολελαμμένος πολλῶν ἂν καὶ μεγάλων καὶ ἐπικαίρων ἀπονάρκωσιν ποιήσειεν. ὥστε οὐκ ἂν μέλοι τῷ ἰητρῷ, ὅπως χρὴ τὸν σπόνδυλον κατορθῶσαι, πολλῶν καὶ βιαίων ἄλλων κακῶν παρεόντων. ὥστε δὴ οὐδ' ἐμβαλεῖν οἷόν τε οὔτε κατασείσαι, οὔτ' ἄλλῳ τρόπῳ τινὶ, πρόδηλον τὸ τοιοῦτον, εἰ μή τις διαταμὼν τὸν ἄνθρωπον ἐσμασάμενος ἐς τὴν κοιλίην, ἐκ τοῦ ἔσωθεν τῇ χειρὶ ἐς τὸ ἔξω ἀντωθέοι. καὶ ταῦτα νεκρῷ μὲν, οἷόν τε ποιέειν. ζῶντι δὲ, οὐ πάνυ. διὰ τί οὖν ταῦτα γράφω; ὅτι οἴονταί τινες ἰητρευκέναι ἀνθρώπους, οἷσιν ἔσωθεν ἔπεσον σπόνδυλοι τελέως ὑπερβάντες τὰ ἄρθρα, καίτοι γε ῥηΐστην ἐς τὸ περιγενέσθαι τῶν διαστροφέων ταύτην ἔνιοι νομίζουσι, καὶ οὐδὲν δέεσθαι ἐμβαλῆς, ἀλλ' αὐτόματα ὑγιέα γενέσθαι τὰ τοιαῦτα. ἀγνοέουσι δὲ πολλοὶ καὶ κερδαίνουσιν ὅτι ἀγνοέουσιν. πείθουσι γὰρ τοὺς πέλας. ἐξαπατῶνται δὲ διὰ τόδε. οἴονται τὴν ἄκανθαν τὴν ἐξέχουσαν κατὰ τὴν ῥάχιν ταύτην τοὺς σπονδύλους αὐτοὺς εἶναι, ὅτι στρογγύλον αὐτῶν ἕκαστον φαίνεται ψαυόμενον, ἀγνοοῦντες ὅτι τὰ ὀστέα ταῦτα ἐστὶ τὰ ἀπὸ τῶν σπονδύλων πεφυκότα, περὶ ὧν ὁ λόγος ὀλίγῳ πρόσθεν εἴρηται. οἱ δὲ σφόνδυλοι, πολὺ προσωτέρω ἄπεισι. στενοτάτην γὰρ πάντων ζῴων ἄνθρωπος κοιλίην ἔχει. ὡς ἐπὶ μεγέθει ἀπὸ τοῦ ὄπισθεν εἰς τὸ ἔμπροσθεν ποτὶ καὶ κατὰ τὸ στῆθος. ὅταν οὖν τι τούτων τῶν ὀστέων τῶν ὑπερεχόντων ἰσχυρῶς καταγῇ, ἤν τε ἓν, ἤν τε πλείω, ταύτῃ ταπεινότερον τὸ χωρίον γίνεται, ἢ τὸ ἔνθεν καὶ ἔνθεν. διὰ τοῦτο ἐξαπατῶνται οἰόμενοι τοὺς σφονδύλους ἔσω οἴχεσθαι. προσεξαπατᾷ δὲ ἔτι αὐτοὺς καὶ τὰ σχήματα τῶν τετρωμένων. ἢν μὲν γὰρ πειρῶνται καμπύλλεσθαι, ὀδυνῶνται, περιτενέος γινομένου ταύτῃ τοῦ δέρματος, ᾗ τέτρωνται, καὶ ἅμα τὰ ὀστέα τὰ κατεηγότα ἐνθράσσει οὕτω μᾶλλον τὸν χρῶτα. ἢν δὲ λορδαίνωσι ῥάους εἰσί. χαλαρώτερον γὰρ τὸ δέρμα κατὰ τὸ τρῶμα ταύτῃ γίνεται. καὶ τὰ ὀστέα ἧσσον ἐνθράσσει. ἀτὰρ καὶ ἤν τις ψαύῃ αὐτῶν κατὰ τοῦτο ὑπείκουσι λορδοῦντες, καὶ τὸ χωρίον κενὸν καὶ μαλθακὸν ψαυόμενον ταύτῃ φαίνεται. ταῦτα πάντα τὰ εἰρημένα προσεξαπατᾷ τοὺς ἰητρούς. ὑγιέες δὲ ταχέως καὶ ἀσινέως αὐτόματοι οἱ τοιοῦτοι γίνονται. ταχέως γὰρ πάντα τὰ τοιαῦτα ὀστέα ἐπιπωροῦται ὅσα χαῦνά ἐστι. σκολιαίνεται μὲν οὖν ῥάχις, καὶ ὑγιαίνουσι, κατὰ πολλοὺς τρόπους, καὶ γὰρ ἐν τῇ φύσει καὶ ἐν τῇ χρήσει, οὕτως ἔχει, ἀτὰρ καὶ ὑπὸ γήραος, καὶ ὑπὸ ὀδυνημάτων ξυνδετική ἐστιν. αἱ δὲ δὴ κυφώσιες, αἱ ἐν τοῖσι πτώμασιν ὡς ἐπὶ τὸ πολὺ γίνονται, ἢν ἢ τοῖσιν ἰσχίοισιν ἐρείσῃ, ἢ ἐπὶ τοὺς ὤμους πέσῃ. ἀνάγκη γὰρ ἔξω φαίνεσθαι ἐν τῷ κυφώματι ἕνα μέν τινα ὑψηλότατον τῶν σφονδύλων. τοὺς δὲ ἔνθεν καὶ ἔνθεν, ἐπὶ ἧσσον. οὔκουν ὡς ἐπὶ πολὺ ἀποπεπηδηκὼς ἀπὸ τῶν ἄλλων ἐστὶν, ἀλλὰ μικρὸν μὲν ἕκαστος συνδιδοῖ ἀθρόως πολύ. διὰ οὖν τοῦτο καὶ ὁ νωτιαῖος μυελὸς εὐφόρως φέρει τὰς τοιαύτας διαστροφὰς, ὅτι κυκλώδης αὐτῷ ἡ διαστροφὴ γίνεται, ἀλλ' οὐ γωνιώδης. χρὴ δὲ τὴν κατασκευὴν τοῦ διαναγκασμοῦ τοιήνδε κατασκευάσαι. ἔξεστι μὲν ξύλον ἰσχυρὸν καὶ πλατὺ, ἐντομὴν παραμήκεα ἔχον κατορύξαι. ἔξεστι δὲ καὶ ἀντὶ τοῦ ξύλου ἐν τοίχῳ ἐντομὴν παραμήκεα ἐνταμεῖν, ἢ πήχει ἀνωτέρω τοῦ ἐδάφεος, ἢ ὅκως ἂν μετρίως ἔχῃ. ἔπειτα οἷον στύλον δρύϊνον, τετράγωνον, πλάγιον, παραβάλλειν, ἀπολείποντα ἀπὸ τοῦ τείχου ὅσον παρελθεῖν τινα, ἢν δέῃ. καὶ ἐπὶ μὲν τὸν στύλον ἐπιστορέσαι, ἢ χλαίνας, ἢ ἄλλο τι ὃ μαλθακὸν μὲν ἔσται, ὑπείξει δὲ μὴ μέγα. τὸν δὲ ἄνθρωπον πυριῆσαι. ἢν δὲ δέχηται πολλῷ καὶ θερμῷ λοῦσαι, κἄπειτα πρηνέα κατακλῖναι κατατεταμένον. καὶ τὰς μὲν χεῖρας αὐτοῦ παρατείναντα κατὰ φύσιν προσδῆσαι πρὸς τὸ σῶμα. ἱμάντι δὲ μαλθακῷ ἱκανῶς πλατεῖ τε καὶ μακρῷ ἐκ δύο διαντέων ξυμβεβλημένῳ μέσῳ, καὶ κατὰ μέσον τὸ στῆθος δὶς περιβεβλῆσθαι χρὴ, ὡς ἐγγυτάτω τῶν μασχα-

λέων. ἔπειτα τὸ περιὸν τῶν ἱμάντων κατὰ τὴν μασχάλην ἑκάτερον περὶ τοὺς ὤμους περιβεβλήσθω. ἔπειτα αἱ ἀρχαὶ πρὸς ξύλον ὑπεροειδές τι προσδεδέσθωσαν, ἁρμόζουσαι κατὰ μῆκος τῷ ξύλῳ τῷ ὑποτεταμένῳ πρὸς ὅ, τι προσβάλλον τὸ ὑπεροειδὲς ἀντιστηρίζοντα κατατείνει. τοιούτῳ δέ τινι ἑτέρῳ δεσμῷ χρὴ ἄνωθεν τῶν γουνάτων δήσαντα καὶ ἄνωθεν τῶν πτερνέων, τὰς ἀρχὰς τῶν ἱμάντων πρὸς τοιοῦτό τι ξύλον προσδῆσαι, ἄλλῳ δὲ ἱμάντι πλατεῖ καὶ μαλθακῷ καὶ δυνατῷ ταινιοειδεῖ, πλάτος ἔχοντι καὶ μῆκος ἱκανόν, ἰσχυρῶς περὶ τὰς ἰξύας κύκλῳ περιδεδέσθαι ὡς ἐγγύτατα τῶν ἰσχίων. ἔπειτα τὸ περιὸν τοῦ ταινιοειδέος ἅμα ἀμφοτέρας τὰς ἀρχὰς τῶν ἱμάντων, πρὸς τὸ ξύλον προσδῆσαι πρὸς τὸ τῶν ποδῶν. κἄπειτα κατατείνειν ἐν τούτῳ τῷ σχήματι καὶ ἔνθεν καὶ ἔνθεν, ἅμα μὲν, ἰσοῤῥόπως, ἅμα δέ, ἐς ἰθύ. οὐδὲν γὰρ ἂν μέγα κακὸν ἡ τοιαύτη κατάτασις ποιήσῃ εἰ χρηστῶς σκευασθείη. εἰ μὴ ἄρα ὑπεξεπίτηδες τις βούλοιτο τείνεσθαι. τὸν δὲ ἰητρὸν χρή, ἢ ἄλλον ὅς τις ἰσχυρός, καὶ μὴ ἀμαθής, ἐπιθέντα τὸ θέναρ τῆς χειρὸς, ἐπὶ τὸ ὕβωμα καὶ τὴν ἑτέρην χεῖρα προσεπιθέντα ἐπὶ τὴν ἑτέρην καταναγκάζειν προσξυνιέντα. ἤν τε ἐς ἰθὺ ἐς τὸ κάτω πεφύκῃ καταναγκάζεσθαι. ἤν τε πρὸς τῆς κεφαλῆς. ἤν τε πρὸς τῶν ἰσχίων. καὶ ἀσινεστάτη μὲν αὕτη ἡ ἀνάγκη. ἀσινὲς δὲ καὶ ἐπικαθίζεσθαί τινα ἐπὶ τὸ κύφωμα τοῦ ἅμα κατατεινομένου ἐνσεῖσαι μετεωρισθέντα. ἀτὰρ καὶ ἐπιβῆναι τῷ ποδί, καὶ ὀχηθῆναι ἐπὶ τὸ κύφωμα, ἡσύχως τε ἐπενσεῖσαι, οὐδὲν κωλύει. τὸ τοιοῦτο δὲ ποιῆσαι μεζόνως ἐπιτήδειος ἂν τις εἴη τῶν ἀμφὶ παλαίστραν εἰθισμένων. δυνατωτάτη μέντοι τῶν ἀναγκαίων ἐστίν, εἰ ὁ μὲν τοῖχος ἐντετμημένος εἴη. τὸ ξύλον τὸ κατορωρυγμένον, ἢ ἐντέτμηται, κατωτέρω εἴη τῆς ῥάχιος τοῦ ἀνθρώπου, ὁκόσῳ ἂν δοκέῃ μετρίως ἔχειν. σανὶς δὲ φιλυρίνη μὴ λεπτὴ ἐνείη, ἢ καὶ ἄλλου τινὸς ξύλου. ἔπειτα ἐπὶ τὸ ὕβωμα ἐπιτεθείη, ἢ ῥάκιον τι πολύπτυχον, ἢ μικρόν τι σκύτινον ὑποκεφάλαιον. ὡς ἐλάχιστα μὴν ὑποκεῖσθαι ξυμφέρει, μόνον προμηθεόμενον, ὡς μὴ ἡ σανὶς ὑπὸ σκληρότητος ὀδύνην παρὰ καιρὸν προσπαρέχῃ. κατὰ ἴξιν δὲ ἔσω ὡς μάλιστα τῇ ἐντομῇ τῇ ἐς τὸν τοῖχον, τὸ ὕβωμα. ὡς ἂν ἡ σανίς, ἣ μάλιστα ὑπερέχει, ταύτῃ μάλιστα πιέζῃ ἐπιτεθεῖσα. ὅταν δὲ ἐπιτεθῇ, τὸν μέν τινα καταναγκάζειν χρὴ τὸ ἄκρον τῆς σανίδος, ἤν τε ἕνα δέῃ, ἤν τε δύο. τοὺς δὲ κατατείνειν τὸ σῶμα κατὰ μῆκος, ὡς πρόσθεν εἴρηται. τοὺς μέν, τῇ. τοὺς δέ, τῇ. ἔξεστι δὲ καὶ ὀνίσκοισι τὴν κατάτασιν ποιέεσθαι, ἢ παρακατορύξαντα παρὰ τὸ ξύλον, ἢ ἐν αὐτῷ τῷ ξύλῳ τὰς φλιὰς τῶν ὀνίσκων ἐντεκτηνάμενον, ἤν τε ὀρθὰς ἐθέλῃς ἑκατέρωθεν μικρὸν ὑπερεχούσας. ἤν τε κατὰ κορυφὴν τοῦ ξύλου ἔνθεν καὶ ἔνθεν. αὗται αἱ ἀνάγκαι, εὐταμίευτοί εἰσιν, καὶ ἐς τὸ ἰσχυρότατον. καὶ ἐς τὸ ἧσσον. καὶ ἰσχὺν ἔχουσι τοιαύτην, ὥς τε καὶ εἴ τις ἐπὶ λύμῃ βούλοιτο, ἀλλὰ μὴ ἐπὶ ἰήσει, ἐς τοιαύτας ἀνάγκας ἀγαγεῖν, κἂν τούτῳ ἰσχυρῶς δύνασθαι. καὶ γὰρ ἂν κατατείνων κατὰ μῆκος μοῦνον ἔνθεν καὶ ἔνθεν οὕτω καὶ ἄλλην ἀνάγκην οὐδεμίην προστιθεὶς ὅμως κατατείνειεν ἄν τις, ἀλλὰ μὴν καὶ ἢν μὴ κατατείνων. αὐτῇ δὲ μοῦνον τῇ σανίδι οὕτως εἰ ποιέει τις, καὶ οὕτως ἱκανῶς καταναγκάσειε. καλαὶ οὖν αἱ τοιαῦται ἰσχύες εἰσὶν ᾗσιν ἔξεστι καὶ ἀσθενεστέρῃσι, καὶ ἰσχυροτέρῃσι χρέεσθαι αὐτὸν ταμιεύοντα. καὶ μὴν δὴ καὶ κατὰ φύσιν γε ἀναγκάζουσι. τὰ μὲν γὰρ ὑπεξεστεῶτα ἐς τὴν χώρην ἀναγκάζει καὶ ἡ ἴπωσις ἰέναι. τὰ δὲ ξυνελθόντα κατὰ φύσιν, κατατείνουσιν αἱ κατὰ φύσιν κατατάσιες. οὔκουν ἐγὼ ἔχω τουτέων ἀνάγκας καλλίους, οὐδὲ δικαιοτέρας. ἡ γὰρ κατ' αὐτὴν τὴν ἄκανθαν ἰθυωρίη τῆς κατατάσιος κάτωθέν τε καὶ κατὰ τὸ ἱερὸν ὀστέον καλεύμενον, οὐκ ἔχει ἐπιλαβὴν οὐδεμίην. ἄνωθεν δὲ κατὰ τὸν αὐχένα καὶ κατὰ τὴν κεφαλήν, ἐπιλαβὴν μὲν ἔχει, ἀλλ' ἐς εἶδέν γε, ἀπρεπής. ταύτῃ τοι γινομένη ἡ κατάτασις καὶ ἄλλας βλάβας ἂν προσπαρέχοι πλεονασθεῖσα. ἐπειρήθην δὲ δή ποτε ὕπτιον τὸν ἄνθρωπον κατατείνας, ἀσκὸν ἀφύσητον ὑποθεῖναι ὑπὸ τὸ ὕβωμα. κἄπειτα αὐλὸν ἐκ χαλκείου ἐς τὸν ἀσκὸν τὸν ὑποκείμενον ἐνιέντα, φυσᾶν. ἀλλά μοι οὐκ εὐπόρει. ὅτε μὲν γὰρ εὖ κατατείνοιμι τὸν ἄνθρωπον ἡσσᾶτο ὁ ἀσκὸς καὶ οὐκ ἠδύνατο ἡ φῦσα ἐπαναγκάζεσθαι. καὶ ἄλλως ἕτοιμον περιολισθαίνειν ἦν, ἅτε ἐς τὸ αὐτὸ ἀναγκαζόμενον τό, τε τοῦ ἀνθρώπου ὕβωμα, καὶ τὸ τοῦ ἀσκοῦ πληρουμένου κύρτωμα. ὅτε δ' αὖ μὴ κάρτα κατατείνοιμι τὸν ἄνθρωπον. ὁ μὲν ἀσκός, ὑπὸ τῆς φύσης ἐκυρτοῦτο. ὁ δὲ ἄνθρωπος, πάντῃ μᾶλλον ἐλορδαίνετο ἢ συνέφερεν. ἔγραψα δὲ ἐπίτηδες τοῦτο. καλὰ γὰρ καὶ ταῦτα μαθήματά ἐστι, ἃ πειρηθέντα, ἀπορηθέντα ἐφάνη, καὶ δι' ἅσσα ἠπορήθη. ὁκόσοισι δὲ ἐς τὸ ἔσω σκολιαίνονται οἱ σπόνδυλοι ὑπὸ πτώματος, ἢ καὶ ἐμπεσόντος τινὸς βαρέος, εἷς μὲν οὐδεὶς τῶν σπονδύλων μέγα ἐξίσταται κάρτα ὡς ἐπὶ τὸ πολὺ ἐκ τῶν ἄλλων. ἢν δὲ ἐκστῇ μέγα, ἢ εἷς, ἢ πλείονες, θάνατον φέρουσιν, ὥσπερ δὴ καὶ πρόσθεν εἴρηται, κυκλώδης καὶ αὕτη, καὶ οὐ γωνιώδης γίνεται ἡ παραλλαγή. οὖρα μὲν οὖν τοῖσι τοιούτοισι καὶ ἀπόπατος μᾶλλον ἴσχεται, ἢ τοῖς ἔξω κυφοῖσι. καὶ πόδες καὶ ὅλα τὰ σκέλεα ψύχεται μᾶλλον. καὶ θανατηφόρα ταῦτα μᾶλλον, ὧν ἔφην. καὶ ἢν περιγένωνται δέ, ῥυώδεες τὰ οὖρα μᾶλλον οὗτοι. καὶ τῶν σκελέων ἀκρατέστεροι καὶ ναρκωδέστεροι. ἢν δὲ καὶ ἐν τῷ ἄνω μέρει, μᾶλλον τὸ λόρδωμα γένηται, παντὸς τοῦ σώματος ἀκρατέες καὶ νεναρκωμένοι γίνονται. μηχανὴν δὲ οὐκ ἔχω οὐδεμίην ἔγωγε ὅκως χρὴ τὸν τοιοῦτον ἐς τὸ αὐτὸ καταστῆσαι. καὶ εἰ μή τινα ἡ κατὰ τῆς κλίμακος κατάσεισις, ὠφελέειν οἵη τε εἴη. ἢ

καὶ ἄλλη

καὶ ἄλλη τις τοιαύτη ἴησις, ἢ κατάσεισις, οἵηπερ ὀλίγῳ πρόσθεν εἴρηται. καταναγκάσιν δὲ σὺν τῇ κατασείσει οὐδεμίην ἔχω, ἥ τις ἂν γίνοιτο, ὥσπερ τῷ κυφώματι τὴν κατανάγκασιν ἡ σανὶς ἐποιέετο. πῶς γὰρ ἄν τις ἐκ τοῦ ἔμπροσθεν διὰ τῆς κοιλίης ἀναγκάσαι δύναιτο; οὐ γὰρ οἷόν τε, ἀλλὰ μήν, οὔτε βῆχες, οὔτε πταρμοὶ οὐδεμίην δύναμιν ἔχουσιν ὥς τε τῇ κατατάσει συντιμωρέειν. οὐ μὴν οὐδ' ἐνέσιος φύσης ἐνιεμένης ἐς τὴν κοιλίην, οὐδὲν ἂν δυνηθῇ. καὶ μὴν αἱ μεγάλαι σικύαι προσβαλλόμεναι ἀνασπάσιος εἵνεκα δῆθεν τῶν ἔσω ῥεπόντων σπονδύλων μεγάλη ἁμαρτὰς γνώμης ἐστίν. ἀπωθέουσι γὰρ μᾶλλον ἢ ἀνασπῶσι καὶ οὐδ' αὐτὸ τοῦτο γινώσκουσιν οἱ προσβάλλοντες. ὅσῳ γὰρ ἄν τις μείζω προσβάλλῃ, τοσούτῳ μᾶλλον λορδοῦνται οἱ προσβληθέντες συναναγκαζομένου ἄνω τοῦ δέρματος. τρόπους δὲ ἄλλους κατασεισίων ἢ οἵοι πρόσθεν εἴρηνται, ἔχοιμι ἂν εἰπεῖν, ἁρμόσαι οὓς ἄν τις δοκέῃ τῷ παθήματι μᾶλλον, ἀλλ' οὐ κάρτα πιστεύω αὐτοῖς. διὰ τοῦτο οὐ γράφω. ἀθρόον δὴ ξυνιέναι χρὴ περὶ τούτων ὧν ἐν κεφαλαίῳ εἴρηται. ὅτι τὰ μὲν εἰς τὸ λορδὸν ῥέψαντα ὀλέθριά εἰσι καὶ συνόμωρα. τὰ δὲ ἐς τὸ κυφὸν ἀσινέα θανάτου, καὶ οὔρων σχεσίων καὶ ἀποναρκωσίων τὸ ἐπίπαν. οὐ γὰρ ἐκτείνει τοὺς ὀχετοὺς τοὺς κατὰ τὴν κοιλίην, οὐδὲ κωλύει εὐρόους εἶναι, ἡ εἰς τὸ ἔξω κύφωσις. ἡ δὲ λόρδωσις ταῦτα ἀμφότερα ποιέει, καὶ ἐς τὰ ἄλλα πολλὰ προσγίνεται. ἐπεί τοι πολὺ πλείονες σκελέων τε καὶ χειρῶν ἀκρατέες γίνονται καὶ καταναρκοῦνται τὸ σῶμα, καὶ οὖρα τούτοισιν ἴσχεται, οἷσιν ἂν μὴ ἐκστῇ μὲν τὸ ὕβωμα μήτε ἔξω, μήτε ἔσω. σεισθέωσι δὲ ἰσχυρῶς ἐς τὴν ἰθυωρίην τῆς ῥάχιος. οἷσι δὲ ἂν μὴ ἐκστῇ μὲν τὸ ὕβωμα, ἧσσον τοιαῦτα πάσχουσι. πολλὰ δὲ καὶ ἄλλα ἐν ἰητρικῇ ἄν τις θεάσοιτο, ὧν τὰ μὲν ἰσχυρὰ ἀσινέα ἐστὶ καθ' ἑωυτὰ τὴν κρίσιν ὅλην λαμβάνοντα τοῦ νοσήματος. τὰ δὲ ἀσθενέστερα συνόμωρα καὶ ἀρτοτόκους νοσημάτων χρονίους ποιέοντα καὶ κοινωνέοντα, καὶ τῷ ἄλλῳ σώματι ἐπὶ πλέον. ἐπεὶ καὶ πλευρέων κατῆξις, τοιοῦτόν τι πέπονθεν. οἷσι μὲν γὰρ ἂν καταγῇ πλευρὴ μία ἢ πλέονες ὡς τοῖσι πλείστοισι κατάγνυται, μὴ διασχόντα τὰ ὀστέα ἐς τὸ ἔσω μέρος, μὴ δὲ ψιλωθέντα. ὀλίγοι μὲν ἤδη ἐπυρέτηναν. ἀτὰρ οὐδὲ αἷμα πολλοὶ ἤδη ἔπτυσαν, οὐδὲ ἔμπυοι πολλοὶ γίνονται, οὐδὲ ἔμμοτοι, οὐδὲ ἐπισφακελίσιες τῶν ὀστέων, διαίτα τε φαύλη ἀρκέει. ἢν γὰρ μὴ πυρετὸς ξυνεχὴς ἐπιλαμβάνῃ αὐτούς, καὶ κενεαγγέειν κάκιον τοῖς τοιούτοισιν, ἢ μὴ κενεαγγέειν, καὶ ἐπωδυνέστερον, καὶ πυρετωδέστερον, καὶ βηχωδέστερον. τὸ γὰρ πλήρωμα τὸ μέτριον τῆς κοιλίης, διόρθωμα τῶν πλευρέων γίνεται. ἡ δὲ κένωσις κρεμασμὸν μὲν τῇσι πλευρῇσι ποιέει. ὁ δὲ κρεμασμός, ὀδύνην. ἔξωθεν δέ, φαύλη ἐπίδεσις τοῖσι τοιούτοισιν ἀρκέει κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισιν ἡσύχως ἐρείδοντα, ὁμαλὴν τὴν ἐπίδεσιν, ἢ καὶ ἐριῶδές τι προσεπιθέντα. κρατύνεται δὲ πλευρὴ ἐν εἴκοσιν ἡμέρῃσι. ταχεῖαι γὰρ αἱ ἐπιπωρώσιες τούτων τῶν ὀστέων. ἀμφιφλασθείσης δὲ τῆς σαρκὸς, ἀμφὶ τῇσι πλευρῇσιν, ἢ ὑπὸ πληγῆς, ἢ ὑπὸ πτώματος, ἢ ὑπὸ ἀντερείσιος, ἢ ἄλλου τινὸς τοιουτοτρόπου, πολλοὶ ἤδη πολὺ αἷμα ἔπτυσαν. οἱ γὰρ ὀχετοὶ οἱ κατὰ τὸ λαπαρὸν τῆς πλευρῆς ἑκάστης παρατεταμένοι, καὶ οἱ τόνοι ἀπὸ τῶν ἐπικαιροτάτων τῶν ἐν τῷ σώματι, τὰς ἀφορμὰς ἔχουσι. πολλοὶ γοῦν ἤδη βηχώδεες, καὶ φυματίαι, καὶ ἔμπυοι ἐγένοντο, καὶ ἔμμοτοι, καὶ ἡ πλευρὴ ἐπεσφακέλισεν αὐτοῖσιν. ἀτὰρ καὶ οἷσι μηδὲν τοιοῦτον προσεγένετο, ἀμφιφλασθείσης τῆς σαρκὸς ἀμφὶ τῇσι πλευρῇσιν, ὅμως δὲ βραδύτερον, ὀδυνώμενοι παύονται οὗτοι, ἢ οἷσιν ἂν ἡ πλευρὴ καταγῇ. καὶ ὑποστροφὰς μᾶλλον ἴσχει ὀδυνημάτων τὸ χωρίον, ἐν τοῖσι τοιούτοισι τρώμασι, ἢ τοῖσιν ἑτέροισιν. μάλα μὲν οὖν μεθεξέτεροι καταμελέουσι τῶν τοιούτων σινέων, μᾶλλον ἢν πλευρὴ καταγῇ αὐτοῖσιν. ἀτὰρ καὶ ἰήσιος σκεθροτέρης οἱ τοιοῦτοι δέονται εἰ σωφρονοῖεν. τῇ τε γὰρ διαίτῃ ξυμφέρει ξυνεστάλθαι. ἀτρεμέειν δὲ τῷ σώματι ὡς μάλιστα. ἀφροδισίων τε ἀπέχεσθαι. βρωμάτων τε λιπαρῶν, καὶ κερχνωδέων, καὶ ἰσχυρῶν πάντων. φλέβα τε κατ' ἀγκῶνα τέμνεσθαι. σιγᾶν τε ὡς μάλιστα. ἐπιδέεσθαι δὲ εἰς τὸ χωρίον τὸ φλασθὲν σπλήνεσι μὴ πολυπτύχοισι. συχνοῖσι δὲ καὶ πολὺ πλατυτέροισι πάντῃ τοῦ φλάσματος. κηρωτῇ τε ὑποχρίειν. ὀθονίοισί τε πλατέσι. σὺν ταινίῃσι πλατείῃσι καὶ μαλθακῇσι ἐπιδέειν. ἐρείδειν τε μετρίως, ὥς τε μὴ κάρτα πεπιέχθαι φαίη τὸν ἐπιδεδεμένον. μὴ δ' αὖ χαλαρόν. ἄρχεσθαι δὲ τὸν ἐπιδέοντα κατὰ τὸ φλάσμα καὶ ἐρηρεῖσθαι ταύτῃ μάλιστα. τὴν δὲ ἐπίδεσιν ποιέεσθαι ὡς ἀπὸ δύο ἀρχέων, ἐπιδέειν τε, ἵνα μὴ περιῤῥεπὲς τὸ δέρμα τὸ περὶ τὰς πλευρὰς ἔῃ, ἀλλ' ἰσόῤῥοπον. ἐπιδέειν δέ, ἢ καθ' ἑκάστην ἡμέρην, ἢ παρ' ἑτέρην. ἄμεινον δὲ καὶ τὴν κοιλίην μαλθάξαι κούφῳ τινὶ ὅσον κενώσιος εἵνεκεν τοῦ σίτου. καὶ ἐπὶ μὲν δέκα ἡμέρας ἰσχναίνειν. ἔπειτα ἀναθρέψαι τὸ σῶμα καὶ ἁπαλῦναι. τῇ δὲ ἐπιδέσει ἐς ἂν μὲν ἰσχναίνῃς ἐρηρεισμένῃ μᾶλλον χρέεσθαι. ἐπὴν δὲ ἐς τὸν ἁπαλυσμὸν ἄγῃς, ἐπιχαλαρωτέρῃ. καὶ ἢν μὲν αἷμα ἀποπτύσῃ κατ' ἀρχάς, τεσσαράκονθ' ἡμερέων τὴν μελέτην καὶ τὴν ἐπίδεσιν ποιέεσθαι χρή. ἢν δὲ μὴ πτύσῃ τὸ αἷμα, ἀρκέει εἴκοσιν ἡμέρῃσιν ἡ μελέτη, ὡς ἐπὶ τὸ πολύ. τῇ ἰσχύϊ δὲ τοῦ τρώματος τοὺς χρόνους προσεκμαίρεσθαι χρή. ὅσοι δ' ἂν ἀμελήσωσι τῶν τοιουτέων ἀμφιφλασμάτων, ἢν καὶ ἄλλο μηδὲν αὐτοῖσι φλαῦρον μέζον γένηται, ὅμως τό γε χωρίον ἀμφιφλασθὲν μυξωδεστέρην τὴν σάρκα ἴσχει, ἢ πρόσθεν εἶχεν. ὅκου δέ τι τοιοῦτον ἐγκαταλείπεται, καὶ μὴ ἐξιπποῦται τῇ γε ἀλθέξει. φαυλότερον μὲν ἢν παρ' αὐτὸ τὸ ὀστέον

ἐγκαταλειφθῇ τὸ μυξῶδες. οὔτε γὰρ ἔτι ἡ σὰρξ ὁμοίως ἅπτεται τοῦ ὀστέου. τό τε ὀστέον νοσηλότερον γίνεται. σφακελισμοί τε χρόνιοι ὀστέου πολλοῖσιν ἤδη ἀπὸ τοιουτέων προφασίων ἐγένοντο. ἀτὰρ καὶ ἢν μὴ παρὰ τὸ ὀστέον, ἀλλ' αὐτὴ ἡ σὰρξ μυξώδης ᾖ, ὅμως γοῦν ὑποστροφαὶ γίνονται καὶ ὀδύναι, ἄλλοτε καὶ ἄλλοτε, ἤν τις τῷ σώματι τύχῃ πονήσας. διὰ τοῦτο τῇ ἐπιδέσει δέεσθαι χρὴ, ἅμα μὲν, ἀγαθῇ. ἅμα δὲ, πολὺ προσηκούσῃ, ἕως ἂν ξηρανθῇ μὲν καὶ ἀναποθῇ τουτὶ τὸ ἐκχύμωμα τὸ ἐν τῇ φλάσει γενόμενον. αὐξηθῇ δὲ σαρκὶ ὑγιεῖ τὸ χωρίον. αὔξηται δὲ τοῦ ὀστέου ἡ σάρξ. οἷσι δ' ἂν ἀμεληθεῖσι χρονιωθῇ, καὶ ἐπώδυνον τὸ χωρίον γένηται, καὶ ἡ σὰρξ ὑπόμυξος ᾖ, τούτοισι καῦσις ἴησις ἀρίστη. καὶ ἢν μὲν αὐτὴ ἡ σὰρξ μυξώδης ᾖ, ἄχρι τοῦ ὀστέου καίειν χρὴ, μὴ μὴν διαθερμανθῆναι τὸ ὀστέον. ἢν δὲ μεσηγὺ τῶν πλευρέων ᾖ, ἐπιπολῆς μὲν οὐδ' οὕτως χρὴ καίειν. φυλάσσεσθαι μέντοι μὴ διακαύσῃς πέρην. ἢν δὲ πρὸς τῷ ὀστέῳ δοκέῃ εἶναι τὸ φλάσμα, καὶ ἔτι νεαρὸν ᾖ, καὶ μήπω σφακελίσῃ τὸ ὀστέον, ἢν μὲν κάρτα ὀλίγον ᾖ, οὕτω καίειν χρὴ ὥσπερ εἴρηται. ἢν μέντοι παραμήκης ᾖ ὁ μετεωρισμὸς ὁ κατὰ τὸ ὀστέον, πλείονας ἐσχάρας ἐμβάλλειν χρή. περὶ δὲ σφακελισμοῦ πλευρῆς, ἅμα τῇ τῶν ἐμμότων ἰητρείῃ εἰρήσεται. Ἢν δὲ μηροῦ ἄρθρον ἐξ ἰσχίου ἐκπέσῃ. ἐκπίπτει δὲ κατὰ τέσσαρας τρόπους. ἐς μὲν τὸ εἴσω, πλειστάκις. ἐς δὲ τὸ ἔξω, τῶν ἄλλων πλειστάκις. ἐς δὲ τὸ ὄπισθεν καὶ τὸ ἔμπροσθεν, ἐκπίπτει μὲν, ὀλιγάκις δέ. οἷσι μὲν οὖν ἂν ἐκβῇ ἐς τὸ εἴσω, μακρότερον τὸ σκέλος φαίνεται, παραβαλλόμενον πρὸς τὸ ἕτερον, διὰ δισσὰς προφάσιας εἰκότως. ἐπὶ μὲν γὰρ τὸ ἀπὸ τοῦ ἰσχίου πεφυκὸς ὀστέον, τὸ ἄνω φερόμενον, πρὸς τὸν κτένα ἐπὶ τούτου ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ γίνεται. καὶ ὁ αὐχὴν τοῦ ἄρθρου, ἐπὶ τῆς κοτύλης ὀχέεται. ἔξωθέν τε αὖ, ὁ γλουτὸς, κοῖλος φαίνεται, ἅτε εἴσω ῥυσάσης τῆς κεφαλῆς τοῦ μηροῦ. τό, τε αὖ κατὰ τὸ γόνυ τοῦ μηροῦ ἄκρον ἀναγκάζεται ἔξω ῥέπειν, καὶ ἡ κνήμη καὶ ὁ ποὺς ὡσαύτως. ἅτε οὖν ἔξω ῥέποντος τοῦ ποδὸς, οἱ ἰητροὶ δι' ἀπειρίην, τὸν ὑγιέα πόδα πρὸς τοῦτον προσίσχουσιν, ἀλλ' οὐ τοῦτον πρὸς τὸν ὑγιέα. διὰ τοῦτο πολὺ μακρότερον φαίνεται τὸ σιναρὸν τοῦ ὑγιέος. πολλαχῇ δὲ καὶ ἄλλῃ τὰ τοιαῦτα παρασύνεσιν ἔχει. οὐ δὲ μὴν οὐδὲ ξυγκάμπτειν δύναται κατὰ τὸν βουβῶνα ὁμοίως τῷ ὑγιεῖ. ἀτὰρ καὶ ψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ κατὰ τὸν περίνεον ὑπερογκέουσα εὔδηλός ἐστι. τὰ μὲν οὖν σημεῖα ταῦτά ἐστιν οἷσιν ἂν εἴσω ἐκπεπτώκῃ ὁ μηρός. οἷσι μὲν ἂν οὖν ἐκπεσὼν μὴ ἐμπέσῃ, ἀλλὰ καταπορηθῇ καὶ ἀμεληθῇ, ἥ τε ὁδοιπορίη περιφοράδην τοῦ σκέλεος ὥσπερ τοῖς βουσὶ γίνεται, καὶ ὄχλησις πλείστη αὐτοῖσιν ἐπὶ τοῦ ὑγιέος σκέλεός ἐστι. καὶ ἀναγκάζονται κατὰ τὸν κενεῶνα ἢ κατὰ τὸ ἄρθρον τὸ ἐκπεπτωκὸς, κυλλοὶ καὶ σκολιοὶ εἶναι. κατὰ δὲ τὸ ὑγιὲς ἐς τὸ ἔξω ὁ γλουτὸς ἀναγκάζεται περιφερὴς εἶναι. εἰ γάρ τις ἔξω τῷ ποδὶ τοῦ ὑγιέος σκέλεος βαίνει ἀπωθέει ἂν τὸ σῶμα τὸ ἄλλο ἐς τὸ σιναρὸν σκέλος τὴν ὄχησιν ποιέεσθαι. τὸ δὲ σιναρὸν οὐκ ἂν δύναιτο ὀχέειν. πῶς γάρ; ἀναγκάζεται οὖν οὕτω κατὰ τοῦ ὑγιέος σκέλεος τῷ ποδὶ εἴσω βαίνειν, ἀλλὰ μὴ ἔξω. οὕτω γὰρ ὀχέει μάλιστα τὸ σκέλος τὸ ὑγιὲς, καὶ τὸ ἑωυτοῦ μέρος τοῦ σώματος, καὶ τὸ τοῦ σιναροῦ σκέλεος μέρος. κοιλαινόμενοι δὲ κατὰ τὸν κενεῶνα καὶ κατὰ τὰ ἄρθρα, μικροὶ φαίνονται, καὶ τῷ ξύλῳ ἀναγκάζονται ἀντερείδεσθαι πλάγιοι κατὰ τὸ ὑγιὲς σκέλος. δέονται γὰρ ἀντικοντώσιος ταύτῃ. ἐπὶ τοῦτο γὰρ οἱ γλουτοὶ ῥέπουσι, καὶ τὸ ἄχθος τοῦ σώματος ὀχέεται ἐπὶ τοῦτο. ἀναγκάζονται δὲ καὶ ἐπικύπτειν. τὴν γὰρ χεῖρα τὴν κατὰ τὸ σκέλος τὸ σιναρὸν ἀναγκάζονται κατὰ πλάγιον τὸν μηρὸν ἐρείδειν. οὐ γὰρ δύναται τὸ σιναρὸν σκέλος ὀχέειν τὸ σῶμα ἐν τῇ μεταλλαγῇ τῶν σκελέων, ἢν μὴ κατέχηται πρὸς τὴν γῆν πιεζόμενον. ἐν τουτέοισι γοῦν τοῖσι σχήμασιν ἀναγκάζονται ἐσχηματίσθαι, οἷσιν ἂν εἴσω ἐκβὰν τὸ ἄρθρον, μὴ ἐμπέσῃ, οὐ προβουλεύσαντος τοῦ ἀνθρώπου ὅπως ἂν ῥήιστα ἐσχηματισμένον ᾖ. ἀλλ' αὐτὴ ἡ ξυμφορὴ διδάσκει ἐκ τῶν παρεόντων τὰ ῥήιστα αἱρέεσθαι. ἐπεὶ καὶ ὁκόσοι ἕλκος ἔχοντες ἐν ποδὶ ἢ κνήμῃ, οὐ κάρτα δύνανται ἐπιβαίνειν τῷ σκέλει πάντες. καὶ οἱ νήπιοι οὕτως ὁδοιπορέουσιν, ἔξω γὰρ βαίνουσι τῷ σιναρῷ σκέλει. καὶ δισσὰ κερδαίνουσι. δισσῶν γὰρ δέονται, τό, τε γὰρ σῶμα οὐκ ὀχέεται ὁμοίως, ἐπὶ τοῦ ἔξω ἀποβαινομένου, ὥσπερ ἐπὶ τὸ εἴσω. οὐδὲ γὰρ κατ' ἰθυωρίην αὐτῷ γίνεται τὸ ἄχθος, ἀλλὰ πολλῷ μᾶλλον ἐπὶ τοῦ ὑπερβαινομένου. κατ' ἰθυωρίην γὰρ αὐτῷ γίνεται τὸ ἄχθος, ἔν τε τῇ αὐτῇ ὁδοιπορίῃ, καὶ τῇ μεταλλαγῇ τῶν σκελέων. ἐν τούτῳ τῷ σχήματι τάχιστα ἂν δύναιτο ὑποτιθέναι τὸ ὑγιὲς σκέλος. ἢν τῷ μὲν σιναρῷ, ἐξωτέρω βαίνοι. τῷ δὲ ὑγιεῖ, ἐσωτέρω. περὶ οὗ νῦν ὁ λόγος. ἀγαθὸν εὑρίσκεσθαι αὐτὸ ἑωυτῷ τὸ σῶμα ἐς τὰ ῥήιστα τῶν σχημάτων. ὅσοισι μὲν οὖν μήπω τελειουμένοισιν ἐς αὔξησιν, ἐκπεσὸν μὴ ἐμπέσῃ, γυιοῦται ὁ μηρὸς, καὶ ἡ κνήμη, καὶ ὁ πούς. οὔτε γὰρ τὰ ὀστέα ἐς τὸ μῆκος ὁμοίως αὔξεται, ἀλλὰ βραχύτερα γίνεται. μάλιστα δὲ τὰ τοῦ μηροῦ. ἄσαρκόν τε ἅπαν τὸ σκέλος καὶ ἄμυον, καὶ ἐκτεθηλυσμένον, καὶ λεπτότερον γίνεται. ἅμα μὲν, διὰ τὴν στέρησιν τῆς χώρης τοῦ ἄρθρου. ἅμα δὲ, ὅτι ἀδύνατον χρέεσθαι ἐστὶν, ὅτι οὐ κατὰ φύσιν κέεται. χρῆσις γὰρ μετεξετέρη ῥύεται τῆς ἄγαν ἐκθηλύνσιος. ῥύεται δέ τι καὶ τῆς ἐπὶ μῆκος ἀναυξήσιος. κακοῦται μὲν οὖν μάλιστα, οἷσιν ἂν ἐν γαστρὶ ἐοῦσιν ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον. δεύτερον δὲ οἷσιν ἂν ὡς νηπιωτάτοισιν ἐοῦσιν. ἥκιστα δὲ, τοῖσι τετελειωμένοισιν. τοῖσι μὲν οὖν τετελειωμένοισιν εἴρηται οἵη τις

ὁδοιπορίη

ὁδοιπορίη γίνεται. οἷσι δ' ἂν νηπίοισιν ἐοῦσιν, ἡ ξυμφορὴ αὕτη φαίνεται. οἱ μὲν πλεῖστοι καταβλακεύουσι τὴν διόρθωσιν τοῦ σώματος, ἀλλὰ κακῶς εἱλέονται ἐπὶ τὸ ὑγιὲς σκέλος τῇ χειρὶ πρὸς τὴν γῆν ἀπερειδόμενοι τῇ κατὰ τὸ ὑγιὲς σκέλος. καταβλακεύουσι δὲ ἔνιοι τὴν ἐς τὸ ὀρθὸν ὁδοιπορίην, καὶ οἷσιν ἂν τετελειωμένοισιν αὕτη ἡ ξυμφορὴ γένηται. ὁκόσοι δ' ἂν νήπιοι ὄντες ταύτῃ τῇ ξυμφορῇ χρησάμενοι ὀρθῶς παιδαγωγηθῶσι. τῷ μὲν ὑγιεῖ σκέλει χρέονται ἐς ὀρθόν. ὑπὸ δὲ τὴν μασχάλην τὴν κατὰ τὸ ὑγιὲς σκέλος σκίπωνα περιφέρουσι. μετεξέτεροι δὲ, καὶ ὑπ' ἀμφοτέρας τὰς χεῖρας. τὸ δὲ σιναρὸν σκέλος μετέωρον ἔχουσι. καὶ τοσούτῳ ῥήιους εἰσὶν, ὅσῳ ἂν αὐτοῖσιν ἔλασσον τὸ σκέλος τὸ σιναρὸν ᾖ. τὸ δὲ ὑγιὲς, ἰσχὺν αὐτέοισιν οὐδὲν ἧσσον, ἢ εἰ καὶ ἀμφότερα ὑγιέα ἦν. θηλύνονται δὲ πᾶσι τοῖσι τοιούτοισιν αἱ σάρκες τοῦ σκέλεος, μᾶλλον δ' ἔτι θηλύνονται αἱ ἐκ τοῦ ἔξω μέρεος, ἢ αἱ ἐκ τοῦ εἴσω ὡς ἐπὶ πολὺ πᾶσι. μυθολογοῦσι δέ τινες, ὅτι αἱ Ἀμαζονίδες τὸ ἄρσεν γένος τὸ ἑωυτῶν, αὐτίκα νήπιον ἐὸν, ἐξαρθρέουσιν. αἱ μὲν, κατὰ γούνατα. αἱ δὲ, κατὰ ἰσχία, ὡς δῆθεν χωλὰ γίνοιτο, καὶ μὴ ἐπιβουλεύοι τὸ ἄρσεν γένος τῷ θήλει. χειρώναξιν ἄρα τούτοισι χρέονται, ὁκόσα ἢ σκυτίνης ἔργα, ἢ χαλκείης, ἢ ἄλλο τι ἑδραῖον ἔργον. εἰ μὲν οὖν ἀληθέα ταῦτά ἐστιν, ἐγὼ μὲν οὐκ οἶδα. ὅτι δὲ γίνοιτο ἂν τοιαῦτα οἶδα. εἴ τις ἐξαρθρέοι αὐτίκα νήπια ἐόντα. κατὰ μὲν οὖν τὰ ἰσχία, μέζον τὸ διάφορον ἐστὶν, ἐς τὸ εἴσω, ἢ ἐς τὸ ἔξω ἐξαρθρηθῆναι. κατὰ γούνατα δὲ, διαφέρει μέν τι. ἔλασσον δέ τι διαφέρει. τρόπος δὲ ἑκατέρου τοῦ χωλώματος, ἴδιος ἐστί. γυιοῦνται γὰρ μᾶλλον, οἷσιν ἂν ἐς τὸ ἔξω ἐξαρθρηθῇ. ὀρθοὶ δὲ ἧσσον ἵστανται, οἷσιν ἂν ἐς τὸ εἴσω ἐξαρθρηθῇ. ὡσαύτως δὲ καὶ εἰ παρὰ τὸ σφυρὸν ἐξαρθρήσῃ, ἢν μὲν ἐς τὸ ἔξω μέρος, κυλλοὶ μὲν γίνονται. ἑστάναι δὲ δύνανται. ἢν δὲ ἐς τὸ εἴσω μέρος, βλαισοὶ μὲν γίνονται. ἧσσον δὲ ἑστάναι δύνανται. ἥ γε μὴν ξυναύξησις τῶν ὀστέων, τοιήδε γίνεται. οἷσι μὲν οὖν κατὰ τὸ σφυρὸν ὀστέον τὸ τῆς κνήμης ἐκστῇ, τούτοισι μὲν τὰ τοῦ ποδὸς ὀστέα ἥκιστα ξυναύξεται. ταῦτα γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστι. τὰ δὲ τῆς κνήμης ὀστέα, αὔξεται μὲν, οὐ πολὺ δὲ ἐνδεεστέρως. αἱ μέντοι σάρκες μινύθουσιν. οἷσι δ' ἂν κατὰ μὲν τὸ σφυρὸν μένῃ τὸ ἄρθρον κατὰ φύσιν, κατὰ δὲ τὸ γόνυ ἐξεστήκῃ, τούτοισι τὸ τῆς κνήμης ὀστέον οὐκ ἐθέλει ξυναύξεσθαι ὁμοίως, ἀλλὰ βραχύτατον γίνεται. τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστιν. τοῦ μέντοι ποδὸς τὰ ὀστέα, μινύθει μὲν, ἀτὰρ οὐχ ὁμοίως, ὥσπερ ὀλίγον τι πρόσθεν εἴρηται, ὅτι τὸ ἄρθρον τὸ παρὰ τὸν πόδα σῶον ἐστίν. εἰ δὲ οἱ χρέεσθαι ἠδύνατο, ὥσπερ καὶ τῷ κυλλῷ, ἔτι ἂν ἧσσον ἐμινύθη τὰ τοῦ ποδὸς ὀστέα τούτοισιν. οἷσι δ' ἂν κατὰ τὸ ἰσχίον ἐξάρθρησις γίνεται, τούτοισι τοῦ μηροῦ τὸ ὀστέον οὐκ ἐθέλει ξυναύξεσθαι ὁμοίως. τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστιν, ἀλλὰ βραχύτερον τοῦ ὑγιέος γίνεται. τὰ μέντοι τῆς κνήμης ὀστέα, οὐχ ὁμοίως τούτοισιν ἀναύξεα γίνεται, οὐδὲ τὰ τοῦ ποδός. διὰ τοῦτο δὲ, ὅτι τὸ τοῦ μηροῦ ἄρθρον τὸ παρὰ τὴν κνήμην, ἐν τῇ ἑωυτοῦ φύσει μένει, καὶ τὸ τῆς κνήμης, τὸ παρὰ τὸν πόδα. σάρκες μέντοι μινύθουσι παντὸς τοῦ σκέλεος, τούτοισιν. εἰ μέντοι χρέεσθαι τῷ σκέλει ἐδύναντο, ἔτι ἂν μᾶλλον τὰ ὀστέα ξυναυξάνοιτο, ὡς καὶ πρόσθεν εἴρηται, πλὴν τοῦ μηροῦ, καὶ ἂν ἧσσον ἄσαρκα εἴη. ἀσαρκότερα δὲ πολλῷ ἢ ὑγιέα ἦν. σημεῖον δὲ ὅτι τοιαῦτα ἐστίν. ὁκόσοισι γὰρ τοῦ βραχίονος ἐκπεσόντος, γαλιάγκωνες ἐγένοντο ἐκ γενεῆς ἢ καὶ ἐν αὐξήσει πρὶν τελειωθῆναι, οὗτοι τὸ μὲν ὀστέον τοῦ βραχίονος βραχὺ ἴσχουσι. τὸν δὲ πῆχυν καὶ ἄκρην τὴν χεῖρα ὀλίγῳ ἐνδεεστέρην τοῦ ὑγιέος. διὰ ταύτας τὰς προφάσιας τὰς εἰρημένας, ὅτι ὁ μὲν βραχίων ἐγγυτάτω τοῦ ἄρθρου τοῦ τρώματός ἐστιν, ὥστε διὰ τοῦτο βραχύτερος γέγονεν. ὁ δ' αὖ πῆχυς διὰ τοῦτο οὐχ ὁμοίως ἐπακούει τῆς ξυμφορῆς, ὅτι τὸ τοῦ βραχίονος ἄρθρον τὸ πρὸς τοῦ πήχεος ἐν τῇ ἀρχαίῃ φύσει μένει. ἥ τε αὖ χεὶρ ἔτι τηλωτέρω ἄπεστιν, ἢ ὁ πῆχυς ἀπὸ τῆς ξυμφορῆς. διὰ ταύτας οὖν τὰς εἰρημένας προφάσιας τῶν ὀστέων τά τε μὴ συναυξόμενα οὐ συναύξεται. τὸ δὲ ξυναυξόμενον, ξυναύξεται. ἐς δὲ τὸ εὔσαρκον τῇ χειρὶ καὶ τῷ βραχίονι ἡ ταλαιπωρίη τῆς χειρὸς μέγα προσωφελήσει. ὅσα γὰρ χειρῶν ἔργα ἐστί, τὰ πλεῖστα προθυμέονται οἱ γαλιάγκωνες ἐργάζεσθαι τῇ χειρὶ ταύτῃ, ὅσα καὶ τῇ ἑτέρῃ δύνανται, οὐδὲν ἐνδεεστέρως τῆς ἀσινέος. οὐ γὰρ δεῖ ὀχέεσθαι τὸ σῶμα ἐπὶ τῶν χειρῶν, ὡς ἐπὶ τῶν σκελέων, ἀλλὰ κοῦφα αὐτοῖσι τὰ ἔργα ἐστί. διὰ δὲ τὴν χρῆσιν οὐ μινύθουσιν αἱ σάρκες αἱ κατὰ τὴν χεῖρα καὶ κατὰ τὸν πῆχυν τοῖσι γαλιάγκωσιν, ἀλλὰ καὶ ὁ βραχίων τι προσωφελέεται ἐς εὐσαρκίην διὰ ταῦτα. ὅτε δὲ ἰσχίον ἐκπαλὲς γένηται ἐς τὸ εἴσω μέρος ἐκ γενεῆς, ἢ καὶ ἔτι νηπίῳ ἐόντι μινύθουσιν αἱ σάρκες, διὰ τοῦτο μᾶλλον ἢ τῆς χειρὸς, ὅτι οὐ δύνανται χρέεσθαι τῷ σκέλει. μαρτύριον δέ τι ἐνέσται ἐν τοῖσιν ὀλίγον ὕστερον εἰρησομένοισιν, ὅτι ταῦτα τοιαῦτά ἐστιν. ὁκόσοισι δ' ἂν ἐς τὸ ἔξω ἡ τοῦ μηροῦ κεφαλὴ ἐκβῇ, τούτοισι βραχύτερον μὲν τὸ σκέλος φαίνεται παρατεινόμενον παρὰ τὸ ἕτερον εἰκότως. οὐ γὰρ ἐπ' ὀστέον ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ ἐστίν, ὡς ὅτε εἴσω ἐξέπιπτεν, ἀλλὰ παρ' ὀστέον παρεγκεκλιμένην τὴν φύσιν ἔχον. ἐν σαρκὶ δὲ στηρίζεται ὑγρῇ καὶ ὑπεικούσῃ, διὰ τοῦτο μὲν βραχύτερον φαίνεται. ἔσωθεν δὲ ὁ μηρὸς παρὰ τὴν πλιχάδα καλεομένην κυλλότερος καὶ ἀσαρκότερος γίνεται. ἔξωθεν δὲ ὁ γλουτὸς κυρτότερος. ἅτε ἐς τὸ ἔξω τῆς κεφαλῆς τοῦ μηροῦ ὀλισθηκυίας. ἀτὰρ καὶ ἀνωτέρω

φαίνεται ὁ γλουτὸς ἅτε ὑπεξστάσης τῆς σαρκὸς τῆς ἐνταῦθα, τῇ τοῦ μηροῦ κεφαλῇ. τὸ δὲ παρὰ τὸ γόνυ τοῦ μηροῦ ἄκρον, ἔσω ῥέπον φαίνεται, καὶ ἡ κνήμη, καὶ ὁ πούς. ἀτὰρ οὐδὲ ξυγκάμπτειν ὥσπερ τὸ ὑγιὲς σκέλος δύνανται. τὰ μὲν οὖν σημεῖα ταῦτα, τοῦ ἔξω ἐκπεπτωκότος μηροῦ εἰσιν. οἷσι μὲν οὖν τετελειωμένοισιν ἤδη ἐκπεσὸν τὸ ἄρθρον μὴ ἐμπέσῃ, τούτοισι βραχύτερον μὲν φαίνεται τὸ σύμπαν σκέλος. ἐν δὲ τῇ ὁδοιπορίῃ τῇ μὲν πτέρνῃ, οὐ δύνανται καθικνέεσθαι ἐπὶ τῆς γῆς. τῷ δὲ στήθει τοῦ ποδὸς, βαίνουσιν ἐπὶ τὴν γῆν. ὀλίγον δὲ εἰς τὸ ἔσω μέρος ῥέπουσι τοῖσι δακτύλοισιν ἄκροισιν. ὀχέειν δὲ δύναται τὸ σῶμα. τὸ σιναρὸν σκέλος τούτοισι πολλῷ μᾶλλον, ἢ οἷσιν ἂν ἐς τὸ ἔσω μέρος ἐκπεπτώκῃ. ἅμα μὲν ὅτι ἡ κεφαλὴ τοῦ μηροῦ καὶ ὁ αὐχὴν τοῦ ἄρθρου πλάγιος φύσει πεφυκὼς ἀπὸ συχνῷ μέρει τοῦ ἰσχίου τὴν ὑπόστασιν πεποίηται. ἅμα δὲ ὅτι ἄκρος ὁ πούς, οὐκ ἐς τὸ ἔξω μέρος ἀναγκάζεται ἐγκεκλεῖσθαι, ἀλλ' ἐγγύς ἐστι τῆς ἰθυωρίης τῆς κατὰ τὸ σῶμα, καὶ τείνει καὶ ἐσωτέρω. ὅτι μὲν οὖν τρίβον λάβῃ τὸ ἄρθρον ἐν τῇ σαρκὶ εἰς ἣν ἐξεκλείσθη. ἡ δὲ σὰρξ γλισχρανθῇ ἀνώδυνον τῷ χρόνῳ γίνεται. ὅταν δὲ ἀνώδυνον γένηται, δύνανται μὲν ὁδοιπορέειν ἄνευ ξύλου, ἢν ἄλλως βούλωνται. δύνανται δὲ ὀχέειν τὸ σῶμα, ἐπὶ τὸ σιναρὸν σκέλος. διὰ οὖν τὴν χρῆσιν ἧσσον τοῖσι τοιούτοισιν ἐκθηλύνονται αἱ σάρκες, ἢ οἷσιν ὀλίγον πρόσθεν εἴρηται. ἐκθηλύνονται δὲ ἢ πλεῖον ἢ ἔλασσον. μᾶλλον δ' ἔτι ἐκθηλύνονται κατὰ τὸ ἔσω μέρος, ἢ κατὰ τὸ ἔξω ὡς ἐπὶ τὸ πολύ. τὸ μέντοι ὑπόδημα μετεξέτεροι τούτων ὑποδέεσθαι οὐ δύνανται διὰ τὴν ἀκαμπίην τοῦ σκέλεος. οἱ δέ τινες καὶ δύνανται. οἷσι δὲ ἂν ἐν γαστρὶ ἐοῦσιν ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον, ἢ ἔτι ἐν αὐξήσει ἐοῦσι βίῃ ἐκπεσὸν ἤδη μὴ διεμπέσῃ. ἢ καὶ ἀπὸ νόσου ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον, καὶ ἐκπαλήσῃ, πολλὰ γὰρ τοιαῦτα γίνεται. καὶ ἐνίων μὲν τῶν τοιούτων ἢν ἐπισφακελίσῃ ὁ μηρὸς ἐμπυήματα χρόνια καὶ ἔμμοτα γίνεται. καὶ ὀστέων ψιλώσιες ἐνίοισιν. ὁμοίως δὲ καὶ οἷσιν ἐπισφακελίζει, καὶ οἷσι μὴ ἐπισφακελίζει τοῦ μηροῦ τὸ ὀστέον, πολλῷ βραχύτερον γίνεται, καὶ οὐκ ἐθέλει ξυναύξεσθαι, ὥσπερ τὸ ὑγιές. τὰ μέντοι τῆς κνήμης βραχύτερα μὲν γίνεται, ἢ τὰ τῆς ἑτέρης. ὀλίγῳ δὲ διὰ τὰς αὐτὰς προφάσιας, αἳ καὶ πρόσθεν εἴρηνται, ὁδοιπορέειν τε δύνανται οἱ τοιοῦτοι. οἱ μέντοι τινὲς αὐτῶν, τοῦτον τὸν τρόπον. ὥσπερ οἷσι τετελειωμένοισιν ἐξέπεσε καὶ μὴ ἐνέπεσεν. οἱ δὲ, καὶ βαίνουσι μὲν παντὶ τῷ ποδί. διαρρέπουσι δὲ ἐν τῇσιν ὁδοιπορίῃσιν, ἀναγκαζόμενοι διὰ τὴν βραχύτητα τοῦ σκέλεος. ταῦτα δὲ τοιαῦτα γίνεται, ἢν ἐπιμελῶς μὲν παιδοτριβηθῶσιν ἐν τοῖσι σχήμασι, καὶ ὀρθῶς ἐν οἷσι δεῖ, πρὶν κρατυνθῆναι ἐς τὴν ὁδοιπορίην. ἐπιμελέως δὲ καὶ ὀρθῶς, ἐπὴν κρατυνθῶσι. πλείστης δὲ ἐπιμελείης δέονται οἷσιν ἂν νηπιωτάτοισιν ἐοῦσιν, αὕτη ἡ ξυμφορὴ γένηται. ἢν γὰρ ἀμεληθῶσι νήπιοι ἐόντες, ἀχρήϊον παντάπασι καὶ ἀναυξὲς ὅλον τὸ σκέλος γίνεται. αἵ τε σάρκες τοῦ σύμπαντος σκέλεος μινύθουσι μᾶλλον, ἢ τοῦ ὑγιέος. πάνυ μὲν πολλῷ ἧσσον τούτοισι μινύθουσιν, ἢ οἷσιν ἂν ἔσω ἐκπεπτώκει διὰ τὴν χρῆσιν καὶ τὴν ταλαιπωρίην. διὰ τὸ εὐθέως δύνασθαι χρέεσθαι τῷ σκέλει, ὡς καὶ πρόσθεν ὀλίγον ἐπὶ τῶν γαλιαγκώνων εἴρηται. εἰσὶ δέ τινες, ὧν τοῖσι μὲν ἐκ γενεῆς αὐτίκα. τοῖσι δὲ, καὶ ἀπὸ νόσου ἀμφοτέρων τῶν σκελέων ἐξίσταται τὰ ἄρθρα ἐς τὸ ἔξω μέρος. τούτοισιν οὖν τὰ μὲν ὀστέα, ταυτὰ παθήματα πάσχει. αἱ μέντοι σάρκες, ἥκιστα ἐκθηλύνονται. εὔσαρκα δὲ, καὶ τὰ σκέλεα γίνονται. πλὴν εἴ τις ἄρα κατὰ τὸ ἔσω μέρος ἐλλείποι ὀλίγον. διὰ τοῦτο δὲ εὔσαρκά ἐστιν, ὅτι ἀμφοτέροισι τοῖσι σκέλεσιν ὁμοίως ἡ χρῆσις γίνεται. ὁμοίως γὰρ σαλεύουσιν ἐν τῇ ὁδοιπορίῃ ἔνθα καὶ ἔνθα. ἐξεχέγλουτοι δὲ οὗτοι ἰσχυρῶς φαίνονται, διὰ τὴν ἔκστασιν τῶν ἄρθρων. ἢν δὲ μὴ ἐπισφακελίσῃ αὐτοῖσι τὰ ὀστέα, μὴ δὲ κυφοὶ ἀνωτέρω τῶν ἰσχίων γένωνται. ἐνίους γὰρ καὶ τὰ τοιαῦτα καταλαμβάνει. ἢν οὖν μὴ τοιοῦτόν τι γένηται ἱκανῶς ὑγιηροὶ τ' ἄλλα διαφέρονται. ἀναυξέστεροι μέντοι τὸ πᾶν σῶμα οὗτοι γίνονται, πλὴν τῆς κεφαλῆς. οἷσι δ' ἂν εἰς τοὔπισθεν ἡ κεφαλὴ τοῦ μηροῦ ἐκπέσοι, ὀλίγοισι δὲ ἐκπίπτει, οὗτοι ἐκτανύειν οὐ δύνανται τὸ σκέλος, οὔτε κατὰ τὸ ἄρθρον τὸ ἐκπεσὸν, οὔτε τι κάρτα κατὰ τὴν ἰγνύην. ἀλλ' ἥκιστα τῶν ἐκπαλαιῶν, οὗτοι μᾶλλον ἐκτανύουσι καὶ τὸ κατὰ τὸν βουβῶνα, καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον. προσξυνιέναι μὲν οὖν καὶ τόδε χρή. εὔχρηστον γὰρ καὶ πολλοῦ ἄξιόν ἐστιν, καὶ τοὺς πλείστους λήθει, ὅτι οὔτε ὑγιαίνοντες δύνανται κατὰ τὴν ἰγνύην ἐκτανύειν τὸ ἄρθρον, ἢν μὴ ξυνεκτανύουσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον, πλὴν ἢν μὴ πάνυ ἄνω ἀείρωσι τὸν πόδα. οὕτω δ' ἂν δύναιντο. οὗτοι τοίνυν οὐδὲ ξυγκάμπτειν δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ὁμοίως, ἀλλὰ πολὺ χαλεπώτερον, ἢν μὴ συγκάμψωσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον. πολλὰ δὲ καὶ ἄλλα κατὰ τὸ σῶμα τοιαύτας ἀδελφίξιας ἔχει, καὶ κατὰ νεύρων ξυντάσιας, καὶ κατὰ μυῶν σχήματα καὶ πλεῖστά τε καὶ πλείστου ἄξια γινώσκεσθαι, ἢ ὥς τις οἴεται καὶ κατὰ τὴν τοῦ ἐντέρου φύσιν, καὶ τὴν τῆς ξυμπάσης κοιλίης, καὶ κατὰ τὰς τῶν ὑστερέων πλάνας καὶ ξυντάσιας. ἀλλὰ περὶ μὲν τούτων ἑτέρωθι λόγος ἔσται, ἠδελφισμένος τοῖσι νῦν λεγομένοισι. περὶ οὗ δὲ ὁ λόγος ἐστὶν, οὔτε ἐκτανύειν δύναται, ὥσπερ ἤδη εἴρηται, βραχύτερόν τε τὸ σκέλος φαίνεται διὰ δισσὰς προφάσιας, ὅτι τε οὐκ ἐκτανύεται, ὅτι τε πρὸς τὴν σάρκα ὠλίσθηκε τὴν τοῦ πυγαίου·

ἡ γὰρ

ἡ γὰρ φύσις τοῦ ἰσχίου τοῦ ὀστέου ταύτῃ, ᾗ καὶ ἡ κεφαλὴ καὶ ὁ αὐχὴν τοῦ μηροῦ γίνεται. ὅταν δὲ ἐξαρθρήσῃ καταφερής τε πέφυκεν ἐπὶ τοῦ πυγαίου τὸ ἔξω μέρος. ξυγκάμπτειν μέντοι δύνανται, ὅταν μὴ ὀδύνη κωλύοι. καὶ ἡ κνήμη τε καὶ ὁ πούς, ὀρθὰ ἐπιεικέως φαίνονται. καὶ οὔτε τῇ, οὔτε τῇ πολὺ ἐγκεκλιμένα. κατὰ δὲ τὸν βουβῶνα δοκέει τι ἡ σὰρξ λαπαρωτέρα εἶναι ποτὶ καὶ ψαυομένη. ἅτε τοῦ ἄρθρου, εἰς τὰ ἐπὶ θάτερα μέρη, ὠλισθηκότος. κατὰ δὲ τὸ αὐτὸ πυγαῖον διαψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ, δοκέει τι ἐξογκέειν καὶ μᾶλλον. τὰ μὲν οὖν σημεῖα ταῦτα, ᾧ ἂν ἐς τὸ ὄπισθεν ἐκπεπτώκῃ ὁ μηρός. ὅτῳ μὲν οὖν τετελειωμένῳ ἤδη ἐκπεσὼν μὴ ἐμπέσῃ. ὁδοιπορέειν μὲν δύναται, ὅταν ὁ χρόνος ἐγγένηται, καὶ ἡ ὀδύνη παύσηται, καὶ ἐθισθῇ τὸ ἄρθρον ἐν τῇ σαρκὶ ἐνστροφᾶσθαι. ἀναγκάζεται μέντοι ἰσχυρῶς ξυγκάμπτειν κατὰ τοὺς βουβῶνας ὁδοιπορέων, διὰ δισσὰς προφάσιας, ἅμα μὲν ὅτι πολλῷ βραχύτερον τὸ σκέλος γίνεται, διὰ τὰ προειρημένα. καὶ τῇ μὲν πτέρνῃ. καὶ πάνυ πολλῷ δέεται ψαύειν τῆς γῆς. ἢν γὰρ πειρᾶτο καὶ ἐπ' ὀλίγον τοῦ ποδὸς ὀχηθῆναι μηδενὶ ἄλλῳ ἀντιστηριζόμενος, ἐς τὸ ὀπίσω ἂν πέσοι. ἡ γὰρ ῥοπὴ πολλὴ ἂν εἴη τῶν ἰσχίων ἐπὶ πολὺ ἐς τοὐπίσω ὑπερεχόντων ὑπὲρ τοῦ ποδὸς τῆς βάσιος, καὶ τῆς ῥάχιος ἐς τὰ ἰσχία ῥεπούσης. μόλις δὲ τῷ στήθει τοῦ ποδὸς καθικνέεται, καὶ οὐδὲ οὕτως ἢν μὴ κάμψῃ αὐτὸς ἑωυτὸν κατὰ τοὺς βουβῶνας, καὶ τῷ ἑτέρῳ σκέλει κατὰ τὴν ἰγνύην ἐπιξυγκάμψῃ. ἐπειδὴ τούτοισιν ἀναγκάζεται ὥστε τῇ χειρὶ, τὰ κατὰ τὸ σιναρὸν σκέλος ἐρείδεσθαι ἐς τὸ ἄνω τοῦ μηροῦ ἐφ' ἑκάστῃ ξυμβάσει. ἀναγκάζει οὖν τι τοῦτο αὐτὸ ὥστε κάμπτεσθαι κατὰ τοὺς βουβῶνας. ἐν γὰρ τῇ μεταλλαγῇ τῶν σκελέων ἐν τῇ ὁδοιπορίῃ, οὐ δύναται τὸ σῶμα ὀχέεσθαι ἐπὶ τοῦ σιναροῦ σκέλεος, εἰ μὴ προσκατερείδεται τὸ σιναρὸν πρὸς τὴν γῆν ἀπὸ τῆς χειρὸς, ἅτε οὐχ ὑφεστῶτος τοῦ ἄρθρου ἀπὸ τῷ σώματι, ἀλλ' ἐς τὸ ὄπισθεν ἐξεστῶτος κατὰ τὸ ἰσχίον. ἄνευ μέντοι τοῦ ξύλου δύνανται ὁδοιπορέειν οἱ τοιοῦτοι, ἢν ἄλλως ἐθισθῶσι, διὰ τοῦτο ὅτι ἡ βάσις τοῦ ποδὸς κατὰ τὴν ἀρχαίην ἰθυωρίην ἐστὶν, ἀλλ' οὐκ εἰς τὸ ἔξω ἐγκεκλιμένη. διὰ τοῦτο οὖν οὐδὲν δέονται τῆς ἀντικοντώσιος. ὅσοι μέντοι βούλονται ἀντὶ τῆς τοῦ μηροῦ ἐπιλαβῆς ὑπὸ τὴν μασχάλην τὴν κατὰ τὸ σιναρὸν σκέλος ὑποτιθέμενοι σκίπωνα ἀντερείδειν, κεῖνοι ἢν μὲν μακρότερον τὸν σκίπωνα ὑποτιθέοιντο, ὀρθότεροι μὲν ὁδοιπορήσουσι. τῷ δὲ ποδὶ πρὸς τὴν γῆν οὐκ ἐρείδονται. εἰ δ' αὖ βούλονται ἐρείδεσθαι τῷ ποδὶ, βραχύτερον μὲν τὸ ξύλον ποιητέον. κατὰ δὲ τοὺς βουβῶνας ἐπιξυγκάμπτεσθαι ἂν δέοι αὐτούς. τῶν δὲ σαρκῶν αἱ μινυθήσιες κατὰ λόγον γίνονται καὶ τούτοισιν, ὥσπερ καὶ πρόσθεν εἴρηται. τοῖσι μὲν γὰρ μετέωρον ἔχουσι τὸ σκέλος καὶ μηδὲν ταλαιπωρέουσιν, τούτοισι καὶ μάλιστα μινύθει. εἰ δ' ἂν πλεῖστα χρέονται τῇ ἐπιβάσει, τούτοισι ἥκιστα μινύθουσι. τὸ μέντοι ὑγιὲς σκέλος οὐκ ὠφελέεται, ἀλλὰ μᾶλλον καὶ ἀσχημονέστερον γίνεται, ἢν χρέωνται τῷ σιναρῷ σκέλει ἐπὶ τὴν γῆν. συνυπουργέον γὰρ ἐκείνῳ ἐξίσχιόν τε ἀπαναγκάζεται εἶναι καὶ κατὰ τὴν ἰγνύην ξυγκάμπτειν. ἢν δὲ μὴ προσχρέηται τῷ σιναρῷ ἐπὶ τὴν γῆν, ἀλλὰ μετέωρον ἔχων, σκίπωνι ἀντερείδηται. οὕτω δὲ κάρτερον γίνεται τὸ ὑγιὲς σκέλος. ἔν τε γὰρ τῇ φύσει διαιτᾶται καὶ τὰ γυμνάσια προσκρατύνει αὐτόν. φαίη μὲν ἄν τις ἔξω ἰητρικῆς τὰ τοιαῦτα εἶναι. τί γὰρ δῆθεν δεῖ περὶ τῶν ἤδη ἀνηκέστων γεγονότων ἔτι προσξυνιέναι; πολλοῦ δὲ δεῖ οὕτως ἔχειν. τῆς γὰρ αὐτῆς γνώμης καὶ ταῦτα ξυνιέναι. οὐ γὰρ οἷόν τε ἀπαλλοτριωθῆναι ἀπ' ἀλλήλων. δεῖ μὲν γὰρ τὰ ἀκεστὰ μηχανάεσθαι ὅκως μὴ ἀνήκεστά ἐστι. ξυνιέντα ὅπῃ ἂν μάλιστα κωλυτέα εἰς τὸ ἀνήκεστον ἐλθεῖν. δεῖ δὲ τὰ ἀνήκεστα ξυνιέναι, ὡς μὴ μάτην λυμαίνηται. τὰ δὲ προρρήματα λαμπρὰ καὶ ἀγωνιστικὰ ἀπὸ τοῦ διαγινώσκειν, ὅπῃ ἕκαστον, καὶ οἵως, καὶ ὁπότε τελευτήσει. ἤν τε εἰς τὸ ἀκεστὸν τράπηται, ἤν τε εἰς τὸ ἀνήκεστον. ὁκόσοισι δ' ἂν ἐκ γενεῆς, ἢ καὶ ἄλλως ἐν αὐξήσει ἐοῦσιν, οὕτως ὀλισθῇ τὸ ἄρθρον ὀπίσω καὶ μὴ ἐμπέσῃ, ἤν τε βίῃ ὀλισθῇ, ἤν τε καὶ ἀπὸ νόσου. πολλὰ γὰρ τοιαῦτα ἐξαρθρήματα γίνεται ἐν νούσοισιν. οἷαι δέ τινές εἰσιν αἱ νοῦσοι, ἐν ᾗσιν ἐξαρθρέεται τὰ τοιαῦτα ὕστερον γεγράψεται. ἢν γοῦν ἐκστὰν μὴ ἐμπέσῃ. τοῦ μὲν μηροῦ τὸ ὀστέον βραχὺ γίνεται. κακοῦται δὲ πᾶν τὸ σκέλος καὶ ἀναυξέστερον γίνεται καὶ ἀσαρκότερον πολλῷ, διὰ τὸ μηδὲν προσχρέεσθαι αὐτῷ. κακοῦται γὰρ τούτοισι καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον. τὰ γὰρ νεῦρα ἐντεταμένα γίνεται διὰ τὰ πρόσθεν εἰρημένα. διὸ οὐ δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ἐκτανύειν οἷσιν ἂν οὕτως ἰσχίον ἐκπέσῃ. ὡς γὰρ ἐν κεφαλαίῳ εἰπεῖν πάντα τὰ ἐν τῷ σώματι ὁκόσα ἐπὶ χρήσει γέγονε. χρεομένοισι μὲν μετρίως καὶ γυμναζομένοισιν ἐν τῇσι ταλαιπωρίῃσιν ἐν ᾗσιν ἕκαστα εἴθισται, οὕτω μὲν ὑγιεινὰ, καὶ αὔξημα, καὶ εὔγηρα γίνεται. μὴ χρεομένοισι δὲ ἀλλ' ἐλινύουσι νοσηρότερα γίνεται, καὶ ἀναυξέα, καὶ ταχύγηρα. ἐν δὲ τούτοισιν οὐχ ἥκιστα τὰ ἄρθρα τοῦτο πέπονθεν καὶ τὰ νεῦρα, ἢν μή τις αὐτοῖσι χρέηται. κακοῦται οὖν διὰ ταύτας τὰς προφάσιας μᾶλλόν τι ἐν τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ἢ ἐν τοῖσιν ἄλλοισιν. ὅλον γὰρ τὸ σκέλος ἀναυξὲς γίνεται, καὶ τῇ ἀπὸ τῶν ὀστέων φύσει, καὶ τῇ ἀπὸ τῶν σαρκῶν. οἱ οὖν τοιοῦτοι ὁκόταν ἀνδρωθῶσι μετέωρον καὶ συγκεκλιμένον τὸ σκέλος ἴσχουσιν. ἐπὶ δὲ τοῦ ἑτέρου ὀχέονται καὶ τῷ ξύλῳ ἀντιστηριζόμενοι. οἱ μὲν, ἑνί. οἱ δὲ, δυσίν. οἷσι δ' ἂν ἐς τοὔμ-

προσθεν ἡ κεφαλὴ μηροῦ ἐκπέσῃ. ὀλίγοισι δὲ ὕστερον γίνεται. οὗτοι ἐκτεταμένῃ μὲν ἧσσον σκέλος δύνανται τελέως. ξυγκάμπτειν δὲ ἥκιστα οὗτοι δύνανται τὰ κατὰ τὸν βουβῶνα. πονέουσι δὲ καὶ ἢν κατὰ πλὴν ἀναγκάζωνται ξυγκάμπτειν. μῆκος δὲ τὸ σκέλος παραπλήσιον φαίνεται κατὰ μὲν πλὴν πλάγιον καὶ πάνυ. ἄκρος δὲ ὁ ποὺς κατόπιν προκύπτειν ἐθέλοι ἐς τοὔμπροσθεν. ὅλον δὲ τὸ σκέλος ἔχει πλὴ ἰθυωρεῖν κατὰ πλὴ φύσιν, καὶ οὔτε τῇ, οὔτε τῇ ῥέπει. ὀδυνῶνται δὲ αὐτῶν οὗτοι μάλιστα, καὶ οὐδὲν ἧσσον τὴν πρώτην μᾶλλον τι ἢ τοῖσιν ἄλλοισιν ὀζυβρήμασι. ἐγκέεται γὰρ ἡ κεφαλὴ τῷ μηροῦ ἐπὶ τοῦτο τοῦτοισι τῆν πόνων τῆν ἐπικαίρων. καὶ κατὰ μὲν τὴν βουβῶνα ὀζυγκέεται καὶ κατατεταμένον τὸ χωρίον φαίνεται. κατὰ δὲ τὸν πυγαῖον, ὁλισθάνον καὶ κατατεταμένον τὸν τόπον μᾶλλον. ταῦτα μὲν οὖν σημήια ὅτι τὰ εἰρημένα, ὧν αὖ οὕτως ἐκπεπτώκοι ὁ μηρός. ὁκόσοισι μὲν οὖν ἤδη λυσορωμένοισι ἔσῃσι τὸ ἄρθρον ἐκπεσὸν μὴ ἐμπέσῃ, οὗτοι ὁκόταν αὐτοῖσιν ἡ ὀδυνὴ παύσηται, καὶ τὸ ἄρθρον ἐθιστέον, οἷ τῷ χρείῳ τούτῳ προφαθαῦται ἵνα ὀζέπεσεν, οὗτοι δυνάμενοι ἤδη αὖθις ὀρθοὶ ὁδοιπορέειν ἄφόβῳ ξύλου, καὶ πάνυ μοί τοι οὐθὲς. ὠδὴ δὲ ὁ σιναρὸς ἄτε οὔτε κατὰ τὸν βουβῶνα ἀγώμενοι ἑόντες, οὔτε κατὰ πλὴ ἰγνύλιν. ὅθ' γοῦν τῷ βουβῶνος πλὴ ἀκριβέως ἑόντος, οὐ θυτόρως ὅλως τῷ σκέλεϊ ὧν τὴ ὁδοιπορίη χρέσσεται ἢ ὅτε ὑγιαίνων. καὶ σύρουσι δὲ οἱ τοιοῦτοι πλὴ ἢν πόδα. ἄτε οὐ ῥηϊδίως ὀζεγκάμπτοντες τὰ ἄνω ἄρθρα. καὶ ἅτε παντὶ βαίνοντες τῷ ποδί. ὅθεν γοῦν ἧσσον τῇ πτέρνῃ οὗτοι βαίνουσι, ἢ τῷ ἔμπροσθεν. εἰ δὲ γε ἠδυνάμην μέγα προβαίνειν κὴν πάνυ πτέρνα βαίνειν ἠθέλον. καὶ γὰρ οὐ γιγνώσκοντες ὅσῳ αὖ μέζον προβαίνοντες ὁδοιπορέοιεν, τοῦτο μᾶλλον πτέρνα βαίνουσι τε εἰσὶν. τιθέντες μὲν πόδα. ἄρσαντες δὲ, μὲν ἀνάπαλιν. ὁκόσοισι δὲ δὴ οὕτως ἐκπεπτώκοι καὶ ἔτι μᾶλλον, τῇ πτέρνῃ προσεγχρίπτουσιν, ἢ τὸ ἔμπροσθεν. τὸ γὰρ ἔμπροσθεν τῷ ποδὸς, ὅταν ἐκτεταμένον ἔῃ, τὸ ἄλλο σκέλος οὐχ ὁμοίως δύνασθαι ἐς τὸ πρόσω κεκαμπυλέεσθαι. ὡς πρὶν ὅταν ξυγκεκαμμένον ἔῃ τὸ σκέλος. οὐ γὰρ ἂν σημῆναι δύνασθαι ὅπου ἔσῃσιν ἐκτεταμένον ἔῃ τὸ σκέλος. ὑγιαίνουσά τε οὖσα ἡ φύσις οὕτω πεφύκει, ὡς πρὶν εἴρηται. ὅταν δὲ ἐκπεσὸν μὴ ἐμπέσῃ τὸ ἄρθρον, οὕτως ὁδοιπορέουσιν ὡς εἴρηται, ὁκόταν τοῖσιν ἀγκῶσι τὰ εἰρημένα σαφηνέστερον μέν τοι τὸ σκέλος τῷ ἐτόξου γίνεται, κατά τε τὸν πυγαῖον, κατά τε πλὴ γαστροκνημίην, καὶ κατὰ πλὴ ὀπισθεν ἴξιν. ὅσοι δ' ἂν νηπίοισιν ἔτι ἔοῦσι τὸ ἄρθρον οὕτως ὀλισθάνον μὴ ἐμπέσῃ, ἢ καὶ ἐκ γενέης οὕτω γένηται, καὶ τούτοισι τῷ μηροῦ ὅσῳ μάλλον τε μανίθει, ἢ τὰ τῆς κνήμης, καὶ τὰ τῷ ποδός. ἥκιστα μὲν οὖν τούτῳ τῷ τρόπῳ τῷ ὀλισθήματος ὁ μηρὸς μεσοῦται. μανύθουσι μοί τοι αἱ σπέρκες πάντη. μάλιστα δὲ κατὰ πλὴ ὀπισθεν ἴξιν, ὡς πρὶν ἤδη καὶ πρόσθεν εἰρήκεμεν. ὅσοι μὲν οὖν ἀπὸ πηνικῶσιν ὀρθῶς, οὗτοι μὲν δυνάμενοι προσχρέεσθαι τῷ σκέλεϊ αὐξανόμενοι. ἔρχυτέρῳ μοί τινι τῷ ἑτέρου ἑόντι. ὅμως δὲ ὀρθούμενοι ξύλῳ ὠδὶ ταῦτα ἢ τὸ σιωπηρὸν σκέλος. οὐ γὰρ κόρτα δύνανται αὖθις τῆς πτέρνης, τῷ σκέλεϊ τῷ ποδὸς χρέεσθαι. ἐπιπωθιόντες ὡς πρὶν ἐ τέρροις χωλεύμασιν ὅτοι δύνανται. αὖτιον δὲ τῷ μὴ δύνασθαι τὸ ὅλον πρόσθεν εἰρημένον. ὁμῷ οὖν ἔστω προσδέον τοι ξύλου. ὅτοι δ' ἂν κατὰ μελιθώσι καὶ μηδὲν χρέσσονται ὠδὶ πλὴν γῆν τῷ σκέλει, ἀλλὰ μετέωρον ἔχουσι, τούτοισι μανύθουσι μὲν τὰ ὀσέα ἐς αὖξησιν μᾶλλον, ἢ τοῖσι χρεομένοισι. μανύθουσι δὲ αἱ σπέρκες πολὺ ἢ τοῖσι χρεομένοισι. κατὰ δὲ τὰ ἄρθρα ἐς τὸ βύθιον προῦται τούτοισι τὸ σκέλος μᾶλλον τι, ἢ ὅσοισιν ἄνθρωποι ἐκπεπτώκοι. ὡς μὲν οὖν αἱ κεφαλαίῳ εἰρέεσθαι, τὰ ἄρθρα τὰ ἐκπίπτοντα καὶ τὰ ὀλισθαίνοντα ἀπίσως αὖτα ἑαυτοῖσιν ἐκπίπτει καὶ ὀλισθάνει. ἄλλοτε μὲν πολὺ τελείονα. ἄλλοτε δὲ πολὺ ἐλάσσονα. καὶ ὅσοι ἂν μὲν πολὺ τελείον ὀλισθῇ ἢ ἐκπέσῃ, χαλεπώτερα ἐμβάλλειν τὸ ἐπίπαν ὑσί. καὶ ὧν μὴ ἐμβιβασθῇ μείζους καὶ ἐπιπλοτέρας τὰς περιώσιας καὶ κατακώσιος ἴσχει τὰ τοιαῦτα, καὶ ὀστέων, καὶ σαρκῶν, καὶ νεύρων. ὁκόταν δὲ μεῖον ἐκπέσῃ καὶ ὀλισθῇ, ῥηϊδίον μὲν ἐμβάλλειν τὰ τοιαῦτα τὴν ἑτέρων γνώμῃσι. ὅταν δὲ κατὰ προπηθῇ ἢ ἀμεληθῇ ἐμπεσεῖν, μείους καὶ ἀσινέστερα αἱ παρώσιες γίνονται τούτοισιν, ἢ οἷσιν ὀλίγῳ πρόσθεν εἰρήκεμεν. τὰ μὲν οὖν ἄλλα ἄρθρα καὶ πάνυ πολὺ διαφέρει ἐς τὸ ὅτε μὲν μεῖον, ὅτε δὲ μεῖζον τὸ ὀλίσθημα ποιέεσθαι. μηροῦ δὲ καὶ βραχίονος κεφαλαὶ παραπλησιότατα ὀλισθαίνουσιν αὐτὴ ἑαυτῇ ἐναντίη. ἄτε γὰρ στρογγύλαι μὲν αἱ κεφαλαὶ ἐοῦσαι ἀπλῶ πλὴ στρογγύλωσιν καὶ φαλακρὸν ἔχουσι. κυκλοτερέες δὲ αἱ κοιλίαι ἐοῦσαι, αἱ δὲ χόμεναι τὰς κεφαλὰς ἁρμόζουσαι δὲ, τῆσι κεφαλῆσι. ὥστε οὐκ ἔστιν αὐτῆσι τὸ μὲν ἐκτῆναι τῷ ἄρθρου. ὀλισθαίνοι γὰρ ἂν ὥστε πλὴ ἀδελφὸν ἴω ἐς τὸ ἔξω, ἢ ἐς τὸ ἔσω, ἀδελφοῦ ὧν ὁ λόγος ὑσί. ἐκπίπτουσι τελέως ἤδη, ἐπεὶ ἄλλως γε οὐκ ἐκπίπτουσιν. ὁμοίως δὲ καὶ ταῦτα ὁτὲ μὲν, τελείως ἀποπηδᾷ ἀπὸ τῆς φύσεως. ὁτὲ δὲ, ἔλασσον. μᾶλλον δέ τι μηρὸς τῷ βραχίονος πέπονθεν. ἐπεὶ σὰρξ καὶ τῆν ἐκτὸς γινομένων ὀλισθημάτων ἧσσον ἀγκᾶται ἢ πλὴ φύσιν ἄγκασθαι ἢ μάλιστα τὰ παρὰ τῷ ποδὸς ἄρθρα. ὁκόσοι ἐκ γενέης κυλλοὶ γίνονται, τὰ τελεῖστα τούτων ἰήσιμα ὑσί, ἧσσον μὴ πάνυ μεγάλη ἡ ἕλκωσις ἔῃ. ἢ καὶ προαυξέων γεγενότων ἤδη παυσίων ξυμβῇ. αὐρίσιον μὲν οὖν ὡς τάχιστα ἰητρὸν

ἰητρὸν τὰ τοιαῦτα. πρὶν πάνυ μεγάλῃ πλὴ οἴδησιν τῆν ὀσέων, τῆν τε τῷ ποδὶ, γνώσεται. πρίν τε πάνυ μεγάλῃ πλὴ οἴδησιν τῆν σαρκῶν, τῆν κατὰ πλὴ κνήμην εἶναι. τρόπος μὲν οὖν κυλλώσιος οὐκ εἰς, ἀλλὰ πολλοίσιος. τὰ πολλοῖσι μὲν οὖν ὀζηνερθρηκότα παντὸς ποσὸς, ἀλλὰ δι' ἕβος σχήματος οὗ τινι ἀπολήψεται τῷ ποδὸς κεκυλλωμένα. προσοιχέειν δὲ τῇ ἰητρείῃ τοῖσι δὲ χρή. ἀποπωθέειν μὲν καὶ κατοπθοῦν τῆς κνήμης τὸ κατὰ τὸ σφυρὸν ὀστέον, τὸ ἔξωθεν ἐς τὸ ἔσω μόριος. αὖτω δὲ ἐς τὸ ἔξω μόριος τὸ τῆς πτέρνης τὸ κατ' αὐτὸ πλὴ ἴξιν, ὅπως ἀλλήλοισι ἀπαντήσι τὰ ὀστέα τὰ ὀζίσχοντα. κατὰ μέσον δὲ καὶ σπλάγιον τὸν πόδα. τῶν δ' ἄλλων δακτύλους ἀθρόους ξυῶ τῷ μεγάλῳ δακτύλῳ ἐς τὸ ἔσω μόριος ἐκλίνειν, καὶ ἀποδιαστήκειν μὴ ὀλίγοισι μὴ δὲ ἀγαν πιέζοντα. οὕτω δὲ τὰς ἀποδιατομὰς ποιέεσθαι τῆς ἐπιδέσιος, ὡς πρὸ μὴ τῆσι χερσὶν ἡ κατόρθωσις ἔῃ τῷ ποδός. ὁκως ὁ πους ὀλίγον μᾶλλον ἐς τὸ ἔλεσσον φέρον φαίνεται. ἰσχνὸς δὴν ποιέεσθαι, ἢ δέρματος μὴ ἄγαν σκληροῦ ἢ μολυβδίνου. προσεπλέιν δὲ, μὴ πῶς ἂν χρῶτα πιθώντα, ἀλλ' ὅταν ἤδη τοῖσιν ὑστάτοισι ἀθενίοισι μέλλῃς ἐπιδέειν. ὅταν δὲ ἤδη ἐπιδεδεμένος ἔῃ, οὗς τινος τῆν ὀθονίων χρὴ, ὧσιν ἐπιδέεται πλὴ ἀρχὴν προσράψαι πρὸς τὰ κατὰ τῷ ποδὸς ἐπιδέσματα τε κατὰ πλὴ ἴξιν τῷ μηροῦ δακτύλου. ἔπειτα ἐς τὸ ἄνω τείνοντα, ὅκως μὴ δὴ κέη μετέωρα ἔχειν, ἀποδιάλλειν ἄνωθεν τῆς γαστροκνημίης, ὡς μόνιμον ἢ κατατεταγμένον οὕτως. ἀσφαλῶς δὲ λύτω, ὡς πρὸ κηροπλασέοντα χρὴ ἐς πλὴ φύσιν πλὴ δικαίλλειν ἄγειν, καὶ τὰ ἐκκεκλιμένα καὶ τὰ συντετομένα πρὸς πλὴ φύσιν, καὶ τῆσι χερσὶν οὕτω διορθοῦντα, μὴ τῇ ἐπιδέσει ὠθεῖν. προσάγειν δὲ οὐ βιαίως, ἀλλὰ παρηγορικῶς. προσερέπειν δὲ τὰ ὀθόνια ὁκως ἂν ξυμφορὴν τοῖς ἀνθρώποισι ποιέεσθαι. ἄλλα γὰρ ἄλλης τῆν χωλωμάτων δέεται ἀναλήψεως. ὑποθήματίσιν δὲ ποιέεσθαι μολυβδίνοισιν, ἐξωθεν τῆς ἐπιδέσιος ἐπιδεδεμένοισιν, οἷ αὐ χάλκεοι, ἐυθμὸν τῆσι χερσὶν ἔχον. ἀλλ' οὐδὲν αὐτῷ δεῖ, ἢν τις ὀρθῶς μὲν τῆσι χερσὶ διορθώσῃ. ὀρθῶς δὲ, τοῖσιν ὀθονίοισιν ἐπιθεῖν. ὀρθῶς δὲ καὶ τοῖς ἀναλήψιμα ποιοῖτο. ἢ μὲν οὖν ἴησις αὕτη, καὶ οὔτε τομῆς, οὔτε καύσιος, οὐθὲν δεῖ, οὔτ' ἄλλης ποικιλίης. θᾶσσον γὰρ ἀνακύει τὰ τοιαῦτα τῆς ἰητρείης, ἢ ὡς αὖτις οἷοιτο. προσνιφὼν μοί τοι χρὴ τῷ χρόνῳ, ἕως ἂν αὐξηθῇ ἡ σῶμα σὺν τοῖσι δικαίοισι χήμηκον. ὅταν δὲ ἐς ὑποθήματος λόγον ἔῃ, αὖρυλαι ἐπιπλέοντες αἱ πηλοπέδιλες κωλεόμεναι. ὅσῳ γὰρ ὑποθημάτων ἥκιστα κρατέεσθαι τῷ ποδὸς, ἀλλὰ κρατέει μᾶλλον. ἐπιπλέιος δὲ καὶ ὁ κρητικὸς τρόπος τῆν ὑποθημάτων.

Οἰκήσιοι δ' ἂν κνήμης ὀστέα ὀζαυρηζόντα, καὶ ἕλκος ποιήσαντα τελέως ὀζίσχοντα παρὰ τὸν πόδα αὖρα, εἴτε ἔσω ῥέζοντα, εἴτε μοί τοι καὶ ἔξω, τὰ τοιαῦτα μὴ ἐμβάλλειν, ἀλλ' ἐᾶν ἢν ὑγιάζομενον τῆν ἰητρῶν ἐμβαλεῖν. σαφέως γὰρ εἰδέναι χρὴ ὅτι ἀποθανεῖται, ἐὰν ἐμβληθέντα ἐμμείνῃ. καὶ ἢ ξωὴ δὲ ὀλιγημόρους τούτοις γίνεσθαι. ὀλίγοι γὰρ αὐτῆν τὰς ἑπταήμορας. ὑπερβάλλοισιν. ἀσασμος γὰρ ὁ κτείνων ὑσίν. ἀταρ καὶ χαίρουσιν ἥκιστα κνήμῃσιν καὶ ἢν πόδι. πάντα δὲ ἐναίσιμα εἰδέναι χρὴ οὕτως ἐσόμενα. καὶ οὐκ ἂν μοι δοκέῃ οὐθὲν ἐλεύθερος ὠφελησειν αὐθημερὸν τε δυθεὶς, καὶ αὖθις πινόμενος. ἄγχεσε δὲ ὅτι τοιοῦτον, οὐ μοί τοι οὐ δὲ ὅσῳ δοκέω. ἰὼ δὲ μὴ ἐμβληθῇ μὴ δὲ ἀπ' ἀρχῆς μηδὲ ἐπιπειρηθῇ ἐμβάλλειν, τοδεμηνύσασι οἱ πλεῖστοι αὐτῆν. χρὴ δὲ ἡρεμάσαι μὲν πλὴ κνήμῃσι καὶ ἢν πόδα οὕτως, ὡς αὐτὸ ἐθέλει. μοῦνον δὲ, μὴ ἄπαν ῥωμῶσθαι, μὴ δὲ κενεμονέα ἔσω. καὶ ἰητρείην δὲ, πασηρὴ καὶ πλείωσιν οἰνηρίσιον, ὀλίγοισι, μὴ ἄγαν ψυχρόσιον, ψύχος γὰρ οὐ τοῖσι τοιούτοισι ἀπαισμὸν ἐπιφυλέσσεται. ἐπιτήδεια δὲ καὶ φύλλα τοῦ πλατανίστου, ἢ σικύου, ἢ ἄλλου τινὸς τῆν τοιούτων οἷσιν μέλαν αὐστηρὸν ἢ μέγιστον ἐπιτεθέντα, ἰητρεύειν ἐπὶ τὸ ἕλκος, ἐπὶ τε τὰ ὠδιέχοντα. κηρωτὴν δὲ χλιερὴν ἐπιχρίειν αὐτῷ τὸ ἕλκος. ἰὼ δὲ ἢ ὠρη χειμερινὴν ἔῃ, καὶ ὀρίκια παρὰ τὸν οἶνον καὶ ἐλαίῳ κατατρίνοντα χλιερῶς ἐπιχρίειν. κατὰ πλεῖν δὲ, μηδὲν μηδενί, μὴ δὲ τοδε πλάσσειν. δυ γὰρ εἰδέναι χρὴ, ὅτι πέξις καὶ ἀνθρωποφορίη πάνυ κακὸν τοῖσι τοιούτοισι ὑσίν. ἐπιτήδεια δὲ πρὸς τὰ τοιαῦτα καὶ τῆν ἀναιμων μετεξέτερα, ὅσοισιν αὐτῆν ξυμφέρει. ὁρῖκα δὲ ἐπιτιθέντα οἷον ἐπιτέθηντα πολλῳ χρόνον ἐᾶν. τοὺς δὲ ὀλιγημορώτατα τῆν ἀναιμων, καὶ ὁσα ῥητίνην προσκατα λαμβάνεται, οὐχ ὁμοίως ἐπιτήδεια ἐκείνοισιν ὑσί. χρονίη γὰρ ἡ κάθαρσις τῆν ἑλκέων γίνεται τούτων. πολλῳ γὰρ χρόνον τολαπάρη γίνεται. τινὰς δὲ τούτων ἀγαθὸν ἐπιδέειν. εἰδέναι μὲν δὴ που σάφα χρὴ, ὅτι ἀνάγκη ἐν ἀνθρωπον χωλὸν αἰσχρῶς γενέσθαι. καὶ γὰρ ὁ ποὺς ὠδὶ ἀπὸ ἀπέπασται τῆν τοιούτων. καὶ τὰ ὀσέα τὰ διολισθήσαντα, ἔξω ὀζέχοντα φαίνεται. οὔτε γὰρ ἑλοῦται τῆν τοιούτων ὀστέων οὐδέν, ὡς ὠδὶ ἀπὸ πολὺ, εἰ μὴ κατὰ βραχύ τι, οὔτε ἀφίσταται, ἀλλὰ τοδελοπειλοῦται λεπῆσιν ὠτειλῆσι καὶ ἀθενέσι. καὶ ταῦτα ἰὼ ἀφεμίζωσι πολλῳ χρόνον. ἰὼ δὲ μὴ ἑλκώδριον ἐγκαταλειφθῇσιν κίνδυνος, ἀναλῆς. ὁμως δὲ τοδὲ οὖ ὁ λόγος, οὕτω μὲν οἱ ἰητρεύμενοι σῴζονται. ἐμβληθέντος δὲ τὸ ἄρθρου καὶ ἐμμείναντος, ἀποθνήσκουσιν. ὁ αὖ ὁ λόγος οὗτος ἰὼ καὶ τὰ τὸ πήχεος ὁσέα τὰ παρὰ τὸν κατὸν τῆς χειρὸς ἕλκος ποιήσαντα ὀζίσχη, ἰὼ τε εἰς τὸ ἔσω μόριος τῆς χειρὸς, ἰὼ τε εἰς τὸ ἔξω. σάφα γὰρ

ἐπίσασθαι χρὴ, ὅτε ἀποθανεῖται εἰ ὀλίγῃσιν ἡμέρῃσι, τοιόνδε θανάτῳ, οἷσιπερ μὴ πρόσθεν ἔρηται. ὅτῳ αὖ ἐμβληθέντα τὰ ὀστέα ἐμμένῃσι δ' ἂν μὴ ἐμβληθῇ, μὴ δὲ πεπηθῇ ἐμβαλέσθαι. οὗτοι πολὺ πλείονες τοῦδε γίνονται. ἰητρὴν δὲ τοιαύτῃ τοῖσιν τοιούτοισιν ἐπιτηδεύειν, οἵηπερ εἴρηται, ᾗ δὲ σχῆμα αἰσχρὸν τὸ χωλώματος ἀνάγκη ἔσται, καὶ τοὺς δακτύλους τῆς χειρὸς ἀσθενέως καὶ ἀχρήστους. ἰῶ μὲν γὰρ ἐς ᾗ ἴσον μέρος ὁλιοθῆ τὰ ὀστέα, ξυμκάμπτειν οὐ δύναται τοὺς δακτύλους. ἰῶ δὲ ἐς ᾗ ἔξω μέρος, ἐκτανύειν οὐ δύναται. οἷσισι δ' ἂν κνήμης ὀστέον ἕλκος ποιησάμενον παρὰ γόνυ, ἔξω ᾖξ ἔχῃ, ἰῶ τε ἐς ᾗ ἔξω μέρος, ἰῶ τε ἐς ᾗ ἔσω, τούτοισιν ἰῶ μή τις ἐμβάλῃ, ἐπὶ ἕτοι μότερος ὁ θάνατος ἔσται, ἢ πρὸ τοῖσιν ἑτέροισι. καὶ πρὸ τῶν κείνοισιν ἕτοιμος ἐών. ἰῶ δὲ μὴ ἐμβαλὼν ἰητρόν εἰς, ἐλπίδες μὲν σωτηρίης οὔτω μάνως ἐσίν. κινδυνωδέστερα δὲ ταῦτα τῆς ὀστέων γίνεται, ὅσῳ αὖ ἀνωτέρω, καὶ ὅσῳ αὖ ἰσχυρότερα ἦ. καὶ ἀπὸ ἰσχυροτέρων ὁλιοθῆναι. ἰῶ δὲ ᾗ ὀστέον ᾗ πρὸς τὸ μηροῦ ᾗ πρὸς τὸ γόνατος ἕλκος ποιησάμενον ᾖξολιοθῇ· ἐμβληθὲν μὲν καὶ ἐμμένειαν, ἔτι βιαιότερον θάνατον ἢ θάνατον ποιήσει τῆς πρόσθεν εἰρημένων. μὴ ἐμβληθὲν δὲ, πολὺ ἀκινδυνωδέστερον, ἢ τὰ πρόσθεν. ὅμως δὲ μούνη ἐλπὶς αὕτη σωτηρίης. ὁ οὖν ᾗ ὁ λόγος καὶ τοῦδε τῆς νῦν τὰ ἢν ἀγκῶνα ἀρθρων, καὶ τοῦδε τῆς τῆς πήχεος καὶ βραχίονος. ἃ γὰρ αὖ τούτων ᾖξαρθρίζοντα ᾖξίχῃ, ἕλκος ποιησάμενα πάντα. ἰῶ ἐμβληθῆ, θάνατον φόρει. μὴ ἐμβληθέντα δὲ, ἐλπίδες σωτηρίης. χώλωσις δὲ τοῖσι τοιοῦδε γλυφομένοισι. θανατωδέστερα δὲ τοῖσιν ἐμβαλλομένοισιν ὀστῖν, τὰ ἀνωτέρω τῆς ἀρθρων. ἀτὰρ καὶ τοῖσιν ἐμβαλλομένοισι, κινδυνωδέστερα αὐτὰ ταῦτα. εἰ δέ τινι τὰ ἀνωτέρω ἀρθρα ᾖξαρθρίζοντα ἕλκος ποιήσαντα ᾖξίχοι. ταῦτα δέ τι καὶ ἐμβαλλόμενα, ταχυθανατώτατα ἔσται, καὶ μὴ ἐμβαλλόμενα, κινδυνωδέστερα. ἰητρὴν δὲ ἤδη ἔρηται οἵη τις ἐμοὶ δοκεῖ ἐπιτηδειοτάτη εἶναι. ὅσοισι δὲ ἀρθρα δακτύλων, ἢ ποδὸς, ἢ χειρὸς ᾖξαρθρίζοντα ἕλκος ποιήσαντα ᾖξέχει, μὴ κατατηκέτω τὸ ὀστέου, ἀλλὰ κατ' αὐτὸ πῶ ξύμφυσιν ἀποσασάσθω, τούτοισιν εἰ ἐμβλιθέντα ἐμμένει. οἷσι μή τοι κινδυνώδης ἀποσασμός, ἰῶ μὴ χρησῶς ἰητρεύσηται. ὅμως δέ τι ἄξιον ἐμβάλλειν, προεῖπον τε ὅτι φυλακῆς πολλῆς καὶ μελέτης δέηται. ἐμβάλλειν μή τοι ῥηΐτερον καὶ δυνατώτατον καὶ τεχνικώτατόν ᾖξι τῷ μοχλίσκῳ, ὥσπερ καὶ πρόσθεν εἴρηται οἷ τοῖσι κατταγνυμένοισι καὶ ᾖξίχουσιν ὀστέοισιν. ἔπειτα ἀρέμενον ὡς μάλιστα χρὴ, καὶ κατα κεῖσθαι καὶ ὀλιγοστέειν. ἄμεινον δὲ καὶ φαρμακεύσαι ἄνω, κούφῳ τινὶ φαρμάκῳ. ᾗ δὲ ἕλκος ἰκρᾶδέειν, ἢ σαλμοισι τοῖσιν ἐπιτήγμασι, ἢ πολυσφθαλμοῖσιν, ἢ ὅσιν οἷ κεφαλὴ ὀστέα κατατηγότα ἰκρᾶδέειται. κατὰ τύχην δὲ κάρτα μηδὲν προσορᾶσθαι. ἥκιστα μὲν οὖν τὰ πρῶτα ἀρθρα, κινδυνωδιάδεσι. τὰ δὲ ἔτι ἄνω κινδυνωδέστερα. ἐμβάλλειν δὲ χρὴ αὐτημέρι ὀνῆ τῇ ὑστεραίῃ. τριταίῳ δὲ, ἢ τεταρταίῳ ἥκιστα. τεταρταίας γὰρ ἑώντα ἐπισημαίνει τῆσι παλιγκοτίῃσι μάλιστα. οἷσιν αὖ οὕω μὴ αὐτίκα γένηται ἐμβάλλειν, ὑπὸρ βαίνειν χρὴ ταύτας τὰς εἰρημένας ἡμέρας. ὅτι γὰρ ἂν ἔσω δέκα ἡμερέων ἐμβάλλῃ, πάν ᾗ κατα λιπὸν. ἰῶ δ' ἀρὰ ἐμβεβλημένῳ ἀσασμὸς ἐπιγένηται, ἐμβάλλειν ᾗ ἀρθρον δεῖ ταχύ. καὶ θρῦμῶ τέρεν ὡς ταλειτάκης. καὶ ᾗ ὅλον σῶμα θρῦμῶς καὶ λιπαρῶς καὶ μαλθακῶς ἔχειν, καὶ μάλιστα κατὰ τὰ ἀρθρα. κεκάμφθαι δὲ μᾶλλον ᾗ ἐκτετάσθαι πάν ᾗ σῶμα χρή. προσδέχεσθαι μέν τοι κατὰ δὴ δακτύλους τὰ ἀρθρα τὰ ἐμβαλλόμενα ἀποσατῆναι. ἔσεσθαι. τὰ γὰρ ταλεῖτα οὕτω γίνεται ἰῶ καὶ ἐπιοῦν φλεγμαίνῃς γίνεται ὡς μὴ δι' ἀμαθίαν τῆν δημοτέων οἱ αὐτίκ' ἐμελλον ἰητρὸς ἔσεσθαι, οὐδὲν ἂν πάντως οὐ δι' ἐμβάλλειν ἔδιει. τὰ μὲν οὖν κατὰ τὰ ἀρθρα ὅσ' ᾖξίχοντα, ἐμβαλλόμενα οὕτω κινδυνώδεα ὀστῖν, ὡς εἴρηται. ὅσα δὲ κατὰ τὰ ἀρθρα τὰ κατὰ δὴ δακτύλους ἀποκόπτεται τελέως, ταῦτα ἀσινέα τὰ ταλεῖτα ὀστῖν, ἰῶ μή τις οἱ αὐτὴ τῇ ζόσει λειποθυμήσας ζλαβείη. καὶ ἰητρὴν φαύλη ἀρχέσει τῆν τοιούτων ἑλκέων. ἀτὰρ καὶ ὅσα μὴ κατὰ τὰ ἀρθρα, ἀλλὰ κατ' ἄλλω τινὰ ἴξιν τῆν ὀστέων ἀποκόπτεται, ᾗ τῶν ἀσινέα ὀστῖν, καὶ ἔτι θύλιθέσθαι τῆν ἑτέρων. καὶ ὅσα κατὰ δὴ δακτύλους ὀστέα κατατηγότα ᾖξίχοι μὴ κατὰ ᾗ ἀρθρον, καὶ ταῦτα ἀσινέα ὀστῖν ἐμβαλλόμενα. ἀποκόπτεται δὲ τέλεια ὀστέων καὶ κατὰ τὰ ἀρθρα καὶ οἱ ποδὶ καὶ οἱ χειρί. καὶ οἱ κνήμι, τοῖσι παρὰ ᾗ σφυρά. καὶ οἱ πήχεϊ, τοῖσι κατὰ δὴ κωρπούς. τοῖσι ταλειτοισιν ἀποκοπτομένοισιν, ἀσινέα γίνεται. ὅσα αὖ μὴ αὐτίκα λειποθυμήσαντα. ἢ τεταρτέοισιν ἐοῦσι, πυρετὸς ξυνεχὴς ἐπιγένηται. ἀποσφακελίσιες μούτοι ζερκῶν, καὶ οἱ χρῶμασιν αἱμορῥόοισι χλωμοῖσιν. ἢ ὀχροσπίγξεσιν ἰσχυραῖς. καὶ οἱ ὀστέων κατηγμασι χλωμοῖσι, πιεχθεῖσι μᾶλλον τῆς καιροῦ. καὶ οἱ ἄλλοισι δεσμοῖσι βιαίοισι ἀπολιφθέντα, ἀποπίπτει πολλοῖσι. καὶ οἱ πολλοὶ τοῦδε γίνονται τῆν τοιούτων. καὶ οἷσι μηροῦ μόρος τι ἀποπίπτει καὶ τῆν σαρκῶν καὶ τῶ ὀστέου. καὶ οἷσι ζεχλίνοντος. ἧσσον δὲ πήχεος τε καὶ κνήμης ἀποπεσούσης, καὶ ἔτι ὀφόρως τοῦδε γίνονται. οἷσι μὲν οὖν κατα γίνεται ὀστέων ἀποσφακελίσιες αὐτίκα ἐγένετο, καὶ μελασμοὶ, τούτοισι μὲν, ταχέως τοῦδε ῥῆξιες γίνονται τῶ σώματος, ᾗ τὰ ἀποπίπτοντα ταχέως ἀποπίπτει ἤδη τῆν ὀστέων προσηδεωκότων.

οἷσι δὲ ὑγιέων ἐόντων τῆν ὀστέων οἱ μελασμοὶ γίνονται καὶ αἱ μὲν σάκες, ταχέως θνήσκουσι καὶ τούτοισι. τὰ δὲ ὀστέα, ζραδέως ἀφίσανται, ᾗ ἂν τὰ ὅρια τῶ μελασμοῦ γένηται, καὶ ᾗ ῥίλωσις τῶ ὀστέου. χρὴ δὲ ὅσα ἂν κατατρῶ τῶ σώματος τῆν ὀρέων τῶ μελασμοῦ ἔω, ταῦτα ὅταν ἤδη πάμπαν τεθνήκη καὶ ἀπάλγεα ᾖ ἀφαιρέειν κατὰ ᾗ ἀρθρον, προμυθεόμενον ὅκως μὴ τιρώσῃς. ἰῶ γὰρ ὀδυνηθῇ ἀποτεμνόμενος, καὶ μή πω κυρήσῃ ᾗ σῶμα τεθνεὸς ταύτῃ ᾗ ἀποτέμνεται, κάρτα κίνδυνος ζῶον τῆς ὀδυνῆς λυποθυμῆσαι. αἱ δὲ τοιαῦται λειποθυμίαι πολλοὺς περαχρῆμα ἐδη ἀπώλεσεν. μηροῦ μὲν οὖν ὀστέον ᾗ μηρὸν ἐκ τοιούτου τρόπου, ἐγδοκοτέειν εἴδυ ἀποσαν. ᾗ μοί τοι κνήμη τούτῳ τῷ ἀνθρώπῳ κατὰ ᾗ γόνυ ἀφηρέθη, δὴ ἑκοστάῃ. ἐδόκεε δέ μοι καὶ ἐπιτρέπειν. οὐ γὰρ ἄμα, ἀλλ' ὑδὶ ᾗ πρωὶ δὴ ἐδόξε μοι τὶ ποιέειν. κνήμης δὲ ὀστέ' ἐκ τοιούτου μελασμοῦ, μάλα κατὰ μέσην πῶ κνήμω ἐόντα, ἑξηκοστέῃ μοι ἀπέφασιεν, ὅσα ἐμελώδη αὐτῆ. διωξίμοι μὲν γὰρ αἵ τι καὶ ἰητρέη ἰητρείης, ἐς ᾗ θάσσον τε καὶ βρᾳλύτερον τὰ ὀστέα μελούμενα ἀποπίπτειν. διωξίμοι αὖ τι καὶ πέξις πέξιος, καὶ ὑδὶ ᾗ ἰσχυρότερόν τε καὶ ἀσφαλέστερον. καὶ ἐς ᾗ θάσσον τε καὶ βραλύτερον ἀπομελωθῆναι τὰ ἀποθανεῖν τὰ νέβρα, καὶ τοὺς σίφλους, καὶ τοὺς ἀρτηριαίους, καὶ τοὺς φλέβας. ἐπεὶ ὅσα μὴ ἰσχυρῶς ἀπολιφθοῦ τὰ θυήσκει, ἀλλὰ τῆν τοιούτων οὐκ ἀφικνέεται ἐς ὀστέον μέλωμα, ἀλλ' ἐπιπολαιότερα ἐκπίπτει. οἷσι δέ, οὐ δὲ εἰς νέβρον μέλωματα ἀφικνῆται, ἀλλὰ ἐπιπολαιότερα ἐκπίπτει. δὴ οὖν ταύτας τὰς προφάσιας οὐκ ὀδὶν εἰ ὄνομα αἰρίθμοῦ τῷ χρόνῳ δεῖσθαι εἰ ὁκόσῳ ἔκαστα τούτων κείνεται. προσδέχεσθαι δὲ μάλα χρὴ τοιαῦτα ἰήματα. ἐπιδέειν γὰρ φοβερώτερά ὀδὶν ᾗ πινὶ ἰκρᾶδέειν. καὶ ἰητρέη πρακείη αἰρέει πᾶσι τοιούτοισι. αὐτὰ γὰρ ἑαυτὰ κείνει μόνον. τῆς τε διαίτης ἐπιμελέεσθαι χρὴ, ὡς κατὰ δυνάμιν ἀπύρετος ἔῃ. καὶ οὐ σχήμασι δικαίοισιν ὀφθετίζειν ᾗ σῶμα. δίκαια δὲ καὶ ταῦτα, μηδὲ μετεωροποιέειν, μηδὲ ἐς κατ' ὀρθὸν ἐρέπειν, ἀλλὰ μᾶλλον ἐς ᾗ ἄνω ποτὶ, καὶ ἐς ἀπὸ τελέως τοῦδε ἐρᾶκῆ. αἱ μορρᾶγέων γὰρ οὐ τούτῳ τῷ χρόνῳ κίνδυνος. δὴ δῆλον ὅτι οὐ χρὴ κατορρόπα ποιέειν τὰ βώματα, ἀλλὰ τἀναντία. ἐπεὶ ὅταν γε ὁ χρόνος ἐπιῇ τοῖσι τελείοισι, καὶ κατα θαρσὰ τὰ ἕλκεα γίνηται, οὐκ ἔτι ταῦτα τὰ σχήματα ἐπιτήδεια ὀδὶν, ἀλλ' ἡ ὀρθὴ ἕδρις. καὶ οὐ τοῦτο ὑδὶ ᾗ κατορρόπα ῥέπουται. αἵμα χρόνον γὰρ οὐ τοῖσι τούτων ἀποσάσιες ὀστέου γίνονται, καὶ ὑποδεσμίδων δέονται. προσδέχεσθαι δὲ χρὴ τοὺς τοιούτους αὖ χρόνους ζῶον λυσιτελέως πέξεσθαι. καὶ γὰρ ὑδὶ τοῖς μελαινομένοισι τοῖσι ταλείτοισι ἐπιγίνεται λυσιτελέη, καὶ ἐπὶ τῆσιν αἱμορρᾳγήσιν ὑπὸ ἑλκέων. ἐπιγίνεται δὲ ὡς ἐπὶ πολὺ κεκειμένοισιν ἤδη καὶ τῆν μελασμῶν καὶ τῆς αἱμορρᾳγήσι· καὶ ὁρμᾶ τοι μὲν λαύρως καὶ ἰσχυρῶς, ἀπαρεῖ δὲ τὸ πολὺν ταλείω, δὴ μάλα ἀποσποτοι γίνονται οἱ τοιοῦτοι, οὔτε ἄλλως ξυμφόρῃσι κεκαρτέειν. μηροῦ δὲ ὁλίσθημα κατ' ἰσχίον, ὥδε χρὴ ἐμβάλλειν, ἰῶ ἐς ᾗ ἴσον μόρος ὁλιοθῆναι. ἀλοθαι μὲν ἤδε καὶ δικαίη καὶ κατὰ φύσιν ἡ ἐμβολὴ, καὶ δὴ τι καὶ ἀπωνίσιμον ἔχουσα. ὅς τις γε τοῖσι τοιούτοισιν ἤδε ται κομφυόμενος, κρεμάζειν χρὴ ᾗ ἀνθρωπον, τῆν ποδῶν πρὸς μεσόλμιω δεσμῷ δωσατῷ, μαλθακῷ δὲ καὶ ταλάτῳ ἐχοντι. τοῦδε πόδας διέχειν χρὴ, ὅσον τεσσαρσὶ δακτύλους ἀπ' ἀλλήλων ἢ καὶ ἐλασσον. χρὴ δὲ ἢ πόνωσιν τῆν ἐπιγωνίδων προσαπερεβλῆσθαι ταλάπει ἱμαντι καὶ μαλθακῷ ἀπατεῖν τι ἐς πὶ μεσόλμιω. ᾗ δὲ σκέλος ᾗ σιναρὸν τετάσθαι χρὴ, ὡς λύο δακτύλοισι μᾶλλον τῦ ἑτέρου. ἀφὸ δὲ τῆς γῆς πῶ κεφαλίω ἀπεχέτω, ὡς λύο πήχεα, ᾗ ὀλίγῳ ταλέον, ᾗ ἔλασσον. τὰς δὲ χεῖρας παρατετάμισθαι παρὰ τὰς ταλούρας προσδεδεμένας ἔσω μαλθακῷ τινί. πάντα δὲ ταῦτα ὑπτίῳ κατακειμένῳ κατασκοπεῖσθαι τῳ, ὡς ὅτι ἐλάχιστον χρόνον κρέμηται. ὅταν δὲ κρεμασθῇ ἄνωρα χρὴ βὰπαίβλητον καὶ μὴ ἀσθενέα ἐπειρᾶσθαι ἐν πήχεω μέσῳ τῆ μηρῶν. εἶτα βέσθαι ἐν πήχεω μέσῳ τῦ τοβλινέου καὶ τῆς κεφαλῆς τῦ μηροῦ ᾖξεσκιμένης. ἔπειτα σωφλαίνοντα πῶ ἑτέρω χεῖρα πρὸς πῶ δισμοῦ, παρατάσιος ὀρθὸν παρὰ ᾗ σῶμα τῦ κρεμαμένου ᾖξαπίνης ἐκκρεμασθέντα, μετέωρον αἰωρηθῆναι, ὡς ἰσορρόπωτατον. αὐτὴ δὲ ἡ ἐμβολὴ παρέχεται πάντα ὅσα χρὴ κατὰ φύσιν. αὖ τε γὰρ ᾗ σῶμα κρεμάμενον τῷ ἑαυτῦ βαρέι, κατατάσιν ποιέεται. ὅ, τε ἐκκρεμασθεὶς ἅμα μὲν τῆ κατατάσει ἀναγκάζει ὑπὸρ αἰωρεῖσθαι πῶ κεφαλίω τῦ μηροῦ ὑπὸ τῆς κοτύλης. ἅμα δὲ τῦ ὀστέω τῦ πήχεος ἀρμοχλοῦσιν καὶ ἀναγκάζειν εἰς πῶ ἀρχαίῃ φύσιν ὀλισθαίνειν. χρὴ δὲ παγκάλως μὲν, τοῖσιν δεσμοῖσιν ἐσκιθάζεσθαι. φερνέεσθαι δὲ ὡς ἰσχυρότατον ᾗ ᾖξαιρουμενον εἶναι. ὡς μὲν οὖν καὶ πρόσθεν εἰρηται, μέγα ᾗ διαφορὸν ἔδι τῆν φυσίων τοῖσιν ἀνθρώποισιν ἐς ᾗ εὐέμβλητα εἶναι, καὶ λυσέμβλητα. καὶ δὴ τι μέγα διαφορὸν ἔδι, εἰρηται πρόσθεν οἱ τοῖς τοδὶ ὧμον. οἷσισι γὰρ ᾗ μηρὸς ἐμπέπτει ἀπ' οὐδεμιῆς παρασκευῆς, ἀλλ' ὀλίγης μὲν κατατάσιος ὅσον τῆσι χερσὶ κατθιῶσαι. ζραχέης δὲ, κεχλισος. τοῖσι δὲ συγκάμψασι ᾗ σκέλος κατὰ ᾗ ἀρθρον, σὲ πεσὸν ἤδη ἀμφίσφαλον ποιησάμενον. ἀλλὰ χρὴ τὸ πολὺ ταλεῖω ᾗ σκοπέειν τῆς τυχούσης παρασκευῆς. δὴ δῆλον ἐπίσασθαι μὲν χρὴ, τὰ κράτιστα τοδὶ ἐνώτιον οἱ ποίσι τῇ τέχνῃ. χρέεσθαι δὲ οἷσιν αὖ δόξῃ ἐνώτατα. εἰρῆσθαι μὲν οὖν ζόποι κατατασίων καὶ οἱ τοῖσιν ἐμ-

πρόσθεν γεγραμμένοισιν, ὥστε χρέεσθαι τούτων ὅ,τις ἂν παρατύχῃ. δεῖ δὲ ἀντικατατετάσθαι ἰσχυρῶς, ἐπὶ θάτερα μὲν, τοῦ σκέλεος. ἐπὶ θάτερα δὲ, τοῦ σώματος. ἢν γὰρ εὖ κατατεθῇ, ὑπεραιωρηθήσεται ἡ κεφαλὴ τοῦ μηροῦ, ὑπὲρ τῆς ἀρχαίης ἕδρης. καὶ ἢν μὲν ὑπεραιωρηθῇ οὕτως, οὐδὲ κωλῦσαι ἔτι ῥηΐδιον ἵζεσθαι αὐτὴν ἐς τὴν ἑωυτῆς ἕδρην, ὥστε ἤδη πᾶσα ἀρκέει μόχλευσίς τε καὶ κατόρθωσις. ἀλλὰ γὰρ ἐλλείπουσιν ἐν τῇ κατατάσει. διὰ τοῦτο ὄχλον πλείω παρέχει ἡ ἐμβολή. χρὴ οὖν οὐ μόνον παρὰ τὸν πόδα τὰ δεσμὰ ἐξηρτῆσθαι, ἀλλὰ καὶ ἄνωθεν τοῦ γούνατος, ὅκως μὴ κατὰ τὸ τοῦ γούνατος ἄρθρον ἐν τῇ τανύσει ἡ ἐπίδεσις ἔῃ μᾶλλον, ἢ κατὰ τὸ τοῦ ἰσχίου ἄρθρον. οὕτω μὲν οὖν χρὴ τὴν κατάτασιν, τὴν πρὸς τὸ τοῦ ποδὸς μέρος, ἐσκευάσθαι. ἀτὰρ καὶ τὴν ἐπὶ θάτερα κατάτασιν, μὴ μόνον ἐκ τῆς περὶ τὸ στῆθος καὶ τὰς μασχάλας περιβολῆς ἀντιτείνεσθαι, ἀλλὰ καὶ ἱμάντι μακρῷ, διπτύχῳ, ἰσχυρῷ, προσηνεῖ, παρὰ τὸν περίνεον βεβλημένῳ, παρατεταμένῳ ἐπὶ μὲν τὰ ὄπισθεν, παρὰ τὴν ῥάχιν. ἐπὶ δὲ τὰ ἔμπροσθεν, παρὰ τὴν κληΐδα προσηρτημένῳ, πρὸς τὴν ἀρχὴν τὴν ἀντικατατείνουσαν οὕτω διαναγκάζεσθαι. τοῖσι μὲν, ἔνθα διατεινομένοισιν. τοῖσι δὲ, ἔνθα. ὅκως δὲ ὁ ἱμὰς ὁ παρὰ τὸν περίνεον μὴ ἐπὶ τῇ κεφαλῇ τοῦ μηροῦ παρατεταμένος ἔσται, ἀλλὰ μεσηγὺ τῆς κεφαλῆς ἐπὶ τοῦ περινέου. ἐν δὲ τῇ κατατάσει κατὰ μὲν τὴν κεφαλὴν τοῦ μηροῦ ἐρείσας τὴν πυγμὴν, ἐς τὸ ἔξω ὠθεέτω. ἢν δὲ μετεωρίζεται ἑλκόμενος, διέρσας τὴν χεῖρα, καὶ ἐπισυνάξας τῇ ἑτέρῃ χειρὶ, ἅμα μὲν συγκατατεινέτω, ἅμα δὲ ἐς τὸ ἔξω συναναγκαζέτω. ἄλλος δέ τις τὸ παρὰ τὸ γόνυ τοῦ μηροῦ ἡσύχως ἐς τὸ εἴσω μέρος κατορθούτω. εἴρηται δὲ καὶ πρόσθεν ὅτι ἐπάξιον ὅστις ἐν πόλει πολυανθρώπῳ ἰητρεύει, ξύλον κεκτῆσθαι τετράγωνον, ὡς ἑξάπηχυ, ἢ ὀλίγῳ μεῖζον. εὖρος δὲ, ὡς δίπηχυ. πάχος δὲ, ἀρκέει σπιθαμιαῖον. ἔπειτα κατὰ μῆκος μὲν ἔνθεν, καὶ ἔνθεν τὸ μὲν ἔχειν χρὴ, ὡς μὴ ὑψηλοτέρη τοῦ καιροῦ ἡ μηχάνησις ἔῃ. ἔπειτα φλιὰς βραχείας, ἰσχυρὰς, ἐνηρμοσμένας, ὄνισκον ἔχειν ἑκατέρωθεν. ἔπειτα ἀρκέει μὲν ἐν τῷ ἡμίσει τοῦ ξύλου. οὐδὲν δὲ κωλύει καὶ διὰ παντὸς ἐντετμῆσθαι ὡς καπέτους μακρὰς πέντε ἢ ἕξ, διαλειπούσας ἀπ᾽ ἀλλήλων τέσσαρας δακτύλους. αὐτὰς δὲ ἀρκέει εὖρος τριδακτύλους εἶναι, καὶ βάθος οὕτως. ἔχειν δὲ κατὰ μέσον τὸ ξύλον καὶ καταγλυφὴν χρὴ βαθυτέρην ἐπὶ τετράγωνον ὡς τριῶν δακτύλων. καὶ ἐς μὲν τὴν καταγλυφὴν ταύτην, ὅταν δοκέῃ προσδεῖν ξύλον ἐμπηγνῦσαι ἐναρμόζον τῇ καταγλυφῇ. τὸ δὲ ἄνω στρογγύλον. ἐμπηγνῦσαι δὲ ἐπήν ποτε δοκέῃ ξυμφέρειν, μεσηγὺ τοῦ περινέου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ. τοῦτο τὸ ξύλον ἑστεὸς κωλύει τὴν ἐπίδοσιν ἐπιδιδόναι τὸ σῶμα, τοῖσι πρὸς ποδῶν ἕλκουσιν. ἐνίοτε γὰρ ἀρκέει αὐτὸ τὸ ξύλον τοῦτο, ἀντὶ τῆς ἄνωθεν ἀντικατατάσιος. ἐνίοτε δὲ καὶ κατατεινομένου τοῦ σκέλεος ἔνθεν καὶ ἔνθεν, αὐτὸ τὸ ξύλον τοῦτο χαλαρὸν ἐγκείμενον ἢ τῇ, ἢ τῇ, ἐκμοχλεύειν ἐπιτήδειον ἂν εἴη τὴν κεφαλὴν τοῦ μηροῦ ἐς τὸ ἔξω μέρος. διὰ τοῦτο γὰρ καὶ αἱ κάπετοι ἐντέτμηνται, ὡς καθ᾽ ὁκοίην ἂν αὐτέων ἁρμόσῃ ἐμβαλλόμενος ξύλινος μοχλὸς μοχλεύῃ. ἢ παρὰ τὰς κεφαλὰς τῶν ἄρθρων, ἢ κατὰ τὰς κεφαλὰς τελέως ἐρειδόμενος ἅμα τῇ κατατάσει, ἤν τε ἐς τὸ ἔξω μέρος συμφέρῃ ἐκμοχλεύεσθαι, ἤν τε ἐς τὸ εἴσω. καὶ ἤν τε στρογγύλον τὸν μοχλὸν ξυμφέρῃ εἶναι, ἤν τε πλάτος ἔχοντα. ἄλλος γὰρ ἄλλῳ τῶν ἄρθρων ἁρμόζει. εὔχρηστος δέ ἐστιν ἐπὶ πάντων τῶν ἄρθρων ἐμβολῇ τῶν κατὰ τὰ σκέλεα αὕτη ἡ μόχλευσις σὺν κατατάσει. περὶ οὗ νῦν ὁ λόγος ἐστί. στρογγύλος ἁρμόζει ὁ μοχλὸς εἶναι. τῷ μέν τοι ἔξω ἐκπεπτωκότι ἄρθρῳ πλατὺς ἁρμόζει εἶναι. ἀπὸ τουτέων τῶν μηχανέων καὶ ἀναγκέων οὐδὲν ἄρθρον μοι δοκέει οἷόν τε εἶναι, ἀπορηθῆναι τοῦ ἐμπεσεῖν. εὕροι δ᾽ ἄν τις καὶ ἄλλους τρόπους τούτου τοῦ ἄρθρου ἐμβολῆς. εἰ γὰρ τὸ ξύλον τοῦτο τὸ μέγα ἔχοι κατὰ μέσον καὶ ἐκ πλαγίων φλιὰς δυοπηδιαίας, ὕψος δὲ ὅκως δοκέει ξυμφέρειν, τὴν μὲν, ἔνθεν, τὴν δὲ, ἔνθεν. ἔπειτα ξύλον πλάγιον ἐνείη ἐν τῇσι φλιῇσιν, ὡς κλιμακτήρ. ἔπειτα διέρσαι τὸ ὑγιὲς σκέλος μεσηγὺ τῶν φλιέων. τὸ δὲ σιναρὸν ἄνωθεν τοῦ κλιμακτῆρος ἔχοι ἐναρμόσσον. ἀτὰρ τι πρὸς τὸ ὕψος καὶ πρὸς τὸ ἄρθρον ᾗ ἐκπέπτωκε, ῥηΐδιον χρὴ ἁρμόζειν. τὸν γὰρ κλιμακτῆρα, ὑψηλότερον χρὴ ποιέειν τοῦ μετρίου. καὶ ἱμάτιον πολύπτυχον ὡς ἂν ἁρμόσῃ, ὑποτείνειν ὑπὸ τὸ σῶμα. ἔπειτα χρὴ ξύλον ἔχοντα πλάτος μέτριον καὶ μῆκος, ἄχρι τοῦ σφυροῦ ὑποτεταμένον ὑπὸ τὸ σκέλος εἶναι ἱκνεόμενον ἐπέκεινα τῆς κεφαλῆς τοῦ μηροῦ, ὡς οἷόν τε. προσκαταδεδέσθαι δὲ χρὴ πρὸς τὸ σκέλος ὁκοσαχῆ ἂν μετρίως ἔχῃ. κἄπειτα κατατεινομένου τοῦ σκέλεος, εἴτε ξύλῳ ὑπεροειδεῖ, εἴτε τουτέων τινὶ τῶν κατατασίων ὁμοῦ χρὴ καταναγκάζεσθαι τὸ σκέλος περὶ τὸν κλιμακτῆρα ἐς τὸ κάτω μέρος, ξὺν τῷ ξύλῳ τῷ προσδεδεμένῳ. τὸν δέ τινα κατέχειν τὸν ἄνθρωπον ἀνωτέρω τοῦ ἄρθρου κατὰ τὸ ἰσχίον. καὶ γὰρ οὕτως ἅμα μὲν ἡ κατάτασις ὑπεξαίροιτο τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης. ἅμα δὲ ἡ μόχλευσις ἀπωθέοι τὴν κεφαλὴν τοῦ μηροῦ εἰς τὴν ἀρχαίην φύσιν. αὗται πᾶσαι αἱ εἰρημέναι ἀνάγκαι ἰσχυραὶ, καὶ πᾶσαι κρέσσους τῆς ξυμφορῆς, ἤν τις ὀρθῶς καὶ καλῶς σκευάζοι, ὥσπερ δὴ καὶ πρόσθεν εἴρηται, πουλύ τι ἀπὸ ἀσθενεστέρων κατατασίων καὶ φαυλοτέρης κατασκευῆς τοῖσι πλείοσιν ἐμπίπτει. ἢν δὲ ἐς τὸ ἔξω κεφαλὴ μηροῦ ὀλισθῇ, τὰς μὲν κατατάσιας ἔνθα

